*d.* ἐπεὶ οὔ τι θεῶν ἐκ θέσφατα ᾔδη: Λακεδαιμονίους φασὶ λιμῷ πιεζομένους τὸ αἴτιον ἀνακρίνειν τὸν θεόν. τὸν δὲ εἰπεῖν ἐξιλάσκεσθαι τοὺς Τεύκρων δαίμονας, Χιμαιρέα τε καὶ Λύκον. τὸν δὲ Μενέλαον ἀπελθόντα εἰς Ἴλιον ἐπιτελεῖν τὰ προσταχθέντα καὶ συμμίξαντα Ἀλεξάνδρῳ ἅμα αὐτῷ ἀπιέναι εἰς †θεοὺς† ἐρησόμενον περὶ παίδων γονῆς· ἐρωτᾶν δὲ καὶ Ἀλέξανδρον, ὅπως ἂν ἁρπάσοι τὴν Ἑλένην. τὸν δὲ θεὸν εἰπεῖν (406 P.-W., cf. O. G. 14)· „Τίπτε δύω βασιλῆες, ὁ μὲν Τρώων, ὁ δ' Ἀχαιῶν, / οὐκέθ' ὁμὰ φρονέοντες ἐμὸν ποτὶ νηὸν ἔβητε, / ἤτοι ὁ μὲν γενεὴν ἵππου διζήμενος εὑρεῖν, / αὐτὰρ ὁ [..........]; τί νυ μήσεαι, ὦ μάκαρ ὦ Ζεῦ;" τοὺς δὲ μὴ νοήσαντας ὑποστρέψαι. τοῦτο οὖν λέγει ὁ ποιητὴς ἐπεὶ οὔ τι θεῶν ἐκ θέσφατα ᾔδη. **b** ($BCE^3$) **T** *ex.*

Φ 507. Ψ 387. Vide ad Β 11 *a*. Δ 497 *a* (Hrd.) οὐ πάντως (65) sq. cf. Ap. Dysc. synt. 199, 13 *c* Choer. Th. 2, 86, 14: τὸ οὖν ᾔδη ἐγὼ τῆς παλαιᾶς Ἀτθίδος ἐστίν, τὸ δὲ ᾔδη ἐκεῖνος τῆς νέας Ἀτθίδος ἐστίν, ὥστε οὖν οὐκ ἔστι κατὰ τὴν αὐτὴν διάλεκτον τὸ ᾔδη ἐγὼ καὶ ᾔδη ἐκεῖνος. ἐπειδὴ δὲ εὑρίσκομεν παρὰ τῷ ποιητῇ χρήσεις τοῦ τρίτου προσώπου, λέγω δὴ ⟨τὸ⟩ (add. Hilgard) ᾔδη ἐκεῖνος, οἷον „ὃς ᾔδη τά τ' ἐόντα τά τ' ἐσσόμενα πρό τ' ἐόντα" (Α 70) καὶ πάλιν „νήπιος, οὐδὲ τὰ ᾔδη, ἅ ῥα Ζεὺς μήδετο ἔργα" (Β 38), ὄντος δὲ τοῦ ποιητοῦ τῆς παλαιᾶς Ἀτθίδος, λέγομεν ὅτι Ἀριστάρχειόν ἐστι τὸ ἁμάρτημα· ὁ γὰρ Ἀρίσταρχος εἰδὼς τοῦτο τὸ ἰδίωμα τῆς νέας Ἀτθίδος ὑπάρχον, λέγω δὴ τὸ τρίτου προσώπου, οὐκ ὤφειλεν ἐᾶσαι αὐτὸ παρὰ τῷ ποιητῇ ὄντι τῆς παλαιᾶς Ἀτθίδος· ὡς εἴρηται γάρ, ἡ [μὲν] παλαιὰ Ἀτθὶς κέχρηται τῷ πρώτῳ μόνῳ (brevius Zenob. in Et. Gen. [AB] ᾔδη), fort. partim e scholiis. Vide ad Α 70; cf. Cobet, Miscell. crit. 303, Ludwich A. H. T. 1, 251, 17 *d* cf. D (Eust. 521, 26) Pind. fr. 52 i (A), 1—9, p. 44 Sn.; Valk I 326; — συμμίξαντα Ἀλεξάνδρῳ (73) cf. sch. et Tz. Lyc. 132 τίπτε (76) — Ζεῦ (79) pap. Pack 906: τίπτε — Ἀχαιῶν / [. . .] καθ' ὁμοφρονέοντες ἐμὸν δόμον εἰσανέβητε; / ἤτοι — εὑρεῖν, / αὐτὰρ ὁ πῶλον ἄγει·

---

**66** lac. stat. Lehrs his verbis explendam ἔτι δὲ συνεπέπλεκτο, cf. Quaest. ep. 108 not. **66** sq. κάλλιον A, κέρδιον Hom. codd. plurimi **67** ἠδέ οἱ A em. Bk. **68** dub. supplevi **69** le. add. Bk. **72** τεύκρων T (cf. D), ἐν τροίᾳ κρονίους **b**, cf. Valk I 141 χίμ. τε **b** (sim. sch. Lyc.), ἱμερτὼ T **73** καὶ συμμ. T συμμίξαντα δὲ **b** **74** δελφοὺς Lascaris **75** ἁρπάση C **76** δύο T Eust. **77** οὐκ ἔθ' ὁμοφρονέοντες D, cf. test. **77** sq. ἐμὸν — ἔβητε] ἐμὸν δόμον εἰσανέβητε D (Eust.), cf. test. **78** ἤτοι om. C γενεὴν ἵππου] πώλοιο γόνον D (Eust.) αὐτὰρ ὁ BT ὁ δ' $CE^3$ lac. (ca. 10 litt.) T, πῶλον ἑλεῖν (= D) T m. rec., ἄκοιτιν ἄγειν **b** (et $E^4$ in sch. D), cf. test. (πῶλον ἄγει pap. Pack 906) **79** μήσεαι] μήση Eust. μάκαρ ὦ CT μάκαρ $BE^3$ μεγάλε D **80** λέγει ὁ π. T φασὶ λέγειν τὸν ποιητὴν **b** ᾔδει BC, om. $E^3$

*D* ἐπεὶ οὔτι θεῶν ἐκ θέσφατα ᾔδη: Λακεδαιμόνιοι λοιμῷ ——— αὐτοὺς δὲ καὶ τὴν πόλιν. A

*ex.(?)* 66. ⟨γλουτόν:⟩ τοῦ ἰσχίου τὸ μέρος. T[il]

*ex.* 67. ἀντικρὺ κατὰ κύστιν: αἰσχρὸν τὸ τραῦμα τοῦ τῆς πορνείας ναυπηγοῦ. A b(BCE³E⁴) T  βία δὲ δηλοῦται τῆς πληγῆς· ὀστέοις γὰρ σκέπεται ἡ κύστις, ἃ παρῆλθε τὸ δόρυ. A b(BE³E⁴) T

*Ariston.* 68 *a*. ⟨γνὺξ δ' ἔριπ' οἰμώξας:⟩ ὅτι καὶ οὗτος ⟨οὐκ⟩ ἐπὶ τὴν πληγὴν πέπτωκε. A[im]

*ex.* *b*. γνὺξ δ' ἔριπε: τὸ εἰς γόνατα πεσεῖν. T | πιθανὸν σπασμοῦ γεγονότος συννεῦσαι τὸν τρωθέντα. b(BCE³E⁴) T

*Hrd.* 69 *a*.[1] Πήδαιον {δάρ}: Ἀρίσταρχος ὡς Πήδασον, καὶ ἐπεκράτησεν. καὶ ἴσως ἔχει ἀφορμὴν τοιαύτην ὡς πολλάκις τὰ τοιαῦτα τρίτην ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν, εἰ ῥῆμα αὐτῶν προκατάρχοι, ὥσπερ ἔχουσι τὸ βέβαιος (παρὰ γὰρ τὸ βέβηκα), ὡς τὸ Φίλαιος, τὸ Νίκαιος, τὸ Τίμαιος. τοιοῦτον οὖν καὶ τὸ Πήδαιος· οὐ γάρ, ὡς οἴεται ὁ Ἄβρων (fr. 19 B.), παρὰ τὴν πῆδον· ἐοικὸς γὰρ μᾶλλον ἥρωϊ παρὰ τὸ πηδᾶν ἐσχηματίσθαι. A

*a*.[2] Πήδαιον {δ' ἄρ}: Ἀρίσταρχος †πῆδον παρὰ τὸ πηδῶν. T

*Ariston.* 70 *a*. ὅς ῥα νόθος μὲν ἔην: ὅτι βαρβαρικὸν ἔθος τὸ ἐκ πλειόνων γυναικῶν παιδοποιεῖσθαι. A

τί νυ μήδεαι, ὦ μεγάλε Ζεῦ; (ed. U. Wilcken, Sitz. Ber. K. Preuss. Ak. der Wissensch., Berol. 1887, 819, cf. Wilamowitz, Herm. 22, 1887, 636) **66** fort. exstabat sch. Didymi tradentis quosdam pro v. ἡ δὲ scripsisse ἠδέ, ad E 736 *a*. O 127 *a* (Hrd.); vide sch. ε 391 (Did.) τοῦ ἰσχίου sq. cf. D **67** cf. Koerner, Ärztl. Kenntn. 23, Vide ad N 651—2 **68** *a* ad Δ 463 (Ariston.), cf. sch. χ 296 καὶ οὗτος ad E 56 **69** *a*[1] Et. Gen. (AB) Πήδαιος: ἔστιν (ἔστι δὲ A) ὄνομα κύριον· πολλάκις γὰρ τὰ τοιαῦτα —— παρὰ τὸ βεβηκέναι, Φίλαιος, Νίκαιος, Τίμαιος. οὕτως οὖν καὶ Πήδαιος (πηδ. B, πηδῶ Πήδαιος A), fort. ex hyp. Iliad., plura h(P¹¹ V³, cf. An. Par. 3, 283, 27; Lehrs Ar.³ 293), fort. ex Hrd.

**84** le. add. Ma. **85** le. T, γλουτόν: A, om. b **86** ναυπ. υἱοῦ b βία — πληγῆς] δηλοῦται δὲ καὶ ἡ τῆς πληγῆς βία b **87** ἡ κ. σκέπεται b **88** le. add. Vill. ὅτι A, ἡ διπλῆ, ὅτι Vill. οὐκ add. Frdl., ἀπὸ τῆς πληγῆς, οὐκ add. Naber (49) **90** πιθανὸν δὲ T **91** συννεῦσαι sq. T καὶ τὸν τρωθέντα συννεῦσαι b **92** (le.) δάρ del. Bk. **94** εἰ Et. Gen., ἢ A **94** sq. ὡς ἔχει Et. Gen. **95** βεβηκέναι Et. Gen. **1** πίδαιος A em. Bk. (cf. Et. Gen.) **2** τὴν πῆδον susp., fort. τὸν (vel τὸ) πηδόν **3** ἐσχημάτισται A em. Vill. **4** (le.) δ' ἄρ delevi πήδαιον παρὰ τὸ πηδᾶν Ma. **5** ὅτι A, ἡ διπλῆ, ὅτι Vill.

*b.* ὅς ῥα νόθος μὲν ἔην, ⟨πύκα δ' ἔτρεφε δῖα Θεανώ⟩: βάρβαρον ἔθος τὸ ταῖς πολλαῖς γυναιξὶ μίγνυσθαι· Λαέρτης γοῦν „χόλον δ' ἀλέεινε γυναικός" (α 433). | ἢ τάχα ἥγνευεν αὐτὴ διὰ τὴν ἱερωσύνην. νόμον δὲ τοῦτον ὑπογράφει ταῖς γυναιξὶν ὁ ποιητής· σώφρονος γὰρ γυναικὸς τὸ γεγονὸς ἁμάρτημα τοῦ ἀνδρὸς σκέπειν. b(BCE$^3$E$^4$) T φησὶ δὲ καὶ τὸ Εὐριπίδειον „σοὶ καὶ ξυνήρων" (Andr. 223). | νόθος δὲ ὀνοτός τις ὢν ἢ νωθὴς τῷ γένει. T *Ariston. (?)* | *ex.* | *ex.*

*c.* πύκα δ' ἔτρεφε: δείκνυσιν ὡς ἀγαθὸς τρόπος περιγίνεται τῶν παθῶν τοῦ λογισμοῦ. ἕκαστον δὲ σαφηνίζει τοὺς βάλλοντας καὶ πίπτοντας αὔξων καὶ τὸ προσκορὲς ἀφανίζων. b(BCE$^3$E$^4$) T *ex.*

*d.* ⟨Θεανώ:⟩ παρὰ τὸ θέαινα. T$^{il}$ *ex.*

**73.** ἰνίον: τὸ κοῖλον τοῦ τένοντος ——— τὸν αὐχένα. A *D*

**74.** ὑπὸ γλῶσσαν τάμε χαλκός: ὑπὸ τὴν γλῶσσαν ἰὼν ὁ χαλκὸς τοὺς ὀδόντας ἀνέτεμεν. b(BCE$^3$E$^4$) T ὀξέως δὲ δι' ἀναίμων ὀστέων διϊόντος τοῦ σιδήρου „ψυχρόν" (E 75) αὐτὸν ὀνομάζει. ἀλλαχοῦ δὲ „πᾶν δ' ὑπεθερμάνθη ξίφος" (Π 333). b(BE$^3$E$^4$) T *ex.*

**75** *a.* ⟨ἤριπε δ' ἐν κονίῃς:⟩ ἐν ἄλλῳ „ἤριπε δ' ἐξ ὀχέων". A$^{im}$ *Did.*

*b.* ἤριπε δ' ἐν κονίῃσι: εἰκότως τελευτᾷ· ἠνέχθη γὰρ τὸ δόρυ, καθὸ λήγει ὁ ἐγκέφαλος καὶ ὁ νωτιαῖος μυελὸς ἄρχεται. b(BCE$^3$E$^4$) T ἴσον δὲ τῇ τοῦ ἐγκεφάλου κοιλίᾳ δύναται †ὧι οὐ† τοῦτο τὸ μέρος. b(BE$^3$E$^4$) T δῆλον δὲ ἐκ τῶν ἱερείων, ἃ τιτρωσκόμενα κατὰ τὸ ἰνίον διαλύεται. T *ex.*

ψυχρὸν δ' ἕλε χαλκὸν ὀδοῦσι: ἤτοι κυρίως διὰ τὸ ——— τοῖς ὀδοῦσι ἔλαβεν. A *D*

καθ., cf. Arcad. 48, 3. 10 **70** *b* — ἀλ. γυναικός (9) cf. sch. α 433 σώφρονος (11) sq. cf. Eust. 523, 24; sch. Eur. Andr. 224; sim. Athen. 13, 556 b νόθος δὲ (13) — τις ὤν cf. Or. 107, 9. Vide ad Δ 499 *a* **71** de v. πόσει vide ad A 30 *b* (fort. Hrd.) **74** ad Π 333 (ex.)

---

**7—11** (σκέπειν) pone sch. E 74 in BE$^3$, pone sch. E 78 in C **7** le. T supplevi auctore Vill., om. b **8** ἦθος b τὸ (om. C) πολλῶν γυναικῶν b ταῖς damn. Ma., fort. recte μίγν. om. b **9** δ' om. b ἢ τάχα T τάχα γὰρ b **9** sq. διὰ τὴν ἱερ. om. b **10** δὲ τοιοῦτον b **14** δείκν. T, δείκνυσι δὲ διὰ θεανοῦς pone sch. *b* (coni. cum v. σκέπειν) b ὡς ὁ ἀγ. περιγίν. τρόπ. b **15** παθῶν post λογ. b **15** sq. καὶ πίπτ. om. b, καὶ τοὺς πίπτ. ci. Ma. **17** le. add. Ma. **19** διϊὼν b **20** sq. διὰ ἀνέμων ὀστείων b **23** le. add. Vill., fort. pot. ἤρ. δ' ἐν κονίῃ: **24** le. T, om. b, fort. ἤρ. δ' ἐν κονίῃς (vel κονίῃ), ψυχρὸν δ' ἕλε χαλκὸν ὀδοῦσιν: **25** λέγει BE$^4$ ὁ νωτ. — ἄρχεται E$^4$T ὁ μυελὸς ἄρχεται ὁ νωτιαῖος BCE$^3$ **26** ὧι οὐ T, om. b, Ma., θανατοῦν Valk (I 530), ζῴου Holwerda (Mnemos. 1966, 289) **27** τὸ om. T

*Hrd.* 76 *a.* {εὐρύπυλος} Εὐαιμονίδης: ψιλοῖ ὁ Ἀσκαλωνίτης (p. 45 B.), ἵνα κύριον γένηται, ὥσπερ καὶ τὸ Φίλιππος καὶ τὸ „Μελάνιππος" (cf. Θ 276 al.). ἔστι μὲν οὖν ὃ λέγει πιθανόν — διὰ τοῦτο γοῦν καὶ τὸ „ΠΟΛΥΜΝΙΑ" (Hsd. th. 78) πῆ μὲν ψιλοῦμεν πῆ δὲ δασύνομεν, καὶ τὸ „Εὐρύαλος" (B 565 al.), „ΑΓΧΙΑΛΟΣ" (cf. E 609 et B 640. 697) —, οὔ γε μὴν ἀληθές· εὑρέθη γὰρ τὸ Πάνορμος δασυνόμενον καὶ Ἔφιππος ὁ κωμικός. **A**

*Ariston.(?)* *b.* Ὑψήνορα δῖον: δύο Ὑψήνορες· καὶ ἀλλαχοῦ γάρ φησιν „Ἱππασίδην Ὑψήνορα" (N 411). **T**

*ex.* 78. θεὸς δ' ὣς τίετο δήμῳ: διδάσκει, πῶς χρὴ διακεῖσθαι πρὸς τοὺς ἱερεῖς. **b**(BCE$^3$E$^4$) **T**

*Ariston.* 79. ⟨Εὐρύπυλος, Εὐαίμονος ἀγλαὸς υἱός:⟩ πρὸς τὴν ἐπανάληψιν τοῦ ὀνόματος (cf. E 76). **A**$^{im}$

*ex.* 80—1. μεταδρομάδην ⟨——— ἀΐξας⟩: τὸ ἑξῆς μεταδρομάδην ἀΐξας, ἐπιδιώξας τὸν φεύγοντα. **b**(BCE$^3$) **T**

*ex.* 81. ἀπὸ δ' ἔξεσε χεῖρα: τὸ ῥᾴδιον τῆς ἐκτομῆς ἐδήλωσεν ἔξεσεν εἰπών, οὐκ ἀπέκοψεν. **A b**(BCE$^3$) **T**

*ex.* 82. αἱματόεσσα δὲ χεὶρ ⟨πεδίῳ πέσε⟩: οἶκτον ἔχει ἡ χεὶρ δίχα παντὸς τοῦ σώματος κειμένη· ὑπ' ὄψιν γοῦν ἤγαγε τὸ πάθος. **b**(BCE$^3$) **T**

76 nullum signum ante versum in A *a* ad E 333. H 167. Θ 276. O 705 *a* (Hrd.), cf. sch. β 157. θ 114, Eust. 524, 4 (εὕρηται οὖν ἐν ὑπομνήμασι παλαιῶν τοιαῦτά τινα), qui scholia ad E 76. 289 (Hrd.), 333 (ex., D), O 705 (Hrd.) in unum confudit, Eust. 524, 26 (non e scholiis): Ἡρωδιανὸς δὲ ... φησὶν ὅτι Φίλιππον μὲν τὸ κύριον ἀξιοῦσιν οἱ γραμματικοὶ ψιλῶς λέγεσθαι, δασέως δὲ τὸ ἐπίθετον, ἀγνοοῦντες ὅτι καθ' ἓν ἑκάτερα δύνανται εἶναι· καὶ γὰρ λεύκιππος λέγεται παρὰ Στησιχόρῳ (fr. 79 P. = P. M. G. 256) ἐπιθετικῶς, ἀλλὰ καὶ Λεύκιππος ὀνομάζεται ὁμοίως ὁ Φοίβης καὶ Ἐλαείρας πατήρ (cf. Schulze 716)· ὥστε ψιλοῖ αὐτὸς ἐν ἀμφοῖν τούτοιν τοῦ ἵππος τὴν ἄρχουσαν καὶ οὐκ ἐν μόνῳ τῷ κυρίῳ, Lehrs Hrd. 228 et Ar.$^3$ 313; vide ad E 289 *b* 609 *a*. Π 635 *b* Aristonicum scripsisse πρὸς τὴν ὁμωνυμίαν τοῦ Ὑψήνορος vel tale quid censet Lehrs (ap. Friedl. Ariston. 104); vide ad B 517 *a*. N 411 80 fort. excidit nota Herodiani de v. ἔθεν, ad Γ 128 *a* 81 eadem fere Ge (e T), cf. Eust. 524, 40

---

**31** (le.) εὐρύπυλος del. Bk. **34** πολύμνεια A em. Lehrs πῆ μὲν — πῆ δὲ Ddf., fort. τῇ μὲν — τῇ δὲ **35** fort. ΕΥΡΥΑΛΟΣ scribendum, quamquam adi. apud auctores, qui ante Herodianum vixerunt, non occurrit **36** ἀληθές] διηνεκές Lehrs **40** sq. διακεῖσθαι post ἱερεῖς **b** **40** πρὸς T εἰς E$^4$, om. BCE$^3$ **42** le. add. Ddf. (Frdl.) πρὸς A, fort. ἡ διπλῆ πρὸς **44** le. T supplevi, om. **b** (ubi sch. ad versum 80 revocatum est) ἑξῆς οὕτως **b** **45** ἐπιδ. T ἤτοι ἐπιδιώξας **b** **46** le. T, ἀπὸ δ' ἔξεσεν A, om. **b** ῥάδιον ACE$^3$ **46** sq. ἔξεσεν] ἀπέξεσεν Eust. Ge (e coni.) **48** le. T supplevi (auctore Vill.), om. **b** οἶκτον ἔχει ἡ **b** οἰκτρὸν T, fort. melius

83 *a*.[1] πορφύρεος θάνατος: ὅτι οἱ ἀρχαῖοι κριτικοὶ πορφύρεον θάνατον τὸν τοῦ ἐπὶ στόμα πεπτωκότος ὁπλίτου. λέγει δὲ πορφύρεον τὸν μέλανα, ἐξ οὗ δηλοῖ τὸν χαλεπόν· „πορφύρεον δ' ἄρα κῦμα" (Φ 326) ἀναλόγως τῷ „μέλαν δέ ἑ κῦμα κάλυψεν" (Ψ693). A *Ariston.*

*a*.[2] πορφύρεος θάνατος: ὁ μέλας, καὶ „πορφύρεον δ' ἄρα κῦμα", „μέλαν δέ ἑ κῦμα κάλυψεν". b(BC$E^3E^4$) T

84. ὡς οἱ μὲν πονέοντο: ὡς καὶ ἄλλων τινῶν ἀσήμων ἐνεργησάντων. b(BC$E^3$) T *ex.*

85 *a*. Τυδεΐδην δ' οὐκ ἂν γνοίης: ἡ διπλῆ, ὅτι ὡς πρός τινα διαλέγεται μὴ ὑποκειμένου προσώπου, καὶ ὅτι ἀντὶ τοῦ οὐκ ἄν τις ἔγνω, καὶ χρόνος ἐνήλλακται. A *Ariston.*

*b*. Τυδεΐδην δ' οὐκ ἂν γνοίης: ἡδὺ τὸ τῆς ἀποστροφῆς ὡς πρὸς πρόσωπον· „φαίης †κεν† ζάκοτόν τέ τιν' ἔμμεναι" (Γ 220). ἡ δὲ τῆς ἑρμηνείας θερμότης τὸν βεβακχευμένον Διομήδεα δείκνυσιν. b(BC$E^3E^4$) T *ex.*

87. θῦνε γάρ: ἐνθουσιωδῶς μετά τινος ὁρμῆς ἐφέρετο. ἐπιτείνει δὲ αὐτὸν τῷ „χειμάρρῳ" (E 88), εἰκονίσας ἡμῖν, τί ἐστι χειμάρρους, καὶ τῷ πλήθοντι. b(BC$E^3E^4$) T *ex.*

88. ἐκέδασσε γεφύρας: καλῶς κἀκ τῶν πασχόντων τοῦ ποταμοῦ τὴν βίαν ηὔξησεν. b(BC$E^3E^4$) T *ex.*

89 *a*. τὸν δ' οὔτ' ἄρ τε γέφυραι: ἡδὺ τὸ τῆς ἐναλλαγῆς τῆς πτώσεως ἐν τῇ ἐπαναλήψει, καὶ πάλιν ἐν τῇ γενικῇ „πολλὰ δ' ὑπ' αὐτοῦ ἔργα κατήριπε" (E 92). b(BC$E^3E^4$) T *ex.*

*b*.[1] ⟨ἐεργμέναι:⟩ Ἀρίσταρχος „ἑερμέναι". $A^{im}$ *Did.*

*b*.[2] χωρὶς τοῦ ȳ „ἑερμέναι". $T^{il}$

83 Ge (fort. e h): οὐχ ἡ ἐκκοπὴ δὲ (δὲ del. Nicole) τῆς χειρὸς αἰτία ἐγένετο τοῦ θανάτου, ἀλλ' ἡ ῥύσις τοῦ αἵματος μέλανα (53, resp. μέλας, 55) cf. D, Serv. Verg. G. 4, 372 *a*[1] τὸν μέλανα (53) sq. ad Ξ 16 *c* (ex.), sim. *a* (Ariston.), cf. Eust. 524, 42; Gladstone 20; Euler 16; Koerner, Sinnesempf. 28 et Ärztl. Kenntn. 36 85 *a* ad Γ 220 *a* (Ariston.); cf. Wackernagel, Vorlesungen über Syntax I (Basil. 1926), 237 *b* ἡ δὲ τῆς (64) sq. cf. Eust. 525, 9 87 h($P^{11}$) ὁρμῆς (66) cf. D ad B 446, Erot. 45, 4, Ep. Hom. (An.

---

51 ὅτι A, ἡ διπλῆ, ὅτι Vill. οἱ ἀρχαῖοι sq. haec verba ab Ariston. abiud. Frdl., vix recte 52 ὁπλ. scripsi, ὑπτίου A 54 τῷ Bk., τὸ A 55 ὁ om. $E^4$ καὶ T ὡς τὸ b 55 sq. δ' ἄρα κῦμα μέλαν om. b 63 φαίης T οἷον φαίης b κε Hom. 66 ἐπέτεινε b 67 fort. αὐτὴν προεικονίσας b προεικονίζων h ($P^{11}$) χείμαρρος b 68 καὶ τῷ T οὐ μὴν (οὐ μόνον Bk.) δὲ ἀλλὰ καὶ τῷ b 69 (le.) ἐσκέδασε T em. Ma. (le. om. b) 69 sq. καλῶς δὲ κἀκ τ. sq. pone sch. E 87 (coni. cum v. πλήθοντι) b 71 le. T, om. b; solum τὸν δ': Bk. 73 ἔργα om. T κατήριπεν b 74 le. add. Ldw. (Bk.), V ante sch. *b*[2]

D 90. ⟨ἀλωάων:⟩ τῶν ἀμπελοφύτων. T$^{il}$

*ex.* | *ex.* 92. ⟨ἔργα⟩ κατήριπε κάλ' αἰζηῶν: ἀντὶ τοῦ ἀνθρώπων· b (BCE$^3$) T „μινύθει δέ τε ἔργα ἀνθρώπων" (Π 392). T | ἐμφαντικῶς δὲ καὶ τὰ ὑπὸ νεανιῶν οἰκοδομηθέντα παρασύρεσθαί φησιν. b (BCE$^3$E$^4$) T

*ex.* 97—8. αἶψ' ἐπὶ Τυδεΐδη ⟨——— / καὶ βάλ'⟩: καλῶς τιτρώσκει Διομήδεα, „ἐπεί / ῥέζοντά τι καὶ παθεῖν ἔοικεν" (Pind. N. 4, 31—2). b(BCE$^3$) T

*ex.* 98 *a.*$^1$ ἐπαΐσσοντα τυχών: συνήργησεν ἡ Διομήδους ὁρμὴ πρὸς τὴν δίοδον τοῦ βέλους. T

*a.*$^2$ ἡ δὲ ὁρμὴ ἡ Διομήδους καὶ τῷ βέλει συνήργησεν. b(BCE$^3$)

*Ariston.* | *Hrd.* 99 *a.* θώρηκος γύαλον: ὅτι τὸ ὅλον κύτος τοῦ θώρακος γύαλον διὰ τὴν †ποικιλότητα† λέγει, οὐ μέρος ὡρισμένον τοῦ θώρακος. A | τὸ γύαλον, ὅταν ἐπίθετον ᾖ, ὀξύνεται· „εὖτ' ἂν ὁ παῖς ἀπὸ μὲν γυαλὸν λίθον †ἀγκάσασθαι" (Call. fr. 236, 1). AT

*ex.* *b.* ⟨θώρηκος:⟩ τοῦτο⟨ν⟩ ἐγκωμιάζων Ἕκτωρ ἡφαιστότευκτον οἶδε καλεῖν (cf. Θ 195), ἐπεὶ καὶ τὸ Πανδάρου τόξον Ἀπόλλωνος (cf. B 827). b(BCE$^3$E$^4$)

*ex.* *c.*$^1$ θώρηκος γύαλον: πρὸς ἀντιδιαστολὴν τῶν χειρίδων θώρηκος γύαλόν φησι τὸ περὶ τὸν ὦμον μέρος. λέγει δὲ τὸ κοίλωμα. T

*c.*$^2$ γύαλον δὲ τὸ περὶ τὸν ὦμον κοῖλον τοῦ θώρακος μέρος. b(BCE$^3$E$^4$)

Ox. 1, 198, 27, EM. 459, 14) **92** cf. Eust. 526, 16 νεανιῶν (79) cf. D ad P 520, Ap. S. 17, 4 **97—8** cf. Ge (e T ut vid.): καλῶς τὸν Διομήδην ἔτρωσεν· οὐδένα γὰρ εἰκὸς εἰς ἄκρον εὐτυχοῦντα μὴ καὶ λύπης πειραθῆναι μικρᾶς **99** *a* et *c* cf. He. θ 1016: θώρηκος γύαλον· περιφραστικῶς τὸν θώρακα. τινὲς δὲ τὸ κοῖλον τοῦ θώρακος ἢ τὸ κύτος. γύαλον δὲ λέγεται τὸ κοῖλον . . . ζητοῦσι δέ, πῶς πληγέντος κατὰ τοῦ ὤμου τοῦ Διομήδους φησὶ „θώρηκος γύαλον". πρὸς οὓς λεκτέον ὅτι πᾶν τὸ κοῖλον „γύαλον" λέγεται, τὸ δὲ „θώρηκος γύαλον", ὅτι ἁλυσιδωτοὶ ἢ λεπιδωτοί (sc. οἱ θώρακες)· ἀνάγκη γὰρ τοὺς λεπιδωτοὺς καὶ κοίλους λέγειν· „τόν ῥ' ἐφόρει γυάλοισιν ἀρηρότα, θαῦμα ἰδέσθαι" (cf. O 530), fort. e Diog. *a* — τοῦ θώρακος (87) ad E 189 (A), N 507 (AT), 587 (T), O 530 (AT), P 314 (T), T 361 (A), cf. D, D ad E 189, Ap. S. 55, 28, He. (γ 969), Et. Gud. 324, 22 Stef.; aliter Paus. 10, 26, 5, cf. sch. *c*; Lehrs Ar.$^3$ 106 τὸ γύαλον, ὅταν (89) sq. brevius Eust. 526, 42 (Ἀπίων δὲ καὶ Ἡρόδωρός φασιν) *b* ad Θ 195 (ex.) ἐπεὶ καὶ τὸ (92) sq. ad B 827 *c*$^1$ cf. Eust. 526, 39; Stubbings, Companion 507 κοίλωμα (95) cf. sch. *a*

---

**76** le. add. Ma., cf. Li (= D) **77** le. T supplevi (auctore Vill.), om. b **79** οἰκοδομούμενα BE$^3$E$^4$ οἰκονομούμενα C, an ᾠκοδομημένα? **81** le. αἶψα δ' ἐπὶ τυδει ss. δ T em. Ma. (om. b, ubi sch. ad versum 98 revocatum est), καὶ βάλ' addidi **86** ἡ δὲ sq. pone sch. E 97—8 (coni. cum v. ἔοικεν) b **87** le. AT ὅτι A, ἡ διπλῆ, ὅτι Vill. κοῖτος A em. Vill. **88** κοιλότητα Bk., recte ut vid. **90** ἀγκάσσασθαι Call. **91** le. add. Bk., θώρηκος γύαλον add. Vill., γύαλον add. Li τοῦτο b suppl. Bk. **94** (le.) fort. θώρ. delendum **2** γύαλον δὲ sq. pone sch. *b* (coni. cum v. ἀπόλλωνος) b

*Hrd.* **100.** ἀντικρύ {δὲ διέσχε}: ὀξύνεται καὶ ἐκτείνεται. ὅταν δὲ ἔχῃ τὸ ϛ, συστέλλεται καὶ βαρύνεται. τὸ δὲ αἴτιον ἐν τῷ Περὶ ἐπιρρήματος (fr. 1 L. = 2, 846, 24) ἐροῦμεν. **A**

*ex.* **101.** ἐπὶ μακρὸν ἄϋσε: οὐδεὶς τῶν βαλλόντων ἢ μόνος οὗτος ὁ ἀλαζὼν ἐφθέγξατο· διὸ ὥσπερ ἐλέγχων αὐτοῦ τὸ φλύαρόν φησι „τὸν δ' οὐ βέλος ὠκὺ δάμασσεν" (E 106). οὐ φθέγγεται δὲ τρώσας Μενέλαον, ὅτι ἡ πρᾶξις αἰσχρά, καὶ ἔλεγχον †βασιλείας† ἔχει, ἢ βουλόμενος ἑαυτὸν μὴ φανερὸν ποιῆσαι τοὺς ὅρκους παραβῆναι ἐν τοῖς Τρωσίν. **b**(BCE$^3$E$^4$) **T**

*ex.* **103.** βέβληται γὰρ ἄριστος Ἀχαιῶν: ἀντὶ τοῦ ἀριστεύς (Αἴας γὰρ μετ' Ἀχιλλέα)· ἢ διὰ τὴν εὐδαιμονίαν, „ὃν δὴ ἐγὼ κάρτιστον Ἀχαιῶν" (Z 98)· ἢ ἑαυτὸν ὑψῶν ὁ Πάνδαρος ἄριστον τὸν τρωθέντα φησίν. **A b**(BCE$^3$E$^4$) **T**

*Did.* **104** *a.* ⟨δῆθ' ἀνσχήσεσθαι:⟩ Ἀρίσταρχος δῆθ' ἀνσχήσεσθαι. **A**$^{\text{int}}$

*Did.* *b.* ⟨βέλος:⟩ Ἀρίσταρχος βέλος. **A**$^{\text{im}}$

*Ariston.* **105.** ⟨Λυκίηθεν:⟩ ὅτι τῆς Τρωϊκῆς Λυκίας. **A**$^{\text{int}}$

*D* Λυκίηθεν: Λυκίας χώρας ——— ἐβασίλευε Πάνδαρος. **A**

*Nic.* **107.** ⟨ἀλλ' ἀναχωρήσας:⟩ ἐπὶ τὸ ἀναχωρήσας βραχὺ διασταλτέον. **A**$^{\text{int}}$

*ex.* **107—8** *a.*[1] πρόσθ' ἵπποιϊν καὶ ὄχεσφιν / ἔστη: γενναῖον ἦθος Διομήδους, ὃς οὐκ οἴχεται καιρίαν λαβὼν τὴν πληγήν. **T**

**100** ad E 130 (Hrd.), cf. Eust. 527, 4; D ad Γ 359, Amm. 48; Ap. Dysc. adv. 200, 17, Meth. (Et. Gen. = EM. 114, 35, sim. Et. Gud. 152, 2 Stef. [test.]), Ep. Hom. (An. Ox. 1, 443, 32), Choer. Th. 2, 329, 23 **103** — ἀριστεύς (13) cf. Or. 25, 17 (Et. Gen. = EM. 143, 8, Et. Gud. 197, 14 Stef.) διὰ τὴν εὐδαιμονίαν (14) ad Z 98 ἢ ἑαυτὸν (15) sq. cf. Eust. 527, 41 **104** *a* ad Ω 518 (Did.); alii legerunt δηθὰ σχήσεσθαι, cf. Eust. 528, 5: ἐν τῷ „οὐδέ ἑ φημι / δηθὰ σχήσεσθαι κρατερὸν βέλος" σχήσεσθαι λέγει τὸ ὑπομεῖναι. εἰ δὲ γράφεται „οὐδέ ἑ φημι / δῆθ' ἀνσχήσεσθαι" λέγοι ἂν πάντως ἀνσχήσεσθαι τὸ ἀνασχέσθαι, ὡς καὶ πρὸ τούτου ἐν τῷ „χαλκὸν ἀνασχέσθαι" (Δ 511), D: δῆθ'·... γράφουσι καὶ „δηθά" (h. e. δηθὰ σχήσεσθαι?), Ludwich A. H. T. 1, 251, 22. Vide ad H 110 *a* *b* ad Λ 439. 451 (Did.); sed pro βέλος habet μένος Pap. Ox. 223 **105** ad Δ 101 *a* (Ariston.)

---

4 (le.) δὲ διέσχε del. Bk. ἔχει A em. Bk. **10** αἰσχρά sc. ἐστίν, αἰσχρὰ οὖσα Ma. βασιλείας] ἀσεβείας Wil. **10 sq.** ἢ βουλ. sq. T, καὶ παρασπονδισμόν CE$^3$E$^4$ παρασπονδησμόν B **11** παραβῆναι cf. Mayser Gramm. 2,1 (1926), 308, παραβάντα Ma. (fort. rectius) **13—6** pone sch. E 105 (A = D) in A **13** le. Ma., βέβληται γὰρ ἄριστος: A, βέβληται ἄριστος ἀχαιῶν T, om. b ἀριστεύς] ἠρίστευεν A **14** ἢ (ante διὰ) om. A **16** φησὶν ὑπ' αὐτοῦ b **17** le. add. Vill. (eadem A$^{\text{cont}}$, vulg.) **17 sq.** ἂν σχήσεσθαι Bk. **19** le. add. Ldw. **20** le. add. Vill. ὅτι A, fort. ἡ διπλῆ, ὅτι **22** le. add. Frdl. **24** (le.) ὄχεσφιν: ἔστη (γενν.) T em. Ma.

*a.*[2] γενναῖον τὸ Διομήδους ἦθος, ὅτι μὴ τελείως ἀναχωρεῖ καίπερ καιρίαν λαβὼν τὴν πληγήν. **b**(BC$E^3E^4$)

*ex.* **109—10.** ὄρσο, πέπον ⟨——— ὀϊστόν⟩: οὐδὲν ἀποιμώζει πρὸς τὴν πληγήν, ἀλλὰ γενναίως τὴν χρείαν μόνην φησίν. **b**(BC$E^3$ $E^4$) **T**

*ex.* **111.** Σθένελος δὲ καθ' ἵππων ⟨ἆλτο χαμᾶζε⟩: πρεπόντως καὶ Σθένελος οὐδὲν ἐπιζητεῖ· καὶ γὰρ ἀνοίκειον τῷ καιρῷ. **b**(BC$E^3$) **T**

*Nic.* **112** *a.* ⟨πὰρ δὲ στάς:⟩ ἐπὶ τὸ στάς βραχὺ διασταλτέον. $A^{im}$

*ex.* *b.* ἐξέρυσ' ὤμου: αὕτη ἐστὶν ἡ κατὰ διωσμὸν βελουλκία, ἵνα μὴ πάλιν τιτρώσκοιτο ταῖς ἀκίσιν ὑποστρεφούσαις. **b**(BC$E^3E^4$) **T**

*ex.* **113.** αἷμα δ' ἀνηκόντιζε: ἐμφαντικὴ ἡ μεταφορὰ τοῦ αἵματος ἀναθέοντος μετὰ βίας· ἀρτηριώδης γὰρ καὶ φλεβώδης ὁ τόπος. **A b** (BC$E^3E^4$) **T**

*Nic.* **116—7.** ⟨εἴ ποτέ μοι ——— πολέμῳ:⟩ ταῦτα τοῖς ἑξῆς βέλτιον προσνέμειν. $A^{im}$

*ex.* | *ex.* **116.** εἴ ποτέ μοι καὶ πατρί: ἀντὶ τοῦ μού. | προῳκονόμησε δὲ τὸν Τυδέα ὁ ποιητής. **b**(BC) **T**

*Nic.* | *Hrd.* **117.** δηΐῳ ἐν πολέμῳ, ⟨νῦν αὖτ' ἐμὲ φῖλαι⟩: ὑποστικτέον ἐν τῷ πολέμῳ. | ἄμεινον δὲ **b**(BC) **T** ὀρθοτονεῖν τὸ ἐμέ, ἵν' ᾖ· καὶ ἐμὲ ὡς ἐκεῖνον. **b**(BC$E^4$) **T**

**112** *b* Ge (ex **h**?): δυνατῶς ἐξείλκυσε τὸ βέλος· ἡ γὰρ κατὰ μικρὸν ἐκβολὴ ἐπωδυνωτέρα ἢ ⟨εἰ⟩ (add. Nicole) ὁλόκληρον ἐξείλκυσε τὸ βέλος  αὕτη ἐστὶν (34) sq. ad Δ 213 *c*; cf. Koerner, Ärztl. Kenntn. 82  **113** nullum signum ante versum in A, at fort. exstabat nota Aristonici de v. στρεπτοῖο χιτῶνος, ad Φ 31; cf. Ap. S. 145, 21: στρεπτοῖο χιτῶνος· τοῦ ὑποδύτου (scripsi, ὑποδετοῦ cod.) . . . ὁ δὲ Ἀρίσταρχος τοῦ λεπιδωτοῦ διὰ τὸ τὴν πλοκὴν τῶν κρίκων ἀνεστραμμένην εἶναι, Eust. 528, 23: στρεπτὸν χιτῶνα οἱ μὲν ἐπὶ ἱματίου νοοῦσι λέγοντες στρεπτὸν τὸν κλωστόν, οἱ δὲ ἐπὶ θώρακος κρικωτοῦ ἤτοι ἁλυσιδωτοῦ. ἡ δὲ λέξις κεῖται καὶ ἐν τῇ Φ ῥαψῳδίᾳ, D: τοῦ ἁλυσιδωτοῦ σιδηροῦ κρικωτοῦ θώρακος  ἐμφαντικὴ (36) sq. cf. Eust. 528, 35; ad Λ 458 *b*  **116—7** ad Ε 117  **116** — μού fort. sch. Aristonici, ad Α 24 *a* (Ariston.); vide ad Ο 109 (ex.)  τὸν Τυδέα (42) cf. Eust. 528, 38  **117** — πολέμῳ (44) ex eodem scholio fluxit ac sch. Ε 116—7  ἄμεινον δὲ (44) sq. ad Ζ 355. Η 198. Ν 452. Φ 159. Χ 59 (Hrd.), cf. sch. α 212. δ 619. η 223. μ 33 (Hrd.). De Eust. 528, 45 (τινὲς κοινότερον „φίλε"

---

**26—7** sch. ad Ε 108 rettulit **b**  **28** le. T supplevi, om. **b** (ubi sch. ad v. 110 revocatum est)  (le.) ὄρσεο T em. Ma.  **29** γενν. T φέρει γενναίως καὶ **b**  μόνην ante τὴν χρείαν **b**  φησίν T ἐπιζητεῖ **b**  **31** le. T supplevi, om. **b**  καὶ om. **b**  **32** σθένελος pone ἐπιζητεῖ **b**  **33** le. add. Vill.  **36** le. T, αἷμα δ' ἀνηκόντιζε διὰ στρεπτοῖο χιτῶνος: A, om. **b**  ἐμφατικὴ A  ἡ om. T  **39** sq. ad Ε 115—62 deest $E^3$ (excidit fol. 63)  **39** le. addidi (auctore Frdl.)  **41** προωκοδόμησε **b**  **43** le. T supplevi (auctore Frdl.), om. **b**  **43** sq. ἐν τῷ T εἰς τὸ **b** (utraque forma auctor usus est, possis et ἐπὶ τὸ)  **44** ὀρθοτονητέον $E^4$

118 *a*. ⟨δός δέ τέ μ' ἄνδρα:⟩ οὕτως †ἔν τισιν ἡρωδιανός. ἡ δὲ γραφὴ† „τόνδε τέ μ' ἄνδρα". $A^{im}$ *Did.*

*b*. δός δέ τέ μ' ἄνδρα ἑλεῖν: οὐ περὶ τῆς ἰάσεως, ἀλλὰ τῆς τοῦ βαλόντος εὔχεται τιμωρίας. οἰκείως δὲ τοῖς παθήμασιν οἱ εὐχόμενοι τοῖς θεοῖς τὰ ἐπίθετα ποιοῦνται· καὶ νῦν μὲν ὁ καταπονούμενος „'Ατρυτώνην" (cf. E 115), ἡ δὲ †ἑκάτη† εὐχομένη τὴν Ἴλιον σῴζεσθαι ἐπικαλεῖται τὴν „ἐρυσίπτολιν" (cf. Z 305), οἱ δὲ τὴν λείαν λαβόντες ἀνατιθέασι τῇ „ληΐτιδι" (K 460). b(BC$E^3E^4$) T *ex.*

*c*. καὶ ἐς ὁρμὴν ἔγχεος ἐλθεῖν: τουτέστιν διὰ δόρατος ἀγωνίσασθαι, μὴ τόξοις μακρόθεν, καὶ ὑπ' ἐμοῦ ἀναιρεθῆναι. ἢ ἐμὲ ποίησον ἐλθεῖν πρὸς ἄφεσιν δόρατος, τουτέστιν δύνασθαι ἀφεῖναι δόρυ· κάμνει γὰρ ἤδη. ἢ εἰς τὴν ὁρμὴν τοῦ ἐμοῦ ἔγχους ποίησον αὐτὸν ὑπαντῆσαι. A *ex.*

*d*. καὶ ἐς ὁρμὴν ἔγχεος: ἢ ἐμὲ ἰσχῦσαι πάλλειν τὸ δόρυ κατὰ τοῦ βαλόντος, ἢ αὐτὸν ἀντιστῆναι τῇ ὁρμῇ τοῦ ἐμοῦ δόρατος. μόνον δὲ πλησιάσαι αὐτὸν εὔχεται· πέποιθε γὰρ ὡς αἱρήσων τὸν Πάνδαρον. b(BC$E^4$) T *ex.*

119 *a*. ⟨ὅς μ' ἔβαλε φθάμενος:⟩ καλῶς ἐπὶ τὴν τύχην, οὐκ ἐπὶ τὴν ἀρετὴν τοῦ βαλόντος ἀνήνεγκε τὴν ἀνδραγαθίαν. b(BC$E^4$) $T^{il}$ *ex.*

*b*. καὶ ἐπεύχεται: ἅπτεται τῶν μειζόνων ἡ τῶν χειρόνων μεγαλαυχία. $A^{im}$ b(BC$E^4$) T *ex.*

121. ⟨ὣς ἔφατ' εὐχόμενος:⟩ ὅτι κατὰ τὴν ἡμετέραν χρῆσιν νῦν τὸ εὐχόμενος. $A^{im}$ *Ariston.*

122 *a*. γυῖα δ' ἔθηκεν ἐλαφρά: ὁ ἀστερίσκος, ὅτι ἐντεῦθεν μετενήνεκται εἰς τὸν ἐπὶ Πατρόκλῳ ἀγῶνα ἐπ' 'Οδυσσέως τρέχοντος (sc. Ψ 772). A *Ariston.*

γράφουσιν) cf. Valk II 581 n. 26. Vide ad K 280 (test.) **118** nullum signum ante versum in A, sed fort. exstabat sch. Aristonici de constructione sententiae, ad O 119 (Ariston.), cf. Ap. Dysc. synt. 345, 20 *a* cf. Valk II 123 (improbabiliter) *c* et *d* ἢ (55 resp. 59) — ἢ (57 resp. 60) cf. Tryph. II (21, 2) p. 245 West **121** κατὰ τὴν ἡμετέραν χρῆσιν i. e. „precans, non glorians" (Lehrs) **122** *a* ad N 61. Ψ 772 (Ariston.)

---

46 le. add. Vill. 46 sq. frustra temptatum, ἀρίσταρχος, ἔν τισι δὲ καὶ τῇ ῥιανοῦ ἦν (vel ἐφέρετο) ἡ γραφή Ldw., ἔν τισιν. ἡρωδιανὸς δὲ γράφει Cob., fort. ἔν τισιν. ἡ ῥιανοῦ δὲ γραφή 48—53 pone sch. E 113 in b 48 (le.) ἄνδρ' T em. Ma. 49 βάλλοντος C verba οἰκείως δὲ sq. fort. ad E 115 transponenda 50 θείοις b 51 ἑκάτη om. b, ἑκάβη Ma., recte 52 ἐπικαλ. τὴν om. b ἐρυσίπολιν T 57 sq. αὐτὴν A em. Vill. 59 ἰσχύσειν $E^4$ τὸ om. T 60 κατὰ τ. βαλ. om. T, fort. recte κατὰ] παρὰ $E^4$ βάλλοντος C αὐτὸν — ὁρμῇ T ἐκεῖνον ἐλθεῖν πρὸς ἀντίστασιν b 61 αὐτὸν T πάνδαρον b ὡς om. b αἱρήσων BT αἱρησ̂ $E^4$ αἱρήσειν C 61 sq. τὸν πάνδ. T αὐτόν b 63 le. add. Bk. 65 le. T, om. Ab ἅπτεται T ἅπτεται γὰρ A, ἅπτεται δὲ (coni. cum scholio praecedenti) b μειζ. AT κρειττόνων b 67 le. add. Vill. ὅτι A, ἡ διπλῆ, ὅτι Vill.

*ex.* *b.* γυῖα δ' ἔθηκεν ἐλαφρά: οἰκείως· τρωθεὶς γὰρ ἐβεβάρητο. οὐκ ἔχομεν οὖν εἰπεῖν· 'πῶς ἀριστεύει πάλιν;' **b**(BCE[4]) **T**

*D* **124.** ⟨μάχεσθαι:⟩ ἀντὶ τοῦ μάχου. **A**[int]

*ex.* **126.** ἄτρομον, οἷον ἔχεσκε: φασὶν ἐν τῷ Θηβαϊκῷ πολέμῳ Τυδέα τρωθέντα ὑπὸ Μελανίππου τοῦ Ἀστακοῦ σφόδρα ἀγανακτῆσαι. Ἀμφιάρεων δὲ κτείναντα τὸν Μελάνιππον δοῦναι τὴν κεφαλὴν Τυδεῖ. τὸν δὲ δίκην θηρὸς ἀναπτύξαντα ῥοφᾶν τὸν ἐγκέφαλον ἀπὸ θυμοῦ. κατ' ἐκεῖνο δὲ καιροῦ παρεῖναι Ἀθηνᾶν ἀθανασίαν αὐτῷ φέρουσαν ἐξ οὐρανοῦ καὶ διὰ τὸ μύσος ἀπεστράφθαι. τὸν δὲ θεασάμενον παρακαλέσαι κἂν τῷ παιδὶ αὐτοῦ χαρίσασθαι τὴν ἀθανασίαν. ἱστορεῖ Φερεκύδης (FGrHist 3, 97). **A b**(BC) **T**

*ex.* **127.** ἀχλὺν δ' αὖ τοι ἀπ' ὀφθαλμῶν ἕλον: παιδευτικῶς ἐδογμάτισεν ἀχλὺν ἐπικεχύσθαι τοῖς ἀνθρώποις, ὅπως ἀεὶ δοκοῖμεν ἡμῖν παρεστάναι καὶ τὸ θεῖον. **b**(BCE[4]) **T**

*D* ἀχλὺν †αὐτοι καὶ: τὴν ἀορασίαν ——— τὸν Γλαῦκον. **A**

*ex.* **128** *a.*[1] ⟨ὄφρ' εὖ γινώσκοις ἠμὲν θεὸν⟩ ἠδὲ καὶ ἄνδρα: θεὸν ὁμοιωθέντα ἀνδρί, ἵνα διακρίνῃς καὶ τὸν ὄντως ἄνδρα· τοῦτο γὰρ δηλοῖ ἠμὲν θεὸν ἠδὲ καὶ ἄνδρα. **T**

*a.*[2] ὅπως εὖ διακρίνοιο καὶ τὸν ἄτρεπτον θεὸν καὶ τὸν ὡς ἄνδρα πάλιν θεόν. **b**(BCE[4])

*Ariston.* *b.* ἠμὲν θεὸν ἠδὲ καὶ ἄνδρα: ὅτι Ζηνόδοτος γράφει „ἠμὲν θεὸν ἠδ' ἄνθρωπον". ἰδίως δὲ εἴρηκεν ἄνδρα διὰ τὸ καὶ ἄνδρας πολεμεῖν. **A**

**126** non liquet, num sch. fuerit de significatione vocis σακέσπαλος (quae semel ap. Homerum occurrit), cf. Ap. S. 140, 14: σακέσπαλος· Ἀπολλόδωρος (FGrHist 244, 272) ἤτοι τὰ τῶν πολεμίων σάκη διασείων, aliter D (πολεμικός. ἀπὸ τοῦ πάλλειν τὸ σάκος καὶ κινεῖν) φασὶν (75) sq. cf. Eust. 544, 32; D (unde Ge m. rec., quae praebet: ἡ ἱστορία παρὰ τοῖς Κυκλικοῖς); [Apoll.] bibl. 3, 75—6, sch. Pind. N. 10, 12 b. 11, 43 b, sch. et Tz. Lyc. 1066, [Liban.] narr. 9 (VIII p. 40, 1 Foerster); Stat. Theb. 8, 716—66; Valk I 333 **127** vide ad O 668 *b* (ex.) **128** *a*[2] cf. D; **b** aut hanc recensionem respexit aut verba exempli male interpretatus est, vide Roemer 94 *b* ἰδίως (93) „apposite ad hunc statum, quia qui in bello sunt, sunt ipsi viri, eben die Männer" (Lehrs

**74** le. addidi **75** le. AT, om. **b** **77** κτείν. τ. μελάν. T φονεύσαντα αὐτὸν A**b** **78** ῥοφεῖν A**b** **78** sq. ἀπὸ θυμοῦ] ὑπὸ θυμοῦ D, om. A**b** **79** sq. φέρουσαν post οὐρανοῦ **b** **80** μῦσος BCT **81** αὐτοῦ] αὐτὴν ABC τὴν ἀθανασίαν om. **b** **83** (le.) τοι Ma., τ' T (le. om. **b**) **85** παρεστάναι τὸν θάνατον καὶ τὸ θεῖον εὐχοίμεθα **b** **86** (le.) αὖ τοι ἀπ' ὀφθαλμῶν ἕλον edd. sch. D **87** le. T supplevi (auctore Vill.) **90—1** interpretationem genuinam ex instituto suo corrupit **b** **90** ὅπως εὖ διακρ.] τινὲς δὲ τὸ θεὸν καὶ ἄνδρα ἀντὶ τοῦ ὅπως διακρίνῃς pone sch. E 127 (coni. cum v. εὐχοίμεθα) E[4] **92—4** pone sch. E 131—2 *a*[2] in A, trps. Vill. **92** le. Frdl., ὄφρ' ἐὺ γινώσκοις: A ὅτι A, ἡ διπλῆ (debuit δ. περιεστιγμένη), ὅτι Vill.

**129.** πειρώμενος: ἀπόπειραν ——— μορφῇ. A *D*

**130.** ἀντικρὺ μάχεσθαι: ἐνθάδε βούλονται τοῦ ἀντικρύ τὴν τελευταίαν συστέλλειν διὰ τὸ μέτρον. A *Hrd.*

**131—2** *a.*$^{1}$ Ἀφροδίτη ⟨/——— ⟩ τὴν γ' οὐτάμεν: ἡ πρακτικὴ φρόνησις καταφρονεῖν αὐτὸν τῶν ἡδονῶν παρασκευάζει. **b**(BCE$^{4}$) T *ex.*

*a.*$^{2}$ ἀτὰρ εἴ κε: ἐὰν δέ. μόνην δὲ βούλεται ——— ἀμύνει. | κατὰ χεῖρα τιτρώσκεται ἡ Ἀφροδίτη, ὅτι ——— τῇ Ἑλένῃ καὶ †ἄλλως ἠρέθισται ἀκούουσα·† | ἡ πρακτικὴ φρόνησις καταφρονεῖν τὸν Διομήδη ἡδονῶν παρασκευάζει. A *D* | *D* | *ex.*

**132** *a.*$^{1}$ ⟨τήν γ' οὐτάμεν:⟩ Ζηνόδοτος „τὴν οὔτασαι". A$^{\mathrm{im}}$ *Did.*

*a.*$^{2}$ διχῶς Ἀρίσταρχος, καὶ οὕτως καὶ χωρὶς τοῦ γέ, „τὴν οὐτάμεν". A$^{\mathrm{im}}$

*a.*$^{3}$ τήν γ' οὐτάμεν: καὶ μετὰ τοῦ γ̅ καὶ χωρὶς τοῦ γ̅. Ζηνόδοτος δὲ „τὴν οὐτάσαι". T

**133.** ⟨ἡ μὲν ἄρ' ὣς εἰποῦσ':⟩ „ὣς ἄρα φωνήσασ'". A$^{\mathrm{il}}$ *Did.(?)*

**136** *a.*$^{1}$ ⟨ἕλεν μένος:⟩ Πτολεμαῖος ὁ τοῦ Ὀροάνδου ἐν τῷ Περὶ τῆς ὁπλοποιΐας διὰ τοῦ χ̅ προφέρεται, „ἔχεν μένος". A$^{\mathrm{im}}$ *Did.*

*a.*$^{2}$ Πτολεμαῖος διὰ τοῦ χ̅ „ἔχεν μένος". T

**136—40.** ὥστε λέοντα ⟨——— φοβεῖται⟩: καλῶς τῶν μὲν τετραπόδων τὰ ἀσθενέστερα παρείληφε, τὰ πρόβατα, τῶν δὲ θηρίων τὸν ἀλκιμώτατον λέοντα, καὶ τὸν μὲν ὑπὸ τῆς πληγῆς ἠρεθισμένον, τὰ δὲ ἔρημα τοῦ φυλάττοντος. **b**(BCE$^{4}$) T *ex.*

**137.** ὀΐεσσιν: ἀντὶ τοῦ ταῖς ἐπαύλεσιν, ὡς τὸ „ποιμαίνων δ' ἐπ' ὄεσσι μίγη" (Z 25). **b**(BC) T *ex.*

**138** *a.* χραύσῃ: τύψῃ ἢ τρώσῃ. T | εὖ δὲ τὸ μὴ φάναι τύψῃ ἢ βάλῃ, ἀλλὰ θίξῃ διὰ τὴν ἐπιπολαίαν πληγήν. **b**(BCE$^{4}$) T *ex.* | *ex.*

*b.* ⟨χραύσῃ:⟩ ξύσῃ, ψαύσῃ. A$^{\mathrm{int}}$ *ex.(?)*

ap. Friedl., Ariston. 105) **130** ad E 100 (Hrd.), cf. Eust. 530, 9 διὰ τὸ μέτρον (2) ad B 518 (Hrd.) **131—2** Ge (fort. ex **h**): ἡ πρακτικὴ φρόνησις — παρασκευάζει τῶν ἡδονῶν· τὴν ἀχλὺν γὰρ ἀφελομένη διδάσκει τά τε φανερῶς ἐπερχόμενα καὶ τὰ κρυφίως βλαβερά **137** nullum signum ante versum in A ἀντὶ τοῦ sq. fort. sch. Aristonici, ad Δ 500 *b* (Ariston.) **138** diple periestigm. ante versum in A, fort. exstabat sch. Aristonici; diplen puram fuisse, qua Aristonicus v. χραύσῃ (sc. ἅπαξ λεγόμενον) notaverit, suspicatur Wismeyer 18 *b* cf. D, Ap. S. 168, 25, Ecl. (An. Ox. 2, 468, 30), Eust. 531, 10

1—2 pone sch. E 128*b* in A, trps. Vill. 1 (le.) μάχ. cave deleas 3 le. T suppl. Ma., om. **b** (ubi sch. ad E 131 relatum est) ἡ T ἡ γὰρ **b** 4 τῶν ἡδ. παρ. Ma., ἡδονῶν παρασκευάζει T παρασκευάζει τῶν ἡδονῶν **b** Ge 5—8 pone sch. E 129 in A, trps. Vill. 7 κακῶς ἠρέθισεν αὐτῆς ἀκοῦσαι D 9 le. add. Vill. τὴν οὐτάσαι Ddf. (cf. sch. *a*$^{3}$), τήν γ' οὐτάσαι Vill. 10 οὕτως A οὕτως, τήν γ' οὐτάμεν Vill. 14 le. add. Ddf. 15 le. add. Bk. (Vill.) 18 le. T supplevi, om. **b** (qui sch. et ipse ad v. 136 revocavit) 19 τὰ πρόβατα om. **b** 20 τὸ ἀλκιμ. τὸν λέοντα Ma., fort. recte 21 ἔρημα post φυλ. **b** 22 sq. δὲ πόεσι μίγη T 24 δὲ om. **b** 26 le. add. Ddf.

*Hrd.* c. ὑπεράλμενον: Διονύσιος (fr. 33 S.) ἀναστρέφει τὴν ὑπέρ, ὁ δὲ Ἀσκαλωνίτης (p. 45 B.) ἓν ἐποίει, ὃ καὶ πιθανώτερον. **A**

*Ariston.* **140** *a.*[1] ἀλλὰ κατὰ σταθμοὺς ⟨δύεται· τὰ δ' ἐρῆμα φοβεῖται⟩: ὅτι σταθμοὺς τὰς κατ' ἀγρὸν ἐπαύλεις, καὶ ὅτι ἐπὶ τὸ συνώνυμον εἴληφεν· ἄνω γὰρ εἴρηκεν „εἰροπόκοις ὀΐεσσι" (E 137), νῦν δὲ τὰ δ' ἐρῆμα φοβεῖται. **A**

*a.*[2] ὅτι πρὸς τὸ σημαινόμενον καὶ οὐ πρὸς τὸ ῥητὸν τοῦτο ἐπήγαγε. **A**[im]

*ex.* *b.* ἀλλὰ κατὰ σταθμοὺς δύεται: ἐναργῶς τὸν δεδιότα ἐσήμανεν. **T**

*ex.* **141** *a.* αἱ μέν τ' ἀγχηστῖναι ἐπ' ἀλλήλοισι κέχυνται: οὕτω γὰρ συνέρχονται ἀλλήλαις, ἐπειδὰν πτοηθῶσιν. **b**(BCE[4]) **T** ἤτοι δὲ αἱ ζῶσαι ἢ αἱ καταβαλλόμεναι. **b**(BC) **T**

*ex.* | *ex.* *b.* κέχυνται: τὸ πλῆθος δηλοῖ· **b**(BCE[4]) **T** διὸ καὶ „μελισσάων ἀδινάων" (B 87) φησὶ καὶ „μῆλ' ἀδινά" (α 92). **b**(BC) **T** | ἐναργῶς δὲ τὸ τῶν δεδιότων ἐσήμανε σχῆμα. **b**(BC)

*ex.* | *ex.* **142** *a.* ἐξάλλεται αὐλῆς: ἔξω ὢν ἅλλεται κατὰ τῆς αὐλῆς. ἢ ἀντὶ τοῦ καθάλλεται. ἢ ὑπεράλλεται τῆς αὐλῆς, ὡς ἐξωγκῶσθαι λέγομεν τὸ ὑπερυψῶσθαι. ἔμφασις δέ, εἴγε καὶ ὑψηλῶς οὔσης τῆς αὐλῆς †ἅλλεται† αὐτήν. ἔστι δὲ ὡς τὸ „Τρώων †ὁρμήσειαν†" (Δ 335)· οὐ γὰρ ἀναχωροῦντι τῷ λέοντι εἴκασεν αὐτόν. **b**(BCE[4]) **T** | ἢ ἐξάλλεται ἐκ τῆς αὐλῆς, ἐκ τοῦ σταθμοῦ. **T**

*c* ad I 539 *a*. K 18 *a*. 93. Λ 33. 370. M 462 *a*. O 382. Π 497. P 240. Σ 7. Y 53. 497, cf. sch. α 218 (Hrd.) **140** de accentu vocis ἐρῆμα vide ad K 520 *a*[1] — ἐπαύλεις (30) ad B 470 *a*, cf. D, sch. Pind. P. 4, 135 d καὶ ὅτι ἐπὶ (30) sq. et *a*[2] ad A 251 *a* (Ariston.), cf. Porph. 1, 230, 13, Eust. 531, 26; sim. Ap. Dysc. pron. 84, 19 *b* cf. D **141** diple ante versum in A, fort. exstabat sch. Aristonici de genere feminino vocis αἱ μέν τ' ἀγχιστῖναι post τὰ δ' ἐρῆμα (E 140) usurpatae, nisi forte de v. ἐπί (pro παρά adhibita, ad H 86), cf. Wismeyer 18 *a* — ἀλλήλαις (38) cf. D, Ap. S. 5, 18. Vide ad Θ 131 *b* *b* cf. Koerner, Tierwelt 12 ἐναργῶς δὲ (42) sq. ad E 140 *b* (app. crit.), cf. Eust. 531, 43 **142** *a* — ὑπερυψῶσθαι (45) cf. Eust. 532, 7 ἔστι δὲ ὡς τὸ (46) sq. ad Δ 335 (Ariston.)

---

**29** sq. le. A suppl. Frdl. **30** ὅτι[1] A, fort. ἡ διπλῆ, ὅτι an τοῦ συνωνύμου? **32** ἐρεῖμα A em. Vill. **33** ἡ διπλῆ, ὅτι Vill. τοῦτο sc. τὰ δ' ἐρῆμα **35** sq. sch. fort. ad v. E 141 referendum, cf. sch. E 141 *b*; le. igitur delendum et τὰ pro τὸν scribendum **38** οὕτως **b** ἐπειδὰν πτοηθ. **b** ἐπιπτοηθεῖσαι T **39** τὰς ζώσας φησὶν ἢ τὰς καταβαλλομένας **b** **40** κέχυνται: τὸ T, διὰ δὲ τοῦ κέχυνται τὸ (coni. cum scholio praecedenti) **b** διὸ καὶ T ὡς τὸ **b** **41** φησὶ om. **b** μῆλα T **43** ἔξω] ἀντὶ τοῦ ἔξω E[4] **44** τοῦ om. T καθέλκεται **b** **45** ὑπερυψοῦσθαι **b** **46** ὑπεράλλεται Ma., recte ὁρμήσειε Hom.

*b.* βαθέης ἐξάλλεται αὐλῆς: ἔνιοι τὸ ἔξ ἀντὶ τοῦ ἔξω ἀκούουσιν· ἔξω ὧν βαθέης αὐλῆς ἅλλεται εἰς τὸ ἐντός. | ὁ μέντοι Ἀπολλώνιος ἐν τῷ Περὶ προθέσεως (Fr. p. 135, 30) ἓν λέγει εἶναι τὸ ἐξάλλεται. **A** *Hrd.* | *Ap. Dysc.*

**143.** ὥς μεμαὼς Τρώεσσι: δηλονότι τῆς προθυμίας ἐποιήσατο τὴν ὁμοίωσιν. οὐκέτι δὲ καθ᾽ ἕνα, ἀλλὰ †σὺν δύο† ἀναιρεῖ. ὅρα δὲ τὴν ποικιλίαν τῆς ἑρμηνείας. **b**(BCE⁴) **T** *ex.*

**145.** ⟨βαλών:⟩ ὅτι τὴν πόρρωθεν τρῶσιν βολὴν λέγει. **A**[int] *Ariston.*

**146** *a.* ⟨τὸν δ᾽ ἕτερον:⟩ ὅτι Ζηνόδοτος γράφει „τοῦ δ᾽ ἑτέρου". ὁ δὲ ποιητὴς οὕτως λέγει „ξανθῆς δὲ κόμης ἕλε Πηλείωνα" (A 197). **A**[im] *Ariston.*

*b.* κληῗδα παρ᾽ ὦμον: †πρώτη μέν τις ἀπεκόπη τῆς χειρός. οὕτως δὲ διήιρηται· κρεμᾶται ἡ χείρ†. **T** *ex.*

κληῗδα: τὴν κατακλεῖδα ——— Δημοσθένης φησί (or. 18, 67)· „τὴν κλεῖν κατεαγότα". **A** *D*

**147** *a.* ⟨πλῆξεν:⟩ πρὸς τὴν διαφορὰν τοῦ πλῆξε καὶ „ἔβαλεν" (B 692 al.), ὅτι ἐκ χειρὸς ἐπάταξεν. **A**[int] *Ariston.*

*b.* πλῆξε: ἀπὸ μετοχῆς τῆς „βαλών" (E 145) εἰς ῥῆμα, ὡς τὸ „ἰοῖσίν τε τιτυσκόμενοι λάεσσί τ᾽ ἔβαλλον" (Γ 80). **b**(BC) **T** *ex.*

**148.** τοὺς μὲν ἔασ᾽, ⟨ὁ δ᾽ Ἄβαντα μετῴχετο καὶ Πολύϊδον⟩: πρὸς τὴν ὁμωνυμίαν· καὶ γὰρ Ἀργείων ἐβασίλευε Πολύϊδος ὁ τὸν Μίνωος ἀνευρὼν παῖδα μάντις. ἡ δὲ ἀναφορὰ πρὸς τὸ „Αἴθρη Πιτθῆος θυγάτηρ" (Γ 144). **A** *Ariston.*

*b* — ἐντός (50) cf. sch. λ 134 (= Hrd. 2, 150, 25): ἐξ ἁλός (vel ἔξαλος)· . . . ἀλλ᾽ εἴ γε καὶ ἐν παραθέσει εἴη ἡ ἔξ, δύναται τὸ ἔξω δηλοῦν, ὡς τὸ „ἔκ τ᾽ ἀνδροκτασίης" (Λ 164), ὁ μέντοι Ἀσκαλωνίτης (p. 62 B.) τὸ πλῆρες ἔξω ἡγεῖται, ἵν᾽ ᾖ ἔκθλιψις τοῦ ω, ὡς ἐν τῷ „βαθέης ἐξάλλεται αὐλῆς". οὐκ ἀναγκαῖον δέ, τῆς εξ ἤδη τὸ ἔξω σημαινούσης. Vide ad Λ 163. εἰς τὸ ἐντός (50) cf. Porph. 1, 328, 7 ὁ μέντοι (50) sq. cf. Beiträge 87 **143** οὐκέτι (54) — ἀναιρεῖ (54) eadem fere Ge (e T ut vid.) **145** ad Γ 82. Δ 540 (Ariston.) **146** *a* ad A 197. E 27—8 (Ariston.) **147** *a* ad Δ 540 (Ariston.) ἐκ χειρὸς (64) sq. cf. Ap. S. 132, 14 *b* ad B 692. Γ 80 *a* (ex.), cf. Eust. 532, 26 **148** Eust. 533, 6: ὁ δὲ Ἄβας ὁμώνυμός ἐστι τῷ Ἑλληνικῷ, ἐξ οὗ οἱ κατ᾽ Εὔβοιαν Ἄβαντες. | ὁ δὲ Πολύϊδος διφορεῖται παρὰ τοῖς παλαιοῖς ἔν τε διχρόνῳ καὶ διὰ διφθόγγου δὲ ἔχων τὴν παραλήγουσαν, originis incertae πρὸς τὴν ὁμωνυμίαν (68) sq. ad Γ 144 (Ariston.); vide ad N 643 (ex.) καὶ γὰρ (68) — μάντις (69) cf. [Apoll.] bibl. 3, 18 al.

---

**50** ὧν Vill., ον A **53** δῆλον ὅτι E⁴ **54** σύνδυο B et Ge, recte **56** le. add. Bk. ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **57** le. addidi (auctore Vill.) ὅτι A, ἡ διπλῆ (debuit δ. περιεστιγμένη), ὅτι Vill. **59** sq. nondum expeditum, ὦμος ἀπεκόπη αὐχένος· οὕτω δὲ διήρηται (ceteris omissis et scholio relato ad v. E 146—7) Ma., cf. Eust. 533,5; at vide e. g. Hdt. 6, 91,2 **63** le. add. Bk. πρὸς A, ἡ διπλῆ πρὸς Vill. **65** τῆς βαλών om. **b** **66** ἰοισί T τε om. **b** λάεσίν T **67** sq. le. suppl. Vill. **68** ἡ διπλῆ πρὸς Vill.

*Ariston.* **149.** ⟨ὀνειροπόλοιο:⟩ ὅτι ὀνειροπόλος ὁ διὰ τῶν ἰδίων ὀνείρων μαντευόμενος, οὐχ ὁ ὀνειροκρίτης. A[im]

*Ariston.* | *D* **150** *a.* τοῖς οὐκ ἐρχομένοις ⟨ὁ γέρων ἐκρίνατ' ὀνείρους⟩: ἡ διπλῆ πρὸς τὴν ἑρμηνείαν. | τὸ δὲ ὅλον· οἷς τισι μὴ ἐπανιοῦσι τοῦ πολέμου ὁ γέρων ἔκρινε τοὺς ὀνείρους· ἔστι γὰρ ——— ἀναιρεθήσονται. A

*ex.* *b.* τοῖς οὐκ ἐρχομένοις ⟨ὁ γέρων ἐκρίνατ' ὀνείρους⟩: ἐρχομένοις εἰς τὴν μάχην οὐκ ἐμαντεύσατο. b(BCE[4]) T ὅμοιον δέ ἐστι τῷ „ἀλλ' οὔ οἱ τότε γε χραῖσμ' Ἄρτεμις ἰοχέαιρα" (E 53). b(BC) T

*Ariston.* **153** *a.* ⟨ἄμφω τηλυγέτω:⟩ ὅτι καὶ ἐπὶ δύο τὸ τηλύγετος. A[int]

*ex.* *b.* ἄμφω τηλυγέτω: μεθ' οὓς οὐκ ἐπαιδοποίησεν ὁ πατήρ, οἱ τῆλε τῆς ἡλικίας γενομένῳ τῷ πατρὶ γεννηθέντες. b(B,C[bis],E[4]) T

*ex.* *c.* ὁ δὲ τείρετο γήραϊ λυγρῷ: ἐλέγχει τοὺς οἰομένους δεῖν ἐπὶ γήρᾳ παιδοποιεῖν, ὅπως διαδόχοις χρήσωνται, ὡς κακῶς οἰομένους· νικᾷ γὰρ ἡ πήρωσις. b(B,C[bis],E[4]) T

*Ariston.* **156.** ἀμφοτέρω: ὅτι Ζηνόδοτος γράφει σὺν τῷ ν „ἀμφοτέρων". οὕτως δὲ λέγει, ἀμφοτέρους ἀφείλετο τὸν θυμόν· τὸ γὰρ ἀμφοτέρω νῦν ἀμφοτέρους σημαίνει. ὁμοίως δὲ λέγεται καὶ κατὰ τὸ ἑνικὸν „ἐπεί μ' ἀφέλεσθέ γε δόντες" (A 299). A

*Hrd.* **158** *a.* χηρωσταί: ὡς ἀθληταί. οὕτως καὶ ὁ Ἀσκαλωνίτης (p. 45 B.)· τὰ γὰρ εἰς της λήγοντα ῥηματικὰ ὑπὲρ δύο συλλαβάς, φύσει μακρᾷ παραληγόμενα, ὀξύνεται, τορευτής βραβευτής ἀθλητής ποιητής ὀρχηστής χρυσωτής. οὕτως οὖν καὶ παρὰ τὸ „ἐεδνώσαιτο θύγατρα" (β 53) τὸ ἐεδνωτής, καὶ παρὰ τὸ „χήρωσας δὲ γυναῖκα" (P 36) τὸ χηρωστής. μάχεται τὸ „κυβερνήτης" (Ψ 316)· τὸ γὰρ

**149** ad A 62—3 (test.); sim. Ap. S. 121, 10; Eust. 533, 9, cf. 47, 34; aliter D **150** *a* — ὀνείρους (75) ad B 286 (Ariston.), vide ad A 163 *a* (test.). Verba τὸ δὲ (74) — ὀνείρους (75) Aristonico attribuenda esse censuit Frdl. **153** *b* ad I 143. 481—2. N 470 *c* (cum test.), cf. D, sch. δ 11, sch. Ap. Rh. 1, 97—100, Porph. 1, 303, 1, Eust. 533, 15; Or. Werf. 616, 38; Lex. Vind. 178, 7. Vide Poll. 3, 20 **156** ad A 275 *b* (Ariston.) **158** *a* paulo brevius Eust. 533, 35; ad Λ 454. N 382. X 67 (Hrd.), cf. Eust. 1724, 36 (= Heracl. Mil. fr. 12)

---

**71** le. add. Bk. ὅτι] fort. ἡ διπλῆ, ὅτι **73** le. A suppl. Vill. **77** le. T supplevi (auctore Vill.), om. b **78** sq. ἔστι δὲ ὅμοιον τῷ b, fort. rectius **79** γε om. T ἰοχέαιρα om. b **81** le. add. Frdl. ὅτι καὶ Pluyg. (fort. ἡ διπλῆ, ὅτι καὶ), καὶ ὅτι A τὸ τηλυγέτω Ddf. **83** γεννηθ. T τεχθέντες b **84** ἐλέγχει δὲ coni. cum scholio praecedenti (v. τεχθέντες) b **84** sq. ἐπὶ γήρᾳ ante οἰομένους b **85** χρήσαιντο b **86** πήρωσις b πεπρωμένη T **87** ὅτι A, ἡ διπλῆ (debuit δ. περιεστιγμένη), ὅτι Vill. **88** ἀμφοτέροις A em. Bk. **93** μακρά A em. Bk. **94** ὀρχιστὴς A em. Vill.; de v. ὀρχ. cf. Π 617. Ω 261 ἐεδνώσαιτο (= Hom.) Bk., ἐεδνώσαι τὰ A, ἐεδνώσει τὴν Vill. **95** ἐεδνωτής cf. N 382

ἀήτης ἄλλως γέγονε. τὸ δὲ παρὰ Σοφοκλεῖ ἐν Ἀλεξάνδρῳ (fr. 91 N$^2$ = 94 P.) „στείχων δ' ἀγρώστην ὄχλον“ παρώνυμον. A

*b.* χηρωσταί: οἱ τὸν χῆρον οἶκον διανεμόμενοι κληρονόμοι. b(BCE$^4$) T | χηρωσταί δὲ ὡς ἀθληταί. b(BC) T | ἢ ἀγχιστεῖς ἢ κληρονόμοι. T *ex.* | *Hrd.* | *ex.(?)*

*c.* ⟨χηρωσταί:⟩ οἱ ἀλλότριοι τοῦ γένους κληρονόμοι. A$^{int}$ *Synag.*

*d.* διὰ κτῆσιν δατέοντο: προληπτικῶς· οὔπω γὰρ ἀπέθανεν ὁ γέρων. b(BC) T *ex.*

**161.** ἐξ αὐχένα ἄξει: ἔμφασιν διακοπῆς ἔχει ἡ ὑπέρθεσις ὡς τὸ „λέων κατὰ ταῦρον ἐδηδώς“ (P 542). T *ex.*

**161—2.** ἐν βουσὶ θορὼν ——— πόρτιος ἠὲ βοός: εἰπὼν τὸ γενικὸν ἐπὶ τὰ ἰδικὰ ἔρχεται. b(BC) T ὁ δὲ ἠέ ἀντὶ τοῦ καί, ὡς „εἰ δέ κ' Ἄρης ἄρχωσι μάχης ἢ Φοῖβος Ἀπόλλων“ (Y 138). b(BCE$^4$) T *ex.*

**162** *a.* ⟨πόρτιος ἠὲ βοός:⟩ ὅτι Ζηνόδοτος γράφει „βουκόλου ἠὲ βοός“. παραλλήλως δὲ τὸ εἶδος τῷ γένει τέταχεν. A$^{im}$ *Ariston.*

*b.* πόρτιος: νέου βοός, μόσχου. T *ex.*

*c.* ξύλοχον: τόπον σύνδενδρον, οἱ δὲ κοίτην θηρίου. T *ex.*

**164.** ἀέκοντας: στέρησίς ἐστι τοῦ ἑκόντα τὸ ἀέκοντα· διὸ δασυντέον τὸ ε̄. πταίει οὖν Νικίας (fr. 7 B.) ψιλῶν τὸ ε̄· οἴεται γὰρ τῷ ἀκόντα ἐπε⟨ν⟩τίθεσθαι τὸ ε̄, ὅπερ οὐκ ἔστι· τὸ γὰρ ἄκοντα συναλιφή ἐστι τοῦ ἀέκοντα. διὰ τί δὲ τὸ ᾱ ἐψιλώθη, ἐν ἑτέροις (e. g. ad A 301) ἔφαμεν. A *Hrd.*

**166** *a.* τὸν δ' ἴδεν Αἰνείας: τὸ ὁμοειδές τε ἐκκλίνει καὶ πρόθυμον Πάνδαρον ποιεῖ ἀθυμοῦντα ἐπὶ Διομήδει. b(BCE$^3$) T *ex.*

τὸ δὲ παρὰ (1) sq. cf. Wilamowitz ad Eur. Her. 377 *b* — κληρονόμοι (3) cf. sch. *c* ἢ ἀγχιστεῖς (4) sq. cf. Ap. S. 167, 31; vide sch. *c* *c* Ba. 415, 15, Su. χ 293, cf. D, Or. 166, 1 (unde Et. Gen. = EM. 811, 38, sim. Et. Gud. 564, 50); aliter Poll. 3, 47. Cf. Beiträge 117 οἱ — γένους sim. h(Ge P$^{11}$V$^6$): οἱ χήρων καὶ ἀπαίδων κληρονόμοι (οἱ — κληρ. om. Ge; cf. D), οἱ κατ' οὐδένα τρόπον προσήκοντες τῷ γένει (τῷ γένει προσήκοντες, οἱ κληρονόμοι τοῦ ἄπαιδος καὶ χήρου Ge) **161** ad P 542 (ex.) **161—2** ὁ δὲ ἠέ (12) sq. ad Y 138 (T) **162** *a* παραλλήλως (16) sq. cf. D, Eust. 534, 30 παραλλήλως (16) ad A 99*a* *b* — βοός cf. He. *c* — σύνδενδρον cf. D, sch. Ap. Rh. 1, 1141—48 c, Eust. 534, 32 **164** ad A 301 *c* (Hrd.)

**1** ἀήτης cf. Ξ 254 al. **2** δ' om. Eust. **4** ἀθληταί T αὐληταί b **6** le. add. Ddf. (Vill.) **7** προληπτικῶς δὲ τοῦτό φησιν (φασιν C) pone sch. *b* (coni. cum v. αὐληταί) b **11** le. Ma., ἐν βουσὶ θορών: πόρτιος ἠὲ βοός· T, om. b (scholio ad v. 162 relato) **12** εἰδικὰ in ἰδικὰ mutavit C δὲ om. E$^4$ ἠέ b ἢ T ὡς T ὡς τὸ b, fort. rectius **15** le. add. Bk. ὅτι A, ἡ διπλῆ (immo δ. περιεστιγμένη), ὅτι Vill. **19** incipit E$^3$ (sc. E 163), vide ad E 116—7 **20** τῷ Lehrs, τὸ A **21** ἀκόντα A, ἄκοντα Lehrs, fort. recte ἐπετίθεσθαι A suppl. Bk. **24** le. T, om. b, fort. supplendum, cum sch. ad totam scaenam sequentem pertinere videatur τε om. b, fort. rectius

*ex.(?)* *b.* ⟨ἀλαπάζοντα:⟩ ἀναλίσκοντα. T$^{il}$

*ex.* 168. Πάνδαρον ⟨——⟩ διζήμενος: αὐτὸς ἔξω κινδύνων στὰς τοξότην ἀντικαθίστησιν αὐτῷ· οὐ γὰρ ἐθέλει κινδυνεύειν Αἰνείας. b(BCE$^3$) T

*Ariston.* 169. ⟨εὗρε Λυκάονος υἱόν:⟩ πρὸς τὸ ἀσύνδετον. A$^{im}$

*ex.(?)* | *ex.* 171—3. ποῦ τοι τόξον ⟨—— ἀμείνων⟩: ἡ τοξεία. T | οἰκεῖα δὲ τὰ ἐγκώμια τῇ προτροπῇ, ὡς †εἰς αὐτὸν μόνον† σαλευούσης τῆς σωτηρίας τῶν Τρώων. b(BCE$^3$E$^4$) T

*Ariston.* 173. ⟨οὐδέ τις ἐν Λυκίῃ:⟩ ὅτι τὴν Τρωϊκὴν Λυκίαν λέγει. A$^{im}$

*Ariston.* 177 *a.* εἰ μή τις θεός ἐστι κοτεσσάμενος ⟨Τρώεσσιν⟩: πρὸς τὸ ἀμφίβολον, εἰ μὴ οὗτος αὐτὸς θεός ἐστιν ὁ ἐναντιούμενος, ἢ εἰ μή τις θεὸς ἐγκοτῶν τοῖς Τρωσὶ τῷ πολεμίῳ ἀρήγει ⟨***⟩. A

*ex.* *b.* εἰ μή τις θεός ἐστι: οἰκείως ὑπονοεῖ θεὸν ὁ προελθὼν ἐκ θεᾶς. ἅμα δὲ καὶ ἦθος ὁ λόγος ἔχει. b(BCE$^3$E$^4$) T

*Hrd.* 178 *a.*$^1$ ἐπιμῆνις: Ἀρίσταρχος παρολκὴν οἴεται τῆς ἐπί, ὁμοίως τῷ „ἐπισμυγερῶς" (γ 195) καὶ „βοῶν ἐπιβουκόλος ἀνήρ" (γ 422). ὅταν δὲ παρέλκῃ ἡ πρόθεσις, οὐ ποιεῖται ἐξαλλαγὴν τόνου. εἰσὶ δὲ οἳ ἀνεγνώκασιν ὁμοίως τῷ „ἐπεὶ οὔ τοι ἔπι δέος" (A 515), ἵνα τὸ ἔπεστι σημαίνηται. ἄλλοι δὲ „ἐπίμηνις", ἓν μέρος λόγου ποιοῦντες. ἄμεινον δὲ τῷ Ἀριστάρχῳ συγκατατίθεσθαι. A

*a.*$^2$ κατὰ παρολκήν ἐστιν ἡ ἐπί πρόθεσις· διὸ οὐκ ἀμείβει τὸν τόνον. b(BCE$^3$) T

**166** *b* cf. D, sch. δ 176, sch. Theocr. 2, 85 b (test.) **169** cf. Eust. 535, 3, vide ad B 167 *b* (Nic.) **171—3** — τοξεία (31) cf. D οἰκεῖα δὲ (31) sq. cf. Plut. mor. 72 b/c **173** Su. λ 805: Λυκίαν· τὴν Τρωϊκὴν Ὅμηρος Λυκίαν λέγει. „οὐδέ τις ἐν Λυκίῃ σέο γ' εὔχεται εἶναι ἀμείνων", cf. Eust. 535, 21; vide ad Δ 101 *a* (Ariston.) **177** *a* Ge (ex h ut vid.): πρὸς τὸ ἀμφίβολον — ἐναντιούμενος [ἢ εἰ μή] (absc., suppl. Nicole) τις — τοῖς [Τρωσὶ] τῷ πολεμίῳ ἀρήγ[ει . .] ὑγιές (fort. ἀρήγ[ει δ] ὑγιές), cf. Eust. 536, 4; vide ad E 183. 191 *a* (Ariston.) **178** ad I 456. K 38. 273. N 450. T 90. Ψ 561, cf. sch. γ 195. 422. δ 672. ν 222. 405 (Hrd.), D (brevius), Eust. 535, 46. Vide ad A 515. 572. E 862. Z 357 *a*$^1$ (Hrd.) ἐξαλλαγὴν τόνου (42) ad Δ 423 (Hrd.)

---

**26** le. add. Ma. **27** le. T suppl. Ma., om. **b** **30** le. add. Frdl. πρὸς A, fort. ἡ διπλῆ πρὸς **31** le. T supplevi, om. **b** (ubi sch. ad E 171 relegatum est) **32** δὲ om. **b** τῇ T τῶν ὀϊστῶν τῇ **b** εἰς — σαλ. T εἰς αὐτὸν ἀφορώσης μόνον **b**, fort. ἐπ' αὐτῷ μόνῳ σαλευούσης **33** σωτηρίας post τρώων **b** τριῶν T **34** le. add. Vill. ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **35** le. A suppl. Frdl. πρὸς A, fort. ἡ διπλῆ πρὸς **37** lac. stat. Frdl. verbis δ καὶ ὑγιές (e. g.) supplendam, cf. test. **38** ὑπονοεῖ **b** προνοεῖ T **39** ὁ λόγος om. T **43** ἐπεὶ Vill., ἐπὶ A **46** κατὰ **b**, χαλεπὴ δὲ θεοῦ ἐπιμῆνις: κατὰ T

181 *a*.¹ ⟨Τυδείδη μιν ἔγωγε:⟩ Ἀρίσταρχος διχῶς, καὶ μίν καὶ „μέν", Τυδείδη μιν ἐγώ. A$^{im}$ *Did.*

*a*.² Τυδείδη μιν: διχῶς, καὶ μίν καὶ „μέν". T

*b*. Τυδείδη μιν ⟨———⟩ πάντα ἐΐσκω: καὶ πῶς γινώσκει τοῦ πυρὸς καιομένου; ἢ οὐ πάντα τὸν καιρὸν καίεται. T *ex.*

181—2. ⟨Τυδείδη μιν ——— τρυφαλείῃ:⟩ καὶ πῶς γινώσκει πολέμιον ὄντα; ὅτι ἔστιν ὅτε καὶ κατ' αὐτὸν τὸν πόλεμον συναντῶσιν ἀλλήλοις καὶ γνωρίζονται, ἔστι δ' ὅτε μὴ ὄντος πολέμου κατοπτεύοντες βλέπουσι τοὺς ἀλλήλων ἀριστεῖς. b(BCE³E⁴) *ex.*

182. αὐλώπιδί τε τρυφαλείῃ: εἶδος περικεφαλείας λόφον εἰς ὀξὺ ἀνατεταμένον ἐχούσης. | †τρυφαλῆς† δὲ τρυφάλεια. T *D | ex.(?)*

183. ἵππους τ' εἰσορόων. ⟨σάφα δ' οὐκ οἶδ', εἰ θεός ἐστιν⟩: ἀθετεῖται, ὅτι δεξάμενός τις, „εἰ μή τις θεός ἐστιν" ὁ ἐναντιούμενος (cf. ad E 177), ἐνέγραψεν αὐτόν. οὐ διστάζει δέ, ἀλλ' ἐπίσταται σαφῶς ὅτι Διομήδης ἐστί· διὸ λέγει „Τυδείδη μιν ἔγωγε δαΐφρονι πάντα ἐΐσκω / ἀσπίδι γινώσκων αὐλώπιδί τε τρυφαλείῃ" (E 181—2). A *Ariston.*

186. εἰλυμένος ὤμους: ἀπὸ μέρους τὸ πᾶν. T *ex.*

187 *a*. ὃς τούτου βέλος ὠκὺ ⟨κιχήμενον ἔτραπεν ἄλλῃ⟩: ὅτι Ζηνόδοτος ἠθέτηκεν αὐτόν· οὐ γὰρ ἐτράπετο ἄλλῃ τὸ βέλος, ἀλλ' ἔτυχεν αὐτοῦ. οὐ λέγει δὲ ὅτι καθόλου ἀπέτυχεν, ἀλλ' ὅτι ἐπὶ καίριον τόπον φερόμενον παρέτρεψεν. A *Ariston.*

*b*. ⟨ἔτραπεν:⟩ ἀντὶ τοῦ ἔτρεψεν. T$^{il}$ *D*

188. ⟨ἐφῆκα βέλος καί μιν βάλον ὦμον:⟩ καὶ προηκάμην, φησί, καὶ ἔτρωσα τὸν ὦμον. A$^{im}$ *ex.(?)*

189. ⟨θώρηκος γυάλοιο:⟩ ὅτι περιφραστικῶς πάλιν ⟨τοῦ⟩ κύτους. A$^{int}$ *Ariston.*

181 *b* cf. D ad E 4; Eust. 536, 39  182 — ἐχούσης (58) cf. D ad Λ 353, Ap. S. 47, 24 (He. α 8322)  τρυφαλ. δὲ (58) sq. cf. Eust. 537, 7: τρυφάλη δέ ἐστιν, ὡς εἰκός, ἐξ ἧς καὶ τρυφάλεια  183 ad E 177 *a* (Ariston.)  εἰ μή τις (60) — ἐναντιούμενος cf. Lehrs ap. Friedl., Ariston. p. 107: „Quum intelligi debeat: nisi quis iratus Trojanis deus ei auxiliatur, vide ad (E) 191"  187 *a* Ge (ex **h** ut vid.)  188 diple ante versum in A, fort. excidit sch. Aristonici aut de significatione vocis βάλον (vide ad Δ 540) aut de figura, quae vocatur σχῆμα Ἰωνικόν (vide ad A 197. E 27—8 al.), cf. Wismeyer 18  καὶ προηκάμην (70) sq. ad Γ 82 *b*  189 ad E 99 *a* (Ariston.), cf. D

---

**48** le. add. Vill.  **49** fort. ἔγωγε  **50** pone sch. *b* in T, transposui  **51** le. T suppl. Ma., om. **b**  **53** le. addidi (sch. ad E 182 rettulit **b**)  **55** μὴ] καὶ μὴ Bk.  **57** περικεφ. εἶδος D  **58** τρυφάλη? An ἀπὸ τρυφάλης? (cf. Eust.)  **59** le. A suppl. Frdl.  **65** le. A suppl. Vill.  **66** ὅτι A, ἡ διπλῆ (debuit δ. περιεστιγμένη), ὅτι Vill.  ζηνόδωρος Ge  **69** le. add. Ma.  **70** le. addidi (auctore Vill.)  **72** le. add. Bk. (Vill.)  ὅτι A, ἡ διπλῆ, ὅτι Vill.  τοῦ add. Frdl.

*Ariston.* **191** *a*. ἔμπης δ' οὐκ ἐδάμασσα· ⟨θεός νύ τίς ἐστι κοτήεις⟩: ὅτι εὐκρινὲς γίνεται τὸ ἐν τοῖς ἐπάνω (sc. E 177) ἀμφίβολον ὅτι συνεργὸν λέγει τῷ πολεμίῳ θεόν. **A**

*ex.* *b*. θεός νύ τίς ἐστι κοτήεις: ἐν ἤθει τοῦτο διὰ τὸ μὴ ἀνηρῆσθαι αὐτόν. **b**(BCE$^3$E$^4$) **T**

*ex.(?)* **192.** ⟨ἐπιβαίην:⟩ ἵνα φύγῃ. **T**$^{il}$

*ex.* **193.** ἀλλά που ἐν μεγάροισι: κερτομεῖ αὐτοῦ τὸ φιλάργυρον ὡς ἀμελοῦντος τῆς ἰδίας σωτηρίας ἀναλωμάτων φειδοῖ. **b**(BCE$^3$E$^4$) **T**

*Ariston.* **194** *a*. καλοὶ πρωτοπαγεῖς ⟨νεοτευχέες⟩: ὅτι Ζηνόδοτος μετέθηκεν ὡς ταυτολογοῦντος πρωτοπαγεῖς νεοτευχέες, ἀγνοῶν ὅτι ἐνίοτε παραλλήλως τάσσει τὰς ἰσοδυναμούσας λέξεις. **A**

*ex.* | *(?)* *b*. πρωτοπαγεῖς: πρώτως παγέντες, ὅ ἐστιν ἐξόχως· **A** **b**(BCE$^3$) **T** | ἢ νέοι. **b**(BCE$^3$)

*ex.* *c*. πρωτοπαγεῖς νεοτευχέες: τὸν φειδωλὸν ὅρα καὶ ἀχράντους φυλάξαντα ὡς ἀναθήματα τοὺς δίφρους καὶ ταῦτα πλῆθος ἔχοντα συνωρίδων· **b**(BCE$^3$E$^4$) **T** „ἕνδεκα δίφροι" (E 193). **T**

*Ariston.(?)* **195** *a*. παρὰ δέ σφιν ἑκάστῳ: σφὶν ἀντὶ τοῦ σφῶν. **T**

*Ariston.* *b*. ⟨δίζυγες ἵπποι:⟩ ὅτι δύο ἵπποις ἐχρῶντο. **A**$^{int}$

*D* | *ex.* **196** *a*. κρῖ λευκόν: κριθάς. ἀποκοπὴ τὸ πάθος. **A** | εἰδέναι δὲ δεῖ καὶ ζητεῖν, πότερον ἐκ τοῦ κρῖμνον ἢ ἀπὸ τῆς κριθῆς ἀποκέκοπται τὸ

**191** *a* ad E 177 *a* (Ariston.) **193** cf. Eust. 538, 3 **194** *a* Ge (fort. ex **h**); cf. Duentzer, Zen. 17; Ludwich, A. H. T. 1, 253, 19; vide ad Γ 423 *a* παραλλήλως (84) ad A 99—100 *a* (Ariston.), aliter Eust. 538, 4 *b* — ἐξόχως (85) cf. D **195** *a* ad A 24 *a* (Ariston.) ἀντὶ τοῦ σφῶν eadem ad P 437 *b* ad E 224 *a*. 230. 272 *a*. Z 38. Θ 109. 290. K 473 *c*. Λ 699. Ψ 276 (Ariston.), cf. Eust. 538, 12; Lehrs Ar.$^3$ 193; Hofmann, Ar. 60. Vide ad Θ 185 (Ariston.), Π 371 *a* (ex.); Isid. orig. 18, 34, 1 **196** *a* εἰδέναι δὲ δεῖ (92) sq. cf. Eust. 538, 13, brevius 1218, 29; Choer. Th. 1, 345, 9, O. 226, 28 (cf. Et. Gen. = EM. 538, 12, brevius Et. Gud. 346, 22), Ep. Hom. (An. Ox. 1, 245, 26); de accentu Arcad. 143, 11. 206, 21 εἰδέναι δὲ δεῖ (92) — ἀποκέκοπται τὸ κρῖ (93) cf. Aristot. poet. 1458 a 4

---

74 le. A suppl. Vill. 75 ὅτι A, ἡ διπλῆ, ὅτι Vill. 77 ἐν ἤθει τοῦτο T ἠθικῶς φησι **b** 77 sq. ἀναιρεθῆναι **b** 79 le. add. Ma. **80** αὐτοῦ τὸ T τὸ ἑαυτοῦ **b** 81 ἀναλωμ. T χρημάτων **b** 82 le. A suppl. Vill. ὅτι A, ἡ διπλῆ (debuit δ. περιεστιγμένη), ὅτι Vill. ζην. A ζηνόδωρος Ge 83 post μετέθ. lac. stat. Ldw. sic fere supplendam „πρωτοπαγεῖς· παρὰ δέ σφιν ἑκάστῳ δίζυγες ἵπποι" (sc. pro v. E 194—5), fort. recte, τὴν συνέπειαν οὕτως· „ἀλλά που ἐν μεγάροισι Λυκάονος ἕνδεκα δίφροι / πρωτοπαγεῖς, παρὰ δέ σφιν ἑκάστῳ δίζυγες ἵπποι" ins. Nickau; pro μετέθηκεν ci. ἠθέτηκεν Heyne, at cf. Dtz. (test.) 84 τάσσει παραλλ. Ge λέξεις A δυνάμεις Ge 85 le. AT, om. **b** 87 πρωτοπ. sq. cum scholio praecedenti coni. T τὸν φειδωλὸν post ὅρα **b** 88 ὡς ἀναθ. **b** πρὸς ἀνάθεμα T 91 le. add. Vill. ὅτι A, fort. ἡ διπλῆ, ὅτι 92 le. A, om. T (suppl. V) 93 κρίμνον (saepius) Bk. ἀπὸ A ἐκ T τῆς κριθῆς] malim τοῦ κριθή

κρῖ· εἰ μὴ γὰρ ἦν τὸ κρῖ οὐδετέρου γένους, οὐκ ἐποιεῖτο τὴν σύνταξιν μετὰ τοῦ λευκόν οὐδετέρου, οἷον κρῖ λευκὸν ἐρεπτόμενοι καὶ ὀλύρας· καὶ αὐτὸ γὰρ τὸ κρῖμνον οὐδετέρου γένους ἐστίν. φαίη τις πρὸς τοῦτο· 'οὐδὲν μέγα· δύναται γὰρ καὶ ἐπὶ θηλυκοῦ λαμβάνεσθαι, οἷον τὴν κρῖ λευκὸν οὖσαν ἀντὶ τοῦ †ὥσπερ τὴν λευκὴν† θεόν, τὴν δοῦλον, ἅπερ εἰσὶν Ἀττικά'. **AT** πρὸς ὃ λέγομεν ὅτι †ὃν πείσει† οὐδέτερον καὶ μόνον ὂν ἐνταῦθα τὸ „εὐρυφυὲς κρῖ ⟨λευκόν⟩" (δ 604). **T** κρῖμνον δέ ἐστι τὸ λεπτὸν ἄχυρον τῆς κριθῆς. ἀποδέδεικται οὖν ὅτι τὸ κρῖ ἐκ τοῦ κρῖμνον καὶ οὐκ ἐκ τοῦ κριθή ἐστι γεγονός. **AT**

*b.* ἐρεπτόμενοι: κυρίως ἀπὸ τῆς ἔρας λαμβάνοντες· **A b** *ex.* (BCE$^3$) **T** οὕτω γὰρ δηλοῖ διαιρουμένη ἡ λέξις. **b**(BCE$^3$)

**197—203.** ἦ μέν μοι μάλα πολλὰ γέρων ⟨—— ἔδμεναι *ex.* ἄδην⟩: ἐπιτείνει τὴν φειδωλίαν· τοὐναντίον γὰρ ἔδει· τὸ φιλότιμον γὰρ τῶν νέων ἐπέχουσιν οἱ γέροντες, ὁ δὲ καὶ τοῦ γέροντος ὤφθη σμικρολογώτερος. **b**(BCE$^3$E$^4$) **T**

**197.** ⟨αἰχμητά:⟩ ὅτι ἀντὶ τοῦ αἰχμητής, ὡς „αὐτὰρ ὁ αὖτε *Ariston.* Θυέστα" (B 107). **A**$^{int}$

**199.** ⟨ἐμβεβαῶτα:⟩ ἐμβεβηκότα. | οὕτως Ἀρίσταρχος. **A**$^{il}$ *D | Did.*

**200.** ἀρχεύειν Τρώεσσι: ὅτι οἱ τὴν Ζέλειαν οἰκοῦντες ὑπὸ τὴν *Ariston.* Ἴδην καὶ ὑπὸ Πάνδαρον Τρῶες ἐλέγοντο. **A**

ἀποκέκοπται τὸ κρῖ (93) transformationem esse docuerat Aristarchus, fort. ad hunc locum, cf. Ap. S. 104, 22: κρῖ ὁ μὲν Ἀρίσταρχος τὸ αὐτὸ τῷ κριθὴν σημαίνειν, εἰρῆσθαι δὲ οὐ κατ' ἀποκοπήν, ὡς ἐνόμισαν, ἀλλὰ μετεσχηματίσθαι τὸ θηλυκὸν εἰς οὐδέτερον τὸ κρῖ. | ὁ δὲ Ἀπίων (fr. 96 B.) γένος τι (sc. κριθῆς), οὐ πάντως κριθή, sim. Ep. Hom. (An. Ox. 1, 255, 3) εἰ μὴ γὰρ (94) — οὐδετέρου (95) ad Θ 564 (T) *b* — λαμβάνοντες (9) cf. D, Ap. S. 75, 28, Or. 51, 16 (Et. Gen. = EM. 370, 48, sim. Et. Gud. 519, 9 Stef.), Eust. 344, 38 **197—203** cf. Eust. 537, 33 **197** ad B 107 *a* (Ariston.) **199** cf. Ludwich, A. H. T. 1, 105. 253, 37 **200** ad E 211 $a^1$. Φ 544 (Ariston.), cf. Strab. 13, 1, 7 (p. 585); Lehrs Ar.$^3$ 231. Vide ad B 113 *a*; — οἰκοῦντες (18) cf. D

---

**3** ὥσπερ τὴν λευκὸν A, λευκὴν ὥσπερ τὴν Wil. **4** δούλων A **4** sq. ὃν πείσει T, πιστοῖ Wil., ἂν πιστώσειε τὸ Ma., fort. αὐτὸν πείσει **5** λευκόν add. Ma. **6** ἐστι om. A **7** τοῦ κριθή Ma., τοῦ κριθῆς T τῆς κριθῆς A **9** le. AT, om. **b** κυρίως] καλῶς E$^3$ **11** sq. le. T supplevi, om. **b** (scholio ad E 197 relato) **13** γὰρ T δὲ BE$^4$, om. CE$^3$ οἱ T οἱ γονεῖς ὡς **b**, fort. rectius **13** sq. ὤφθη σμικρ. Ma., ὤφθη σμικρολογώτατος T ἐναντίως σμικρολογώτερος ὤφθη **b** **15** le. add. Bk. ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **17** le. add. Ldw. sch. decurtatum; alios ἐμμεμαῶτα scripsisse (ut postea Stephanum) suspicatur Ldw. οὕτως sc. ἐμβεβαῶτα **18** (le.) ἀρχεύειν fort. delendum ὅτι A, ἡ διπλῆ, ὅτι Vill.

*Hrd.* 202. φορβῆς: ὡς τροφῆς· τὰ γὰρ εἰς η̅ λήγοντα θηλυκὰ μετὰ συμφώνου δισύλλαβα ὀξύνεται, τῷ ο̅ παραληγόμενα, εἰ γένοιτο ἀπὸ ῥημάτων τῷ ε̅ παραληγομένων μόνῳ, οἷον στρέφω στροφή, τροπή τροφή ῥοπή σπονδή νομή ὁλκή πλοκή. οὕτως καὶ φορβή. προσέθηκα 'τῷ ε̅ παραληγομένων μόνῳ', ἵνα νῦν ἐκφύγω τὸ πόρπη· τοῦτο γὰρ παρὰ τὸ πείρω. **A**

*Hrd.* | *D ad N 315* 203 *a.*[1] ἄδδην: Νικίας (fr. 8 B.) διὰ δύο δ̅δ̅ γράφει διὰ τὸ μέτρον, ὁμοίως τῷ „κύον ἀδδεές" (Θ 423. Φ 481), καὶ ψιλοῖ. **A b**(BCE$^3$) **T** Ἀρίσταρχος δὲ δι' ἑνὸς δ̅ καὶ βραχέως καὶ δασέως· τὸ γὰρ α̅ πρὸ τοῦ δ̅ δεκτικὸν μὲν ψιλοῦται, ὡς τὸ ἀδολέσχης ἀδρανής, μὴ οὕτως δὲ ἔχον δασύνεται· „ἅδε δ' Ἕκτορι" (M 80), „ἅδος τέ μιν ἵκετο θυμόν" (Λ 88), **A b**(BCE$^3$E$^4$) **T** Ἅδωνις· καὶ τοῦτο γὰρ παρὰ τὸ ἥδω. **A b** (BE$^3$E$^4$) μάχεται τὸ ἀδράφαξυς, δεκτικὸν ἔχον τὸ α̅ καὶ δασυνόμενον. **A** | ἄδδην δὲ εἰς κόρον. **T**

*a.*[2] Ἀρίσταρχος „ἅδην", ἄλλοι δὲ ἄδδην διὰ δύο δ̅δ̅. **A**$^{int}$

*ex.* 206 *a.*[1] ἤδη γὰρ δοιοῖσιν ἀριστήεσσιν: ὡς πρὸς φίλον ὁμολογεῖν ὑπὸ μεγαλαυχίας ἐξέλκεται τὰ ἀπόρρητα. **T**

*a.*[2] ὡς πρὸς φίλον ὁμιλῶν ἐξέλκεται ὑπὸ μεγαλαυχίας καὶ τὰ ἑαυτοῦ ὁμολογεῖν ἀπόρρητα. **b**(BCE$^3$E$^4$)

*Ariston.* 208 *a.* ⟨ἀτρεκὲς αἷμ' ἔσσευα βαλών:⟩ ὅτι τρώσας, καὶ οὐ ῥίψας ἁπλῶς τὸ βέλος. **A**$^{im}$

**202** τὰ γὰρ εἰς η̅ (20) sq. cf. Eust. 539, 21; Arcad. 119, 3  **203** *a*[1] ad Λ 88 (Hrd.)  Νικίας (26) — καὶ δασέως (28) et δασύνεται· ἅδε δ' (30) — καὶ δασυνόμενον (32) cf. Eust. 539, 2  Νικίας (26) — ψιλοῖ (27) ad Θ 423 (Did.)  διὰ τὸ μέτρον (26) cf. sch. D. Thr. (Σ[1] ex Heliodoro) 511, 31; vide ad B 498 *a*; at cf. Schwarz 42  Ἀρίσταρχος (28) sq. ad B 87 *c* (Hrd.), cf. Or. in Et. Gen. (B, deest A) ἅδην  ἄδδην δὲ (33) sq. Ap. S. 9, 25; cf. Buttmann II 118  **205** Eust. 539, 33: τὸ „τόξοισι⟨ν⟩ πίσυνος" . . . Συρακοσίων δέ, φασί, γλώσσης ὁ πίσυνος, ib. 709, 53: καὶ ὅτι Συρακοσία λέξις ὁ πίσυνος, originis incertae, aut e scholiis aut e Diogeniano; cf. glossam in Par. gr. 2894 ad E 205 (An. Par. 3, 250, 16 = C. G. F. 202, 41 Kaibel) et in Li (utraque vid. ex Eust. fluxisse). — Fort. excidit nota Didymi de vocibus ἄρ' ἔμελλον, referentis v. l. ἄρα μέλλον exstitisse, cf. Leaf ad l.  **208** *a* ad Γ 82 *b* (Ariston.)

---

**21** τῷ Bk., τὸ A  **22** sq. τροπή cf. ο 404; σπονδή cf. B 341. Δ 159  **24** πόρπη cf. Σ 401  **26** le. A, ἔδμεναι ἄδδην T, om. **b**, fort. rectius ἅδην  νεικίας BE$^3$  διὰ] δὲ διὰ B  δ̅δ̅ γράφει scripsi, δ̅α̅δ̅ γράφει A δέλτα γράφει T γράφει δ̅δ̅ **b**, δ̅ γράφει Bk. **27** τῷ] καὶ τὸ T  **28** ἀρίστ. δὲ A ὁ δὲ ἀρίσταρχος BCE$^3$ ὁ ἀρίσταρχος E$^4$ ἀρίσταρχος τὸ ἅδην (vel ἄδην) T  βραχέος καὶ δασέος A**b**, fort. rectius  **28—30** τὸ γὰρ — δασύνεται] ὡς τὸ E$^4$  **29** δεκτικὸν sc. στερήσεως  ὡς τὸ om. **b**  οὕτω T  **30** ἕκτορι μῦθος T  **31** ἅδωνις — γὰρ (cf. Eust.) A, καὶ τὸ ἅδωνις δέ τινες δασύνουσι **b**, fort. rectius  **34** ἅδην scripsi, ἄδην A  δύο δ̅δ̅ scripsi, β̅ δ̅δ̅ A  **37** συνομιλῶν E$^4$  **39** le. add. Frdl.  ὅτι A, ἡ διπλῆ, ὅτι Vill.

*b.* ⟨ἀτρεκὲς αἷμ' ἔσσευα βαλών:⟩ στικτέον μετὰ τὸ βαλών. $A^{int}$ *Nic.*

*c.* ἀτρεκὲς αἷμ' ⟨ἔσσευα βαλών⟩: ἀντὶ τοῦ ἀτρεκέως εἶδον αὐτό, οὐκ ἠπάτημαι. b(BC$E^3E^4$) T | διαστολὴ δὲ εἰς τὸ βαλών. b(BC$E^3$) T *ex.* | *Nic.*

**210.** ⟨Ἴλιον εἰς ἐρατεινήν:⟩ ὅτι θηλυκῶς τὴν Ἴλιον. $A^{im}$ *Ariston.*

**211** *a.*¹ ἡγεόμην Τρώεσσι ⟨φέρων χάριν Ἕκτορι δίῳ⟩: ὅτι A ἀντὶ τοῦ Τρώων $AA^{il}$ τῶν ὑπὸ τὴν Ἴδην, χαριζόμενος δὲ τῷ Ἕκτορι. τινὲς δὲ ἀγνοοῦντες ὅτι λέγονται καὶ οἱ ὑπὸ Πάνδαρον Τρῶες, μεταγράφουσι „Τρώεσσι φέρων χάριν ἱπποδάμοισιν". A *Ariston.*

*a.*² φέρων χάριν Ἕκτορι δίῳ: ἔν τισι „φέρων χάριν ἱπποδάμοισιν". T

*b.* ἡγεόμην Τρώεσσι ⟨φέρων χάριν Ἕκτορι δίῳ⟩: μετὰ τὸ Τρώεσσιν ἀναπαύσασθαι δεῖ· ἡγούμην τῶν Τρώων χάριν φέρων τῷ Ἕκτορι. | τὸ δὲ Τρώεσσιν ἤτοι καθολικῶς ὡς „Τρώων δ' οἰώθη καὶ Ἀχαιῶν" (Z 1) καὶ τοῖς ὑφ' Ἕκτορι τεταγμένοις „Τρωσὶ μὲν ἡγεμόνευε μέγας κορυθαίολος Ἕκτωρ" (B 816). ἢ καὶ τοῖς Ζελείταις, A b(BC$E^3E^4$) T „οἱ δὲ Ζέλειαν ἔναιον ὑπαὶ πόδα νείατον Ἴδης, / AT Τρῶες, T τῶν αὖτ' ἦρχε Λυκάονος ἀγλαὸς υἱός / A b (BC$E^3E^4$) T Πάνδαρος" (B 824. 826—7). T *Nic.* | *ex.*

*b/c* cf. Friedl., Nic. 182 (aequo cautius): „Utrum Nicanori tribuendum sit, decernere non ausim. Nam illud (*c*) quoque recte (se) habere potest, dummodo eum intellexisse sumamus: αἷμ' ἔσσευα βαλών, αὐτῷ δὲ τῷ βάλλειν μᾶλλον αὐτοὺς ἤγειρα" *c* — ἠπάτημαι (44) aliter Eust. 539, 39; — ἀτρεκέως (43) cf. sch. π 245: ἀτρεκές· νῦν 'μόνον' ὡς τὸ „ἀτρεκὲς αἷμ' ἔσσευα βαλών". δύναται μέντοι κἀκεῖ (sc. in E 208) τὸ φανερὸν καὶ πρόδηλον, καὶ ἐνταῦθα τὸ ἀκριβὲς καὶ ἀληθές **210** ad Γ 305*b*; vide ad N 657*c*. O 558 (Ariston.) **211** *a*¹ — Ἕκτορι (49) ad A 71*a*; vide ad A 24*a*. O 464; — Ἴδην (48) ad E 200 τινὲς δὲ (49) sq. cf. Ludwich, A. H. T. 1, 254, 9 *b* Ge (fort. e T?): „Τρώεσσι"· ἀναπαύσασθαι δεῖ. ἡγούμην, φησί, τῶν Τρώων φέρων χάριν Ἕκτορι δίῳ. τριχῶς δὲ (δὲ Nicole, γὰρ Ge) λέγει· ἤτοι καθολικῶς πάντας τοὺς Τρῶας, ὡς „Τρώων — Ἀχαιῶν φύλοπις", ἢ καὶ τοὺς ὑφ' Ἕκτορι τεταγμένους „Τρωσὶ — Ἕκτωρ", ἢ καὶ τοὺς ὑπὸ Λυκάονι καὶ Πανδάρῳ „ἀφνειοὶ πίνοντες ὕδωρ μέλαν Αἰσήποιο / Τρῶες, τῶν αὖτ' (Nicole, αὐτῶν Ge) ἦρχε Λυκάονος" (B 825—6)

---

**41** le. add. Vill. **43** le. ἀτρεκὲς αἷμα T emendavi et supplevi (auctore Vill.), om. b **44** βαλ.] λαβών (βαλών ss. m. rec.) C **46** le. add. Vill. ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **47** le. ἡγ. τρώεσσιν A suppl. et em. Vill. ὅτι] fort. ἡ διπλῆ, ὅτι **51** sq. pone sch. *c* in T, transposui **53** le. T supplevi (auctore Vill.), ἄλλως: A, om. b **54** τὸ b δὲ τὸ A, om. T ἀναπαύσεσθαι C δεῖν T **55** τρώεσιν T ἤτοι om. b ὡς τὸ b δὲ οἰώθη T δ' om. C **56** τρωσὶ AT ὡς τὸ τρώων b **57** μέγας om. T **59** αὖτ' et ἀγλαὸς om. A

*ex.* *c.* ἡγέομην Τρώεσσι ⟨φέρων χάριν Ἕκτορι δίῳ⟩: τοῖς Ζελείταις. **T** τινὲς δὲ μὴ θέλοντες Τρῶας εἶναι τοὺς Ζελείτας τὸ Ἕκτορι ἀντὶ τοῦ δι' Ἕκτορά φασιν, **b**(BC$E^3E^4$) **T** ὡς τὸ „σοὶ πάντες μαχόμεσθα" (E 875), οὐκ εὖ. **T**

*Ariston.* **212.** ⟨εἰ δέ κε νοστήσω:⟩ ἀντὶ τοῦ νοστήσαιμι, ὡς „πληθὺν δ' οὐκ ἂν ἐγὼ ὀνομήνω" (B 488). περιττεύει δὲ καὶ ὁ κέ σύνδεσμος. $A^{im}$

*Nic.* **215.** ⟨εἰ μὴ ἐγὼ τάδε:⟩ συναπτέον ὡς ἐν τῇ B „εἰ μὴ ἐγώ σε λαβών" (B 261). $A^{im}$

*ex.* **216** *a.* χερσὶ διακλάσσας: διὰ τῆς ἀναδιπλασιάσεως τοῦ σ̄ τὸν ἀπὸ τῆς συντρίψεως τῶν κεράτων γινόμενον κτύπον ἐμιμήσατο. **b** (BC$E^3E^4$) **T**

*ex.* *b.*$^1$ ἀνεμώλια γάρ μοι: ἀνέμοις ἀπολέσθαι ὀφείλοντα· ἀλλαχοῦ (δ 727) φησιν „ἀνηρείψαντο θύελλαι". **T**

*b.*$^2$ ἀνέμοις ἀπολέσθαι ὀφείλοντα, οἷον ἀλλαχοῦ (α 241) φησιν „ἅρπυιαι ἀνηρείψαντο", τουτέστι θύελλαι, ἄνεμοι †νειφώδεις. **b** (BC$E^3E^4$)

*ex.* **217.** Αἰνείας Τρώων ἀγός: καὶ Δαρδάνιοι γὰρ τῶν Τρώων. **T**

*Hrd.* | *Ap. Dysc.* **219** *a.* {πρίν γ' ἐπὶ} νώ: τὸ νώ βαρυτονητέον. ἅπαξ δὲ ἐν Ἰλιάδι, καὶ ἅπαξ ἐν Ὀδυσσείᾳ (ο 475) ἐχρήσατο κατ' αἰτιατικὴν πτῶσιν, ὥσπερ καὶ ἐνθάδε, „νὼ ἀναβησάμενοι". ὁπότε μέντοι γε σὺν τῷ ī λέγεται, καὶ ἐπ' εὐθείας αὐτὸ τάσσει καὶ ἐπ' αἰτιατικῆς καὶ προπερισπᾶται· „νῶϊ δ' ἐγὼ Σθένελός τε" (I 48) καὶ „οὐδ' ἂν νῶϊ διαδράκοι ἠέλιός περ" (Ξ 344). | περὶ δὲ τῆς τάσεως τοῦ μονοσυλλάβου, διὰ τί

**212** ad A 523 *a* (Ariston.) **215** ad B 261 (test.), Y 288 **216** *a* cf. Eust. 540, 32 *b* cf. Eust. 540, 36; Meth. (Et. Gen. [AB] ἀνεμώλιος, Lex. Αἱμ. 619, 3); vide ad Y 404 (T) *b*$^2$ τουτέστι (75) sq. cf. sch. α 241 **217** καὶ Δαρδάνιοι sq. eadem Li **219** *a* — λῆγον περισπᾶται (86) cf. Eust. 541, 10 (παρασημειοῦνται Ἀπίων καὶ Ἡρόδωρος); — ἐχρήσατο (80) sim. Et. Gen. (AB) νώ, fort. ex hyp. Iliad., cf. Ap. S. 117, 14, Ori ὀρθ. (= Lex. Mess. 407, 20) ὁπότε μέντοι (81) sq. ad Θ 377. X 216 (Ariston.), cf. D ad Θ 352; Io. Alex. 23, 23 περὶ

**61** le. T supplevi, om. **b** **62** τινὲς δὲ (coni. cum scholio praecedenti) **b**, τινὲς T τὸ **b** τῶι T **62** sq. τὸ — φασιν sc. post ἡγεόμην distinxerunt **65** le. add. Vill., sed sch. fort. decurtatum (cf. test.) ἀντὶ A, fort. ἡ διπλῆ, ὅτι ἀντὶ **66** ἐγὼ ὀνομ. Vill., ἔγωγ' A, ἐγὼν ὀνομήνω Frdl., ἐγὼ μυθήσομαι οὐδ' ὀνομήνω Hom. κέ Ddf., καὶ A κέν Vill. **67** le. add. Vill. συναπτέον τοῖς ἡγουμένοις ὡς Frdl., recte ut vid. **69** διπλασιάσεως **b** **70** συντριβῆς **b** γενόμενον $E^3$ κτύπον T ἦχον **b** **74** ἀνέμοις] τὸ δὲ ἀνεμώλια ἀντὶ τοῦ ἀνέμοις (coni. cum scholio *a*) $E^4$ **75** νιφώδεις Vill., fort. νεφώδεις? **77** καὶ Li, κοι (post spatium ca. 1 cm) T, fort. καὶ οἱ **79** (le.) πρίν γ' ἐπὶ del. Lehrs **80** τῷ νώ ἐχρήσατο Vill. **81** ἀναβησάμενοι (= Hom.) Lehrs, αδησάμενοι (super α primum ss. ν) A **83** τε Eust., om. A

οὐ περιεσπάσθη, ἐν τῷ Περὶ ἀντωνυμιῶν (Ap. Dysc. pron. 86, 10) δηλοῦται. καὶ τάχα ἐπεὶ οὐδὲν δυϊκὸν εἰς ω̄ λῆγον περισπᾶται· οὕτως γὰρ ἔχει καὶ τὸ σφώ, τασσόμενον καὶ ἐπ' εὐθείας καὶ ἐπ' αἰτιατικῆς. καὶ παρ' αὐτῷ „σφὼ δὲ μάλ' ἠθέλετον" (Λ 782), „Ζεὺς σφὼ ε⟨ἰ⟩ς Ἴδην" (Ο 146). **A**

*b.* πρίν γ' ἐπὶ νὼ ⟨τῷδ' ἀνδρί⟩: πρὶν νὼ **T** ἐπὶ τῷδε τῷ ἀνδρί. | ἐνταῦθα δὲ μόνον κέχρηται τῷ νὼ καὶ ἅπαξ ἐν 'Οδυσσείᾳ, **b**(BCE$^3$) **T** „νὼ ἀναβησάμενοι" (ο 475). **T** *ex. (?) | Hrd.*

222 *a.* οἷοι Τρώϊοι ἵπποι: τοῦτο κοινόν, εἰ μὴ καὶ τοὺς ἀπὸ Τρωὸς λάβοιμεν. **b**(BCE$^3$) **T** *ex.*

*b.* ⟨πεδίοιο:⟩ ὅτι ἐλλείπει ἡ διά· διὰ πεδίου γάρ. **A**$^{\mathrm{int}}$ *Ariston.*

223 *a.* κραιπνὰ μάλ' ἔνθα καὶ ἔνθα: συνέτεμε τὸ ἐγκώμιον πρὸς εἰδότα λέγων. Διομήδης δὲ ἐξέτεινεν (cf. E 263—73), ὅπως μὴ καταφρονήσῃ ὁ Σθένελος. **b**(BCE$^3$E$^4$) **T** *ex.*

*b.*$^1$ φέβεσθαι: ὅτι τοῦτό ἐστι τὸ „φόβον Ἄρηος φορεούσας" (B 767), τὴν ἐν πολέμῳ φυγήν. καὶ ὅτι τὸ φοβεῖσθαι καὶ φέβεσθαι ἐπὶ τοῦ φεύγειν Ὅμηρος τίθησιν, οὐκ ἐπὶ τοῦ κατὰ ψυχὴν δέους. **A** *Ariston.*

*b.*$^2$ {διωκέμεν ἠδὲ} φέβεσθαι: φοβεῖσθαι. τοῦτο δὲ ἐπὶ τὸ „φόβον Ἄρηος φορεούσας". **T**

δὲ τῆς τάσεως (84) sq. cf. Ap. Dysc. pron. 85, 12 οὕτως γὰρ ἔχει (86) sq. ad K 546. O 146 (Hrd.) *b* — ἀνδρί (91) cf. D **222** fort. hic excidit nota Herodiani de accentu vocis Τρώϊοι, ad Ψ 291, cf. Et. Gen. (AB) Τρῳούς: σημαίνει τοὺς Τρωϊκούς. ἔχει τὸ ῑ προσγεγραμμένον. ἔστι (ἔ. om. A) Τρὼς Τρωϊκός καὶ (καὶ om. B) ἡ αἰτιατικὴ τῶν πληθυντικῶν Τρωϊκούς, καὶ ἀποβολῇ τοῦ κ̄ Τρωϊούς καὶ κατὰ συναίρεσιν Τρῳούς. παραλόγως δὲ (δὲ om. A) ὀξύνεται. ὤφειλεν δὲ (δὲ A, om. B, γὰρ V) βαρύνεσθαι ὡς ἡ εὐθεῖα αὐτοῦ ἡ πληθυντικὴ (ἡ εὐθ. — πλ. A, πληθυντικὴ B cp.) βαρυνομένη (βαρυνόμενον B)· „οἷοι Τρώϊοι ἵπποι", Eust. 541, 22: ἰστέον δὲ ὅτι τε ἐκ τοῦ Τρῳός (ὁ Τρωϊκός) ὀξυτόνου ὀνόματος, οὗ θηλυκὸν τὸ Τρῳαὶ γυναῖκες, διελύθη τὸ Τρώϊος ἵππος. καὶ ὅτι ἔχοι ἂν ἀπορίαν, πῶς τὸ Τρώϊος (ὁ Τρωϊκός) οὐ †προπερισπᾷ τὸ Τρῳὸς (fort. προπερισπᾶται Τρῷος), ἵνα ᾖ ὥσπερ πατρώϊος πατρῷος, Μινώϊος Μινῷος, μητρώϊος μητρῷος, οὕτω καὶ Τρώϊος Τρῷος, κτητικῶς ὁ ἐκ Τροίας ἢ ὁ τοῦ Τρωός *a* cf. D εἰ μὴ (93) sq. cf. Eust. 541, 20 *b* ad B 801 (Ariston.); cf. praeterea Polyb. barb. 285, 15; vide ad N 191 *d* **223** *a* ad E 265 *b* ad E 252. 272 *a*. Z 41 *a*. Θ 107 *a*. 149. K 10. Λ 121 a. 173 *a*. 404. M 46 *a*. 470 *c* (Ariston.), P 607 (Did.), Φ 575. 606. X 141. 250 (Ariston.). Vide ad B 767 (Ariston.), K 510 (ex.), Λ 178 (test.), M 432 (test.), cf. D; Lehrs Ar.$^3$ 75

---

**88** σφὼ$^1$ Bk., σφῶ A ἠθέλετον Hom., ἠθέλετο A ἐς A supplevi **90** le. T suppl. Ma., om. **b** **91** τῷ$^1$ om. T ἅπαξ pone ὀδ. **b** **94** λάβωμεν CE$^3$ **95** le. add. Frdl. ὅτι A, fort. ἡ διπλῆ, ὅτι **4** le. scripsi (auctore Vill.), κραιπνά: A ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **7** (le.) διωκ. ἠδὲ delevi δὲ ἐπὶ T, fort. δέ ἐστι

*Ariston.* **224** *a.* ⟨τὼ καὶ νῶϊ πόλιν δὲ σαώσετον:⟩ ὅτι δύο ἵπποι. $A^{im}$

*ex.* *b.* τὼ καὶ νῶϊ πόλιν δὲ σαώσετον: πιθανῶς ἀλαζονευόμενος ἐπ' αὐτοῖς στέρεται αὐτῶν καὶ πρὸ πείρας φυγὴν προσδοκᾷ. Διομήδης δὲ τοὐναντίον. b($BCE^3E^4$) T

*D* **226.** σιγαλόεντα: ἤτοι εὐδιάσειστα, ἢ λαμπρὰ ——— σιγηλόεντά τινα ὄντα. A

*ex.* **226—7.** σιγαλόεντα / δέξαι: δέξαι ἀπὸ τοῦ ἡνιόχου. b($BCE^3E^4$) T σιγαλόεντα δὲ τὰ σῖγα ἀλλόμενα. T

*Did.* **227** *a.*[1] ἐγὼ δ' ἵππων ἀποβήσομαι: Ἀρίσταρχος. ἀποβήσομαι δὲ ἵππων ἔφη, οἷον τῆς τῶν ἵππων φροντίδος· ἐπιφέρει γοῦν „ἠὲ σὺ τόνδε δέδεξο" (E 228), τὸν Διομήδη. Ζηνοδότ⟨ε⟩ιος δὲ ἡ διὰ τοῦ ε̄, „ἐπιβήσομαι". A

*a.*[2] οὕτως Ἀρίσταρχος ἀποβήσομαι διὰ τοῦ ᾱ, $A^{im}$ τῆς φροντίδος τῆς περὶ αὐτούς. $A^{il}$

*a.*[3] ἐγὼ δ' ἵππων ἀποβήσομαι: Ζηνόδοτος „ἐπιβήσομαι"· φησὶ γοῦν „†εἷς† ἅρματα ποικίλα βάντες" (E 239). ἐὰν δὲ γράψῃς ἀποβήσομαι, ἀντὶ τοῦ ἐκστήσομαι τῆς ἐπιμελείας αὐτῶν. b ($BCE^3E^4$) T

*Ariston.* **228.** δέδεξο: ὅτι εἴωθε περιττεύειν τῇ συλλαβῇ, ὡς ἐπὶ τοῦ πεπίθωνται, „λελάχωσιν" (H 80). A

*Ariston.* **230.** ⟨τεὼ ἵππω:⟩ ὅτι δυοῖν ἵπποις ἐχρῶντο· διὸ καὶ δυϊκῶς λέγει. $A^{int}$

*Nic.* **231** *a.* ⟨μᾶλλον ὑφ' ἡνιόχῳ εἰωθότι:⟩ ταῦτα ἀφ' ἑτέρας ἀρχῆς. $A^{im}$

**224** *a* ad E 195 *b* (Ariston.) **226—7** — ἡνιόχου (15) cf. Eust. 542, 17 σιγαλόεντα δὲ (16) sq. cf. Eust. 542, 23, aliter D (unde Ge) **227** *a*[1] ἐπιβήσομαι (20) cf. Naber 111 **228** ad E 238. Z 50. H 5. 80. K 381. Λ 116 (Ariston.), cf. sch. δ 388; Carnuth, Ariston. 81. Vide test. ad Ξ 208 **230** ad E 195 *b* (Ariston.)

---

**9** le. add. Frdl. ὅτι A, fort. ἡ διπλῆ, ὅτι δύο Frdl., $\overline{\beta}$ A **10** (le.) νῶϊ Ma., νῶιν T **15** le. om. b (qui sch. ad E 227 rettulit) δέξαι[2] om. $E^4$ **17** (le.) ἐγὼ δ' del. Bk., fort. recte ἀρίσταρχος. ἀποβ. interpunxi, οὕτως ἀρίσταρχος, ἀποβήσομαι διὰ τοῦ ᾱ. ἀποβήσομαι Ddf. **17** sq. ἀρίστ. — ἵππων[1]] ἀρίσταρχος „ἀποβήσομαι". ἵππων δὲ Roe. **17—9** ἀποβησ.[2] — διομήδη haec ipsa verba Aristarchi esse putavit Ldw. **19** διομήδη, μελήσουσιν δ' ἐμοὶ ἵπποι Lehrs ζηνοδότιος A em. Vill. **21** sq. τῆς sq. supra μάχωμαι (227) A, fort. ἀποβήσομαι τῆς sq. **24** εἷς] ἐς Hom. **24** sq. γραφῇ b **27** sq. pone sch. E 223 *b*[1] in A, trps. Vill. le. Bk., ἠὲ σὺ τόνδε δέδοξε: A ὅτι A, ἡ διπλῆ, ὅτι Vill. πεποίθωνται A em. Bk., an pot. πεπίθοιτο (= K 204)? **29** le. add. Frdl. ὅτι A, fort. ἡ διπλῆ, ὅτι δυοῖν Frdl., $\overline{\beta}$ A **31** le. add. Vill.

*b.* εἰωθότι: οὕτως εἰωθότι καὶ Ἀρίσταρχος καὶ σχεδὸν ἅπαντες· μᾶλλον γάρ φησιν ὑπὸ τῷ ἐθάδι καὶ συνήθει ἡνιόχῳ οἴσειν τοὺς ἵππους τὸ ἅρμα. καὶ τὴν αἰτίαν ἐπιφέρει „μὴ τὼ μὲν δείσαντε ματήσετον οὐδ' ἐθέλητον / ἐκφερέμεν πολέμοιο τεὸν φθόγγον ποθέοντες" (E 233—4). τοιοῦτό ἐστι καὶ τὸ ἐν τῇ Δολων⟨ε⟩ίᾳ „ἀήθεσσον γὰρ ἔτ' αὐτόν" (K 493). διὰ τοῦτό φασιν ἔνιοι καὶ τὸν Τηλέμαχον τῷ Πεισιστράτῳ κελεύειν ζεῦξαι τοὺς ἵππους (cf. ο 46—7). εἴη δ' ἂν ὁ τοῦ Αἰνείου ἡνίοχος κατὰ τὸ σιωπώμενον καταβεβηκώς, καὶ ἔστι παρ' Ὁμήρῳ πολλὰ τοιαῦτα. **A** *Did.*

*c.* ὑφ' ἡνιόχῳ εἰωθότι: ὡς ἄπειρος προφασίζεται, ἐπεὶ Κεβριόνου ἀποθανόντος (cf. Π 733—82) ἄλλον Ἕκτωρ δίδωσιν ἡνίοχον. καὶ Διομήδης σὺν αὐτοῖς ἀγωνίζεται (cf. Ψ 290—2) καὶ Μενέλαος Αἴθῃ τῇ Ἀγαμέμνονος ἵππῳ (cf. Ψ 293—5). **b**(BCE³E⁴) **T** | μόνως διὰ τοῦ ī τὸ εἰωθότι. **T** *ex.* | *Did.*

**233** *a.* ⟨μὴ τὼ μὲν δείσαντε ματήσετον οὐδ' ἐθέλητον:⟩ ὅτι πεπλεόνακεν οὖν κατὰ τὸν τόπον τοῦτον τοῖς δυϊκοῖς σχήμασιν. **A**[im] *Ariston.*

*b.* μὴ τὼ μὲν δείσαντε ματήσετον: οὐδὲ περὶ αὐτῶν τι χρηστὸν μαντεύεται. Δημοσθένης (or. 18, 97) δέ φησιν· „Δεῖ δὲ τοὺς ἀγαθοὺς ἄνδρας ἐγχειρεῖν μὲν ἅπασιν ἀεὶ τοῖς καλοῖς, τὴν ἀγαθὴν προβαλλομένους ἐλπίδα, φέρειν †δ' ἃ ἂν† ὁ θεὸς διδῷ γενναίως". **b** (BCE³E⁴) **T** *ex.*

**231** *b* — τὸ ἅρμα (35) cf. D, Eust. 542, 42   τοιοῦτό ἐστι (37) — τοιαῦτα (41) a Didymo abiud. Ludwich, A. H. T. 1, 255, 4; at vide ad Z 337. I 709. Π 432 *a*. P 24. Σ 356. Φ 17. 67 (Ariston.), cf. Lehrs Ar.³ 336   τοιοῦτό ἐστι (37) — αὐτόν (38) vide ad K 493   κατὰ τὸ σιωπώμενον (40) cf. Meinel 13   **233** diple ante versum 233, non ante 234 in A   *a* ὅτι (48) sq. ad Θ 109. 191; vide ad A 6. 567*a*¹. N 197

---

33 εἰωθ.²] h. e. εἰωθότι, non εἰωθότε (Lehrs)   **34** τῷ Vill., τὸ A   ἐνθάδι A em. Bk.   **35** δήσαντε A em. Vill.   **36** οὐδὲ θέλητον A em. Vill.   **37** δολωνίαι A em. Ddf.   **38** αὐτῶν Hom., sed fuisse videntur, qui αὐτόν legerent Ulixen intelligentes (Lehrs)   **42** ἐπεὶ T ἐπεί τοι b   **43** κεβριόνου — ἕκτωρ δίδωσιν susp., fort. κεβριόνην ἀποθανόντος ἀρχεπτολέμου (cf. Θ 312—9) ἕκτορι (ἕκτ. ci. Ma.) δίδωσι (sc. poeta)   **44** σὺν om. T   ἀγονίζεται E³   **46** τοῦ V, τὸ T   τὸ Ldw., τῷ T   **47** le. addidi; versus E 233 et 234 praefixit Frdl., qui recte cognovit Aristonicum etiam ad v. ποθέοντε (E 234) spectare (cf. νῶϊ E 235 et αὐτώ E 236). Tamen diple ante solum versum 233 posita impedimur, ne sch. ad ambos versus vel ad E 233—6 referamus. Vide ad N 197   **48** ὅτι A, fort. αἱ διπλαῖ (an ἡ διπλῆ ?), ὅτι   οὖν] cp. A om. edd., explicare conatus sum   δυϊκοῖς] cp. A explicavit Ddf. (cf. Lehrs, Hrd. 460)   **50** sq. χρηστόν τι b   **51** δὲ² om. b   **53** δ' ἃ ἂν T, δὲ ἂν BCE³ δ' ἂν E⁴, fort. δὲ ἂν (δ' ἂν Ddf. ap. Demosth., δ' ὅ τι ἂν Demosth. vulg.)   γενν.] μάλα γενναίως BE³E⁴

*Hrd.* **237.** ⟨τέ' ἅρματα καὶ τεὼ ἵππω:⟩ τὸ πλῆρές ἐστι τεά· διὸ βαρυτονητέον· ἐπιφέρει γοῦν καὶ τεὼ ἵππω. A$^{im}$

*Ariston.* **238.** ⟨δεδέξομαι:⟩ ὅτι ἀντὶ τοῦ δέξομαι, ἐπιτηρήσω, ὡς „λελάχωσιν" (H 80) ἀντὶ τοῦ λάχωσιν. A$^{int}$

*ex.* **241.** τοὺς δὲ ἴδε Σθένελος: ὡς ἀπὸ τοῦ δίφρου ὑψηλότερος ὢν ἐθεᾶτο. ἢ ὡς ἀσχολουμένου Διομήδους περὶ τοὺς πολεμίους. A **b**(BC E$^3$E$^4$) T

*ex.* **242.** αἶψα δὲ Τυδείδην: ἐπείγει γὰρ τοὺς λόγους ὁ καιρός. **b** (BCE$^3$) T

*Ariston.* | *Nic.* | *ex.* **245** *a.* ἵν' ἀπέλεθρον ἔχοντας· ⟨ὁ μὲν τόξων ἐῢ εἰδώς⟩: ἡ διπλῆ πρὸς τὴν ἰδιότητα τῆς φράσεως· ἀκόλουθον γὰρ ἦν εἰπεῖν τὸν μὲν τόξων εὖ εἰδότα. | στικτέον δὲ ἐπὶ τὸ ἔχοντας, ἵνα μὴ σολοικισμὸς γένηται, ἐὰν {δὲ} συνάπτωμεν. λείπει ⟨δὲ⟩ τὸ ἐστίν. | τὸ πέλεθρον ἔχει πήχεις ἑξήκοντα ἓξ δίμοιρον. A

*ex. (Ariston.?)* *b.* ἵν' ἀπέλεθρον ἔχοντας· ὁ μὲν τόξων ἐῢ εἰδώς: ἀντὶ τοῦ τὸν μέν, ὡς **b**(BCE$^3$) T „ἀστράπτων ἐπιδέξι' ἐναίσιμα" (B 353) καὶ T „ἐξ ὁμόθεν πεφυῶτε, ὁ μὲν φυλίης, ὁ δ' ἐλαίης" (ε 477). **b**(BCE$^3$) T

*Nic.* | *ex.* *c.* ἵν' ἀπέλεθρον ἔχοντας: στιγμὴ εἰς τὸ ἔχοντας. **b** (BCE$^3$) T λείπει δὲ τῷ ἑξῆς τὸ ἐστίν· οὐ γὰρ δύναται σχῆμα εἶναι, ὡς Νικάνωρ (p. 182) φησίν. T | ἀπέλεθρον δὲ λέγει τὴν ἀνάριθμον. **b**(BCE$^3$) τὸ δὲ πλέθρον πήχεις ἔχει ἑξήκοντα ἓξ δίμοιρον. **b**(BCE$^3$) T

**237** ad A 126 *a*/*b*; cf. Beiträge 391 **238** ad E 228 (Ariston.) ἐπιτηρήσω (57) = D **245** *a* — εἰδότα (66) et *b* ad B 353 *a*, cf. Eust. 545, 21; Anon. fig. 154, 5. 160, 31, Lesbon. 49, 19 στικτέον (66) — ἔχοντας cf. Eust. 1753, 14; Carnuth, Nic. 50. 60 τὸ πέλεθρον (67) sq. cf. Eust. 545, 19: ἔστι δὲ πέλεθρον τὸ καὶ πλέθρον μέτρον γῆς πήχεων ξϛ' διμοίρου, ὡς ἐν τοῖς Ἀπίωνος καὶ Ἡροδώρου φέρεται, D *b* cf. sch. ε 477 *c* ἀπέλεθρον δὲ (75) sq. cf. D

---

**55** le. addidi, τέ' ἅρματα: Lehrs (fort. rectius) **57** le. add. Bk. ὅτι A, ἡ διπλῆ, ὅτι Vill. ἐπιτηρήσω del. Frdl. (cf. test.) **59** le. AT, om. **b** (le.) ἴδεν A ὢν] ὧν A **64** le. A suppl. Frdl. **65** ἡδιότητα A em. Vill. **67** δὲ trps. Frdl. (cf. sch. *c*) virgula pone συνάπτωμεν in A **69** le. scripsi, ἄνδρ' ὁρόω κρατερῶ· ὁ μὲν τόξων εὖ εἰδὼς αἰνείας υἱὸς μεγαλήτορος: T, om. **b** **70** τοῦ τὸν μέν, ὡς T, τοῦ (om. E$^3$) τούτων ὁ μέν, ὁ δὲ ὡς τὸ **b**, fort. τοῦ τὸν μέν, αἰνείαν δ' υἱόν, ὡς (cf. Eust.) **71** ἐξομόθεν πεφυότε T φυλίης **b** (ut Hom.), δάφνης T (fort. rectius) **73** στιγμὴ δὲ (coni. cum scholio praecedenti) **b** **76** πέλεθρον **b** (fort. rectius, cf. A) ἔχει πήχεις **b** (= A) διμ. T καὶ δίμοιρον **b**

*ex.* 246—8. ⟨Πάνδαρος ——— Ἀφροδίτη:⟩ οὐκ ἀκαίρως γενεαλογεῖ· συνίστησι γὰρ ἐκ προγόνων αὐτούς, οὐκ εὐχερῆ τὴν πρὸς αὐτοὺς μάχην δεικνύς. καὶ ἐπὶ μὲν τοῦ πατρὸς εὔχεται (246. 248), ἐπὶ δὲ τῆς μητρὸς ἐστίν (248), ὡς τὸ „μήτηρ μέν τέ μέ φησιν" (α 215). b(BC$E^3E^4$) T

*Did.(?)* 247. ⟨υἱὸς μεγαλήτορος Ἀγχίσαο:⟩ ἐν ἄλλῳ „υἱὸς μὲν ἀμύμονος Ἀγχίσαο". $A^{im}$

*Did.* 249 *a*. ἀλλ' ἄγε δὴ χαζώμεθ' ἐφ' ἵππων: οὕτως Ἀρίσταρχος „ἐφ' ἵππων", A$A^{int}$ ὡς εἰ ἔλεγεν ἐπ' Ἀθηνῶν ἀντὶ τοῦ ἐπ' Ἀθήνας· λέγει γὰρ ἐπιστραφῶμεν ἐπὶ τοὺς ἵππους, καὶ μὴ κινδύνευε πεζὸς πρὸς τὸν ἐφ' ἅρματος ὀχούμενον. A

*ex.(Did.?)* *b*. χαζώμεθ' ἐφ' ἵππων: ἀντὶ τοῦ εἰς ἵππους, ὡς ἐπὶ Ἀθηνῶν πλεῖν φαμεν· καὶ „πέτονται ἐπ' Ὠκεανοῖο ῥοάων" (Γ 5). b(BC$E^3E^4$) T

*Ariston.* *c*. ἀλλ' ἄγε δὴ χαζώμεθ' ⟨ἐφ' ἵππων⟩: ὅτι Ἀττικῶς ἐξενήνοχεν ἀντὶ τοῦ ὡς ἐπὶ τοὺς ἵππους. δοκεῖ δὲ Ζηνόδοτος τοῦτον καὶ τὸν ἑξῆς ἠθετηκέναι. A

*ex.* *d*. χαζώμεθ' ἐφ' ἵππων: οὐκ ἀναχωρεῖν αὐτῷ τῆς μάχης παραινεῖ ἐπὶ τῶν ἵππων, ἀλλ' ἀναβῆναι ἐπὶ τὸ ἅρμα καὶ μὴ πεζὸν πρὸς ἱππέας μάχεσθαι. b(BC$E^3E^4$) T

*Ariston.* 252 *a*. ⟨μή τι φόβον δ' ἀγόρευε:⟩ ὅτι πάλιν φόβον τὴν φυγὴν εἶπεν. $A^{int}$

246—8 — γενεαλογεῖ (78) cf. Eust. 545, 24 249 *a/c* vide ad Ι 602 (Did.) *a* ἐφ' ἵππων (86) „fuisse videntur qui ἐφ' ἵππους hic requirerent" Spitzner ad loc. (cf. Ludwich, A. H. T. 1, 255, 11) *c* — ἵππους (93) ad Γ 5 (Ariston.) δοκεῖ δὲ (93) sq. cf. Roemer, Zen. 650 et Mus. Rhen. 66, 1911, 277 not. *d* ἐπὶ τῶν ἵππων (1) cf. D ἀλλ' ἀναβῆναι (1) sq. cf. Eust. 544, 10 252 *a* ad Ε 223 *b* (Ariston.) τὴν φυγὴν cf. D

78 le. addidi, om. bT (sch. ad Ε 246 revocavit b; de T vide notam sq.) οὐκ ἀκ. δὲ γεν. (coni. cum sch. Ε 245 *b*, v. ἐλαίης) T 79 ἐκ προγόνων om. T 79 sq. πρὸς τούτους b, fort. rectius 83 le. add. Vill. 85 le. A, om. $A^{int}$ 89—91 pone sch. *d* in b 89 le. T, τὸ δὲ ἐφ' ἵππων (coni. cum scholio praecedenti, v. γάρ) $E^4$, om. BC$E^3$ εἰς τοὺς ἵππους $E^4$ ὡς T ὥσπερ b 90 φαμεν] φαμεν ἀντὶ τοῦ εἰς ἀθήνας $E^4$ πέτονται om. T ῥοάων ἀντὶ τοῦ εἰς ῥοάς $E^4$ 92—4 pone sch. Ε 252 *b* in A, trps. Vill. 92 le. A suppl. Frdl. ὅτι A, fort. ἡ διπλῆ, ὅτι 1 ἐπὶ τῶν ἵππων κελεύει b 2 μάχεσθαι T ἀγωνίζεσθαι· ἐπικίνδυνον γὰρ b 3 le. add. Frdl. ὅτι A, fort. ἡ διπλῆ, ὅτι

*Hrd.* *b.* {ἐπεὶ} οὐδὲ σέ: ὁ Ἀσκαλωνίτης (p. 45 B.) τὸν δέ ὀξύνει, ἵνα ἐγκλιτικῶς ἀναγνῷ. οὐκ ἀναγκαῖον δέ, ἀλλ' ὀρθοτονεῖν· καὶ γὰρ δύναται συνδεδέσθαι. A

*ex.* *c.* μή τι φόβον δ' ἀγόρευ', ⟨ἐπεὶ οὐδὲ σὲ πεισέμεν οἴω⟩: ὡς γενναῖος καὶ τὴν ἐπὶ τὸ ἅρμα ἀνάβασιν φυγὴν ὁρίζει καὶ τὸ μετακινῆσαί τι τῆς στάσεως, ἐν οἵᾳ κατελείφθη. ἠθικὸν δὲ τὸ ἐπεὶ οὐδὲ σὲ πεισέμεν οἴω, τὸν πάνυ φίλον· ἠθικὸν δὲ καὶ τὸ οἴω. b(BCE$^3$E$^4$) T

*Ariston.* 253 *a.* {οὐ γάρ μοι} γενναῖον: σημειοῦνταί τινες ὅτι οὕτως εἴρηται ἐγγενές, πάτριον. A

*D* *b.* ⟨ἀλυσκάζοντι:⟩ φεύγοντι. T$^{il}$

*Ariston.* 255 *a.* ⟨ὀκνείω δ' ἵππων ἐπιβαινέμεν:⟩ σημειοῦνται δὲ καὶ τὸ ὀκνείω δ' ἵππων ἀντὶ τοῦ ὀκνηρῶς ἔχω. τινὲς δὲ ἐπὶ τοῦ φόβου τιθέασι τὸν ὄκνον. A

*ex.* *b.* ⟨ἀλλὰ καὶ αὔτως:⟩ ἀλλὰ καίπερ πεζὸς ὑπάρχων. A$^{int}$

*ex.* | *Hrd.* 256 *a.*$^1$ τρεῖν μ' οὐκ ἐᾷ Παλλὰς Ἀθήνη: καὶ ἀνδρείου καὶ εὐσεβοῦς πείθεσθαι θεῷ. | τὸ δὲ οὐκ ἐᾷ ἀπὸ τοῦ ἐάᾳ τρίτον πρόσωπόν ἐστι κατ' ἀποκοπήν· „οὐκ ἐάᾳ Κρονίδης" (Θ 414). T

*ex.* *a.*$^2$ ἀνδρείου δὲ καὶ εὐσεβοῦς τὰ τοιαῦτα ῥήματα τῷ πάντα τῇ θείᾳ ἀνατιθέναι προνοίᾳ. b(BE$^3$E$^4$)

*Hrd.* *b.*$^1$ {τρεῖν μ' οὐκ} ἐᾷ: συστέλλεται τὸ ᾱ καὶ βαρύνεται. τὸ μὲν οὖν ἐντελὲς τοῦ ἐνεστῶτός ἐστιν ἐῶ ἐᾷς ἐᾷ, σὺν τῷ ῑ γραφόμενον, ὡς τιμῶ τιμᾷς τιμᾷ, τοῦ δὲ παρατατικοῦ εἴων εἴας εἴα, οὐ προσγραφο-

*b* — ὀρθοτονεῖν (6) ad Z 355. I 485 *a*. 494. 680 *a*. Λ 383. Υ 105. 152 (Hrd.), cf. sch. ν 228. π 418. ρ 81. Vide ad B 190 *a*; — ἀναγνῷ (6) ad K 574 (Hrd.), in universum cf. Ep. Hom. (An. Ox. 1, 310, 33, EM. 638, 1). Vide ad E 812 *a* *c* — ὁρίζει (9) cf. Eust. 544, 12 et 31. 545, 36 **253** Ge (fort. ex h): οὐ γάρ μοι γενναῖον μαχομένῳ ἀλυσκάζειν καὶ φεύγειν· εἴληπται γὰρ τὸ ἀπαρέμφατον ἀντὶ μετοχῆς *a* cf. Eust. 545, 38 ἐγγενές (13) = D; cf. Ap. S. 54, 17, sch. Pind. P. 8, 61; vide Ar. fr. 28 (p. 18) Dem. = fr. 141 IV c Edm. **255** *a* cf. Eust. 546, 6; Dimpfl 23 (test.) **256** *a*$^1$ τὸ δὲ οὐκ (20) sq. cf. *b* *b*$^1$ — ὡς ἔχει τὸ οὔτα (42) Et. Gen. (AB) οὐκ ἐᾷ· συστέλλεται — τὸ μὲν οὖν (οὖν A, γὰρ B) ἐντελὲς τοῦ ἐνεστῶτος ἐῶ ἐᾷς ἐᾷ σὺν τῷ ῑ, τοῦ δὲ παρατατι-

---

5 (le.) ἐπεὶ del. Bk. 7 δύναται συνδεδ. h. e. „potest pronomen epitagmaticum αὐτός adici, unde apparet urgendum esse σέ" (Baege) 8 le. μή τι φόβον δ' ἀγόρευε T emendavi et supplevi, om. b 10 ἐν οἵᾳ b ἐνιοία T κατελήφθη b 10 sq. ἐπεὶ — φίλον] σὲ καὶ τῶν πάνυ φίλων b 11 οἴω$^1$ Ma., οἷον T 12 (le.) οὐ γάρ μοι del. Bk. 14 le. add. Ba. 15 le. add. Frdl., fort. rectius ὀκνείω δ' ἵππων σημειοῦνται δὲ sq. coni. cum scholio E 253 *a* (v. πάτριον) in A, distinxit Frdl. (verba scholiorum E 253 *a* et 255 *a* ab excerptore mutata sunt) 16 ὀκνειρῶς A em. Bk. τινὲς δὲ] οἱ δὲ νεώτεροι Dimpfl 18 le. add. Vill. 22 sq. ἀνδρείου δὲ sq. pone sch. *b*$^2$ (coni. cum v. βεβάρυνται) b 24 (le.) τρεῖν μ' οὐκ del. Bk. 26 τοῦ δὲ παρατ. Et. Gen., om. A

μένου τοῦ ῑ, „οὔ μ᾽ εἴας μακάρεσσι" (E 819), καὶ τὸ τρίτον ἐν Ἰωνικῇ παραγωγῇ „τὸν δ᾽ οὔτι πατὴρ εἴασκε μάχεσθαι" (Y 408) καὶ „τόνδε δ᾽ ἔασκεν" (Ω 17). καὶ προστακτικὸν „ἀλλ᾽ ἔα ὥς οἱ πρῶτα δόσαν" (A 276). εἰ τοίνυν ἐστὶ τοιοῦτο τρεῖν μ᾽ οὐκ ἔα, μόνον συνεστάλη τὸ ἄλφα καὶ ὁ παρατατικός ἐστιν ἰσοδυναμῶν ἐνεστῶτι. εἰ δὲ ὁ ἐνεστὼς ἀεί ἐστι περισπώμενος καὶ σὺν τῷ ῑ γραφόμενος, δῆλον ὅτι πολλὰ πάθη· συστολὴ γὰρ τοῦ ᾱ καὶ ἐκβολὴ τοῦ ῑ καὶ μεταβολὴ τοῦ τόνου, εἰ μὴ ἄλλως ἐκδεξαίμεθα ὅτι ἔθος αὐτῷ ταῦτα τὰ τῆς δευτέρας συζυγίας κατὰ τὸ δεύτερον καὶ τρίτον πρόσωπον πολλάκις διαλύειν εἰς δύο ᾱᾱ, ὧν τὸ μὲν πρότερον συνεσταλμένον ἐστί, τὸ δὲ δεύτερον ἐκτεταμένον καὶ σὺν τῷ ῑ γραφόμενον, ὁρᾷς „οὐχ ὁράᾳς οἷος κἀγώ" (Φ 108), καὶ ἐπὶ τοῦ τρίτου „ἰσχανάᾳ δακέειν" (P 572), „ἦτ᾽ ἐκπεράᾳ μέγα λαῖτμα" (ι 323), „οὐκ ἐάᾳ Κρονίδης" (Θ 414). τοῦτο τοίνυν τὸ ἐάᾳ δύναται κατὰ ἀποκοπὴν εἰρῆσθαι, τρεῖν μ᾽ οὐκ ἔᾰ. ἔνθεν καὶ συνέσταλται τὸ ᾰ, καὶ βαρύνεται. οὐκ ἄηθες δὲ καὶ ἐνεστῶτας ἀποκόπτεσθαι καὶ ἄλλους χρόνους, ὡς ἔχει τὸ „οὖτα καταὶ λαπάρην" (Z 64). εἰ δέ τις ἐπιζητήσειεν ὁμοιότητα ἀπὸ τῶν εἰς ῶ περισπωμένων ἢ βαρυτόνων ⟨ἐνεστῶτος⟩ ἐπὶ τρίτου ἀποκοπὴν καὶ μὴ εὑρὼν μηδὲ τοῦτο παραδέξαιτο, ἑαυτὸν λήσει· περὶ γὰρ πάθους διαλαμβάνομεν. **A**

*b.*[2] συστέλλεται τὸ ᾱ καὶ βαρύνεται, ἵν᾽ ᾖ παρατατικοῦ εἴων εἴας εἶα, καὶ τὸ προστακτικὸν „ἀλλ᾽ ἔα ὥς οἱ πρῶτα δόσαν γέρας". ποιητικῶς οὖν συνέσταλται τὸ ᾱ καὶ ἔστιν παρατατικὸς ἰσοδυναμῶν ἐνεστῶτι. εἰ δὲ ἐνεστώς ἐστιν, ἔθει Ὁμηρικῷ λυθήσεται· τὰ γὰρ τῆς *Hrd.* | *Ap. Dysc. vel Choer.*

κοῦ (οἷον add. A) εἴων εἴας εἴα χωρὶς τοῦ ῑ. καὶ τὸ προστακτικὸν ἔα· „ἀλλ᾽ — δόσαν''. τοῦτο οὖν ἐνεστώς ἐστιν· ἔθος γὰρ (τῷ ποιητῇ add. B) τὰ τῆς — καὶ σὺν τῷ ῑ, οἷον ὁρᾷς, οὐχ ὁρᾷς, οὐχ ὁράᾳς, καὶ ἐπὶ τοῦ τρίτου — ἐκπεράᾳ", καὶ πάλιν „οὐκ ἐάᾳ Κρονίδης". τοῦτο οὖν τὸ ἐάᾳ δύναται κατὰ ἀποκοπὴν (συγκοπὴν B) γενέσθαι· τρεῖν οὐκ ἔα (B, ἐάα A). ἔνθεν καὶ συστέλλεται τὸ ᾱ καὶ βαρύνεται. οὐκ ἄηθες δὲ καὶ ἐνεστῶτας ἀποκόπτεσθαι καὶ ἄλλους χρόνους, ὡς ἔχει τὸ „οὖτα", fort. ex hyp. Iliad.; **h**(P[11] V[3] V[15]): συστέλλεται — καὶ συνέσταλται τὸ ᾱ. ἄμεινον οὖν ἐστιν ἔα (ἐστιν ἔα om. V[15]) γράφειν ὀξυτόνως· ἀποκοπὴ γὰρ ἐκ τοῦ ἐάα τὸν τόνον ὀφείλει ἔχειν ἄτρεπτον, cf. Valk II 213 n. 579. Vide ad Z 268 *b* (Hrd.) καὶ προστακτικὸν (29) ad A 276 *a* (Hrd.) ἔθος αὐτῷ (34) — βαρύνεται (41) cf. Eust. 546, 9 (οὕτω σχηματίζεται παρὰ τοῖς παλαιοῖς) δύναται κατὰ ἀποκοπὴν (40) sq. cf. D οὖτα (42) ad B 662 (Hrd.) *b*[2] brevius Ge (e T ut vid.)

---

**29** προστ.] προστακτικὸν ἔα Et. Gen., fort. rectius ὥς οἱ Et. Gen. (B), ὅσοι A, Et. Gen. (A) πρῶτα δόσ. om. A **33** συστολῆι et ἐκβο(λῆι) et μεταβο(λῆι) A em. Bk. **40** ἔᾰ A ἔα Et. Gen. (B), ἐάα Et. Gen. (A) **41** συνέστ. A συστέλλεται Et. Gen. βεβάρυνται Vill. (et edd.), infacete **44** ἐνεστῶτος add. Lehrs **47** συστέλλεται **b** τρεῖν οὐκ ἔα παλλάς: συστέλλεται T **49** ἰσοδυναμοῦν T

δευτέρας συζυγίας κατὰ τὸ δεύτερον καὶ τρίτον πρόσωπον πολλάκις διαλύει εἰς δύο ᾱ, ὧν τὸ μὲν πρῶτον συνέσταλται, τὸ δὲ δεύτερον ἐκτέταται καὶ σὺν τῷ ῑ γράφεται· „οὐχ ὁράᾳς οἷος κἀγώ“, b(BCE$^3$E$^4$) T „ἰσχανάᾳ δακέειν“, T „ἧτ' ἐκπεράᾳ μέγα λαῖτμα“, „οὐκ ἐάᾳ Κρονίδης“. τοῦτο τοίνυν τὸ „ἐάᾳ“ ἀποκέκοπται, ἔνθεν καὶ συνέσταλται τὸ ᾱ, καὶ βαρύνεται. b(BCE$^3$E$^4$) T | ὡς τὸ „σὲ γάρ φη Ταργήλιος“ παρὰ Ἀνακρέοντι (fr. 19 P. [P. M. G 364] = 119 G.). T

*Ariston.* 257 *a.* ⟨πάλιν αὖτις:⟩ ὅτι οὐ τὸ αὐτὸ λέγει διὰ τοῦ πάλιν καὶ αὖτις, ἀλλὰ τὸ μὲν αὖτις ἀντὶ τοῦ πάλιν, τὸ δὲ πάλιν τοπικόν, ἀντὶ τοῦ εἰς τοὐπίσω. A$^{int}$

*ex.* *b.* τούτω δ' οὐ πάλιν αὖτις ἀποίσετον: πολὺ τὸ διάφορον αὐτοῦ τε καὶ τῶν Πανδάρου λόγων. b(BCE$^3$E$^4$) T

*Did.* 258 *a.* ⟨εἴ γ' οὖν:⟩ οὕτως εἴ γ' οὖν διὰ τοῦ γ̄ Ἀρίσταρχος, εἰ δὴ ἕτερος αὐτῶν φύγῃ. A$^{im}$

*ex.* *b.* εἰ γοῦν ἕτερός γε φύγῃσι: γενναῖον τὸ †λῆμμα†, εἰ μὴ ἀμφοτέρων, τοῦ ἑτέρου κρατήσειν πεπεισμένου. ἅμα δὲ καὶ ἀνθρωπίνως οὐ περὶ τῶν δύο ἀποφαίνεται, τὸ δὲ ὅλον τῇ Ἀθηνᾷ ἀνατίθησιν (cf. E 256). b(BCE$^3$E$^4$) T

*ex.* 260. αἴ κέν μοι πολύβουλος Ἀθήνη: ἐξέκοψε διὰ τῆς θεοῦ τὸ ἑαυτοῦ καὶ Σθενέλου ἀλαζονικόν. b(BE$^3$) T παιδευτικὸς δὲ ὁ λόγος. b(CE$^3$)

*Ariston.* 261. ⟨ἀμφοτέρω κτεῖναι, σὺ δὲ τούσδε μὲν ὠκέας ἵππους:⟩ ὅτι περισσὸς ὁ δέ σύνδεσμος. A$^{im}$

ὡς τὸ (56) sq. Ap. Dysc. adv. 133, 6, synt. 338, 9, Choer. Th. 2, 25, 18; cf. Lex. Mess. 410, 9, Io. Alex. 21, 14 **257** *a* ad E 836 *a*. Z 189. K 281. 356 *a*. Λ 326 *a* (Ariston.), N 3 (ex.), cf. Ep. Hom. (An. Ox. 1, 9, 16, Et. Gud. 236, 9 Stef., Et. Gen. = EM. 171, 49), Et. Gud. 449, 50; Lehrs Ar.$^3$ 91; vide ad B 276 (Ariston.) **260** ἀλαζονικόν (70) cf. Δ 404—5; Plut. mor. 29 b **261** ad A 41 *c* (Ariston.), aliter Eust. 544, 39 (σὺ δὲ ἤγουν σὺ δή). Vide praeterea ad M 145 *a*

---

**51** δευτέρας καὶ τρίτης συζυγίας Ge (perperam) πρόσ.] ἄσωπον T **52** ᾱ T ἄλφα b, α̅α̅ Ddf., recte, cf. sch. $b^1$ συνστέλλεται T **53** ὁρᾷις T **55—6** οὐκ ἐάᾳ — βαρύνεται] τρεῖν μ' οὐκ ἐᾶ παλλὰς ἀθήνη: — C **56** συνέστ. T συνεστάλη b βεβάρυνται b φη Ma. (cf. test.), φησιν T **58** le. add. Bk. ὅτι A, fort. ἡ διπλῆ, ὅτι **62** τε om. b **63** le. (= A$^{cont}$) addidi (auctore Ldw.) γ' οὖν Ldw., γοῦν A **64** αὐτὸν A em. Pluyg. **65—8** pone sch. E 256 $a^1$ in T **65** λῆμα Bk., recte **66** τοῦ — πεπεισμένου T ἀλλά γε τοῦ ἑτέρου κρατήσειν πέπεισται b **67** sq. ἐπὶ τῇ ἀθηνᾷ τρέπει T, τῇ ἀθηνᾷ ἐπιτρέπει Wil., fort. recte **69** scholia ad E 260—353 desunt in B (exciderunt folia 68 et 69), cf. Beiträge 3—26; de cod. E$^4$ ib. 26 **70** ἑαυτοῦ καὶ σθενέλου om. T, fort. recte (cf. Beiträge 13,2, at vide test.) **72** le. add. Vill. **73** ὅτι A, ἡ διπλῆ, ὅτι Vill.

261—4. σὺ δὲ τούσ⟨δε⟩ μὲν ὠκέας ἵππους ⟨—— Ἀχαιούς⟩: *ex.* νηφαλίως ἅπαντα προορᾷ οὐκ ἐκκρουόμενος ὑπὸ τοῦ προσδοκωμένου κινδύνου, εἴγε ὁ μὲν θεᾶς υἱός, ὁ δὲ τοξότης ἄριστος, ὃς ἤδη καὶ ἔβαλεν αὐτόν. πολεμικοῦ δὲ ἀνδρὸς ἀντιποιεῖσθαι τῶν πρὸς τὸν πόλεμον χρησίμων· καὶ ὁ Ἕκτωρ γοῦν τὸν Διομήδους θώρακα σπεύδει λαβεῖν καὶ „ἀσπίδα Νεστορέην" (Θ 192). b($CE^3$) T

262 *a*. ⟨αὐτοῦ ἐρυκακέειν:⟩ ὅτι ἀπαρέμφατον ἀντὶ προστακτι- *Ariston.* κοῦ τοῦ ἐρύκακε. $A^{im}$

*b*. ἐξ ἄντυγος ἡνία τείνας: ἵνα δοκῶσιν ὑπό τινος ἄγ- *ex.* χεσθαι. T

263 *a*. Αἰνείαο δ' ἐπαΐξαι: ὅτι τῷ ἀπαρεμφάτῳ ἀντὶ προστα- *Ariston.* κτικοῦ ἐχρήσατο. Ζηνόδοτος δὲ „†αἰνείω†" γράφει. A

*b*. ⟨μεμνημένος:⟩ μεμνημένος μου. $T^{il}$ *ex.(?)*

264. ⟨ἐκ δ' ἐλάσαι:⟩ διὰ τὴν αὐτὴν αἰτίαν. $A^{im}$ *Ariston.*

265. τῆς γάρ τοι γενεῆς: ὁ μὲν Αἰνείας τὸ φορτικὸν ἐκκλίνων *ex.* ἐπετέμετο τὸν ἔπαινον (sc. Ε 222—3). ὁ δὲ ἐπιμελέστερον ἐπαινεῖ παρατείνων τὸν Σθένελον. πόθεν δὲ οἶδεν; ἐξ αἰχμαλώτων δηλονότι, ὅθεν καὶ Ἰδομενεὺς ἔμαθε τὰ περὶ Ὀθρυονέως (cf. Ν 374—82). δύναται δὲ καὶ ὡς Ἀργεῖος εἰδέναι ταῦτα, εἴγε Ἡρακλῆς ἐστράτευσεν ἐπὶ Τροίαν. b($CE^3$) T

266 $a.^1$ {δῶχ'} υἷος: προπερισπαστέον· ἀπὸ γὰρ εὐθείας ἐστὶ *Hrd.* μὴ εἰρημένης τῆς υἷϊς, ἧς γενικὴ ὤφειλεν εἶναι τρισύλλαβος ὡς μάντιος. αὕτη τοίνυν συναλιφὴν παθοῦσα καὶ δισύλλαβος γενομένη βαρύνεται, ἧς ἀκόλουθος δοτικὴ „Νηληΐῳ υἷϊ ἐοικώς" (Β 20). καὶ αἰτιατικὴ „ἀλλ' υἷα Κλυτίοιο σαώσομεν" (Ο 427) καὶ πληθυντικὴ εὐθεῖα „υἷες ὁ μὲν

262 *a* ad Α 20 $a^2$ (Ariston.) *b* ad Ε 322 *b*, cf. sch. Eur. Hipp. 1188 263 *a* — ἐχρήσατο (85) ad Α 20 $a^2$ Ζηνόδοτος (85) sq. ad Ε 323 (Ariston.) 264 deest diple ante versum in A, vide ad Ε 263 *a* 265 ἐπετέμετο (89) ad Ε 223 *a* 266 $a^1$ cf. Choer. Th. 1, 371, 22 (= Hrd. 2, 340, 11), unde Et. Gen. υἱός (p. 291 Miller = Simon. fr. 132 P. [P. M. G. 637]), sim. Ep. Hom. (An. Ox. 1, 419, 14, Et. Gud. 539, 17) προπερισπαστέον (94) ad Ο 138 *b* (Hrd.), cf. Arcad. 148, 2 υἷϊ (2) ad Π 177 $c^1$ (Hrd.)

---

74 le. T supplevi (τούσδε Ma.), om. b (qui sch. et ipse ad Ε 261 revocavit) 76 ἔβαλλεν C 78 ὁ om. b 80 le. add. Vill., fort. rectius ἐρυκακέειν: ὅτι A, ἡ διπλῆ, ὅτι Vill. 81 ἐρύκακε Bk., ἐρυκακέειν A 82 sq. ἄγχεσθαι T (ut sch. Eur.), ἄρχεσθαι Ma. 84 ὅτι A, ἡ διπλῆ, ὅτι Vill. 85 αἰνείαο Bk., recte 86 et 87 le. addidi 87 διὰ A, erat fort. ἡ διπλῆ διὰ 88—93 post sch. Ε 266 $a^2$ in b 89 sq. παραγγέλλων T 90 δῆλον ὅτι $E^3$ 91 ἔμαθε] ἔπειτα ἔμαθε C 92 δὲ om. $E^3$ 93 ἐπίνοιαν T 94 (le.) δῶχ' del. Bk. 95 μάντιος Ν 663 3 σαώσ. Vill., σαώσωμεν A, σαώσατε Hom.

Κτεάτου" (Β 621) καὶ αἰτιατικὴ „υἷάς τ' ὀλλυμένους" (Χ 62). ἀποδείξομεν δὲ καὶ τὸ „υἱάσι δὲ Πριάμοιο" (Ε 463) παρὰ τοῦτο κεκλίσθαι ἐν τοῖς Περὶ ὀνομάτων (fr. 10 = 2, 614, 36), ὅταν καὶ περὶ τῆς καθολικῆς κινήσεως τοῦ ὀνόματος διαλαμβάνωμεν. A

$a.^2$ προπερισπαστέον τὸ υἷος· ἀπὸ γὰρ τοῦ ὕϊος ἦν καὶ κατὰ κρᾶσιν υἷος. b(CE$^3$) T

*Ariston.* *b.* ποινὴν ⟨——— οὕνεκ'⟩: ὅτι ἰδίως τῷ ποινὴ κέχρηται· κυρίως γὰρ ἐπὶ φόνου, „ποινὴν δεξαμένῳ" (Ι 636). καὶ ὅτι τὸ οὕνεκα ἀντὶ τοῦ τοὔνεκα. A

*D(?)* 267. ⟨ἵππων, ὅσσοι ἔασιν ὑπ' ἠῶ τ' ἠέλιόν τε:⟩ ὁ τρόπος περίφρασις. A$^{\text{int}}$

*Ariston.* 268. τῆς γενεῆς ἔκλεψεν: ἀντὶ τοῦ ταύτης. καὶ λείπει τὸ ἄρθρον, ἵν' ᾖ ταύτης τῆς γενεῆς. b(CE$^3$) T

*ex.* 269 *a.* λάθρῃ Λαομέδοντος: περισπούδαστοι γὰρ ἦσαν αὐτῷ. πῶς οὖν παρὰ τῷ Πριάμῳ τὸ γένος τῶν ἵππων οὐ σῴζεται; ὅτι τοὺς Λαομέδοντος Ἡρακλῆς ἀπήγαγε πορθήσας τὴν Ἴλιον. b(CE$^3$) T

*ex.* | *D ad E 715* *b.* ⟨ὑποσχών:⟩ ἀντὶ τοῦ ὑποστήσας. | καὶ „ὑπέστημεν" (Ε 715) ὑπεσχόμεθα. T$^{\text{il}}$

*Hrd.* $c.^1$ θήλεας ἵππους: τρίτη ἀπὸ τέλους ἡ ὀξεῖα, ἵνα ἀπ' εὐθείας τῆς θῆλυς ᾖ κεκλιμένον· „θῆλυς ἐέρση" (ε 467), „Ἥρη θῆλυς ἐοῦσα" (Τ 97), „θῆλυν ὑπόρρηνον" (Κ 216). οὕτως Ἀρίσταρχος καὶ ⟨ὁ⟩ Ἀσκαλωνίτης (p. 45 B.). A

$c.^2$ προπαροξυτόνως ἀπὸ τοῦ ἡ θῆλυς, ὡς „θῆλυς ἐέρση" καὶ „γυνὴ δὲ θῆλυς οὖσα κοὐκ ἀνδρὸς φύσιν" (Soph. Trach. 1062). οἶδε δὲ καὶ τὸ θήλεια· „ἄμφω θηλείας" (Β 767). b(CE$^3$) T

ἀποδείξομεν (4) sq. vide ad E 463 (ubi sch. Herodiani non iam exstat) *b* — δεξαμένῳ (11) cf. Eust. 546, 23. 1102, 55; sim. D ad Γ 299. Ι 633; Ap. S. 132, 29; sch. Pind. N. 1, 108; Ep. Hom. (An. Ox. 1, 359, 24, Et. Gud. 472, 54, sim. Et. Gen. = EM. 678, 57); vide ad Γ 286. Ι 633 (Ariston.); Dimpfl 45 ἐπὶ φόνου (11) cf. Lex. Hdt. 455 (= 226, 113 R.) τὸ οὕνεκα (11) ad Ι 505 (Ariston.), cf. Lehrs Ar.$^3$ 150 **267** cf. D, Eust. 546, 32 **268** nullum signum ante versum in A, sch. Aristonico attr. Friedl., vide ad B 576 (Ariston.); sim. Polyb. barb. 286, 7 **269** *b* — ὑποστήσας (20) cf. D, Eust. 546, 35 *c/d* cf.

5 κεκλῆσθαι A em. Bk. 7 an κλίσεως? **8** προπερισπ. b, υἷος ποινήν: προπερισπαστέον T ἦν καὶ T ἐστὶ b **9** υἷος om. b **10** le. A supplevi ὅτι A, fort. ἡ διπλῆ, ὅτι τῷ Vill., τὸ A **13** le. addidi **15** ἀντὶ A, erat fort. ἡ διπλῆ, ὅτι τὸ τῆς ἀντὶ **18** οὖν om. T τῶν ἵππων om. T, fort. recte **20** le. add. V$^c$ **23** εέρση A em. Vill. **24** θῆλυν] fort. ὄϊν δώσουσι μέλαιναν / θῆλυν (Κ 215—6) **25** ὁ add. Bk., **26** προπ. b, θήλεας ἵππους: προπαροξυτόνως T ἡ om. b **28** ἄμφω T ὡς τὸ ἄμφω b, fort. rectius

*d.* θήλεας: ὅτι οἱ περὶ Ἑλλάνικον ἀνεγίνωσκον „θηλέας" *Ariston.* ὡς ταχέας, ὡς Δωρικῶς ἐκτιθεμένου τοῦ ποιητοῦ. τὸ δὲ τοιοῦτο παρ' Ἡσιόδῳ (e. g. th. 60. 401 al.) πλεονάζει, Ὅμηρος δὲ οὐ χρῆται. **A**

271—2 *a.*¹ τοὺς μὲν τέσσαρας αὐτὸς ἔχων ⟨——/⟩ τὼ δὲ *ex.* δύ' Αἰνείᾳ δῶκεν: οὐχ ὡς ἀποθανόντος Ἀγχίσου φησὶ „τῶν δὴ νῦν ἕτεροί γε φίλον παῖδα" (Υ 210). ἔστιν οὖν ὅτε ἦν ἔφηβος· νῦν γὰρ διὰ γῆρας ἐν Δαρδανίᾳ διάγει· διὸ οὐδὲ μετὰ τῶν δημογερόντων ἐστίν. διδάσκει δέ, πῶς δεῖ μερίζεσθαι ζῶντι πατρί. **T**

*a.*² οὐχ ὡς ἀποθανὼν Ἀγχίσης κατέλιπεν αὐτὰς τῷ υἱῷ, ἀλλ' ὅτε κἀκεῖνος ἔφηβος ἦν. νῦν δὲ γηράσας ἐν Δαρδανίᾳ διάγει· διὸ οὐδὲ μετὰ τῶν δημογερόντων ἐστί. διδάσκει δέ, πῶς δεῖ μερίζεσθαι ζῶντι πατρί. **b**(CE³)

272 *a.* τὼ δὲ δύ' Αἰνείᾳ ⟨δῶκεν, μήστωρε φόβοιο⟩: ὅτι δύο *Ariston.* ἵπποις ἐχρῶντο. ἡ δὲ ἀναφορὰ πρὸς τὸ τέτρωρον „Ξάνθε τε καὶ σύ, Πόδαργε" (Θ 185). καὶ ὅτι φόβον τὴν φυγὴν λέγει. **A**

*b.* ⟨μήστωρε:⟩ οὕτως Ἀρίσταρχος μήστωρε δυϊκῶς· ἐπὶ *Did.* γὰρ τῶν ἵππων. **A**^int^

277 *a.*¹ καρτερόθυμε, δαΐφρον: εἰρωνικός ἐστιν ὁ ἔπαινος. **T** *ex.*

*a.*² καὶ ὁ ἔπαινος τοῦ ἀεὶ ἀλαζόνος εἰρωνικός ἐστιν. **b**(CE³)

278 *a.*¹ ἦ μάλα σ' ⟨οὐ βέλος ὠκὺ δαμάσσατο, πικρὸς *Ariston.*|*Hrd.*| ὀϊστός⟩: πρὸς τὴν ἑρμηνείαν· ἦ μάλα σε οὐκ ἐδάμασε τὸ βέλος, ὅ *Nic.* ἐστιν ὁ ὀϊστός. | περισπαστέον δὲ τὸν ἦ· ἔστι γὰρ μᾶλλον βεβαιωτικός. | ὑποστιγμὴ δὲ κατὰ τὸ τέλος τοῦ στίχου· κεῖται γὰρ ὁ ἢ ἀντὶ τοῦ εἰ καὶ βαρύνεται. οἱ δὲ περισπῶντες στίζουσι κατὰ τὸ τέλος. **A**

*a.*² ἀντὶ τοῦ εἴ. **A**^im^ *Nic.*

Eust. 546, 42    *c* cf. D    *d* ad T 97 *a* (Ariston.), vide ad Θ 378 (Did.); — Ἡσιόδῳ (31) brevius **h**(Ge P¹¹)    Ἑλλάνικον (29) Hell. est Agathoclis Zenodotei discipulus a grammaticis stans, qui Χωρίζοντες appellabantur, ad O 651 (Ariston.)    Δωρικῶς (30) . . . παρ' Ἡσιόδῳ (31) cf. A. Morpurgo-Davies, Glotta 42, 1964, 152    272 *a* — Πόδαργε (43) ad E 195 *b* (Ariston.)    ὅτι φόβον (43) sq. cf. Su. φ 559: φόβος παρ' Ὁμήρῳ ἡ φυγή, D; vide ad E 223 *b* (Ariston.)    *b* alii μήστωρι legebant, vide ad Θ 108 (Did.)    **277** cf. D    **278** *a*¹ περισπαστέον (50) — βεβαιωτικός ad A 156 *a*. 229 (Hrd.)    ὑποστιγμή (51) sq. ad Γ 215 *a*

---

**29—31** pone sch. E 272 *a* in A, trps. Vill., Frdl.    **29** le. scripsi (auctore Frdl.), λάθρηι λαομέδοντος: A    ὅτι A, ἡ διπλῆ, ὅτι P¹¹ (et Vill.)    ἑλλανικὸν A em. Bk.    **30** ἐκτιθεμένου A συνεσταλκότος **h**    **32** sq. le. T suppl. Ma.    **33** ἀγχίσου· φησὶ γοῦν (γὰρ Ma.) Bk.    **37—40** sch. ad E 271 rettulit **b**    **41** le. A suppl. Frdl.    ὅτι A, fort. ἡ διπλῆ, ὅτι    **44** le. add. Bk.    **48** sq. le. A suppl. Vill. **49** πρὸς A, fort. ἡ διπλῆ πρὸς    ἐδάμασσε Vill.

*ex. (Nic.)* *b.* ἦ μάλα σ' οὐ βέλος ⟨ὠκὺ δαμάσσατο, πικρὸς ὀϊστός:⟩ ὁ ἦ ἀντὶ τοῦ εἶ, καὶ τὸ ὀϊστός ὑποστιχθήσεται· εἰ γὰρ περισπάσομεν τὸν ῆ, ἀνηθοποίητον ἔσται. **b**(CE³) **T**

*ex.* *c.* βέλος ὠκὺ ⟨ . . . ⟩, πικρὸς ὀϊστός: βέλος κοινόν, ὀϊστός εἰδικόν. **b**(CE³) **T**

*ex.* 279 *a.* νῦν αὖτ' ἐγχείῃ πειρήσομαι: εἰκὸς κατὰ τὸ σιωπώμενον ἐντεθωρακίσθαι αὐτόν. **T**

*ex.* *b.* αἴ κε τύχωμι: ἐν πλεονασμῷ ἐστι τὸ μι. **T**

*Hrd.* 283 *a.*¹ τῷ δ' ἐπὶ μακρὸν ἄϋσεν: οὐκ ἀναστρεπτέον τὴν πρόθεσιν· πρὸς γὰρ τὸ ἄϋσε φέρεται. καὶ εἰ πρὸς τὸ ἄρθρον δὲ συνετάττετο, οὐκ ἀνεστρέφετο, δι' ὃν προείπομεν πολλάκις λόγον ὡς ὅτι, ἐὰν μεταξὺ πέσῃ μέρος λόγου, οὐ γίνεται ἀναστροφὴ τῆς προθέσεως, ἐὰν μὴ τελευταία στίχου τεθῇ. **A**

*a.*² τῷ δ' ἐπὶ μακρὸν ἄϋσε: οὐκ ἀναστρεπτέον τὴν πρόθεσιν· πρὸς γὰρ τὸ ἄϋσε φέρεται. ἀλλ' οὐδ' εἰ πρὸς τὸ ἄρθρον ἐφέρετο, ἀνεστρέφετο· ἐὰν γὰρ μεταξὺ πέσῃ μέρος λόγου, οὐκ ἀναστρέφεται, εἰ μὴ ἐν τέλει, ὡς τὸ „ἔπτυσε πολὺ κάτα“ (Call. [?] fr. 779). **b**(CE³) **T**

*ex.* 284. βέβληαι κενεῶνα: ἄκρως ἀλαζὼν ὁ Πάνδαρος, ὃς ἑστῶτος τοῦ πολεμίου καὶ περὶ τοῦ τόπου τῆς πληγῆς ὁρίζεται. **b**(CE³) **T**

*D* κενεῶνα: τὸν ὑπὸ τὰς πλευρὰς ——— ὀστέων. **A**

*ex.* 287. οὐδ' ἔτυχες: οὐ γὰρ ἔτυχες, οἷον οὐκ ἐπέτυχες. **T**

*c* cf. D ad A 46, Ap. S. 119, 22; Eust. 547, 16 **279** *a* κατὰ τὸ σιωπώμενον (59) cf. Meinel 13 **283** *a*¹ cf. Io. Alex. 27, 11; — φέρεται (63) ad A 67; vide ad Π 75 (Hrd.) καὶ εἰ πρὸς (63) — τῆς προθέσεως (65) ad E 308. H 6. 163. 167. K 95 *b*. 273. 335 *a*. 351 *a*. Ψ 226. 377 (Hrd.), cf. sch. δ 311. λ 260. μ 104. 313, Ep. Hom. (An. Ox. 1, 341, 17); cf. Lehrs, Quaest. ep. 75 προείπομεν πολλάκις (64) in nostris quidem scholiis non ante hunc locum ἐὰν μὴ (66) sq. cf. sch. *a*² *a*² εἰ μὴ ἐν τέλει (70) sq. cf. Io. Alex. 27, 20; Ap. Dysc. synt. 436, 4 **284** cf.

---

**54** sq. le. T supplevi, om. **b** **56** ἔσται T ἐστιν **b** **57** le. T supplevi, om. **b**; totum le. abesse iussit Nickau βέλος² T, ἔστι δὲ τὸ μὲν βέλος (coni. cum scholio praecedenti) **b** **58** οἰστ. εἰδ. T ὁ δὲ ὀϊστὸς ἰδικόν **b** **60** ἐντεθωρακεῦσθαι T (ἐντεθωρακεῖσθαι V) corr. Bk. **62** (le.) ἄϋσσεν A em. Vill. (ἄϋσε) **63** ἤϋσε A em. Bk. **68** ἤϋσε T **70** τέλει ἦι (ἢ C) ὡς **b** πάντων δ' ἔπτυσε πουλὺ κ. Call.

289 *a.* ταλαύρινον πολεμιστήν: ὅτι παρηγμένως λέγει ταλαύρινον πολεμιστήν, καὶ ἕν ἐστιν ἐξ ἀμφοτέρων, ὑπομενητικὸν ἐν τῇ μάχῃ. **A** *Ariston.*

*b.*[1] ταλαύρινον: Ἀρίσταρχος ψιλοῖ τὸ ρ̄· οὐ γάρ, φησί, σύνθετον δεῖ νοεῖν τὸν σχηματισμόν, ἀλλὰ κατὰ ἁπλῆν ἔννοιαν· τὸν γὰρ εὔτολμον καὶ ἰσχυρόν. ὁμοίως δὲ καὶ Ἀριστοφάνης. Τρύφωνι (fr. 96 V.) δὲ ἀρέσκει ὁ σχηματισμὸς σύνθετος εἶναι παρὰ τὸ ταλαόν καὶ τὸ ῥινόν. εἴτε δὲ λεκτὸν ἔχει τὸ ἐπὶ τέλους εἴτε παρέλκει, ὀφείλει φυλάττεσθαι τὸ πνεῦμα· οὕτως γὰρ διελάβομεν περὶ τοῦ „μελιηδέος οἴνου“ (cf. Δ 346), ᾧ καὶ αὐτὸς συγκατατίθεται. ἡ μέντοι παράδοσις ἐπείσθη Ἀριστάρχῳ. **A** *Hrd.*

*b.*[2] ταλαύρινον: ἰσχυρόχρωτα. **T** | Ἀρίσταρχος ψιλοῖ τὸ ρ̄· οὐ γὰρ σύνθετον αὐτὸ ἐκδέχεται, ἀλλὰ καθ' ἁπλῆν ἔννοιαν τὸν εὔτολμον, καὶ πέπεισται αὐτῷ ἡ παράδοσις. Τρύφων δὲ σύνθετον αὐτὸ ἐκδέχεται παρὰ τὸ ταλαόν καὶ τὴν ῥινόν ὁμοίως τῷ ταναόποδα „ταναύποδα“ (ι 464). **b**(CE³) **T** *ex.(?)* | *Hrd.*

**290—1.** ⟨βέλος δ' ἴθυνεν Ἀθήνη / ῥῖνα παρ' ὀφθαλμόν, λευκοὺς δ' ἐπέρησεν ὀδόντας:⟩ καὶ πῶς, φασίν, πεδόθεν πολεμῶν τοιαύτην τῷ ἱππεῖ τὴν πληγὴν ἐπήνεγκε; λύεται γοῦν διὰ τῆς ἐνεργείας τῆς Ἀθηνᾶς· ἢ εἰκὸς τὸν Πάνδαρον κύψαι πρὸς τὸ ἐκκλῖναι τὴν βολήν. **b**(CE³) *ex.*

βέλος δ' ἴθυνεν Ἀθήνη καὶ τὰ ἑξῆς: ζητεῖται πῶς Διομήδης ——— ἀφ' ὕψους βεβληκέναι. | ὅτι †δηλωθεὶς† τῇ ὁρμῇ τοῦ ἥρωος ὁ Πάνδαρος συνεκάθισεν. **A** *D* | *D*

Eust. 547, 24 **289** *a/b* ad Η 238—9 (Ariston.) *a* ad Ν 415 *c.* Π 180 *a* (Ariston.), cf. Ap. S. 148, 29: ταλαύρινον· τολμηρόν. παρῆκται δὲ ἡ λέξις παρὰ τὸ τλῆναι, καὶ οὐκ ἔγκειται ὁ ῥινός, ὡς οὐδὲ ἐν τῷ „κελαινεφές“ (Β 412 al.) τὸ νέφος, cf. Lehrs Ar.³ 305 παρηγμένως (76) ad Π 635 (Hrd.) al. ὑπομενητικόν (77) = D, cf. D ad Η 239, Ge (ex **h**?): τὸν ταλαύρινον ἤτοι τὸν πολεμικὸν καὶ καρτερικόν, vide ad Υ 78 (ex.) *b*¹ brevius Eust. 548, 30; vide ad Ο 705; — πνεῦμα (84) cf. Eust. 524, 9 (vide ad Ε 76 *a*) Τρύφωνι (81) vide ad Η 239 *a* διελάβομεν (84) ad Δ 346 (Hrd.) *b*² ταναύποδα (91) cf. sch. ι 464 **290—1**

---

**76** le. Frdl. (Vill.), αἵματος ἄσαι: A ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **81** γὰρ eiecit Bk. τρύφωνι Bast (sim. Villoison XXX), τροφώνει A **83** τὸ ῥιν. A, τὴν ῥινόν Bk., fort. recte (cf. sch. *b*²) **85** ᾧ Bk., ὃ A **89** εὔτ. T συσταλμόν **b** **90** δέχεται αὐτὸ **b** **91** τανύποδα T **92** sq. le. addidi (sch. ad E 291 revocavit **b**) **93** φασίν scripsi, φησιν **b** **94** ἤνεγκε et γ' οὖν E³ **95** τῆς (ante ἀθηνᾶς) om. E³ **2—4** pone sch. E 292 in A, trps. Vill. **3** βεβληκέναι:— (in fine lineae) ὅτι A δειλωθεὶς D

*Hrd.* **292.** πρυμνήν: ὡς „πυκνήν" (ξ 521. 529). ἐπίθετον γάρ. ὅταν δὲ ἰδίως ἐπὶ τοῦ πλοίου, βαρύνομεν, ὡς λεύκη καὶ „λευκή" (ζ 45. κ 94). ὀξύνεται δὲ ὁ πρυμνός, ἐπεὶ τὰ εἰς $\overline{\text{νος}}$ λήγοντα μετ' ἐπιπλοκῆς συμφώνου τριγενῆ ἁπλᾶ ὀξύνεται, συχνός πυκνός. οὕτως „πρυμνός" (Μ 446). **A**

*ex.(?) | Hrd. | ex.* **292—3** *a.*$^1$ πρυμνὴν τάμε (292): τὸ ἔσχατον. παρὰ νείατον δὲ ἀνθερεῶνα (293) παρὰ τὸ ἔσχατον μέρος. | πρυμνή τὸ ἐπίθετον ὀξύνεται, ἐπὶ δὲ τοῦ πλοίου βαρύνεται. | πρυμνὴν δὲ τάμε (292) τὴν πρὸς τῇ ῥίζῃ. **T**

*ex. | Hrd.* *a.*$^2$ τὴν πρὸς τῇ ῥίζῃ. | τοῦτο μὲν οὖν ὡς ἐπίθετον ὀξύνεται· τὸ δὲ ἐπὶ τῆς νηὸς βαρύνεται. **b**($\mathrm{CE}^3$)

*ex.(?)* *a.*$^3$ πρὸς τὸ τοῦ ἀνθερεῶνος ἔσχατον μέρος. **b**($\mathrm{CE}^3$)

*Did.* **293** *a.* ⟨ἐξελύθη:⟩ οὕτως Ἀρίσταρχος ἐξελύθη, ἄλλοι δὲ „ἐξεσύθη". $\mathbf{A}^{\mathrm{int}}$

*ex. | Did.* *b.* ἐξελύθη: τῆς ὁρμῆς ἐπαύσατο. **b**($\mathrm{CE}^3$) **T** | ἐξελύθη Ἀρίσταρχος, Ζηνόδοτος δὲ „ἐξεσύθη". **T**

*ex.* **297** *a.* ἀπόρουσε: χρησίμως, ἵνα ὑπεκστῶσιν οἱ ἵπποι, καὶ μὴ δύνηται ἐπιβεβηκὼς αὐτοῖς ὑπερμαχεῖν Αἰνείας. **b**($\mathrm{CE}^3$) **T**

*ex.* *b.* Αἰνείας δ' ἀπόρουσε σὺν ἀσπίδι δουρί τε: ἦν γὰρ τόπος τῶν ὅπλων τοῦ ἡνιόχου. φησὶ περὶ Αὐτομέδοντος· „ὣς εἰπὼν εἰς δίφρον ἑλὼν ἔναρα βροτόεντα" (Ρ 540). **T**

*Hrd.* *c.*$^1$ Αἰνείας δ' ἀπόρουσε{ν} ⟨σὺν ἀσπίδι δουρί τε μακρῷ⟩: Ἡλιόδωρος στίζει ἕως τοῦ ἀπόρουσεν, εἶτα ἄρχεται ἀπὸ τοῦ σὺν ἀσπίδι δουρί τε μακρῷ· ἃ γὰρ εἶχε, φησί, πρότερον,

cf. D, Porph. 1, 80, 24 not. (originis incertae), vide Friedrich 24 **292** Et. Gen. (AB) πρυμνήν· ὡς πυκνήν· ἐπίθετον γάρ. ἐπὶ δὲ τοῦ πλοίου βαρύνεται. | . . . | τὰ γὰρ εἰς $\overline{\text{νος}}$ μετ' ἐπιπλοκῆς συμφώνου (A, σύμφωνα B) τριγενῆ ἁπλᾶ ὀξύνονται (ὀξ. A, ὄντα ὀξύνονται οἷον B) †ἀχνός (lg. συχνός) πυκνός κραιπνός (cf. Κ 162 al.), „γυμνός" (Ρ 711). οὕτως οὖν καὶ πρυμνός πρυμνή, fort. ex hyp. Iliad., cf. Eust. 548, 1; ad Μ 149 *a*. Ξ 32. 351 *a* **292—3** $a^1$ — μέρος (11) cf. D ad E 292 et 293 al.; Eust. 547, 45. 548, 3; — ἔσχατον$^1$ (10) ad E 339 *a*. Ν 333. Π 314. Ρ 618 (ex.), cf. D, Ap. S. 136, 20; vide ad Ν 532 (ex.) **293** *a/b* ἐξεσύθη cf. Wackernagel I 220. 671 *b* — ἐπαύσατο (19) cf. He. ε 3699

---

**6** λευκὴ καὶ λεύκη Bk. **8** πυκνός cf. Μ 57 al. **14—5** sch. ad v. 292 rettulit **b** **16** πρὸς sq. pone sch. E 293 *b* (coni. cum v. ἐπαύσατο) **b**, dub. transposui (fort. potius verba scholii $a^1$ παρὰ νείατον — μέρος ad v. E 293 traicienda sunt) **17** le. add. Bk. (Vill.) **19** le. scripsi, ἐξέσυτο (= $\mathrm{T}^{\mathrm{cont}}$): ἐξελύθη (τῆς) T, om. **b** **21** le. Wil., ἤριπε δ' ἐξ ὀχέων T, om. **b** (sed sch. in $\mathrm{CE}^3$ ad v. E 297 relatum est) **22** αἰνείας **b**, om. T **24** τοῖς ὅπλοις ci. Wil. (at cf. sch. $c^2$) **25** ἐς Hom. **26** sq. le. A em. et suppl. Vill. **27** ἰλιόδωρος A em. Vill. ἕως τοῦ susp., εἰς τὸ Bk., fort. recte **28** εἶλε φασί A em. Bk.

ταῦτα τῷ Πανδάρῳ μετέδωκεν. αἱρεῖ γοῦν, φησί, τὴν ἀσπίδα ἀπὸ τοῦ νεκροῦ καὶ καθοπλίζεται καὶ τὸ βληθὲν ὑπὸ τοῦ Διομήδους δόρυ. τοῦτο δὲ οὐκ ἔστιν ἀληθὲς ὡς ὅτι ἀπὸ τοῦ Πανδάρου ὁ Αἰνείας αἱρεῖ τὰ ὅπλα· οὐ γὰρ ἐδήλωσεν ὁ ποιητής, ἀπίθανόν τε αὐτὸν †εἶναι† τὸν Αἰνείαν γυμνὸν παραδεδωκέναι τοῖς πολεμίοις, ὑπόψυχρόν τε τὸ ἐκδέχεσθαι τὸν Διομήδη ἕως οὗ καθοπλίσηται ὁ Αἰνείας καὶ μὴ εὐθέως αὐτὸν ἀνελεῖν· διὸ καὶ ὁ Ἀσκαλωνίτης (p. 46 B.) συνάπτει ὥστε ἐπὶ τοῦ Αἰνείου κεῖσθαι τὸ σὺν ἀσπίδι δουρί τε μακρῷ· καὶ δῆλον ὅτι ὁ Πάνδαρος ὑπ' ἄλλου κατὰ τὸ σιωπώμενον καθώπλιστο, ὁ δὲ Αἰνείας εἰς τὸ μετάφρενον μετενηνόχει τὴν ἀσπίδα, εἶχε δὲ τὸ δόρυ παρακείμενον, ᾗ ἔκειτο ἐν τῷ δίφρῳ, ὥσπερ καὶ Νέστωρ ἡνιοχῶν Διομήδει, ὡς σαφὲς ἐκ τοῦ Ἕκτορος προσώπου „αἴ κε λάβωμεν / ἀσπίδα Νεστορέην" (Θ 191—2). οὕτως δὲ καὶ Αὐτομέδων ἡνιοχεῖ τῷ Πατρόκλῳ· παραδοὺς οὖν τὰς ἡνίας Ἀλκιμέδοντι πολεμεῖ τοῖς ἰδίοις ὅπλοις (cf. P 481—3). ταῦτα Ἡρωδιανὸς ἐν τῇ Προσῳδίᾳ (2, 51, 5). **A**

*c.*$^2$ Ἡλιόδωρος ἔστιξεν εἰς τὸ ἀπόρουσε· παρεδεδώκει γάρ, φησίν, ὁ Αἰνείας τὰ ἴδια ὅπλα τῷ Πανδάρῳ ὡς μέλλων ἡνιοχεῖν, εἶθ' οὕτω κατελθὼν ἐκδιδύσκει τὸν νεκρὸν καὶ τούτοις ὁπλίζεται· ὅπερ ἄτοπον, τὸ ἐπιτηρεῖν Διομήδεα, ἄχρις οὗ ὁπλισθῇ Αἰνείας. ἀλλὰ μᾶλλον, ὡς καὶ Ἡρωδιανῷ (2, 51, 16) δοκεῖ, κατὰ μὲν τὸ σιωπώμενον Πάνδαρος ὁπλίζεται, παράκειται δὲ τὰ ὅπλα τῷ Αἰνείᾳ παρὰ τὸν δίφρον ὡς καὶ Νέστορι· **b**(CE$^3$) **T** δῆλον γάρ, ἐξ ὧν φησιν Ἕκτωρ „αἴ κε λάβωμεν ἀσπίδα Νεστορέην". **T** καὶ Αὐτομέδων παραδοὺς Ἀλκιμέδοντι τὰς ἡνίας αὐτὸς πολεμεῖ. ἦν οὖν τόπος τῶν ὅπλων τοῦ ἡνιόχου ἐν τῷ ἅρματι, ἵν' εἰ χρεία γένοιτο, μαχέσωνται. **b**(CE$^3$) **T**

*d.*$^1$ Αἰνείας δ' ἀπόρουσε σὺν ἀσπίδι δουρί τε μακρῷ: ὅλον συναπτέον τὸν στίχον, ὡς Νικάνωρ (p. 183 Friedl.). **T** *Nic.*

*d*$^2$ συναπτέον ὅλον τὸν στίχον. **A**$^{int}$

298. ⟨οἱ:⟩ ὅτι ἀντὶ τοῦ αὐτοῦ. **A**$^{int}$ *Ariston.*

297 $c^1$ καὶ δῆλον ὅτι (36) sq. Nicanori attr. Wackernagel (Mus. Rhen. 31, 1876, 435), parum probabiliter 298 ad B 816 pap. II (Ariston.), vide ad E 300 (Ariston.)

---

29 παρέδωκεν Bk., fort. recte οὖν Lehrs, fort. γ' οὖν 32 τε αὐτ. εἶναι] τε αὐτὸν ἑαυτὸν Bk., possis τε τὸ ἑαυτὸν sim. 44 ἡλιόδωρος sq. cum scholio *b* (v. βροτόεντα) coni. T παραδεδώκει b 45 φησίν — ὅπλα T φησι τὰ ὅπλα b 46 οὕτως C ἐνδιδύσκει E$^3$ 47 lac. post ἄτοπον stat. Wil. 49 δὲ b γὰρ T καὶ τῷ αἰνείᾳ τὰ ὅπλα b 52 ἀλκιμ. post ἡνίας b τῶν ὅπλων om. C, τοῖς ὅπλοις ci. Wil. 53 ἵνα et μαχέσονται T 54 sq. cum scholio praecedenti coni. T 57 le. add. Bk. ὅτι A, fort. ἡ διπλῆ, ὅτι αὐτοῦ] αὐτοῦ. καὶ παρεῖται ἡ παρά Frdl. (cf. test.)

*Ariston.* 299 *a*. ἀμφὶ δ' ἄρ' αὐτῷ βαῖνε: ὅτι ἀπὸ τῶν τετραπόδων ἡ μεταφορά, πρὸς τὸ „ὃς Χρύσην ἀμφιβέβηκας" (A 37). **A**

*Hrd.* *b*. ἀλκί: ἀλκί ὡς σαρκί, καὶ ἔστι κατὰ μεταπλασμὸν ἀπὸ τοῦ ἀλκή. τινὲς δὲ ἀπὸ τοῦ †ἀλκίς† Αἰολικοῦ αὐτό φασιν· τοῖς γὰρ εἰς η̄ παράκειται †εἰς† ῑς̄, ὡς „ἑορτή" (υ 156. φ 258) καὶ ἑορτίς καὶ ἐν ὑπερθέσει ἔροτις (cf. Eur. El. 625). **AT** ὤφειλε δὲ ἐκτείνειν τὸ ῑ. **T** †εἶτε† ἀπ' εὐθείας τῆς ἄλξ πεποίηται, ὡς οἴεται ὁ Ἀσκαλωνίτης (p. 46 B.). Τρύφων δὲ ἐν τῷ Περὶ τῆς ἀρχαίας ἀναγνώσεως (fr. 97 V.) φησὶν ὅτι Ἀρίσταρχος λέγει ὅτι ἔθος αὐτοῖς ἐστι λέγειν τὴν ἰωκὴν „ἰῶκα" (Λ 601) καὶ τὴν κρόκην „κρόκα" (Hsd. opp. 538) καὶ τὴν ἀλκὴν ἄλκα ὡς σάρκα. εἰ δὲ σάρκα ὡς ἄλκα, καὶ ἀλκί ὡς σαρκί. **A**

*ex.(?)* | *Hrd.(?)* *c*. ⟨ἀλκί:⟩ ἐκ τοῦ ἄλκιμος ἐστὶ κατὰ ἀποκοπήν. | τινὲς δὲ ἀπὸ τοῦ †ἀλκίς† Αἰολικοῦ. ἐγὼ δέ φημι κατὰ μεταπλασμὸν τοῦ η̄ εἶναι, ἐπειδὴ καὶ τὸ μακρὸν εἰς βραχὺ μεταπέπλασται. **b**(CE[3])

*Ariston.* **300.** ⟨οἱ:⟩ ὅτι πάλιν ἀντὶ τοῦ αὐτοῦ. **A**[int]

*Hrd.* **302** *a*. {σμερδαλέα} ἰάχων: βαρύνειν δεῖ τὴν ἰάχων· ἐνεστῶτος γάρ ἐστι καὶ παρατατικοῦ. οὐ μέντοι περισπασθήσεται, ὡς οἴεται Τυραννίων (fr. 13 P.). διδάσκει τὰ κινήματα· „ἡμεῖς δὲ ἰάχοντες" (δ 454)· εἰ γὰρ περιεσπᾶτο, ὡς νοοῦντες ἐγίνετο· „ἐπὶ δ' ἴαχε λαὸς ὄπισθε" (N 834), „τρὶς δ' ἄϊεν ἰάχοντος" (Λ 463). οὕτως οὖν καὶ τὸ „φθέγξομ' ἐγὼν ἰάχουσα" (Φ 341) ὀφείλομεν προπαροξύνειν. **A**

**299** *a* ad A 37 *e* (Ariston.) *b/c* erravi Beiträge 14, 3 *b* cf. Eust. 549, 10; Choer. Th. 1, 320, 14 κατὰ μεταπλασμὸν (60) ad Σ 352. X 28 (Hrd.), cf. Or. 27, 29, unde Et. Gen. (AB) ἀλκή; Ep. Hom. (An. Ox. 1, 65, 11, Et. Gen. = EM. 42, 25; brevius An. Ox. 1, 40, 26), sim. Meth. in Et. Gen. (= EM. 69, 34) ἔροτις (63) cf. Syll.[3] 1009, 6, Kaibel ep. 846, 6, He. ε 5982 ἀπ' εὐθείας τῆς ἄλξ (64) ad N 471 *b* (ex.), cf. D, Ap. S. 24, 4, Ep. Hom. (An. Ox. 1, 87, 25), sch. D. Thr. ($\Sigma^{h}$) 93, 27 Τρύφων (65) sq. ad Γ 122 *a* (Hrd.) τὴν ἰωκὴν (66) sq. cf. Su. ι 482 ἰωκὴν ἰῶκα (67) ad Λ 601 (Ariston.), O 320 (Hrd.) **300** ad O 449—51. P 7 (Ariston.), vide ad A 71 *a* πάλιν ad E 298 (Ariston.) fort. excidit nota de lectione Zenodoti πρόσθε δέ οὐ, ad P 7, cf. Brugman, Probl. 20, 1 **302** *a* ad E 343 (Hrd.), Ξ 421 (Ariston.), Φ 341 (T), vide ad B 316 (Hrd.); Schulze 344, 1 οὕτως οὖν (77) sq. ad Φ 341 (T)

**58** ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **60** le. scripsi, ἀλκὶ πεποιθώς: A, ἀμφὶ δ' ἄρ' αὐτῷ βαῖνε λέων ὡς ἀλκὶ πεποιθώς T ἀλκὶ ὡς A ἄλκιμος T σαρκί cf. τ 450 **61** ἀλκή] ἀλκῇ Bk. ἀλκίς T ἀλκ ss. ς A, ἄλκις Bk. **62** εἰς ῑς̄ A ἢ εἰς ῑ T, τὰ εἰς ῑς̄ Ddf. **64** εἶτε A, fort. εἰ μή **65** ἀρχ. A, ἀρισταρχείου Hck. (cf. test.) **66** αὐτοῖς ἐστι A ἐστι τοῖς αἰολεῦσι Eust. **68** ἀλκήν Δ 253 al. εἰ Bk., ἡ A σάρκα ὡς ἄλκα A, ἄλκα ὡς σάρκα Velsen **69** le. addidi **70** ἀλκίς cf. l. 61 **72** le. add. Bk. ὅτι A, fort. ἡ διπλῆ, ὅτι **73** (le.) σμερδ. delevi **77** τρεῖς δ' A em. Vill.

*b.* σμερδαλέα ἰάχων: διὰ τῆς βοῆς ἀποτρέπων τοὺς ἐπιόντας ἢ πρὸς συμμαχίαν καλῶν. b(CE$^3$) T *ex.*

302—3 *a.*$^1$ ὁ δὲ χερμάδιον λάβε χερσὶν / Τυδείδης: φθάσας γὰρ τῷ δόρατι προὔτυψεν. T *ex.*

*a.*$^2$ ἀποστέλλει τὸν λίθον, ὅτι φθάσας τὸ δόρυ προὔπεμψεν. b(CE$^3$)

304 *a.* οἷοι νῦν βροτοί εἰσι: πολλῷ κατωτέρω τῶν ἡρωϊκῶν ἐστι· διὸ τῷ διαστήματι τοῦ χρόνου πιστοῦται τὰς ὑπεροχὰς τῶν ἡρώων. b(CE$^3$) T *ex.*

*b.* ῥέα πάλλε: καὶ διὰ τοῦ ῥέα καὶ διὰ τοῦ πάλλε τὸ εὐμεταχείριστον ἐδήλωσεν. b(CE$^3$) T *ex.*

305—6. κατ' ἰσχίον ——— κοτύλην δέ τέ μιν καλέουσι: ἰσχίον τὸ πᾶν ὀστέον. b(CE$^3$) T κοτύλη τὸ κοῖλον τοῦ ὀστέου, ἔνθα ἡ κεφαλὴ τοῦ μηροῦ ἐνστρέφεται. A b(CE$^3$) T *ex.*

ἰσχίον: τὸ ὑπὸ τὴν ὀσφὺν ———κοιλότητα. A *D*

307 *a.* θλάσ⟨σ⟩ε ⟨δέ οἱ κοτύλην⟩: ἐδήλωσε, τί ἐστι κοτύλη. T *ex.*

*b.* ἄμφω ῥῆξε τένοντε: οὕτω τὰ τεταμένα νεῦρα, ὡς δύο τινῶν πλατέων νεύρων συνεχόντων τὴν κοτύλην. b(CE$^3$) T *ex.*

308. ὦσε δ' ἀπὸ ῥινόν: οὐχ ὡς οἴεται ὁ Ἀσκαλωνίτης (p. 46 B.) ἀναστραφήσεται ἡ πρόθεσις, ἐπεὶ τὸ ἑξῆς ἐστιν ἀπῶσε· μεταξὺ γὰρ πέπτωκεν ὁ δέ. A *Hrd.*

309 *a.*$^1$ ⟨ἔστη γνὺξ ἐριπών:⟩ ὅτι ἔστη ἀντὶ τοῦ ἔμεινεν ἐπὶ τὰ γόνατα πεσών. A$^{\text{int}}$ *Ariston.*

*a.*$^2$ τὸ δὲ ἔστη T ἀντὶ τοῦ ἔμεινεν †ἢ† τὸ ἐριπὼν ἀντὶ τοῦ κατενεχθείς. b(CE$^3$) T *Ariston.(?)*

*b* διὰ τῆς βοῆς (79) cf. D, D ad B 394. Δ 125. 506. Υ 62, sim. D ad E 343; vide ad N 835. Υ 62 (ex.) **304** *a* — ἐστι (86) cf. Eust. 549, 42 **305—6** — ὀστέον (91) cf. Eust. 550, 10 κοτύλη (91) sq. cf. D, Et. Gen. (EM. 533, 3, Et. Gud. 341, 15) τὸ κοῖλον τοῦ ὀστέου (91) ad X 494 (ex.), cf. Apollod. (FGrHist 244, 254) ap. Athen. 11, 479 *a* **307** *b* cf. D, Eust. 550, 12; vide ad Υ 478 (Ariston.) **308** ad E 283 *a*$^1$ (Hrd.) **309** *a*$^1$ ad Λ 355 *a* (Ariston.) ἐπὶ τὰ (5) sq. cf. D

---

**83** ἀποστ. scripsi, ἀποστέλλει δὲ pone sch. E 302 *b* (coni. cum v. καλῶν) b **85** τῶν ἡρ. sc. χρόνων vel γενῶν **86** ἐστι sc. ὁ ποιητής **86** sq. τὰς τ. ἡρ. ὑπεροχάς b **88** καὶ διὰ τ. ῥέα δὲ καὶ coni. cum scholio praecedenti in b **89** δηλοῖ b **90** le. scripsi, κοτύλην δέ τέ μιν: A, om. bT (uterque sch. ad E 305 revocavit) **91** ἰσχ. scripsi, ἰσχίον: (ut le. scriptum) T, ἰσχύον καὶ κοτύλη b κοτύλη om. b τὸ$^2$ AT ἔστι δὲ τὸ b **94** (le.) θλάσε T supplevi **95** οὕτω om. b νεῦρα T λέγει νεῦρα b **1** τινῶν om. b **5** le. add. Vill. ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **7** sq. pone sch. *b* (coni. cum v. ζωῆς) in T **7** ἢ] καὶ Ma.

*ex.* *b.* ἔστη γνὺξ ⟨ἐριπών⟩: πιθανῶς οὐκ ἀνατρέπεται, ἀλλ' οὕτω σχηματίζεται πρὸς τὸ εὐμετακόμιστον τῆς ἁρπαζούσης μητρός. b(CE$^3$) T

*Ariston.* **310.** ⟨γαίης· ἀμφὶ δὲ ὄσσε κελαινὴ νὺξ ἐκάλυψε:⟩ ὅτι οὐκ ὀρθῶς ἐπὶ Ἕκτορος (sc. Λ 356) λέγεται μετενεχθεὶς ἐντεῦθεν. A$^{im}$

*Ariston.* **311** *a.* ⟨καί νύ κεν ἔνθ' ἀπόλοιτο:⟩ καὶ ὁ χρόνος καὶ τὸ ῥῆμα ἐνήλλακται, ἀντὶ τοῦ ἀπώλετο ἄν. A$^{im}$

*ex.* | *Ariston.* *b.* καί νύ κεν ἔνθ' ἀπόλοιτο: οὐχ ὡς καιρίας οὔσης τῆς πληγῆς πρὸς θάνατον, ἀλλ' ἴσως δεύτερον τραῦμα ὑπὸ τῶν πολεμίων πληγείς. καὶ ἡ Ἀφροδίτη τοῦτο δέδοικε, „μή τις Δαναῶν ταχυπώλων / χαλκὸν ἐνὶ στήθεσσι βαλὼν ἐκ θυμὸν ἕλοιτο" (E 316—7). b(CE$^3$) T | τὸ δὲ ἀπόλοιτο ἀντὶ τοῦ ἀπώλετο. T

*ex.* **314—6.** ἀμφὶ δ' ἑὸν φίλον υἱὸν ⟨——— βελέων⟩: οὐχ ἵνα μὴ τρωθῇ· πῶς γὰρ ἐνόμισεν ἄτρωτον τὸν ἑαυτῆς πέπλον εἶναι τιτρωσκομένων καὶ τῶν θεῶν; ἀλλ' ὑπ' οὐδενὸς αὐτὸν τῶν πολεμίων ὁραθῆναι θέλει· ὡς γὰρ αὐτοὶ οἱ θεοὶ τοῖς ἀνθρώποις εἰσὶν ἀφανεῖς, οὕτω καὶ ἡ ἐσθὴς αὐτῶν ἀόρατος. πῶς οὖν ἐπιφέρει „μή τις Δαναῶν ταχυπώλων / χαλκὸν ἐνὶ στήθεσσι βαλὼν ἐκ θυμὸν ἕληται" (E 316—7); ἀπὸ τοῦ ἡγουμένου ἐδήλωσε τὸ ἑπόμενον· εἰ γὰρ ὤφθη, ἴσως ἂν ἐτρώθη, καὶ τρωθεὶς ἀπέθανεν. Διομήδης δὲ μόνος ἐπιδιώκει· τὴν ἀχλὺν γὰρ ἦν ἀφῃρημένος. b(CE$^3$) T

*ex.* **314.** ἐχεύατο πῆχεε λευκώ: τὸ τρυφερὸν τῆς θεοῦ διὰ τοῦ ἐχεύατο παρέστησεν. b(C) T

*ex.* **315** *a.* ⟨πρόσθε δέ οἱ πέπλοιο φαεινοῦ πτύγμα κάλυψεν:⟩ ἔμπροσθεν δέ φησιν αὐτοῦ τὸν πέπλον ἐπέτασε πρὸς τὸ καλύψαι αὐτόν. b(CE$^3$)

*D* πρόσθε δέ οἱ: ἔμπροσθεν ——— κρύψῃ αὐτόν. A

**310** ad Λ 356*a* (Ariston.) **311** nullum signum ante versum in A, fort. neglegentia scribae, nisi potius credis signum iam in exemplo Veneti A defuisse, quod eius auctor (sc. Ap. H.) initio scholii *a* nullam vocem ὅτι invenit; cf. Mnemos. 1953, 28 *a* ad A 232; vide ad E 85*a* (Ariston.) **314—6** cf. Eust. 551, 11 **314** cf. Eust. 551, 5 **315** *a* ad E 338, cf. D πρὸς τὸ καλύψαι (33) cf. Eust. 551, 11

---

**9** le. T supplevi, om. b **10** μητρός b ζωῆς T **12** le. add. Vill. ὅτι A, fort. ὁ ἀστερίσκος, ὅτι **14** le. add. Vill. καί$^2$ (ante ὁ χρόνος) A, fort. ἡ διπλῆ, ὅτι καί **19** στήθεσι T **21** le. T supplevi, om. b (ubi sch. ad E 314 relatum est) **22** ἐνόμισαν b **24** οὕτως b **26** στήθεσι T **27** τὸ T καὶ τὸ b **30** sq. διὰ τὸ εὐχέατο C **32** le. add. Li (m. rec.) **33—4** cum scholio E 314—6 coni. E$^3$

*b.* ⟨πτύγμα:⟩ πτύγμα δὲ τὸ περίσσευμα. b(CE³) *ex.*

316. ἕρκος ἔμεν βελέων: ἕρκος ὡς ἀφανείας ποιητικόν. T *ex.*

317. ⟨ἕλοιτο:⟩ Ἀρίσταρχος †ὄλοιτο. A^int *Did.*

319 *a.* οὐδ' υἱὸς Καπανῆος ἐλήθετο συνθεσιάων: τὸ σπουδαῖον Διομήδους τὸ περὶ τοὺς ἵππους ἐνέφηνε σπουδάζοντα ποιῶν τὸν ἡνίοχον. b(CE³) T *ex.*

*b.* ⟨συνθεσιάων:⟩ ὅτι ἰδίως συνθεσιάων ἀντὶ τοῦ ἐντολῶν. A^int *Ariston.*

322 *a.* νόσφιν ἀπὸ φλοίσβου: οὐκ ἀναστρεπτέον· δύναται γὰρ καὶ ⟨τῇ⟩ γενικῇ συντάττεσθαι καὶ σημαίνει⟨ν⟩ τὸ ἄποθεν, ἵνα ὅμοιον ᾖ τῷ „οὐκ ἐθέλεσκε μάχην ἀπὸ τείχεος" (I 353). ἢ καὶ παρέλκεται. A *Hrd.*

*b.* ἐξ ἄντυγος ἡνία τείνας: ἐξ οὐδενὸς γὰρ ἦν ἐᾶσαι αὐτοὺς ἐν τῷ πεδίῳ· ἵνα τε δοκῶσιν ὑπό τινος ἄγχεσθαι. T *ex.*

323. ⟨Αἰνείαο:⟩ ὅτι Ζηνόδοτος γράφει „†αἰνείω†". οὐκ ἔστι δὲ Αἰνείως ὡς Πετεώς. A^im *Ariston.*

325. ὃν περὶ πάσης: οὐκ ἀναστρεπτέον· κεῖται γὰρ ἀντὶ τῆς ὑπέρ. δεδήλωται δὲ ἡμῖν ἐν τῇ Α ἐντελῶς, ὁπότε διελαμβάνομεν περὶ τοῦ „ἀλλ' ὅδ' ἀνὴρ ἐθέλει περὶ πάντων" (A 287). A *Hrd.*

326. ὅτι οἱ φρεσὶν ἄρτια ᾔδη: ὁ μὲν Σθένελος ὡς Ἕλλην τὰ ψυχικὰ προτιμᾷ, οἱ δὲ βάρβαροι τὸν Δημοκόωντα „δμῶς Πριάμοιο τέκεσσι / τῖον, ἐπεὶ θοὸς ἔσκε μετὰ πρώτοισι μάχεσθαι" (E 535—6). b(CE³) T *ex.*

327. νηυσὶν ἔπι γλαφυρῇσιν ἐλαύνειν: ὅπως ἠθάδες αὐτῶν γένωνται· ἀπειρόκαλον γὰρ τὸ εὐθέως ἐναβρύνεσθαι τοῖς ἀλλοτρίοις ὡς Ἕκτωρ (cf. P 210—4). b(CE³) T *ex.*

*b* cf. Eust. 551, 8: πτύγμα δὲ λέγει τὸ περίττωμα καὶ δίπλωμα τοῦ τὴν χεῖρα σκέποντος μέρους τοῦ πέπλου (unde Li), δίπλωμα = Synag. (Ba. 354, 18, Ph., Su. π 3060), cf. D  **322** *a* ad B 162 (Hrd.). Vide ad Δ 77 (Hrd.)  ἢ καὶ παρέλκεται (46) ad Δ 423 (Hrd.)  *b* ad E 262 *b*  **323** ad E 263 *a* (Ariston.), cf. Lehrs ap. Friedl., Ariston. 111  **325** ad A 287 (sch. excidit), vide ad A 258 *a*¹ (Hrd.)

---

**36** le. addidi  πτύγμα δὲ sq. cum scholio E 315 *a* (v. αὐτόν) coni. C, fort. recte  **38** le. add. Ddf.  ὄλοιτο A, ἕλοιτο Cob., ὀλέσσαι Nck.  **40** συσπουδάζοντα b  **42** le. addidi (auctore Frdl.)  ὅτι A, fort. ἡ διπλῆ, ὅτι  **44** le. A, ἀπό: Bk.  **45** τῇ add. Lehrs  σημαίνει A suppl. Bk.  ἄποθεν A, fort. ἄπωθεν  **46** τῷ Bk., τὸ A  fort. παρέλκει  **47** δῆσαι Bk.  **48** ἄρχεσθαι Ma.  **49** le. add. Ldw.  ὅτι A, ἡ διπλῆ (potius δ. περιεστιγμένη), ὅτι Vill.  αἰνείαο Lehrs, recte  **50** αἰνειώς A em. Lehrs  πετεώς cf. B 552 al. (πετεῶο)  **52** A Bk., ἄλφα A  **56** τέκεσσι Bk. (ex Hom.), τέκεσι T παίδεσι b  πρώτ. T (= Hom.), τρώεσσι b  **58** (le.) ἐλαυνέμεν Hom.  ἐθάδες b

*Ariston.* **329** *a.* ⟨αἶψα δὲ Τυδεΐδην μέθεπε κρατερώνυχας ἵππους:⟩ ὅτι Ζηνόδοτος γράφει „κρατερωνύχεσ' ⟨ἵπποις⟩". βίαιος †δ' ἔφη† συναλιφή. τὸ δὲ ἑξῆς ἐστιν· αἶψα δὲ Τυδείδην μέθεπε τοὺς ἵππους, τουτέστι κατόπιν ἐλαύνειν. **A**

*ex.* *b.* αἶψα δὲ Τυδείδην μέθεπε ⟨—— ἵππους⟩: ἐπὶ Τυδείδην †εἰ πρόεστιν† ἤλαυνεν. ἢ ἀντὶ τοῦ μετεδίωκεν. **T**

*ex.* **330.** Κύπριν: οἱ μὲν τὴν ἐπιθυμίαν, οἱ δὲ τὴν βαρβαρικὴν ἀφροσύνην αὐτὴν εἶναι λέγουσιν. **A b**(CE³) **T**

*ex.* **331.** γινώσκων ὅτ' ἄναλκις ἔην θεός: οὐ διὰ τοῦτο ἐδίωκεν, ἀλλὰ διὰ τὴν τῆς Ἀθηνᾶς ἐντολήν. ἐγίγνωσκε δὲ ὅτι τούτου χάριν ἐκείνη ἐπέτρεπεν αὐτὴν τρωθῆναι. **b**(CE³) **T**

*Hrd.* **332** *a.*¹ ⟨πόλεμον⟩ κατακοιρανέουσιν: ὁ Ἀσκαλωνίτης (p. 46 B.) ἀναστρέφει, ἵνα γένηται κατὰ πόλεμον. δύναται δὲ ἔμφασις γενέσθαι, εἰ συνάπτοιτο τῷ κοιρανέουσιν ὡς „ἀνακοιρανέοντα" (cf. E 824). καὶ ἔστιν ὅμοιον τὸ „Ἰθάκην κατακοιρανέουσιν" (α 247). **A**

*a.*² ἔμφασιν σημαίνει ἡ κατά, εἰ συνάπτοις τῷ κοιρανέουσιν. **b**(CE³) **T**

*Ariston.* **333** *a.* ⟨οὔτε πτολίπορθος Ἐνυώ:⟩· ὅτι πολεμικὴ ἡ θεός. **A**^int^

**329** *a* — ἵπποις (62) cf. Ludwich, A. H. T. 1, 134 τὸ δὲ ἑξῆς (63) sq. aliter D **331** fort. exstabat sch. Nicanoris, cf. Eust. 552, 17: ἰστέον δὲ ὅτι τὸ „γινώσκων" οἱ μὲν συναναγινώσκοντες τοῖς ἐφεξῆς νοοῦσι γινώσκειν τὸν Διομήδην ὅτι ἄναλκις ἦν θεὸς ἡ Ἀφροδίτη. ἕτεροι δὲ στίζοντες συμβιβάζουσιν αὐτὸ τοῖς πρὸ αὐτοῦ, ἵνα ᾖ ὅτι Κύπριν ὁ Διομήδης ἐπῴχετο, γινώσκων αὐτὴν ὡς μὴ ἀχλυούμενος τοὺς ὀφθαλμούς. εἶτα ὡς ἐξ ἄλλης ἀρχῆς ἀναγινώσκουσι τὸ „ὅ τ' ἄναλκις ἔην", ἵνα λέγῃ ὅτι ἐπῴχετο κατ' αὐτῆς ὁ ἥρως, ἐπεὶ ἄναλκις ἦν αὐτή, ib. 611, 17: τὸ δὲ „γινώσκω Ἄρηα" (cf. E 824), ὡς καὶ πρὸ αὐτοῦ τὸ „γινώσκω σε, θεά" (cf. E 815), λεχθέντα οὕτω καθ' αὑτὰ δηλοῦσιν ὅτι καὶ πρὸ τούτων ἐν τῷ „Κύπριν Διομήδης ἐπῴχετο γινώσκων, ὅτ' ἄναλκις θεὸς ἦν" (cf. E 330—1) ὀρθῶς ἐτίθετο στιγμὴ εἰς τὸ „γινώσκων". εἶτα ὡς ἀπ' ἄλλης ἀρχῆς ἀνεγινώσκετο τὸ „ὅτ' ἄναλκις ἦν", καθὰ καὶ ἐκεῖ γέγραπται **332** *a*¹ ad T 4 (Hrd.), cf. Io. Alex. 26, 13 (= Hrd. 1, 481, 32); Ap. Dysc. synt. 441, 3. Vide ad E 824 (Hrd.) **333** *a* cf. D, sch. Hsd. th. 273; Lehrs Ar.³ 177

---

**61** le. add. Vill. **62** ὅτι A, ἡ διπλῆ (rectius δ. περιεστιγμένη), ὅτι Vill. κρατ. Vill., κρατερωνύχεσι A ἵπποις add. Spitz. („Zen. κρατερωνύχεσ' ἵπποις praetulisse videtur") δ' ἔφη A, δ' ἔφη ἡ Vill., δ' ἡ Bk., fort. δέ ἐστιν ἡ vel δέ φασιν ἡ **64** ἐλ. A, ἤλαυνε Bk., fort. recte **65** le. αἶψα δὲ τυδ. μέθεπεν T em. et suppl. Ma. **66** ὃς πρόεστιν Ma., malim εἰ περίεστιν **67** le. A, ὁ δὲ κύπριν T, om. b **69** ἐπεδίωκεν b, fort. rectius **70** τῆς om. b ἐγίνωσκε b **71** ἐπέτρ. αὐτὴν ἐκείνη τρωθ. b **72** le. A (et V^c^ ante sch. *a*²) suppl. Bk. (Vill.) **74** τῷ Bk., τὸ A **75** τὸ A, τῷ Lehrs (fort. rectius) **76** συνάπτεις b τῷ b τὸν τῷ T **78** le. add. Frdl. (Vill.) ὅτι A, ἡ διπλῆ, ὅτι Vill.

*b*. Ἐνυώ: ἀνθρωποπαθῶς πέπλασται ὡς Δεῖμος καὶ Ἔρις. εἰ δὲ ἦν θεός, ποῦ ἦν ἐν τῇ θεομαχίᾳ; **b**(CE³) **T** | Ἐνυὼ δὲ παρὰ τὸ ἐναύειν, ὃ σημαίνει τὸ †ἐμφωνεῖν†. τινὲς δὲ παρὰ τὸ ἔνω, ὅ ἐστι φονεύω, ἔνθεν καὶ αὐτοέντης. παρ' αὐτῆς δὲ καὶ ὁ Ἐνυάλιος. **A** **b**(CE³) **T** *ex.* | *ex.*

*c*. ⟨Ἐνυώ:⟩ κακῶς ὅσοι δασύνουσι τὸ ῡ τοῦ Ἐνυώ· ἄμεινον γὰρ ψιλοῦν. | ἀναπέπλασται γὰρ πολεμικὴ θεός, ἧς οἱ νεώτεροι ——— μητρωνυμικῶς. **A** *Hrd.* | *D*

**334** *a*. ἀλλ' ὅτε δή ῥ': τὸ πλῆρές ἐστι δή ῥα, οὐχ ὡς οἴεται ὁ Ἀσκαλωνίτης (p. 46 B.) ὅτι τὸ δή ἐπλεόνασε τῷ ρ̄· διὸ βαρύνει. **A** *Hrd.*

*b*. ἀλλ' ὅτε δή ῥ' ἐκίχανε πολὺν καθ' ὅμιλον ὀπάζων: μέμνηται ἑαυτοῦ ὁ ποιητής· εἶπε γὰρ „ὑπεξέφερεν πολέμοιο" (E 318). **b**(CE³) **T** *ex.*

προκόψασαν οὖν μεταθέων αὐτὴν κατέλαβεν. **b**(E³) **T**

ὀπάζων: ἡ λέξις αὕτη πλείονα ——— καθ' ὅμιλον ὀπάζων. **A** *D*

**335—6**. ἔνθ' ἐπορεξάμενος ⟨——— μετάλμενος ὀξέϊ δουρί⟩: τοῦτο πρὸς τὸ μέγεθος τῆς θεοῦ· καὶ ἐπάλμενος γὰρ μόγις τὴν ἄκρην χεῖρα ἔτρωσεν, ὅτι μετέωρος ἦν ἡ θεός. νῦν δὲ οὐκ ἐνεργεῖ ἡ Ἀθηνᾶ· εὐτελὴς γὰρ ἡ Ἀφροδίτη. | ἔοικε δὲ Διομήδης ἐπιθυμίας ἅμα καὶ θυμοῦ κρατεῖν, Ἄρεως καὶ Ἀφροδίτης. **b**(CE³) **T** *ex.* | *ex.*

*b* Ἐνυὼ δὲ (80) sq. Et. Gud. 482, 17 Stef.; plura Eust. 524, 14 (cf. l. 4: εὕρηται οὖν ἐν ὑπομνήμασι παλαιῶν τοιαῦτά τινα): ἢ καὶ διότι ἀπὸ τοῦ ἐναύειν γίνεται (sc. τὸ Ἐνυώ) κατὰ Ἀπολλόδωρον (FGrHist 244, 124), ὅ ἐστιν ἐμφωνεῖν. ἢ ὡς ὁ Ἡρακλέων (fr. 2 B.) φησίν, ἀπὸ τοῦ ἔνω τὸ φονεύω, ὅθεν καὶ αὐτοέντης καὶ αὐθέντης ὁ αὐτοφόντης, fort. e scholio ad hunc locum, cf. Eust. 552, 14; aliter Ecl. (An. Ox. 2, 434, 1, Et. Gud. 481, 9 Stef.) Ἐνυὼ (80) — αὐτοέντης (82) ad Υ 69 (T) Ἐνυὼ δὲ (80) — ἐμφωνεῖν (81) Et. Gen. (B, om. A) Ἐνυώ·. . . παρὰ τὸ ἐναύειν, ὅ ἐστιν ἐμφωνεῖν, fort. ex hyp. Iliad. παρ' αὐτῆς δὲ (82) sq. ad E 892 *a*, cf. D; vide Call. fr. 634; Ἐνυάλιος = Σ 309 *c* — ψιλοῦν (84) cf. Ep. Hom. (An. Ox. 1, 129, 16 = Hrd. 1, 542, 25). Vide ad E 76 (Hrd.) **335—6** — ἡ Ἀφροδίτη (1) cf. Eust. 552, 34, aliter D ad E 132

---

**79—80** ἀνθρωποπ. δὲ — θεομαχίᾳ in fine scholii (pone v. ἐνυάλιος) **b** **79** ἀναπέπλασται **b** δεῖμος Δ 440. Λ 37; ἔρις cf. Λ 3 **80** θεὸς ἦν **b** ἐνυώ δὲ T, ἐνυώ: A, om. **b** **81** ἐκφωνεῖν A, ἐμφλέγειν vel ἐκφλέγειν propos. Nickau ἐνῶ T, an ἔνω? ἐστι T ἐστι τὸ **b** σημαίνει τὸ A **82** παρ' αὐτῆς δὲ κ. ὁ] καὶ **b** **83** le. addidi **86** δή ῥα Ddf., δίχα ss. ρ A **87** τῷ Ddf., τὸ A **89** ἑαυτ. ὁ π. T τοῦ ἑαυτοῦ ὁ ποιητὴς λόγου **b** ὑπεξέφερε **b** **90** μεταθέων om. **b** **93** le. AT supplevi, om. **b** (ubi sch. ad E 335 relatum est); post hoc le. deficiunt scholia cod. A ad versus E 335—635 pertinentia, foliis 69ʳ—74ᵛ a manu aliena descriptis recenterque adsutis. Codice Aᵃ, quamquam ab A integro ductus est, damnum non suppletur; nam pauca scholia genuina praebet (cf. Praef. XLVII) **94** μόλις E³ **94** sq. ἄκραν ἔτρωσε χεῖρα **b** **2** ἄρεος T

*ex.* **337** *a.*[1] ἀβληχρήν: ἀβληχρὸν τὸ ἰσχυρόν, οἱ δὲ τὴν εὐώνυμον. **T**

*a.*[2] βληχρὸν τὸ ἰσχυρὸν καὶ στερήσει τοῦ ᾱ ἀβληχρόν. †οἶδε δὲ† τὴν εὐώνυμον ἐνταῦθα χεῖρα. **b**(CE³)

*ex.* *b.*[1] εἶθαρ: τινὲς κατ' ἰθὺ ἢ ἀντὶ τοῦ ταχύ. ἀντετόρησε δὲ χροός ἀντὶ τοῦ τὸν χρόα διέτρησεν. **T**

*b.*[2] τὸ δὲ εἶθαρ οἱ μὲν τὸ εὐθύς, οἱ δὲ τὸ κατ' ἰθύ, ὃ καὶ ἄμεινον. ἀντετόρησε δὲ τὸν χρόα δηλονότι διέτρησεν. **b**(CE³)

*ex.* **338.** ἀμβροσίου διὰ πέπλου: καὶ πῶς αὐτὸν προβάλλεται; οὐχ ὡς ἄτρωτον, ἀλλ' ὡς ἀφανείας ποιητικόν. Διομήδης δὲ ὁρᾷ αὐτὸν ὑπὸ Ἀθηνᾶς συνεργούμενος. **b**(CE³) **T**

*ex.* **339** *a.* πρυμνὸν ὕπερ θέναρος: ὑπὲρ τὸ ἔσχατον τοῦ θέναρος εἰς τὴν πρὸς τὸν καρπὸν συνάφειαν. †θέναρος† δὲ τὸ τῆς χειρὸς κοῖλον. **b**(CE³) **T**

*Ariston.(?)* *b.* ῥέε δ' ἄμβροτον αἷμα θεοῖο: ἔρ⟨ρ⟩εε δὲ τῆς θεοῦ ὁ ἰχὼρ ὡς αἷμα· λείπει γὰρ τὸ ὥς, ὡς „Τηλεμάχου ἑτάρω τε κασιγνήτω τε ἔσεσθον" (φ 216). **T**

*ex.* *c.* ⟨ῥέε δ' ἄμβροτον αἷμα θεοῖο:⟩ καταχρηστικώτερόν ἐστι τὸ ῥέεν, ὡς τὸ „νέκταρ ἐῳνοχόει" (Δ 3). **b**(CE³)

**337** *a* Eust. 552, 41: ἀβληχρὴ δὲ χεὶρ ἢ ἡ ἀριστερὰ κατά τινας ἢ μᾶλλον ἡ ἀσθενὴς διὰ τὸ καὶ τὴν Ἀφροδίτην ἄναλκιν θεὸν ῥηθῆναι· οἱ γὰρ ἀκριβέστεροι οὐ τὴν ἀριστερὰν χεῖρα τρωθῆναι τῆς Ἀφροδίτης στοχάζονται, ἀλλὰ τὴν δεξιάν, ὡς ἐν τοῖς ἑξῆς (sc. E 424) φανήσεται, ὅτε ἡ Ἀθηνᾶ καὶ ἡ Ἥρα καταπαίζουσιν αὐτῆς ὡς χειρὶ καταψώσης τὰς γυναῖκας, τῇ δεξιᾷ δηλαδή, cf. Plut. mor. 739 c $a^1$ — ἰσχυρόν ad Θ 178 (Hrd.), cf. Or. 7, 3 (unde Et. Gen. [Sym., deest AB] ἀβληχρόν); Beiträge 15, 2 $a^2$ — ἀβληχρόν (4) cf. sch. Ap. Rh. 2, 205, Heracl. Mil. fr. 7 C. *b* ταχύ (resp. εὐθύς) ad Λ 289 (ex.) διέτρησεν (7 et 9) = D $b^1$ ταχύ (6) cf. He. $b^2$ — εὐθύς (8) cf. sch. Hsd. th. 688; Choer. O. 207, 26; Eust. 552, 45 **338** ad E 314—6. 315*a* (ex.) **339** *a* — ἔσχατον (13) ad N 333*b*. Π 314*d* (ex.). Vide ad E 292—3 $a^1$ (test.) τὸ τῆς χειρὸς κοῖλον (14) Eust. 553, 19: φασὶν οἱ παλαιοὶ ὅτι θέναρ λέγεται τὸ μεταξὺ τῶν δακτύλων καὶ τοῦ καρποῦ (ἤγουν τὸ κοῖλον τῆς χειρός)· ἢ κατὰ Εὔδημον τὸ μεταξὺ τοῦ λιχανοῦ καὶ τοῦ ἀντίχειρος (ἤγουν τοῦ μεγάλου δακτύλου) σαρκῶδες καὶ κοῖλον (unde Li), originis incertae, cf. D; Seleuc. in Et. Gud. ap. Reitzenstein, Gesch. 160, 13; sch. Pind. P. 4, 367 a. I. 4, 92 b (p. 236, 17 Dr.); Synag. (Ba. 255, 7, Ph., Su. θ 131); Et. Gen. (EM. 445, 38); vide Melet. 121, 9; praeterea ad N 438 (de Eudemo); sim. Poll. 2, 144: ἔνιοι δὲ τὸ μὲν πρόσθιον τῆς δρακὸς πᾶν θέναρ οἴονται καλεῖσθαι, καὶ Ἱπποκράτης (III p. 428 L.) καὶ Ὅμηρος τοῦτο ὑποδηλοῦσιν, τὸ δὲ ἀντικείμενον πᾶν ὀπισθέναρ ἢ κτένας *b* ad Ξ 500 (Ariston.), Ξ 499—500 $b^1$ (ex.), T 386 (Did.) *c* ad Δ 3 *b*, cf. Eust. 553, 39

---

**4** τὸ] fort. voluit τὸ μὴ (Nickau) τοῦ ᾱ om. E³ **4** sq. οἶδε δὲ] erat οἱ δὲ **8—9** τὸ δὲ εἶθαρ sq. cum scholio $a^2$ (v. χεῖρα) coni. b **9** διέτρησε C **11** sq. αὐτὸν sc. Aeneam ut vid., αὐτὴν Wil. **12** ἐνεργούμενος T **14** θέναρον b, θέναρ Bk. τῆς χειρὸς om. T **16** ἔρεε T suppl. Ma. **19** le. addidi **20** ῥέεν] ῥέεν αἷμα Nickau

**340.** ἰχώρ: οὐχ οἷον ἡμεῖς οἴδαμεν, ἀλλ' ἄλλης τινὸς οὐσίας παρὰ τὸ αἷμα· διὸ καὶ ἐπήγαγεν· οἷός πέρ τε ῥέει μακάρεσσι θεοῖσιν. b(CE$^3$) T *ex.*

**341.** οὐ γὰρ σῖτον ἔδουσ', 〈οὐ πίνουσ' αἴθοπα οἶνον〉: καὶ μὴν πολλὰ τῶν ζῴων οὐ σῖτον ἔδουσιν, οὐ πίνουσιν οἶνον καὶ οὔτε ἄναιμα οὔτε ἀθάνατά εἰσιν. δεῖ τοίνυν προσυπακούειν τῷ οὐ σῖτον, ἀλλ' ἀμβροσίαν, οὐ πίνουσιν οἶνον, ἀλλὰ νέκταρ. b(CE$^3$) T *D*

**342.** τοὔνεκ' ἀναίμονές 〈εἰσι〉 καὶ ἀθάνατοι καλέονται: ἀναίμονες μέν, ἐπεὶ οὐ τρέφονται, ἀθάνατοι δέ, ὅτι ἀναίμονες· ὁ γὰρ θάνατος ψύξει τοῦ θερμοῦ γίνεται. b(CE$^3$) T *D*

**343.** ἡ δὲ μέγα ἰάχουσα: Τυραννίων (fr. 13 P.) προπερισπᾷ τὸ ἰάχουσα, κακῶς. T *Hrd.*

**344—5.** καὶ τὸν μὲν μετὰ χερσὶν ἐρύσατο Φοῖβος Ἀπόλλων / κυανέῃ νεφέλῃ: ἢ τῇ μετὰ χερσὶ νεφέλῃ· ἢ πρῶτον χερσίν, ἔπειτα νεφέλῃ. b(CE$^3$) T *ex.*

**348.** εἶκε, Διὸς θύγατερ: προπαρασκευάζει μηκέτι φανῆναι αὐτὴν ἐν τῇ θεομαχίᾳ. b(CE$^3$) T *ex.*

**349.** ἢ οὐχ ἅλις ὅτ〈τ〉ι γυναῖκας ἀνάλκιδας: τινὲς ἀναφέρουσιν ἐπὶ τὴν Ἑλένην. T *ex.*

**350.** εἰ δὲ σύ γ' ἐς πόλεμον: ἔν τισι γράφεται „εἰ δὲ καὶ ἐς πόλεμον". T *Did. (?)*

**352.** ἀλύουσα: ψιλωτέον τὸ ἀλύουσα· παρὰ γὰρ τὴν ἄλην γέγονεν· b(CE$^3$) T οἱ γὰρ λυπούμενοι ἐν πλάνῃ ἔχουσι τὴν ψυχήν, ὁμοίως καὶ οἱ λίαν χαίροντες. b(E$^3$) T ὁ δὲ Ἀσκαλωνίτης *Hrd.* | *ex.*

**340** ἄλλης τινὸς οὐσίας (21) cf. D, Clem. Alex. protr. 27, 12 Stä. **341** cf. Porph. 1, 81, 16, Eust. 554, 2 **342** ἀναίμονες (29) cf. sch. Aesch. Eum. 183 ἐπεὶ οὐ τρέφονται (29) cf. Plut. mor. 160 b, Porph. abst. 265, 18 **343** ad E 302 *a* (Hrd.) **349** h($M^1P^{11}V^3V^{15}$): ἄμεινον ὀξύτονον (ὀξ. $V^3V^{15}$, ὀξυτόνως $M^1P^{11}$) τὸ ῆ, ἵν' ᾖ διασαφητικόν (διασαφητικὸς $V^3V^{15}$)· ἢ οὐκ ἀρκεῖ σοι, ὅτι γυναῖκας ἀπατᾷς; Est sch. Herodiani, cf. sch. α 165. θ 188 **352** cf. Eust. 555, 24; Ael. D. α 81 (test.) παρὰ γὰρ (42) — ἐπιχαίρεις (45) cf. sch. σ 333, Or. 6, 15 (brevius Or. Koes. 176, 4, Et. Gud. 99, 13 Stef.) in sede scholiorum; Meth. (Et. Gen. [AB] ἀλύειν, Lex. Αἱμ. 618, 31, unde Et. Gud: 99, 5 Stef.) πα-

---

**21** le. T, ἰχῶρα δὲ λέγει (coni. cum scholio praecedenti) b **24** le. οὐ γὰρ σ. ἔδουσι T emendavi et supplevi, om. b **25** οὐκ οἶνον πίνουσι b **26** τῷ b τὸ T **26** sq. οὐ σῖτον — νέκταρ T, πίνουσι καὶ ἔδουσιν ἀμβροσίαν καὶ νέκταρ· οἷον οὐ πίνουσιν οἶνον, ἀλλὰ νέκταρ. οὐκ ἔδουσι σῖτον, ἀλλ' ἀμβροσίαν b, fort. ἔδουσι καὶ πίνουσιν ἀμβροσίαν καὶ νέκταρ, οἷον οὐκ ἔδουσιν σῖτον, ἀλλ' ἀμβροσίαν, οὐ πίνουσιν οἶνον, ἀλλὰ νέκταρ **28** le. T suppl. Ma., om. b **29** ὅτι T ἐπεὶ b **34** sq. sch. ad E 344 revocavit b πρῶτον ταῖς χερσίν, ἔπειτα τῇ νεφέλῃ b **36** (le.) θυγάτηρ T em. Ma. (le. om. b) μηκ.] τὸ μηκέτι Ma. **37** ἐν T, μηδὲ ἐν b, fort. rectius **38** (le.) ὅτι T suppl. Ma. **40** γράφει TV em. Bk. **42—4** ψιλωτέον δὲ — χαίροντες in fine scholii (pone v. φθέγγεται) b **43** γέγονε· καὶ γὰρ λυπ. b

(p. 46 B.) δασύνει „ἁλύεις" (σ 333) τὸ ἐπιχαίρεις. | τὸ δὲ ἀλύουσα ἀντὶ τοῦ **T** λύσιν οὐχ εὑρίσκουσα τῶν δεινῶν· διὸ οὐδὲ φθέγγεται. b(CE³) **T**

*ex.* **353.** τὴν μὲν ἄρ' Ἶρις ἑλοῦσα: ὡς κοινῶς ἅπασι τοῖς θεοῖς ὑπηρετοῦσα ἢ ὡς ἐρωτική. b(C[bis],E³) **T** οὐκ ἀπέστη δὲ ἀφ' οὗ „Τρωσὶν ἄγγελος ἦλθεν" (B 786). b(E³) **T**

*ex.* **355.** εὗρεν ἔπειτα μάχης ἐπ' ἀριστερὰ θοῦρον Ἄρηα: καὶ ἐπὶ Ἕκτορος „ἐπεί ῥα μάχης ἐπ' ἀριστερά" (Λ 498) τοῦ ναυστάθμου. **T**

*ex.* **356.** ἠέρι δ' ἔγχος ἐκέκλιτο: ἔγχος ἀπὸ μέρους τὸ πᾶν. | τὸ δὲ ἐκέκλιτο **T** ἀπὸ τοῦ κλίνω· καὶ „σάκε' ὤμοισι κλίναντες" (Λ 593) καὶ „στήλῃ κεκλιμένος ἀνδροκμήτῳ" (Λ 371). b(BCE³) **T**

*Nic.* | *ex.* **357—8.** ἡ δὲ γνὺξ ἐριποῦσα ⟨——— ᾔτεεν ἵππους⟩: διαστολὴ εἰς τὸ ἐριποῦσα (357), καὶ τὸ ἑξῆς †κασιγνήτοιο ἵππους†. | οἰκεῖον δὲ τὸ γνύξ (357) τῇ ἀνάλκιδι (cf. E 331), ὡς τὸ „ἡ δ' ἐν γούνασι πῖπτε Διώνης" (E 370). b(BCE³) **T**

*ex.* | *ex.* **358.** πολλὰ λισσομένη χρυσάμπυκας ᾔτεεν ἵππους: οὐκ εὖ, φασὶν ἔνιοι, πρόσκειται τὸ πολλά· καὶ γὰρ ἐραστὴς καὶ ἀδελφός, καὶ τοῖς αὐτοῖς βοηθεῖ. ῥητέον δὲ ὅτι τὸ γυναικεῖον καὶ ἀσθενὲς ἐμφαίνει ἡ πολλὴ δέησις καὶ τὸ γονυπετεῖν (cf. E 370). b(BCE³E⁴) **T** | ἄμπυξ δέ, ᾧ τὰς τρίχας περιλαμβάνουσιν. **T**

ῥὰ τὴν ἄλην (42) cf. sch. Eur. Or. 277 λύσιν (46) — δεινῶν cf. D, Plut. mor. 22 e **353** ἢ ὡς ἐρωτική (49) cf. Eust. 555, 30. Vide ad Ψ 203 (ex.) **355** ad Λ 498—9; cf. Cuillandre 71 **356** — μέρους (54) sc. quod deum equos armaque nube celari scholiasta opinatur; nam ἐκέκλιτο idem esse quod ἐκεκάλυπτο, ad Λ 371. 593. Π 67—8 (ex.), cf. D; Eust. 556, 17 τὸ δὲ ἐκέκλιτο (54) sq. cf. Et. Gen. (A^I A^II B) ἐκέκλιτο·. . . | οἶμαι (οἶμ. om. A^I) ἀπὸ τοῦ κλίνω. ἄλλοι δὲ (ἄλλ. δὲ sq. om. A^I) ἀπὸ τοῦ κλείω, παρ' ὃ καὶ βέλτιον. εὑρήσεις δ' αὐτὸ τὸ κεκλιμένος (ubi excerptum ex Hrd. παθ.), originis incertae **358** τὸ γυναικεῖον (63) — γονυπετεῖν (64) cf. Eust. 556, 21 ἄμπυξ δὲ (65) sq. cf. D, D ad X 469; sch. Pind. Ol. 5, 15 b. I. 2, 2; Ap. S. 25, 5. 169, 4; Meth. (Et. Gen. [AB] ἄμπυξ, Lex. Αἱμ. 618, 57); Et. Gud. 118, 21 (cf. 118, 11) Stef.; He. α 3818; Synag. (Ba. 80, 11, Ph., Su. α 1658) **359** Eust. 556, 33: τὸ „φίλε" ἐκτείνει καὶ ἐνταῦθα τὸ τῆς

---

**45** ἀλύεις Ma., τὸ ἀλύεις T (nescio an recte) **46** εὑρίσκουσαι τῶν κακῶν b (cf. D) **48** sq. ὡς — ἐρωτική fol. 85ᵛ iterumque fol. 86ʳ C **50** τρῶσιν ἀγγέλουσ' ἦλθ. E³, τρ. δ' ἄγγ. ἦλθε Hom. **55** incipit B (vide ad E 260) καὶ T, ὡς τὸ b, fort. rectius **57** le. T supplevi, om. b (ubi sch. ad E 357 relatum est) **58** κασ. ἵππ. T, κασιγνήτοιο φίλοιο b, fort. κασιγνήτοιο φίλοιο χρυσάμπυκας ᾔτεεν ἵππους. διὰ μέσου δὲ τὸ πολλὰ λισσομένη (διὰ μέσ. sq. add. Frdl.) **59** τὸ¹ T καὶ τὸ b ὡς b καὶ T **61** incipit E⁴ (vide ad E 260) **62** φασὶν ἔν. πρ. T φασὶ προσκεῖσθαι τινες b ἐραστής ἐστι καὶ b, fort. rectius **63** nescio an τοῖς αὑτοῦ δὲ om. T, fort. bene

**370—2.** ἡ δ' ἐν γούνασι πῖπτε Διώνης ⟨—— κατέρεξεν⟩: βιωτικὰ ταῦτα, τὸ καὶ τοὺς προβεβηκότας τῶν παίδων ὡς μικροὺς ὑπὸ τῶν γονέων θωπεύεσθαι. διὰ δὲ τὸ τρυφερὸν τῆς δαίμονος πῖπτεν εἶπεν, ἅμα δὲ καὶ τὴν ἐκ τοῦ τραύματος παρειμένην ἐμφῆναι θέλων. **b**(BCE$^3$E$^4$) T *ex.*

**373.** ⟨τίς νύ σε τοιάδ' ἔρεξε⟩ φίλον τέκος Οὐρανιώνων: φίλον Οὐρανιώνων ἢ τίς {τῶν} Οὐρανιώνων. T *ex.*

**374** *a.* μαψιδίως: ἴδιον γονέων ἀδικοῦσι παισὶν ὑπερασπίζειν. **b**(BCE$^3$E$^4$) T *ex.*

*b.* ὡσεί τι κακὸν ῥέζουσαν ἐνωπῇ: οἷον ἐν ὄψει ἀδικοῦσαν. **b**(BCE$^3$E$^4$) T *ex.*

**376.** ὑπέρθυμος: ἀλόγιστος καὶ μεστὸς θυμοῦ. **b**(BCE$^3$) T *ex.*

**377.** οὕνεκ' ἐγὼ φίλον υἱόν: ηὔξησε τὸ θράσος Διομήδους εὔλογον ἔχουσα τὴν αἰτίαν. **b**(BCE$^3$) T *ex.*

**380.** ἀλλ' ἤδη Δαναοί γε καὶ ἀθανάτοισι μάχονται: ὡς Τρωσὶ βοηθοῦσα κοινοποιεῖται τὸ πταῖσμα, καὶ ἵνα μὴ δοκῇ μόνη ἀδικεῖσθαι. **b**(BCE$^3$E$^4$) T *ex.*

**384.** ἐξ ἀνδρῶν, χαλέπ' ἄλγε' ἐπ' ἀλλήλοισι τιθέντες: τινὲς συνάπτουσιν, ἵν' ᾖ δι' ἀνδρῶν ἀλλήλους κακοποιοῦντες. **b**(BCE$^3$E$^4$) T *ex.*

ἀρχούσης δίχρονον, ὡς καὶ ἐν τῇ †Γ† ῥαψῳδίᾳ· φησὶ γὰρ „φίλε κασίγνητε, κόμισαί τέ με, δὸς δέ μοι ἵππους" (E 359)· διὸ καὶ ὁ Ἀσκαλωνίτης (p. 46 B.), φασί, περιέσπα τὸ φῖ. | καὶ ὅρα τὴν ἀδιαφορίαν καὶ νῦν τῶν διχρόνων, εἴ γε καὶ τὸ φίλος ποτὲ μὲν ἐκτείνει, ποτὲ δὲ συστέλλει τὴν ἄρχουσαν. σημειοῦνται δὲ καὶ ὅτι ἐν μὲν τῷ „αἰδεῖσθαί θ' ἱερῆα" (A 23) καὶ ἐν τῷ „†προσέφ'† ἱερὴ ἲς Τηλεμάχοιο" (β 409 al.) συστέλλεται τὸ ῑ τοῦ ἱερόν. ἐν δὲ τῷ „ἱερὸν ἰχθύν" (Π 407) ἐκτείνεται, ὡς μέν τινές φασι, καθὰ λέγει καὶ Τρύφων (fr. 102 V.) ἐν τοῖς Περὶ ἀρχαίας ἀναγνώσεως, διὰ τὸ τὸν ποιητὴν ἐκτείνειν πολλὰ ἕνεκεν τοῦ μέτρου, ὡς δὲ οἱ ἀκριβέστεροι λέγουσι, διὰ τὸ φευκτέον εἶναι ἐν δακτυλικῷ μέτρῳ τὸ παράλληλον τῶν τριῶν βραχειῶν, fort. partim ex hyp. Iliad. (sch. Herodiani), ad Δ 151. Φ 318; cf. Eust. 556, 41 et 43; Cohn R.E. s. v. Eustathios 1465, 39 **374** *b* *B (pone sch., coni. cum v. ἀδικοῦσαν): τινὲς δὲ γράφουσιν „ἐνιπῇ", originis incertae (cf. E$^4$ in app. crit.) οἷον (75) sq. cf. D, Eust. 558, 31 **380** aliter Eust. 558, 45

---

**66** le. T supplevi, om. **b** (qui sch. ad E 371 relegavit) **67—8** βιωτ. — θωπ. in fine scholii (pone v. θέλων) E$^4$ **67** τὸ καὶ T καὶ τὸ **b** **68** sq. διὰ δὲ — εἶπεν] τὸ πῖπτεν διὰ τὸ τρυφερὸν τῆς δαίμονος εἶπεν E$^4$ **69** δὲ om. **b** **71** le. T supplevi **72** τῶν del. Ma **75** le. T, τὸ δὲ ἐνωπῇ (coni. cum scholio praecedenti) **b** οἷον T ἤτοι **b** **75** sq. ἀδικοῦσαν. τινὲς δὲ ἐνωπῇ (?) ἐπίρρημα E$^4$ **77** le. Bk., ὑπέρθυμος διομήδης T, om. **b** **78** θράσος] κράτος C **81** τρωσὶ T τρώεσσι **b**

*ex.* 385 *a*. τλῆ μὲν Ἄρης: ἐπίτηδες μύθους συλλέξας Διώνῃ περιτίθησιν ὁ ποιητής, δι' ὧν τῆς οἰκείας ἀπολύεται βλασφημίας ὡς οὐ καινίσας, ἀλλὰ παλαιαῖς παραδόσεσι πεισθείς. οὐδὲν δὲ ἄτοπον τοὺς Ποσειδῶνος δῆσαι Ἄρεα (cf. E 385—7). **b**(BE[3]) T

*ex.* *b*. τλῆ μὲν Ἄρης: Ἀδώνιδος τοῦ Κινύρου ἐρασθεῖσα Ἀφροδίτη καὶ τὸν φθόνον ὑφορωμένη παρέθετο τοῖς περὶ Ὦτον καὶ Ἐφιάλτην, οἳ θέσει μὲν ἦσαν Ἀλωέως, φύσει δὲ Ποσειδῶνος καὶ Ἰφιμεδείας. τοῦτον θηρολετοῦντα ἐν τῷ Λιβάνῳ τῆς Ἀραβίας ἀναιρεῖ Ἄρης. οἱ δὲ ὀργισθέντες ἐπὶ τρισκαίδεκα μῆνας ἀποκλείσαντες τὸν Ἄρεα εἶχον ἐν εἱρκτῇ. ἡ δὲ τούτων μητρυιὰ Ἠερίβοια, ἡ Εὐρυμάχου τοῦ Ἑρμοῦ, ἀπήγγειλεν Ἑρμῇ. ὁ δὲ καὶ ταύτῃ χαριζόμενος καὶ τῇ Ἥρᾳ κλέπτει τὸν Ἄρεα. ὁ δὲ φυγὼν ἧκεν εἰς Νάξον καὶ κατέκρυψεν ἑαυτὸν εἰς τὴν σιδηροβρῶτιν καλουμένην πέτραν. ἐκεῖνοι δὲ ἐρασθέντες τῶν Ἥρας καὶ Ἀρτέμιδος γάμων ἀλλήλους ἐν κυνηγεσίοις ἀπέκτειναν· κατὰ πρόνοιαν γὰρ Ἀρτέμιδος ἔλαφος διὰ μέσου αὐτῶν διῆλθε, καθ' ἧς ῥίψαντες ἄμφω ἀλλήλους διεχρήσαντο. **b**(BCE[3]) T

385 *a* cf. D; — πεισθείς (88) ad E 392—4 *b* cf. Eust. 560, 43; [Apoll.] bibl. 1, 55; Eust. 559, 45 οἳ (92) — Ἰφιμεδείας (93) cf. sch. Ap. Rh. 1, 482a c. test. (Eratosth. in FGrHist 241, 35, Hsd. fr. 19) κατὰ πρόνοιαν (5) sq. cf. sch. λ 318, sch. Pind. P. 4, 156 a 387 fort. exstabat sch. Aristonici de v. κεράμῳ. Hoc enim loco Aristarchus glossographos coarguisse vid., qui v. κέραμος idem esse censebant quod δεσμωτήριον, cf. Ap. S. 98, 4 (κεράμῳ· οὐχ ὡς κατὰ Κυπρίους, τῷ δεσμωτηρίῳ· καὶ γὰρ ἐν ἄλλοις „πολλῶν δ' ἐκ κεράμων μέθυ πίνετο τοῖο γέροντος" [I 469]) cum scholio D (χαλκῷ ἀγγείῳ, πίθῳ. ἢ δεσμωτηρίῳ· οἱ γὰρ Κύπριοι τὸ δεσμωτήριον κέραμον καλοῦσι) et cum glossa Cyrilli in codice Voss. 63 tradita et partim quidem turbata: κέραμος· τὸ δεσμωτήριον παρὰ τοῖς Γλωσσογράφοις, παρὰ δὲ Κυπρίοις τὸ ἀγγεῖον, παρὰ δὲ Ἀριστάρχῳ ὁ πίθος. Ceterum vide Latte, Glotta 34, 1955, 200 (= Kl. Schrift. [Monaci 1968] 698), qui originem significationis a glossographis comprobatae summa sagacitate narravit, fort. paulo confidentius; neque enim glossa Cyrilli e scholio quodam uberiore classis D derivanda esse videatur. Immo lexicographus sch. Aristonici, qui glossographos commemoravisse putandus est, et sch. volgare in unum temere

---

86 ἐπίτηδες δὲ pone sch. *b* (coni. cum v. διεχρήσαντο ἀλλήλους) **b** 86 sq. ὁ ποιητὴς post συλλέξας **b** 87 ὧν T ὧν διομήδης **b** τῆς — βλασφ. T ἀπαλλάττεται τοῦ τῆς βλασφημίας ἀντιποίνου **b** 87 sq. οὐ καιν. ἀλλὰ Nickau, οὐ καιναῖς ἀλλὰ **b** οὐκ ἀνιάσας T 88 παραδ. πεισθ. T πιθήσας παραδόσεσιν **b** 93 ἀρραβίας C 94 ἀποκλείσ. ante ἐπί E[3] τρισκαίδεκα] ιγ' T 1 ἀπήγγελλεν **b** 2 εἰς νάξον ἧκε **b** 3 σιδηρ. Bk., σιδηρόβρωτιν **b** σιδηροβρώτην T καλ. T λεγομένην **b** 5 μεσ. αὐτ. διῆλθε T μέσων διῆλθεν αὐτῶν **b** 6 ῥίψ. ἀμφότεροι διεχρήσαντο ἀλλήλους **b**

388 *a*. καί νύ κεν ἔνθ' ἀπόλοιτο Ἄρης: ἢ ὑπερβολικῶς εἶπεν, ἢ ἀντὶ τοῦ ἀφανὴς ἐγένετο, ὥσπερ φαμὲν „ἀπόλωλεν ὁ παῖς". **b**(BC $E^3E^4$) T *ex.*

*b*. ⟨ἀπόλοιτο:⟩ ἀντὶ τοῦ ἀπώλετο. $T^{il}$ *ex. (Ariston.)*

*c*. ⟨ἄτος:⟩ ἀκόρεστος. $T^{il}$ *D*

392—400. τλῆ δ' Ἥρη ⟨——— κῆδε δὲ θυμόν⟩: φιλόσοφος Ἡρακλῆς καὶ σοφίας οὐρανίου μύστης, ὃς †ὥσπερεὶ κατὰ† βάθη εἰσδεδυκυῖαν ἀχλύος τὴν φιλοσοφίαν ἐφώτισε. τὸν θολερὸν τοίνυν ἀέρα καὶ πρὸς τὴν ἑκάστου διάνοιαν ἐπαχλύοντα πρῶτος Ἡρακλῆς θείῳ διήρθρωσε λόγῳ τὴν ἑκάστου τῶν ἀνθρώπων ἄνοιαν πολλαῖς νουθεσίαις κατατρώσας· ὅθεν ἀπὸ γῆς εἰς οὐρανὸν ἀφίησι τὰ βέλη· πᾶς γὰρ φιλόσοφος ἐν ἐπιγείῳ σώματι πτηνὸν ὥσπερ τι βέλος τὸν νοῦν εἰς τὰ μετέωρα διαπέμπεται. διὰ δὲ τοῦ τριγώνου βέλους ἡ τριμερὴς ἡμῖν φιλοσοφία δεδήλωται. μετὰ δὲ Ἥραν τοξεύει Ἀίδην· οὐδεὶς γὰρ ἄβατος φιλοσοφίᾳ χῶρος, ἀλλὰ μετὰ τὸν οὐρανὸν ἐζήτηκε τὴν κατωτάτω φύσιν· διὸ καὶ ἀνεληλυθέναι τὸν Ἀίδην φησί, μόνον οὐχὶ συνάπτων ἄμφω τὰς γνώσεις· καὶ τὸν ἀλαμπῆ πᾶσιν ἀνθρώποις τόπον ὁ τῆς φιλοσοφίας ὀϊστὸς εὐστόχως βληθεὶς διευκρίνησεν. **b**(BC$E^3$ $E^4$) T [*Her.*] *Qu. Hom.*

confudit. De glossographis cf. Lehrs Ar.³ 37 **388** *b* cf. Eust. 562, 35; vide ad A 232 (Ariston.) *c* cf. D **389** hic versus (sc. εἰ μὴ μητρυιὴ περικαλλὴς Ἠερίβοια), quo quattuor oxytona continentur, inde ab Ap. Dysc. usitatum exemplum est acuti tenoris in gravem mutati. Veri igitur haud dissimile esse videtur scholion certe Herodiani hoc loco exstitisse, cf. Hrd. 1, 551, 3 (B. A. 3, 1142), Io. Char. in B. A. 3, 1150 **392—400** [Her.] Qu. Hom. 34 (p. 49, 20—50, 15), textus [Her.] in scholio paulo mutatus, cf. D ad E 385 διὰ δὲ τοῦ τριγώνου (19) — δεδήλωται (20) cf. Eust. 563, 14 **393** h(Ge $M^1$ $P^{11}$): ⟨δεξιτερόν·⟩ (add. Nicole) τὸ δεξιτερὸν οὐκ ἔστι συγκριτικόν· ἐβαρύνετο γὰρ ἄν· τὰ γὰρ εἰς τερος συγκριτικὰ βαρύνονται. τὸ δὲ δεξιτερός (δεξιτερόν $M^1$) καὶ ἀριστερός (ἀριστερόν $M^1$) παρώνυμά ἐστι (ἐστι om. Ge)· διὸ καὶ (κ. om. $M^1$) ὠξύνθη (ὠξύνθησαν Ge), fort. sch. Herodiani, cf. Arcad. 81, 1

---

**10** le. add. Ma. **11** le. add. Li, ἄατος add. Ma. **12** le. T supplevi, om. **b** (qui et ipse sch. ad E 392 rettulit) **13** ὥσπ. κατὰ T ὥσπερ τὰ **b**, ὥσπερ εἰς τὰ Vill. (recte ut vid.), ὥσπερ κατὰ Wil. **13** sq. βαθείας δεδυκυῖαν T **14** ἐφώτισεν T **15** θεῖος **b** **16** sq. τῶν — κατατρώσας] διάνοιαν ἐπαχλύοντα πρῶτος ἡρακλῆς $E^3$ ἄνοιαν] διάνοιαν T πολλ. νουθ. om. T **17** καταστρώσας T **21** φιλοσοφία C **22** μονονουχὶ BC$E^4$ **23** πᾶσιν T γὰρ πᾶσιν **b** **24** εὐστ. βληθεὶς om. **b**

*ex.* **392—4** *a.*[1] τλῆ δ' Ἥρη ⟨——— λάβεν ἄλγος⟩: οἱ μὲν ἐν τῇ πρὸς Πυλίους μάχῃ, οἱ δὲ διὰ τὸ μὴ ἐᾶσαι αὐτὴν νήπιον ὄντα σπάσαι τὸν ἴδιον μαζόν. διὰ μειζόνων δὲ προσώπων παρεμυθήσατο τὴν Ἀφροδίτην. **T**

*a.*[2] ἡ δὲ ἱστορία ὅτι ἐν τῇ πρὸς Πυλίους μάχῃ αὐτὴν ἔτρωσεν. οἱ δέ φασιν ὅτι, διότι νήπιον ὄντα οὐκ εἴασεν αὐτὸν σπάσαι τὸν ἴδιον μαζόν, ἔτρωσεν αὐτήν. διὰ μειζόνων δὲ προσώπων παραμυθεῖται †ἀφροδίτῃ†. **b**(BCE$^3$E$^4$)

*Did.* **394.** ⟨τότε καί μιν:⟩ ἐν τῇ ἑτέρᾳ „τότε κέν μιν". **T**$^{il}$

*ex.* **395—7.** τλῆ δ' Ἀΐδης ⟨——— ὀδύνῃσιν ἔδωκεν⟩: φασὶν Ἡρακλέα ἐπιταχθέντα ὑπὸ Πλούτωνος ἄνευ ἀσπίδος καὶ σιδήρου χειρώσασθαι τὸν Κέρβερον, τῇ μὲν δορᾷ χρήσασθαι ἀντὶ ἀσπίδος, τοῖς δὲ βέλεσι λιθίνας ἀκίδας κατασκευάσαι. μετὰ δὲ τὴν νίκην πάλιν ἐναντιουμένου τοῦ θεοῦ τὸν Ἡρακλέα ὀργισθέντα τοξεῦσαι αὐτόν. **b**(BCE$^3$E$^4$) **T**

*Ariston.(?)* **397.** ἐν Πύλῳ ἐν νεκύεσσι: Ἀρίσταρχος „πύλῳ" ὡς „χόλῳ" (Z 335 al.) καὶ ἑσπέρῳ. ἀλλὰ πληθυντικῶς ἀεὶ λέγει· „ὠΐγνυντο πύλαι" (B 809), „πύλας Ἀΐδαο" (E 646). ἐν τῇ Πύλῳ οὖν φησιν. **T**

*ex.* **399.** ⟨κῆρ ἀχέων, ὀδύνῃσι πεπαρμένος:⟩ κατὰ μέτρον ἡ ἀνάπαυσις. **T**$^{il}$

**392—4** cf. Eust. 561, 29; — μάχῃ (27) cf. Eust. 561, 20 οἱ δὲ (27) sq. cf. sch. Lyc. 39, aliter Ptolem. Ch. (fr. II 14 [p. 22, 19 Ch.]) ap. Phot. bibl. 147b 32; vide Tomberg 87 διὰ μειζόνων (28) sq. ad E 385 *a* **395—7** τοξεῦσαι αὐτόν (39) cf. sch. λ 605 **397** fort. exstabat sch. Didymi de v. πύλῳ, cf. Ap. Dysc. de coni. 233, 22: (9) ὁμολόγως οὖν ἐν ἀφαιρέσει τοῦ εὖ τὸ ἠνορ[έη] (cf. Δ 303, suppl. Bk.), καὶ οὐκ ἀσυνήθως τοῦ εὖ παρ' αὐτῷ λείποντος· οὕτω γὰρ ἔχει τὸ „δόμοις ἔνι ποιητοῖσι" (ν 306), τοῖς εὖ πεποιημένοις . . . (22) ἔτι δὲ καὶ τὸ „ἐν πύλῳ ἐν νεκύεσσι", προπύλῳ, sch. Pind. Ol. 9, 44 a: . . . δεδόσθω γὰρ αὐτῷ (sc. Πινδάρῳ), φησὶν ὁ Δίδυμος (p. 221 Schm.), περὶ τὴν ὑπὸ Νέστορι Πύλον συστῆναι τὴν μάχην, Ὁμήρου τὴν ἐν Ἅιδου πύλην νεκύων πύλον εἰρηκότος· „ἐν πύλῳ ἐν νεκύεσσι βαλών", ib. 9, 46; Beiträge 343. Vide ad I 649 *a* Ἀρίσταρχος (41) — ἑσπέρῳ (42) cf. A$^a$: πύλον ἀντὶ τοῦ πύλην ὡς χόλον τὴν χολήν, D, Eust. 563, 24; ad Π 203 *b*, sch. ξ 318; sch. Ap. Rh. 1, 1350; vide ad Φ 232; sch. T Aristonico dub. attribui, ad B 634. 809. Π 203 *a* (Ariston.) Πύλῳ (43) cf. Panyass. fr. 20 Ki.; Paus. 6, 25, 2; Bacher 33 **400** fort. exstabat sch. Hero-

---

**26** le. T supplevi **30—3** ἡ δὲ sq. pone sch. E 392—400 (coni. cum v. διευκρίνησεν) **b** **31** ὅτι διότι BCE$^3$, ὅτι E$^4$ νήπιον — αὐτὸν] νήπιον αὐτὸν ὄντα διότι οὐκ εἴασεν E$^4$ σπᾶσαι BE$^3$ **33** ἀφροδίτην E$^4$ (e coni.) **34** le. add. Bk. (τότε κέν μιν T$^{cont}$, vulg.) ἑτέρᾳ sc. τῶν ἀριστάρχου, ad Δ 527 *a*$^1$ **35** le. T supplevi, om. **b** (ubi sch. ad E 395 revocatum est) **36** ὑπὸ] παρὰ C **38** τοῖς δὲ — κατασκευάσαι T ταῖς δὲ λιθίναις ἀκίσιν ἀντὶ τῶν βελῶν **b** **42** ἑσπέρῳ cf. α 422 al. **44** le. add. Ma.

401—2 *a.*$^1$ ⟨τῷ δ' ἐπὶ Παιήων ὀδυνήφατα φάρμακα πάσσων / ἠκέσατ':⟩ πρὸς τὸ πεῖσαι τὴν θυγατέρα ἐναργῶς περὶ τοῦ πλήγματος διαλέγεται. b(BCE$^3$E$^4$) | οὐκ ἀναστρεπτέον δὲ τὴν πρόθεσιν· τῷ γὰρ ἑξῆς συντέτακται. b(BCE$^3$) *ex.* | *Hrd.*

*a.*$^2$ {ὤμῳ ἐνὶ στιβαρῷ ἠλήλατο:} οὐκ ἀναστρεπτέον τὴν πρόθεσιν· τῷ γὰρ ἑξῆς συντέτακται. T *Hrd.*

*b.* τῷ δ' ἐπὶ Παιήων ⟨——— ἐτέτυκτο⟩: ηὔξησε τὴν ἰατρικήν, εἴγε καὶ θεοὶ δέονται αὐτῆς. παραμυθεῖται δὲ τὴν παῖδα ὡς οὐδὲν ἐκ τῆς πληγῆς πεισομένην. διάφορος δὲ παρ' Ἀπόλλωνα ὁ Παιήων. b(BCE$^3$E$^4$) T *ex.*

402. ⟨καταθνητός:⟩ περισσὴ ἡ κατα. T$^{il}$ *ex.*

403 *a.* ⟨ὀβριμοεργός:⟩ Ἀρίσταρχος „αἰσυλοεργός". T$^{il}$ *Did.*

*b.* ⟨ὃς οὐκ ὄθετ':⟩ διὰ τοῦ τ „ὅτ' οὐκ ὄθετ'". T$^{il}$ *Did.(?)*

404 *a.*$^1$ ὃς τόξοισιν ἔκηδε θεούς: οὐκ οἶδεν αὐτὸν ῥοπάλῳ χρώμενον. | τὸ δὲ ἔκηδε ἀντὶ τοῦ ἐκάκου. T *ex.* | *D*

*a.*$^2$ οὐδέποτε οἶδεν ὁ ποιητὴς Ἡρακλέα ῥοπάλῳ χρώμενον. b(BCE$^3$) *ex.*

405. σοὶ δ' ἐπὶ τοῦτον ἀνῆκε ⟨——— Ἀθήνη⟩: οὐκ ἀναστρεπτέον τὴν πρόθεσιν· πρὸς γὰρ τὸ ἀνῆκε συντέτακται. b(BCE$^3$E$^4$) T | οὐχ ὑπὸ θνητοῦ δὲ τέτρωται, ἀλλ' ὑπὸ θεοῦ ἰσοτίμου. καὶ ὁ ὑπηρετήσας δὲ οὐκ ἀβλαβὴς ἐκφέρεται (cf. E 406—15). b(BE$^3$E$^4$) *Hrd.* | *ex.*

406. ⟨νήπιος, οὐ δὲ τὸ οἶδε κατὰ φρένα Τυδέος υἱός:⟩ ἡδὺ τὸ τῆς ἐξαλλαγῆς. ὁ δὲ δέ ἀντὶ τοῦ γάρ. b(BCE$^3$) *ex.*

407 *a.* μάλ' οὐ δηναιός: οὐ μάλα δηναιός. b(BCE$^3$) T | εἰς εὐσέβειαν δὲ ἡμᾶς διὰ τούτων παρακαλεῖ. b(BCE$^3$E$^4$) T *ex.* | *ex.*

*b.* ⟨δηναιός:⟩ πολυχρόνιος. T$^{il}$ *D*

diani de anastropha v. ἐνι (cf. le. sch. T ad E 401—2 *a*$^2$). Vide ad Γ 240 *b* 401—2 *a* ad E 405 (Hrd.) 402 cf. Eust. 564, 16 404 *a*$^1$ — χρώμενον (60, cf. 61) cf. Eust. 561, 37: καὶ σημείωσαι ὅτι οὐκ οἶδεν ἐνταῦθα Ὅμηρος τὸν Ἡρακλέα ῥοπάλῳ χρώμενον, ἀλλὰ τόξοις ἀνδραγαθοῦντα. Improbabiliter Roemer, Jhbb. class. Philol. 25, 1879, 91 τὸ δὲ ἔκηδε sq. cf. D ad E 400 405 — συντέτακται (64) ad E 401—2 *a*, vide ad A 67 *b*; aliter D 407 cf. Bechtel,

---

46 sq. le. addidi (duce Vill.) 49 τῷ CE$^3$ et B m. rec., τὸ B 50 le. T delevi, vide ad B 839 al., cf. test. 52 le. T supplevi, om. b 54 sq. διάφορος — παιήων T παιήονα δὲ οὐ τὸν ἀπόλλωνα λέγει b 56 et 57 le. add. V$^c$ 58 le. add. Bk. ὅτ' T, fort. ὅ τ' 63 le. T supplevi, om. b 67 le. add. Vill. 68 γάρ] καὶ C 69 le. Bk., ὅττι μάλ' οὐ δηναιός T, om. b δην.$^2$] δηναιὸς καὶ χρόνιος b 70 δὲ om. E$^4$ διὰ τούτων om. b 71 le. add. Ma. (οὐ δηναιός V)

*ex.* 408 *a.* οὐδέ τί μιν παῖδες ποτὶ γούνασι παππάζουσιν: λανθάνει τὸ ταπεινὸν τῆς λέξεως καὶ διὰ τὸ λέγον πρόσωπον καὶ διὰ τὸ ἀκοῦον· οὐ γὰρ ἐξ ἄρσενος λέγεται, οὐχ ἥρωος, οὐ θεοῦ, ἀλλ' ὑπὸ θεᾶς καὶ μητρὸς καὶ ἐναγκαλισαμένης τὴν παῖδα. **b**(BE$^3$E$^4$) T

*Did.* | *ex.* *b.* οὐδέ τί μιν {παῖδες}: διχῶς, καὶ „οὐδέ τέ μιν". T | σεμνύνει δὲ τὴν παιδοποιΐαν, τοὺς ἀσεβοῦντας κολάζεσθαι λέγων ἀτεκνίᾳ. **b**(BCE$^3$E$^4$) T εἰ δὲ λέγοις καὶ μὴν „τέτρατον ἦμαρ ἔην, ὅτ' ἐν Ἄργει" (γ 180), ἴσθι ὡς οἱ ἑταῖροι ὑπέστρεψαν, οὐ Διομήδης. **b**(BE$^3$E$^4$) T

*D* *c.* ⟨παππάζουσιν:⟩ πατέρα καλοῦσιν. T$^{il}$

*ex.* 411. μή τίς οἱ ἀμείνων σεῖο μάχηται: περὶ Ἄρεος προλέγει. T

*ex.* 412 *a.*[1] μὴ δὴν Αἰγιάλεια: ἄμεινον τὸ δὴν χρονικὸν ἐπίρρημα ἐκδέχεσθαι, ἵν' ᾖ τὸ ἑξῆς οὕτως· μὴ ἀμείνων σεῖό τις ἀντιμάχηται καὶ μὴ δήν, ὅ ἐστιν ἐπὶ πολύ, μείνῃ αὐτῷ ἡ γυνὴ θρηνοῦσα. T

*a.*[2] τὸ δὲ δὴν ἄμεινον εἶναι χρονικὸν ἐπίρρημα, ἵν' ᾖ τὸ ἑξῆς οὕτω· φραζέσθω, μή πώς τις αὐτῷ ἀμείνων σεῖο μάχηται καὶ **b**(BCE$^3$) μὴ δήν, ὅ ἐστιν ἐπὶ πολύ, μείνῃ αὐτὸν ἡ γυνὴ θρηνοῦσα. **b**(BCE$^3$E$^4$)

*ex.* | *ex.* *b.* μὴ δὴν Αἰγιάλεια: φασὶν Αἰγιάλειαν τὴν νεωτέραν τῶν Ἀδρηστίδων γυναῖκα Διομήδους οὖσαν σφόδρα αὐτὸν ἐπιποθεῖν καὶ ἀπολοφύρεσθαι καὶ κατὰ τὰς νύκτας. ὕστερον δὲ κατὰ μῆνιν Ἀφροδίτης πάσῃ τῇ νεολαίᾳ τῶν Ἀργείων αὐτὴν συγκωμάσαι, ἔσχατον δὲ καὶ †σθενέλῳ τῷ κομήτου†, ὃς ἦν ὑπὸ Διομήδους πιστευθεὶς τὰ κατ' οἶκον. ἥκοντα δὲ αὐτὸν μέλλων ἀνελεῖν ἐφείσατο διὰ τὸ καταφυγεῖν εἰς τὸν τῆς Ἀθηνᾶς βωμόν· ὅθεν αὐτὸν φυγόντα φασὶν ἥκειν εἰς †ἰβηρίαν† κἀκεῖ, ὡς μέν τινες, δολοφονηθῆναι ὑπὸ Δαύνου τοῦ

Lex. 99 412 *b* cf. D (unde Eust. 566, 2), sch. Lyc. 592. 594. 610 (= Mimnermus, FGrHist 578, 8). 615; Serv. Verg. A. 11, 269; Schwartz 461; Wilamowitz, Eurip. Hippol. (Berol. 1891) 40, 2; Valk I 328; — Διομήδους (91) cf. Et. Gen.

---

72 (le.) παππ. Vill., παπτάζουσι T (le. om. **b**) 73 λανθ. Ma., λαμβάνει T, λανθάνει δὲ pone sch. *b* (coni. cum v. διομήδης) **b** 73 sq. καὶ διὰ τὸ ἀκ. T παρεντεθὲν καὶ διὰ τὸν λόγον καὶ διὰ τὸ ἀκοῦον πρόσωπον **b** 75 καὶ[2] del. Bk. τὴν T τὸν **b** 76 (le.) παῖδες del. Bk. 77 δὲ T γὰρ exp. E$^3$, om. BCE$^4$ 78 τέταρτον **b** 79 οὐ] οὐχὶ E$^4$ 81 le. add. V$^c$ 83 ἐπίρη ss. μ T em. Ma. 86—8 pone sch. *b* (coni. cum v. μετέβαλεν) in **b** 87 πώς] που C 90 sq. νεωτέραν — ἀδρηστ. T μίαν τῶν ἀδρηστίδων τὴν νεωτέραν **b** 91 οὖσαν om. T 91 sq. ἐπιποθεῖν — κατὰ **b**, ἐπιποθοῦσαν ἀπολοφύρεσθαι αὐτὸν καὶ T (nescio an rectius) 93 πάσῃ τῇ **b** πᾶσι T νεολαίᾳ post ἀργείων **b** συγκ. αὐτὴν **b** ἔσχατον **b** ὕστερον T 94 κομήτῃ τῷ σθενέλου Schneidewin, recte (cf. D) 2 ἰβηρίαν **b** D V$^c$, ////// ρίαν T ss. καλαυ m. sec., ἑσπερίαν Lascaris, καλαβρίαν Schwartz, possis οἰνωτρίαν vel ἰταλίαν δαύου

βασιλέως, ὡς δὲ ἔνιοι, ἀπολέσθαι ὑπὸ Ἰουνίου τοῦ Δαύνου παιδὸς ἐν κυνηγεσίοις· ὅθεν αὐτὸν μὲν ἀπεθέωσεν Ἀθηνᾶ, τοὺς δὲ ἑταίρους εἰς ἐρωδιοὺς μετέβαλεν. b(BCE³) T | τὸν Κομήτου πόθον {καὶ} Αἰγιαλείας οὐκ οἶδεν ὁ ποιητής. T

**412—3** *a.*¹ ⟨μὴ δὴν Αἰγιάλεια ——— ἐγείρῃ:⟩ βουλευέσθω, μή πως ἡ Αἰγιάλεια ποθοῦσα αὐτόν, ἀκούσασα δὲ τὴν αὐτοῦ ἀπώλειαν, θρηνοῦσα ἐκ τοῦ ὕπνου τοὺς οἰκείους ἀνεγείρῃ. b(BCE³E⁴) οὐκ οἶδε δὲ ὁ ποιητὴς τὸν τοῦ Κομήτου πόθον. b(BCE³) *ex.*

*a.*² μὴ †δὲ ἐὰν† ἀπολομένου αὐτοῦ, φησί, τοὺς οἰκείους ἀνεγείρῃ θρηνοῦσα αὐτὸν ἡ γαμετή· τὸν γὰρ Κομήτου πόθον οὐκ οἶδεν. T

**413.** οἰκῆας: τοὺς ἐν οἴκῳ τρεφομένους. T *ex.*

**414.** τὸν ἄριστον Ἀχαιῶν: ἐν εἰρωνείᾳ, τὸν φρόνημα ἔχοντα b(BCE³E⁴) T ὅτι ἄριστός ἐστιν. ἢ ὡς αὐτὴ λέξει θρηνοῦσα. ἢ καὶ πρὸς παραμυθίαν τῆς Ἀφροδίτης λέγεται ὅτι ὁ τρώσας αὐτὴν ἄριστός ἐστιν. b(BCE³) T *ex.*

**416** *a.* ἦ ῥα, καὶ ἀμφοτέρῃσιν ἀπ' ἰχῶ χειρὸς ὀμόργνυ: ἡ Ἀριστάρχου ἐνικῶς, ἡ Ζηνοδότου „χερσίν". | Ἀττικῶς δὲ τὸ ἰχῶ. τὸ δὲ ὀμόργνυ ἀντὶ τοῦ ἀπέψησεν. T *Did.* | *ex.*

*b.* ⟨ἀπ' ἰχῶ χειρὸς ὀμόργνυ:⟩ Ἀττικόν ἐστι κατὰ ἀποκοπὴν τοῦ ρ̄ καὶ ᾱ, ἢ κατὰ συναίρεσιν, ἰχῶρα ἰχῶ. | ἡ δὲ ἀπό πρὸς τὸ ὀμόργνυ ἢ πρὸς τὸ χειρός. b(BE³) *ex.* | *ex.*

(B, deest A) Αἰγιάλεια ὑπὸ Ἰουνίου τοῦ Δαύνου παιδὸς (3) at cf. Dion. Hal. ant. Rom. 4, 68, 1 ὅθεν αὐτὸν μὲν ἀπεθέωσεν (4) sq. cf. Strab. 6, 3, 9, (p. 284); Serv. Verg. A. 11, 271 τὸν Κομήτου (5) sq. ad E 412—3, cf. Eust. 566, 7; fort. doctrina Aristarchi, cf. Wilamowitz, Sappho und Simonides, Berol. 1913, 279, 2 **412—3** Κομήτου πόθον (10 et 12) ad E 412 *b* **413** ad Z 365 (ex.), cf. D, Amm. 343 **414** ἢ καὶ πρὸς (16) sq. cf. Eust. 566, 17 **415** de v. ἰφθίμη vide ad A 3 *b* (test.) **416** *a* — χερσίν (20) ad A 585 (Did.) τὸ δὲ ὀμόργνυ (21) sq. fort. e scholio D *b* — ἰχῶ (23) cf. Eust. 566, 30 κατὰ συναίρεσιν (23) cf. Et. Gen. ἰχῶ (= EM. 480, 56) ἡ δὲ ἀπό (23) sq. ad

---

(ν add. m. sec.) T **3** δὲ ἔνιοι T δέ τινες b **4** αὐτὸν T ὥς φασιν αὐτὸν b **5** μετέβαλε C καὶ del. Ma. **7** le. addidi **7—9** βουλ. — ἀνεγείρῃ ad E 412 rettulerunt BCE³, cum sch. E 412 *a*² (v. θρηνοῦσα) coni. E⁴ **11—3** μὴ — οἶδεν pone sch. E 413 (coni. cum v. τρεφομένους) T **11** δὲ ἐὰν T, δὴν Ma., vix recte; possis δὲ ἅτε vel δὲ ἡ αἰγιάλεια ἀπολλομένου T em. Ma. **11** sq. ἀνεγείρειν T em. Ma. **15** ἐν — ἔχοντα] τὸ φρόνημα ἔχοντα. κατ' εἰρωνείαν δὲ τοῦτό φησιν E⁴ ἐν εἰρ. T εἰρωνεία ἐστί BCE³ **17** λέγει b, fort. rectius **18** ἐστιν T, τῶν ἄλλων ἐστίν, ἀλλ' οὐκ οὐδαμινός b, fort. rectius **21** ἀπέψα D, fort. rectius **22** le. add. Vill.

*ex.* | *ex.* **417.** ἄλθετο χείρ: ἔδειξεν ἐπὶ ποίῳ τραύματι ἤσχαλλεν Ἀφροδίτη, ὅπου οὐκ ἐδέησεν ἰατροῦ. b(BCE$^3$) T καὶ ὅτι τὸ λάλον ἐνδείκνυται τῶν γυναικῶν, πῶς καὶ τὰ δοκοῦντα μικρὰ μεγάλα διὰ τὸ λάλοι εἶναι ποιοῦσιν. b(BCE$^3$) | ἄλθετο δὲ τὸ ὑγιοῦτο, b(BCE$^3$) T ἐκ τοῦ ἄλθω τὸ αὔξω· τὰ γὰρ ὑγιῆ καὶ αὔξεται. b(BCE$^3$E$^4$) T

*ex.* **419.** κερτομίοις ἐπέεσσι Δία Κρονίδην ἐρέθιζον: ἐπεὶ ἐκερτόμησεν αὐτὰς ὁ Ζεὺς „δοιαὶ μὲν Μενελάου" (Δ 7), τρωθείσης Ἀφροδίτης ἀντικερτομοῦσι τὸν Δία. τοῦτο καὶ ὁ Ζεὺς συνεὶς ἐμειδίασεν. ἅμα δὲ τὴν κατὰ Διομήδους ὀργὴν μαλάσσουσιν, ἃ μέλλουσι κατηγορεῖσθαι, ταῦτα προδιασύρουσαι. b(BCE$^3$) T

*ex.* **420.** τοῖσι δὲ μύθων ἦρχε θεὰ γλαυκῶπις Ἀθήνη: εὖ τὸ τῇ Ἀθηνᾷ τὴν εἰρωνείαν περιθεῖναι· ἡ γὰρ Ἥρα μείζονος ἀξιώματός ἐστιν. b(BCE$^3$E$^4$) T

*ex.* **422—5.** ἦ μάλα δή τινα Κύπρις ⟨——— κατεμύξατο χεῖρα ἀραιήν⟩: ὡς προκαταρχούσης τῆς εἰς Ἑλένην ὕβρεως. διὰ δὲ τοῦ κατεμύξατο (425) λεληθότως ἀπολογεῖται. b(BCE$^3$) T

*Did.* | *ex.* | *Hrd.* **425** *a.*$^1$ καταμύξατο χεῖρα ἀραιήν: διὰ τοῦ ᾱ Ἀρίσταρχος καταμύξατο. | τὸ δὲ χεῖρα ἀραιήν πρὸς τὸ ἀσθενὲς τῆς πληγῆς. | Ἀρίσταρχος δὲ τὸ ἀραιήν ἐπὶ μὲν τοῦ ἀσθενῆ δασύνει, ἐπὶ δὲ τοῦ ἐπιβλαβῆ ψιλοῖ. T

*ex.* | *Hrd.* | *Did.* *a.*$^2$ πρὸς τὸ ἀσθενὲς τῆς πληγῆς. b(BCE$^3$) | Ἀρίσταρχος δὲ τὸ ἀραιήν ἐπὶ μὲν τοῦ ἀσθενῆ δασύνει, ἐπὶ δὲ τοῦ ἐπιβλαβῆ ψιλοῖ. | τὸ δὲ κατεμύξατο „καταμύξατό" φησι διὰ τοῦ ᾱ. b(BCE$^3$E$^4$)

A 67 *b* (Hrd.) **417** ἄλθετο δὲ (28) sq. cf. D, Or. 7, 11 in sede scholiorum, plura (ex Or.) Et. Gen. (AB) ἄλθετο (Et. Gud. 87, 19 Stef.): τὸ (ἐπὶ τοῦ EM.) ὑγιανθῆναι (καὶ τὸ θεραπευθῆναι add. Et. Gud.) παρὰ τὸ ἀλδαίνειν (ἀλδ. Et. Gud. = Or., ἄλδειν Et. Gen.), ὅ ἐστιν αὔξειν· τὸ γὰρ ὑγιὲς αὔξεται, sim. Ep. alph. (An. Ox. 2, 357, 2 = Et. Gud. 382, 11 Stef.): ... ἄλθω τὸ θεραπεύω· τοῦτο ἐκ τοῦ ἄλδω, τὸ αὔξω· τὸ γὰρ ὑγιὲς αὔξεται **420** cf. Eust. 567, 39 **422** exstitisse videtur sch. Nicanoris de v. ἦ μάλα δή τινα Κύπρις, ad Φ 55 (Nic.) **425** *a*$^1$ — καταμύξατο (42) ad N 705. Π 379 (Did.) Ἀρίσταρχος δὲ τὸ ἀραιήν (43) sq. ad Π 161 *c*$^1$. Σ 411 (Hrd.), cf. sch. κ 90; Arcad. 224, 20, Meth. (An. Ox. 1,

25 ἤσχαλεν T **26** τὸ supra l. (m. pr.) C, om. BE$^3$ **28—9** δὲ τὸ — αὔξεται b, παρὰ τὸ ἄλθω· τὰ γὰρ ὑγιῆ αὔξει, τὸ δὲ ἄλθετο ἀντὶ τοῦ ὑγιάζετο T **28** ὑγιοῦτο b, fort. ὑγιάζετο (cf. T) **29** ἄλθω susp., cf. test. **31** μενελάῳ b (= Hom.) **32** τοῦτο — ζεύς T τοῦτο δὲ καὶ αὐτὸς b **36** τὴν εἰρωνείαν περιθ. T τὴν τῆς εἰρωνείας προκαταρχὴν ἐπιθεῖναι b **36** sq. ἐστιν ἀξιώμ. b **38** sq. le. T supplevi, om. b (ubi sch. ad E 422 revocatum est) **39** προκατ. sc. τῆς κύπριδος ἑλένην T ἕλληνας b ὕβρεως T ἀδικίας b **41** (le.) rectius κατεμύξατο (= vulg.); χεῖρ' T em. Ma. **42** ἀσθενοῦς T corr. Ma. **45** δὲ om. E$^4$ **47** φησι διὰ τοῦ ᾱ] διὰ τὸ ἀσθενὲς τῆς πληγῆς E$^4$

**428.** οὔ τοι, τέκνον ἐμόν, δέδοται πολεμήϊα ἔργα: τὸ „γνῶθι σαυτόν" φησιν. οὐδὲν δέ φησιν· οἶδε γὰρ αὐτὴν τὴν αἰτίαν ἔχουσαν διὰ τὴν ἁρπαγὴν Ἀλεξάνδρου, b(BCE$^3$E$^4$) **T** ἣν ταῖς αὐτῆς βουλαῖς ἐποιήσατο· b(BCE$^3$E$^4$) διὸ οὐδὲ αὐτὴ φθέγγεταί τι ὡς ἡμαρτηκυῖα, b(BCE$^3$E$^4$) **T** ἀλλὰ μᾶλλον ἀσκεῖ σιωπήν. b(BCE$^3$E$^4$) πᾶς γὰρ ἁμαρτὼν †ἀνταιρεῖν† οὐ δύναται. **T** *ex.*

**429.** ἔργα γάμοιο: τὰ περὶ τὸν ἔρωτά φησι καὶ τοὺς ἐργαζομένους τὸν γάμον, b(BCE$^3$E$^4$) **T** ἐπεί τοι Ἥρα ζυγία ἐστίν. **T** *ex.*

**430.** ταῦτα δ' Ἄρηϊ θοῷ: καὶ πῶς ὕστερον ὑβρίζει αὐτόν; ὅτι τὸ δίκαιον ὑπερέβαινεν, οὐ βοηθῶν, ἀλλὰ καὶ αὐτουργῶν κατὰ τῶν Ἀχαιῶν· Περίφαντα γοῦν ἀπέκτεινεν (cf. Ε 842—4). **T** *ex.*

**434.** ἀλλ' ὁ γὰρ οὐδὲ θεὸν μέγαν ἅζετο: οὐδὲν πράσσει, δεικνὺς ὡς οὐδὲ τὸ κατὰ Ἀφροδίτην αὐτοῦ ἦν. b(BCE$^3$E$^4$) **T** *ex.*

**437.** ⟨ἐστυφέλιξε:⟩ ἔρριψεν. **T**$^{il}$ *ex.(?)*

**442.** {οὔποτε φῦλον ὁμοῖον ἀθανάτων θεῶν} χαμαὶ ἐρχομένων {ἀνθρώπων}: πρὸς τὰ πτηνὰ ἡ σύγκρισις τὰ διὰ τοῦ ἀέρος πορευόμενα. **T** *ex.*

84, 16); Eust. 568, 8 ἀσθενῆ (43) cf. D **428** fort. exstabat sch. Herodiani de v. οὔ τοι, cf. Ep. Hom. (An. Ox. 1, 409, 13 = Hrd. 1, 556, 6): ... ἀξιοῖ οὖν ἀναγινώσκειν Ζηνόδοτος „οὔ τοί, τέκνον ἐμόν, δέδοται πολεμήϊα ἔργα"· ἔστι γάρ, φησί, διαστολή. εἰ δὲ διαστολή, ὀρθοτονητέον. ὅτι δὲ διαστολή, δῆλον ἐκ τοῦ ἐπιφερομένου (sc. Ε 430). — ἀλλὰ πρῶτον μὲν οὐ δίδωσιν ἐγκλιτικὸν μόριον ἐνθάδε (ἡ γραφή add. Lentz). ἡ οὖν γραφή, εἰ καὶ διαστολή ἐστι, κωλύει ὀρθοτονεῖν τὴν ἀντωνυμίαν. εἰ δὲ σοί ἦν, ὀρθοτονεῖσθαι ἠδύνατο δευτέρου οὖσα προσώπου. ἡ δὲ τοί μόνως ἐγκλιτική. δεύτερον δὲ οὐδὲ ἔστιν ἐκ τῆς ἀντωνυμίας ταύτης διαστολή· τὸ γὰρ „ταῦτα δ' Ἄρηϊ θοῷ" (Ε 430) πρὸς τὸ „ἀλλὰ σύ γ' ἱμερόεντα μετέρχεο ἔργα γάμοιο" (Ε 429). ἀλλὰ καὶ ἀλλαχοῦ δὲ ἐμφάσεως οὔσης καὶ διαστολῆς, ἄντικρυς ἐγκλιτικῶς ἀνέγνωμεν „νῦν δέ τοι οἴῳ πάμπαν ἀπώλετο νόστιμον ἦμαρ" (τ 369 + ρ 253)· ἀντιδιαστέλλει γὰρ πρὸς τοὺς ἄλλους, καὶ ἔστιν ἐπίτασις ἐκ τοῦ λέγειν „τοι οἴῳ". ἀλλὰ πάλιν διὰ τὴν γραφὴν τῆς ἀντωνυμίας τὸ ἐγκλιτικὸν ἐπεκράτησε, fort. ex Herodiani libro Π. ἐγκλινομένων; Herodianum similia in Il. Pros. scripsisse censeo, cf. Ap. Dysc. pron. 81, 31; Lehrs, Quaest. ep. 122; Beiträge 368. Vide ad Α 294 (test.) τὸ γνῶθι σαυτόν φησι (48) cf. Plut. mor. 36 a; sch. Aesch. Prom. 309 **429** cf. Eust. 568, 31 **430** cf. Eust. 568, 27 ὅτι τὸ δίκαιον (57) sq. ad Ε 703. 717. 856 (ex.) **437** cf. D **441** fort. exstabat sch. Herodiani de accentu vocis ὁμοῖον, cf. Eust. 569, 18: τὸ δὲ ὁμοῖον ὅτι ἀναλόγως προπερισπᾶται καὶ οὐ παρὰ τύπον κατὰ τὸ προπαροξυτονούμενον ὅμοιον, πολλαχοῦ δηλοῦται (sc. 531, 35. 799, 40. 1817, 15), ὥσπερ καὶ τὸ ὁμοῖος ἔν τε ἄλλοις καὶ ἐν Ὀδυσσείᾳ (sc. γ 468 al.), ὃ πάντως ἀναλογώτερον τοῦ ὅμοιος, vide ad Ξ 521 *a* (Hrd.) **442** cf. D

---

49 φησιν T ἐνταῦθα λέγει b αὐτὴν om. T **52** τι om. b **53** ἀντιλέγειν Ma., malim ἀντειπεῖν, ἀνταίρειν Nickau **54** le. Bk., ἀλλὰ σύ γ' ἱμερόεντα μετέρχεο ἔργα γάμοιο T, om. b τὰ — φησι καὶ b ἐρωτᾷ T **55** τὸν om. T **59—60** sch. relatum ad v. Ε 432 in b, fort. rectius **59** οὐδὲν] οὐδὲν δὲ E$^3$ **60** κατὰ] κατὰ τὴν C **61** le. add. Ma. **62** sq. (le.) οὔπ. — θεῶν et ἀνθρώπ. del. Bk.

*ex.* **443** *a.* ἀνεχάζετο τυτθὸν ὀπίσσω: ἐμφαίνει τὴν ἀρετὴν Διομήδους διὰ τοῦ τυτθόν. ἐπὶ δὲ Πατρόκλου „πολλὸν ὀπίσσω" (Π 710)· ὑπ' οὐδενὸς γὰρ θεοῦ βοηθεῖται καὶ τὸν Ἀπόλλωνα δέδοικεν. **b**(BC $E^3E^4$) **T**

*Did.* *b.* {ἀνεχάζετο} τυτθόν {ὀπίσσω}: Ἀρίσταρχος τυτθόν, οὐ „πολλόν" (Π 710). **T**

*Did.* **444.** ἀλευάμενος: οὕτως Ἀρίσταρχος διὰ τοῦ ο̄. $A^a$

*ex.* **446.** Περγάμῳ ἐν ἱερῇ, ⟨ὅθι οἱ νηός γ' ἐτέτυκτο⟩: καὶ Ἀθηνᾶς δὲ ἦν αὐτόθι ναός· „νηὸν Ἀθηναίης γλαυκώπιδος ἐν πόλει ἄκρῃ / οἶξασα" (Ζ 88—9). **b**(BC$E^3E^4$) **T**

*ex.* **447—8.** ἤτοι τὸν Λητώ τε καὶ Ἄρτεμις ⟨——— ἀκέοντο⟩: θεοὺς γὰρ εἰς ἀνθρώπους πάντα πράσσειν πέφυκεν. **b**(BC$E^3E^4$) **T**

*ex.* **448.** κύδαινόν τε: λόγῳ παρεμυθοῦντο. ἀκολούθως δὲ τοῖς ἰατρικοῖς παραγγέλμασι τοὺς τραυματίας λόγῳ θεραπεύει· ἄλλως τε καὶ Ἀφροδίτης ἦν υἱὸς **b**(BC$E^3E^4$) **T** καὶ τῶν Τρώων ἄριστος μεθ' Ἕκτορα. **b**(BC$E^4$) **T**

*ex.* **449—50** *a.* αὐτὰρ ὁ εἴδωλον ⟨——— τοῖον⟩: εἴδωλον μὲν ἄκουε πᾶν τὸ δημιούργημα τοῦ κόσμου, ὅπερ τύπος ὂν τοῦ ὄντως ὄντος ὑπὸ πάντων μὲν τῶν ἐγκοσμίων θεῶν κοσμεῖται, προηγουμένως δὲ ὑπὸ τοῦ ἡλίου, ὅς ἐστιν ἡγεμὼν παντὸς γεννητοῦ τε καὶ ὁρατοῦ. οὐδὲν δὲ ἧττον Αἰνείου ἐστὶ τὸ εἴδωλον, υἱοῦ Ἀφροδίτης καὶ Τρωός, ὅ ἐστι τὸ ἐγχώριον κάλλος· πᾶν γὰρ ἐξ Ἀφροδίτης κάλλος ἐστι, περὶ ὃ αἱ ὑλικώτεραι τῶν ψυχῶν οὐκ ἀπαλλάσσονται συντριβόμεναι. **b**(BC$E^3E^4$) **T**

**443** *a* ad Π 710$b^1$ (ex.) *b* fort. exstabat sch. Aristonici eiusdem fere argumenti, ad Π 710*a* (Ariston.) **444** cf. Schulze, Quaest. ep. 63 **446** fort. erat sch. Aristonici de genere feminino vocis Περγάμῳ (εἰν ἱερῇ), vide ad E 460. Z 512 **447—8** cf. Koerner, Ärztl. Kenntn. 77 **448** — θεραπεύει (78) ad O 393 *a* (ex.) παρεμυθοῦντο (77) in D interpretamentum vocis ἀκέοντο **449**

**66** τοῦ CT τὸ B$E^3E^4$ **69** (le.) ἀνεχ. et ὀπ. delevi **71** le. $A^a$ (= vulg.), ss. ὁ **72** le. T supplevi (auctore Vill.), om. **b** **72 sq.** καὶ ἀθ. — αὐτόθι absc. in $E^4$ **73** δὲ **b** γὰρ T αὐτόσε T **74** οἶξασα Hom., οἶξασαι **b**, om. T **75** le. T supplevi, om. **b** (ubi sch. ad E 447 relatum est) **76** θεοὺς . . . πέφυκεν T, θεοὶ . . . πεφύκασιν **b** (fort. rectius) πράσσειν πάντα BC **78** λόγῳ om. $E^3$ θεραπεύειν T **79** ἦν om. T **81** le. T supplevi, om. **b** (qui sch. ad v. 449 revocavit) **82** ἀκούει **b** ὂν] ὢν ss. ο $E^3$ **84** τοῦ om. **b** γενητοῦ **b** **85** ὁρατοῦ] ἀοράτου T αἰν. ἐστὶ τὸ T ἐστὶ τὸ αἰνείου BC$E^3$ τὸ αἰνείου $E^4$ εἴδωλόν ἐστι $E^4$ **86** καὶ et ὅ ἐστι om. T ἐγχωρίδιον T **87** τῶν] καὶ ἀΐδιαι τῶν T **87 sq.** προστριβόμεναι B

*b.* αὐτὰρ ὁ εἴδωλον τεῦξε ⟨——— τοῖον⟩: ἵνα φιλοτιμωτέρως μάχωνται Τρῶες τὸ πτῶμα σῶσαι θέλοντες. b(BCE$^3$E$^4$) T *ex.*

451—2. ἀμφὶ δ' ἄρ' εἰδώλῳ ⟨———/⟩ δῄουν ἀλλήλων: καὶ πῶς Διομήδης οὐ μηνύει τοῖς Ἀχαιοῖς ὅτι εἴδωλον ἦν; ἀφῄρηται γὰρ τὴν ἀχλύν· „ὄφρ' εὖ γινώσκῃ †θεὸν† ἠδὲ καὶ ἄνδρα" (E 128). ῥητέον ὅτι τὸ εἴδωλον ἀμφοῖν ἐστέρηται. b(BCE$^3$E$^4$) T *ex.*

453. λαισήϊα: οἱ μὲν τοὺς ἐπιμήκεις θυρεούς, οἱ δὲ ἐκ τριχωδῶν δερμάτων γεγονότα, οἱ δὲ παρὰ τὸ λάσια αὐτὰ εἶναι. b(BCE$^3$E$^4$) T | ἢ λαισήϊα τὰ τῇ λαιᾷ φερόμενα. T *ex.* | *D(?)*

454. θοῦρον Ἄρηα προσηύδα Φοῖβος: φυλάσσεται μὲν αὐτὸς τὴν πρὸς Ἀθηνᾶν ἔχθραν, πείθει δὲ τὸν ἀλλοπρόσαλλον. b(BCE$^3$) T *ex.*

456. μάχης ἐρύσαιο: λείπει ἡ ἔξ. T *ex.*

458. Κύπριδα μὲν πρῶτα: τὴν ἐρωμένην σοι. T *ex.*

—50 $a^1$ cf. Eust. 569, 43 451 fort. exstabat sch. de origine simulacri, cf. Serv. auct. A. 2, 601: *alii dicunt a Proteo quidem Helenam Paridi sublatam et quibusdam disciplinis phantasma in similitudinem Helenae Paridi datam, quam imaginem ille ad Troiam dicitur pertulisse: quod etiam Homerum volunt tetigisse subtiliter, ubi Aeneas a Neptuno opposita nube liberatur,* ἀμφὶ δ' ἄρ' εἰδώλῳ Τρῶες καὶ δῖοι Ἀχαιοί (E 451 et Y 318 sq. in unum confudit) 453 — εἶναι (1) cf. Eust. 570, 18; D (part. prim.); θυρεούς (95) cf. Ap. S. 106, 25 ἐκ τριχωδῶν (95) — εἶναι (1) cf. Or. 91, 6: λαισήϊα· παρὰ τὸ λάσιον· καὶ παρὰ τὸ ὠμαῖς βύρσαις περιβεβλῆσθαι, fort. partim e scholiis, cf. He. λ 154: λαισήϊα· ἐπεὶ δασέα ἐστὶ τῷ βύρσαις αἰγείαις περιβεβλῆσθαι. „πτερόεντα" ἢ πάνυ κοῦφα ὡς καὶ τῇ λαιᾷ χειρὶ δύνασθαι βαστάζεσθαι. ὅπλα λάσια, ὅπερ ἐστὶ δασέα, αἰγείαις βύρσαις περιβεβλημένα ἔτι τὰς τρίχας ἐχούσαις (πτερόεντα sq. partim quidem e D et Ap. S. 106, 25). Vide ad M 426 (Ariston.) c. test. et libris; aliter Cyr. λαι 37 (p. 111 Dr.-L.): λαισήϊον· κράνος, unde Theogn. gl. 27, 15 Alp. ἢ λαισήϊα (2) sq. cf. D (. . . παρὰ τὸ ἐν λαιᾷ χειρὶ βαστάζεσθαι), Porph. 1, 82, 16; Eust. 570, 24: Ἡρωδιανὸς (1, 361, 13) δέ φησι καὶ πάντα τὰ κατὰ μάχην σκεπαστήρια λαισήϊα λέγεσθαι διὰ τὸ ἐν τῇ λαιᾷ φέρεσθαι, originis incertae 460 fort. exstabat sch. Aristonici de genere feminino vocis Περγάμῳ (ἄκρῃ), ad Z 512;

89—90 cum scholio praecedenti coni. T 89 le. T supplevi, om. b ἵνα T εἴδωλον δὲ ποιεῖ, ἵνα coni. cum scholio praecedenti b 90 πτῶμα] σῶμα C 91 le. ἀμφὶ δ' ἄρ' εἰδ. δῄουν ἀλλήλους T em. et suppl. Ma., om. b (ubi sch. ad E 451 relatum est) 92 sq. ἀφῄρ. — ἀχλύν T τὴν ἀχλὺν ἀφῃρημένος b 93 γινώσκοι b, γινώσκῃς vel γι(γ)νώσκοις codd. Hom. ἠμὲν θεὸν Hom. ἠδὲ om. T ῥητέον δὲ b 94 ἀμφοῖν T ἀμφοτέρων τούτων b 1 παρὰ τὸ — εἶναι T καὶ λάσια αὐτὰ εἶναί φασιν b 4 ἀλοπρόσαλλον T

*Nic.(?)* **461** *a.*[1] Τρῳὰς δὲ στίχας: ἀντὶ τοῦ Τρωϊκάς· καὶ δεῖ ὑποστίζειν εἰς τὸ στίχας. εἰ δὲ †γράφει τρωὰς ἢ εἰς τὸ στίχας† ὑποστικτέον, ἵν' ᾖ Τρῶας ἀντὶ τοῦ Τρώων, ὡς „ἐρινεὸν τάμ⟨ν⟩ε νέους ὅρπηκας" (cf. Φ 37—8), ἢ εἰς τὸ δέ ὑποστικτέον, ἵν' ᾖ τὸ ἑξῆς Τρῶας ὤτρυνε τὰς στίχας μετελθών. **T**

*a.*[2] ἀντὶ τοῦ Τρωϊκάς· καὶ **b**(BCE³) δεῖ ὑποστίζειν εἰς τὸ στίχας. εἰ δὲ †γράφει† „Τρῶας", ὑποστικτέον εἰς τὸν δέ, ἵν' ᾖ τὰς δὲ στίχας (ἤτοι τάξεις) ὁ οὖλος Ἄρης μεταβὰς τοὺς Τρῶας ὤτρυνεν. **b**(BCE³E⁴)

*Did. + Hrd. (?)* *b.* Τρῳὰς δὲ στίχας: ἐν τῇ Σινωπικῇ καὶ Κυπρίᾳ καὶ Ἀντιμάχου (fr. 134) Τρῳάς εἶχε σὺν τῷ ῑ, ὡς „ἵππους δὲ Τρῳούς" (Ψ 291). ἡ μέντοι κοινή, ᾗ συντίθεται καὶ ὁ Ἀσκαλωνίτης (p. 46 B.), „Τρῶας" ὡς Κᾶρας· καὶ τὸ ἑξῆς οὕτω· Τρῶας δὲ Ἄρης ὤτρυνε, στίχας μετελθών, ἀντὶ τοῦ †ὑπερβὰς† ⟨τὰς⟩ τάξεις. **T** ἢ οὕτω· τοὺς Τρῶας μετελθὼν ὁ Ἄρης τὰς στίχας ὤτρυνεν. **b**(BCE³E⁴) **T**

*ex.* **462.** εἰδόμενος ⟨———⟩ ἡγήτορι Θρῃκῶν: τιμᾶται γὰρ ὁ θεὸς παρὰ Θρᾳξίν. **T**

*ex. (?)* **465.** ἐς τί ἔτι: τὸ ἔς ἀντὶ τοῦ ἕως, τὸ δὲ τί ἀντὶ τοῦ τίνος· **b**(BC

vide ad E 446 **461** *a/b* Lesbon. 40, 11 (Ἰωνικόν sc. σχῆμα . . .): „Τρῶας στίχας οὖλος Ἄρης ὤτρυνε μετελθών", ⟨ἀντὶ τοῦ⟩ (add. Mueller) τὰς στίχας ⟨τῶν Τρώων⟩ (add. Mueller). τινὲς δὲ τὰς „Τρῳάς", ὀξυτόνως καὶ θηλυκῶς. ἀλλ' ἐλέγχει αὐτοὺς ἡ γραφὴ χωρὶς οὖσα τοῦ ῑ, fort. e scholio deperdito, sch. D. Thr. (Σ¹ ex Heliodoro) 549, 18: „Τρῶας δὲ στίχας οὖλος Ἄρης" ἀντὶ τοῦ τὰς στίχας τῶν Τρώων. τινὲς μέντοι „Τρῳάς" γράφουσιν ἀντὶ τοῦ Τρωϊκάς, cf. Wilamowitz, Euripides Herakles II² (Berol. 1895) p. 44, 1 (ad v. 162); Valk II 619; Citti 238 *a*¹ — ὅρπηκας (10) ad Φ 37—8 (Nic.) *b* — Κᾶρας (20) cf. Eust. 571, 16; — Τρῳούς (18) ad Ψ 291 (Hrd.); cf. Ludwich, A. H. T. 1, 257, 7 σὺν τῷ ῑ (18) cf. Et. Gen. Τρῳάς (Call. fr. 537); Choer. Th. 1, 405, 20; Cobet, Miscell. crit. 337. — Ceterum non liquet, num in scholio vetere traditum sit quosdam pro οὖλος scripsisse ἠλός. Fort. agitur de v. l. recentiore, vide ad O 128 *b*¹ **463** fort. exstabat sch. H e r o d i a n i de v. υἱάσι δὲ Πριάμοιο, ad E 266 *a*¹ **465** Et.

**8** (le.) τρῶιας T em. Ma. **9** fort. γράφει (erat γράφεται) „τρῶας", ἢ εἰς τὸ στίχας οὐχ **10** τάμε T suppl. Ma. **14** γράφει vide ad sch. *a*¹ **17—22** cum scholio *a*¹ (v. μετελθών) coni. T, dist. Bk. **18** τρωΐας T corr. Lehrs εἶχε T, ἦν Ma., fort. recte τρωΐους T em. Ma. **20** κᾶρας cf. K 428 **21** περιβὰς Bk., ὑποβὰς Lehrs, an ἐπιβάς? τὰς add. Bk. ἢ οὕτω (οὕτως b) sq. coni. cum scholio *a*² (v. ὤτρυνεν) b **23** le. T suppl. Ma. **23** sq. ὁ θεὸς sc. ἄρης **25** le. T, om. b, ἐς τί: Bk. (at cf. test.) τὸ δὲ] καὶ τὸ E⁴ τίνος] τίνος, ἵν' ᾖ ἕως τίνος b

$E^3E^4$) T διὸ καὶ εἰς τὸ τί ἡ ὀξεῖα. b(BC$E^3$) T καὶ ἔστι πρόθεσις ἀντὶ ἐπιρρήματος. b(BC$E^3E^4$) T τὸ πᾶν οὖν ἕως τίνος. T

**466.** ⟨ἢ⟩ εἰσόκεν ἀμφὶ πύλῃς ⟨εὖ ποιητῇσι μάχωνται⟩: ὅμοιόν ἐστι τῷ „ἢ μένετε Τρῶας" (Δ 247). b(BC$E^3E^4$) T | „ποιητοῖσι" δὲ Ἀρίσταρχος, Ζηνόδοτος δὲ ποιητῇσι. T *ex.* | *Did.*

**467—8.** ⟨κεῖται ἀνὴρ ——— Ἀγχίσαο:⟩ οὐκ ἀγνοῶν b(BC$E^3$) $T^{il}$ τὰ περὶ αὐτοῦ τοῦτο λέγει, b(BC$E^3$) ἀλλὰ παρορμῶν. b(BC$E^3$) $T^{il}$ *ex.*

**468.** υἱὸς ⟨———⟩ Ἀγχίσαο: εὖ τὸ μὴ Ἀφροδίτης νῦν φάναι, ἀλλ' Ἀγχίσου, ἵνα ἐμφανῇ ὅτι συγγενής ἐστιν αὐτῶν ὁ ἀνῃρημένος. b(BC$E^3$) T *ex.*

**472.** Ἕκτορ, πῇ δή τοι μένος: ἀνεδύετο γὰρ τὴν μάχην, οὐ διὰ δειλίαν, ἀλλὰ τὴν τῶν ὅρκων σύγχυσιν, οὓς αὐτὸς ἐπεπρυτανεύκει. b(BC$E^3E^4$) T *ex.*

**473** *a.* φῇς που: ὑπέλαβες· οὐ γὰρ ἂν Ἕκτωρ ἐφθέγξατό τι τοιοῦτον εἰς τοὺς συμμάχους. b(BC$E^3E^4$) T *ex.*

Gen. (AB) ἐς τί ἔτι: „ἐς τί ἔτι κτείνεσθαι ἐάσετε (ἐάσατε B) λαὸν Ἀχαιῶν". οὐχ ὡς οἴεται ὁ Ἀσκαλωνίτης (p. 46 B.) ἕν ἐστιν, ἀλλὰ τρία μέρη λόγου εἰσίν· „ἐς" πρόθεσις, ὅπερ ἀντὶ τοῦ ἕως ἐστίν (ἐστ. A, om. B), καὶ „τί" ἀντὶ τίνος (ἕως τίνος), „ἔτι" ἐπίρρημα (ἔτι ἐπ. om. B). οὐκ ἄηθες δὲ πρόθεσιν ἰσοδυναμεῖν ἐπιρρήματι, fort. ex hyp. Iliad.; cf. D **466** fort. exstabat sch. Herodiani de v. εὐποιήτῃσι, ad Π 636*d* (Hrd.) **473** exstabat sch. Herodiani, cf. Et. Gen. (AB) φῇς (φῇς A) που ἄτερ λαῶν: Ἀρίσταρχος περισπᾷ τὸ φῇς (φῇς A), ἵνα ἐστὶν (fort. ἵν' ᾖ) ἐκ τοῦ (ἐκ τ. om. B) ἔφης· διὸ καὶ χωρὶς τοῦ ῑ γράφει (γρ. cp. AB, fort. γράφεται)· εἰ γὰρ εἶχεν τὸ ῑ, ἐνεστὼς ὤφειλεν εἶναι, h($M^1P^{11}V^3V^{15}$): φῇς που (le. om. $M^1$ $P^{11}$)· ἀντὶ τοῦ ἔφης· διὸ περισπᾶται καὶ ἄνευ τοῦ ῑ ἐστίν (ἐπὶ παρῳχημένου χρόνου add. $V^3$)· εἰ γὰρ ἦν ἐνεστώς, σὺν τῷ ῑ ἐγράφετο καὶ ὠξύνετο ὡς τὸ „φῃς τοῦτο κάκιστον" (α 391; καὶ ἄνευ τοῦ sq. om. $M^1$), h(Ge): τὸ φῇς περισπαστέον· παρῳχημένος γάρ ἐστιν ἐκ τοῦ ἔφης γινόμενον (γενόμενον Nicole)· διὸ καὶ χωρὶς τοῦ ῑ γράφεται· ὁ γὰρ ἐνεστὼς καὶ σὺν τῷ ῑ γράφεται καὶ ὀξύνεται, fort. ex hyp. Iliad.; ad P 174, cf. sch. η 239 (Hrd.), Eust. 1578, 17, Ep. Hom. (An. Ox. 1, 433, 2); Wackernagel II 1063; Beiträge 202 *a* ὑπέλαβες

---

**27** ἀντὶ cf. test. **28** le. T supplevi auctore Vill. (ἢ add. iam Li), om. b **29** τῷ CT τὸ B$E^3E^4$ **29** sq. fort. εὐποιήτοισι et εὐποιήτῃσι, vide ad Π 636 (Hrd.) **31** le. addidi, κεῖται — δίῳ: Vill., κεῖται ἀνήρ: Bk. (sch. supra E 467 exaravit T, ad eundem versum rettulit b) **34** le. T suppl. Ma., om. b **34—5** εὖ δὲ τὸ sq. cum scholio praecedenti coni. b **35** ἐμφανῇ Ma., ἐμφάνη T δειχθῇ b **38** sq. ἐπεπρυτ. B$E^4$, ἐπρυτανεύκει T πεπρυτανεύκει C$E^3$ (utrumque defendi potest, cf. Mayser, Gramm. I 2, 1938, 98 et 107) **40** le. T, om. b, φῇς Bk. (fort. rectius)

*ex.* *b*. ἄτερ λαῶν: τῶν τῆς πόλεως. b(BCE$^3$E$^4$) T

*ex.* 475. οὔ τιν' ἐγὼ ἰδέειν δύναμαι: εἰς τὸν Πάριν, ὃς ἥρπασται. T

*Ariston.* (?) 476. κύνες ὣς ἀμφὶ λέοντα: περιττὴ ἡ ἀμφί. b(CE$^3$) T

*Did. aut Hrd.(?)* | *Hrd.* 477. ἔνειμεν: οὕτως αἱ Ἀριστάρχου. T | τὸ ἁπλοῦν ἐστιν εἰμέν. b(BCE$^3$E$^4$) T πᾶν δὲ ῥῆμα ὀξυνόμενον b(BCE$^3$) T ἐν τῇ συνθέσει ἀναβιβάζει τὸν τόνον. b(BCE$^3$E$^4$) T

*ex.* 478. μάλα τηλόθεν ἥκω: ὅμοια τοῖς Ἀχιλλέως· „ἐπειὴ μάλα πολλὰ μεταξύ / οὔρεά τε σκιόεντα" (A 156—7). b(BCE$^3$) T

*Nic.* 479 *a*. τηλοῦ γὰρ Λυκίη Ξάνθῳ ἐπὶ δινήεντι: ὅλον τὸν στίχον συναπτέον. T

*Ariston.* (?) *b*. ⟨Λυκίη Ξάνθῳ ἐπὶ δινήεντι:⟩ προσέθηκε τὸ Ξάνθῳ, ὅπως διαστείλῃ ταύτην τὴν Λυκίαν ἀπὸ τῆς ἐν Ἴδῃ Λυκίας. A$^a$

*ex.* 480. ἔνθ' ἄλοχόν τε φίλην ⟨ἔλιπον⟩ καὶ νήπιον υἱόν: ὅτι τῶν φιλτάτων προὔκρινα τὴν σὴν φιλίαν, οὐκ ἀστυγείτονας δεδιὼς οὐδὲ πόθῳ χρημάτων ἁλούς. b(BCE$^3$E$^4$) T

*ex.* 481. κὰδ δὲ κτήματα πολλά, τά τ' ἔλδεται ὅς κ' ἐπιδευής: ἔχω, φησί, τὰ πρὸς ζωήν, ὥστε μὴ μάτην ὑπὲρ ἀλλοτρίων κινδυνεύειν. b(BCE$^3$E$^4$) T

*ex.* 482—3. καὶ μέμον' αὐτός / ἀνδρὶ μαχέσ⟨σ⟩ασθαι: ἀντιπαραβαλὼν ἑκατέρους τοὺς λαλοῦντας ὄψει, πόσον πρὸς αἰσχύνην ὁρῶσιν οἱ λόγοι. b(BCE$^3$) T

(40) aliter D *b* cf. Eust. 572, 15 **476** ad B 820 (Ariston.); cf. Friedl., Ariston. p. 27; vide ad A 3 *c*. M 303 *b* **477** — Ἀριστάρχου (45) ad B 131 (Did.); cf. Wackernagel, S. U. 72, aliter Ludwich, A. H. T. 1, 257, 15 τὸ ἁπλοῦν (45) sq. Et. Gen. (AB) ἔνειμεν (unde A$^a$ ad E 477): σημαίνει τὸ ὑπάρχομεν (= D). | τρίτην δὲ ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν· τὸ γὰρ ἁπλοῦν αὐτοῦ (αὐτ. om. A) ἐστιν εἰμέν. „ἡμεῖς δ' εἰμέν (τοῖοι add. A$^a$)" (H 231). πᾶν δὲ ῥῆμα ὀξυνόμενον ἐν τῇ συνθέσει βαρύνεται (βαρ. AA$^a$, ἀναβιβάζει τὸν τόνον B), fort. ex hyp. Iliad. πᾶν δὲ ῥῆμα (46) sq. cf. Arcad. 200, 1 **479** fort. excidit nota Herodiani de accentu v. ἐπί, ad B 839 (Hrd.) **h**(Ag, cf. An. Par. 3, 167, 30): Ξάνθος ἐστὶ ποταμὸς Λυκίας ὁμώνυμος τῷ τῆς Τροίας ποταμῷ, originis incertae, cf. D ad Z 4 *b* ad Δ 101 *a* (Ariston.), cf. Eust. 573, 8 (vide ib. 6) 484

---

**42** le. T, λαῶν δὲ (coni. cum scholio praecedenti) **b** τῶν E$^4$T λέγει τῶν BCE$^3$ πόλεως λέγει E$^4$ **43** πάριν T, πάριν ἀποβλέπει e. g. Wil. **44** περιττὴ sq. cum scholio E 473 *b* (v. πόλεως) coni. **b** **45** le. Bk., οἵ πέρ τ' ἐπίκουροι ἔνειμεν T om. **b** **46** ἐν] ἐν δὲ E$^4$ **47** ἀναβ. τὸν τόνον] ἂν ἐβιβάσθη ὁ τόνος E$^4$, ἀνα[ (cet. absc.) E$^3$ **48** ἐπείη C **52** le. addidi **54** le. T supplevi (auctore Vill.), om. **b** **55** οὐκ ἀστ. T οὐχ ὡς ἀστυγείτονα **b** δεδηὼς T **56** οὐδὲ T ἀλλ' οὐδὲ **b** **58** ἔχω φ. τὰ] ἔχω δὲ τὰ coni. cum scholio praecedenti E$^4$ **60** le. T suppl. Ma., om. **b** (ubi sch. ad E 482 relatum est) **61** ἑκατέρους τ. λαλ. sc. Hectorem et, qui illum nimis gloriari (cf. E 473—6) arguit, Sarpedona **61** sq. ὁρῶσιν om. **b**

485 *a*. τύνη δ' ἕστηκας, ἀτὰρ οὐδ' ἄλλοισι κελεύεις: πῶς *ex.*
γὰρ ἂν ἀμελῶν αὐτὸς τοὺς ἄλλους πείσειε κινδυνεύειν; **b**(BCE$^3$E$^4$) T

*b*. τύνη: ἀπὸ τοῦ τύ ἐν παραγωγῇ **b**(BCE$^3$) T τύνη, *D*
ὡς ἐγώνη καὶ „ἐμίνη“ (Rhint. fr. 13 K.). T

486 *a*. καὶ ἀμυνέμεν⟨αι⟩ ὤρεσσι: ταῖς ὑμῶν. **b**(BCE$^3$E$^4$) T *ex.*
ὅμοιον δέ ἐστι τῷ „ἄλοχοι δ' ἄλλοισι δαμεῖεν“ (Γ 301). αὔξει δὲ τὸν
γάμον. **b**(BCE$^3$) T

*b*. ὤρεσσι: ἀπὸ τοῦ ὀαρίζειν **b**(BCE$^3$E$^4$) T κατὰ συγ- *ex.*
κοπήν· **b**(BCE$^3$E$^4$) καὶ „ὀάρων ἕνεκα σφετεράων“ (Ι 327). **b**
(BCE$^3$E$^4$) T

487 *a*. ἀψῖσι: ψιλωτέον τὸ ἀψῖσι **b**(BE$^3$) T εἰς ἰδιότητα. *ex.(?)*
ὅτε δὲ βαρύνεται, συμ⟨μετα⟩βάλλεται καὶ τὸ πνεῦμα καὶ ὁ χρόνος. T

*b*. ἁλόντε: ὑμεῖς καὶ αἱ γυναῖκες. ἀλλοτριοῖ δὲ τῶν κινδύνων *ex.*
ἑαυτόν, ὡς περὶ τῶν ἐκείνοις συμφερόντων λαλῶν. ἡ δὲ τοῦ λίνου
ὁμοίωσις οἰκεία, πολλῶν καὶ διαφόρων ἀνθρώπων ὡς ἰχθύων περι-
ληφθέντων. **b**(BCE$^3$E$^4$) T

**h**(Ge): ⟨οἷόν κ' ἠὲ φέροιεν Ἀχαιοὶ ἤ κεν ἄγοιεν·⟩ (le. add. Nicole) τουτέστιν οὔτε (Nicole, οὐδὲ Ge) ἔμψυχον οὔτε (Nicole, οὐδὲ Ge) ἄψυχον· τὸ γὰρ ἄγω ἐπὶ ἐμψύχου, τὸ δὲ φέρω ἐπὶ ἀψύχου τάττεται, incertum an e scholiis, cf. Eust. 573, 13, D ad Ψ 111; Amm. 4 al.; aliter D ad Π 153 **485** *b* cf. Ap. Dysc. pron. 55, 1. 58, 13; Ep. Hom. (An. Ox. 1, 150, 11, Et. Gud. 398, 15 Stef.); vide ad Τ 10 **486** fort. exstabat sch. Aristonici de v. ἀμυνέμεναι ὤρεσσι, ad Σ 265 *b* — ὀαρίζειν (70) ad Ι 327 *a*, cf. Or. 169, 2 (Et. Gen. = EM. 823, 36) in sede scholiorum; aliter Or. 114, 24 (Et. Gen. = EM. 823, 40); sim. D, Ap. S. 118, 14; Schem. Hom. 103; Meister, H. K. 183 **487** Eust. 574, 21: φασὶ δὲ τὰ σχόλια δέον εἶναι βαρύνεσθαι τὴν εὐθεῖαν τοῦ ἀψῖσιν, ἵνα λέγηται ἄψις ἢ ὡς Αἰολικόν, καθὰ καὶ Ἡσίοδος „τρισπίθαμον †ἄψιν“ φησίν (cf. opp. 426) ἢ καὶ ἀναλόγως ὡς ἀπὸ μέλλοντος ὄν, καθάπερ τὸ μέμψις καὶ ὄψις, ὥστε εἶναι τὴν δοτικὴν τῶν πληθυντικῶν ἄψισι προπαροξυτόνως, fort. pars scholii Herodiani, cf. Choer. (O.) in Et. Gen. (AB) ἀψίς et in An. Ox. 2, 172, 5; Arcad. 225, 4; Valk I 598 n. 32 *a* — ἀψῖσι (73) cf. Eust. 574, 24 *b* — αἱ γυναῖκες (75) ad E 576; aliter sch. Arat. 1023: . . . τὸ δὲ „βοῶντε“ (Ph. 1023) δυϊκῷ ἀριθμῷ ἐχρήσατο ἀντὶ πληθυντικοῦ· τοῦτο γὰρ ἔθος αὐτῷ. τοῦτο καὶ Ὅμηρος οἶδεν, incertum est, an ad nostrum locum spectet ὡς ἰχθύων (77) at cf. Eust. 1931, 30: σημειοῦνται δὲ οἱ παλαιοὶ ἅπαξ ἐνταῦθα (sc. χ 386) μνησθῆναι τὸν ποιητὴν ἰχθύων θήρας τῆς διὰ δικτύων· τὸ γὰρ ἐν Ἰλιάδι „μή πως ὡς ἀψῖσι λίνου †ἁλόντες† πανάγρου“

---

**63** sq. πῶς γὰρ T πῶς δὲ pone sch. *b* (coni. cum v. παραγωγῇ) **b** **64** ἂν om. T, fort. recte αὐτὸς ἀμελ. **b** ἔπεισε **b** κινδ. T προκινδυνεύειν αὐτοῦ **b** **65** le. scripsi, τύνη δ' ἕστηκας T, om. **b** τύ T σύ ἐστιν **b** **67** le. T suppl. Ma., om. **b** verba ταῖς ὑμῶν pone sch. *b* (v. σφετεράων) E$^4$ **68** τῷ **b** τὸ T ἀλλ. **b** ἀλλήλοισι T δαμεῖεν T μιγεῖεν **b** **70** le. T, ὤρεσσι (ὤρεσι C) δὲ coni. cum scholio praecedenti BCE$^3$, om. E$^4$ ἀορίζειν T **73** le. scripsi, μή πως, ὡς ἀψῖσι T, om. **b** **74** συμβάλλεται T suppl. Bk. **75** ἤγουν ὑμεῖς E$^4$ **77** ἀνδρῶν E$^4$

*ex.* **489.** εὖ ναιομένην: ἢ ἀπὸ τοῦ †ὁμοῦ ναίειν. **T**

*ex.* **490—1.** ⟨σοὶ δὲ χρὴ ——— /⟩ ἀρχοὺς λισσομένῳ: ὀνειδιστικῶς· ὃν ἐχρῆν τοὺς ἄλλους ὀτρύνειν, ὑπὸ τῶν συμμάχων προτρέπεται. **b**(BCE$^3$E$^4$) **T**

*ex.* **492** *a.* {νωλεμέως} ἐχέμεν: ἀντὶ τοῦ φυλάσσειν. „ἔχε⟨ς⟩ δ' ἀλόχους" (Ω 730). **T**

*ex.* | *ex.* *b.* κρατερὴν δ' ἀποθέσθαι ἐνιπήν: τοιοῦτος γὰρ Ἕκτωρ· „οὐ γὰρ ἐγὼ πληθὺν διζήμενος / ἐνθάδ' ἀφ' ὑμετέρων πολίων ἤγειρα ἕκαστον" (P 221—2). ἀπὸ κοινοῦ δὲ τὸ „χρή" (E 490). **b** BCE$^3$E$^4$) **T** | ⟨ἀποθέσθαι⟩ ἀντὶ τοῦ ἀποτίθεσθαι. **T**

*ex.* *c.* ἐνιπήν: πληγήν. **T**

*ex.* **493.** δάκε: ἠνίασεν· καὶ „θυμοδακὴς γὰρ μῦθος" (θ 185). **b**(BCE$^3$E$^4$) **T**

*ex.* | *ex.* **494.** αὐτίκα δ' ἐξ ὀχέων: ἔδει γὰρ ἔργοις, οὐ λόγοις ἀπολογεῖσθαι. **b**(BCE$^3$E$^4$) **T** | ὡς τὸ τάριχος δέ, οὕτω καὶ τὸ ὄχος. **T**

*ex.* **495.** ⟨πάλλων δ' ὀξέα δοῦρα κατὰ στρατὸν ᾤχετο πάντῃ:⟩ καὶ εἰς τὸ δοῦρα δύναται καὶ εἰς τὸ στρατόν εἶναι στιγμή· εὐκρινὲς γὰρ κατ' ἄμφω τὸ νόημα. **b**(BCE$^3$)

*ex.* **499.** ἀλῳάς: ἀλῳάς ὡς ἀγαθάς· ἀπὸ γὰρ τοῦ ἀλῳή, ὃ σὺν τῷ Ι γράφεται· παρὰ γὰρ τὸ ἀλοιῶ ἐστιν. **b**(BCE$^3$E$^4$) **T**

ἄδηλόν φασι εἴτε ἰχθύων εἴτε πεζῶν ζῴων εἴτε πτηνῶν ἄγραν δηλοῖ. τὴν δέ γε δι' ὁρμιᾶς καὶ ἀγκίστρου θήραν πολλάκις εἶπεν. Nescimus, num talia ad E 487 exstiterint **489** ad O 28 (T). Vide D ad A 164. Γ 400 **492** *a* aliter D *b* (le.) ἀποθέσθαι ἐνιπήν (85) id esse quod crimina renuntiare opinatur scholiasta τοιοῦτος (85) sc. cupidus vituperandi *c* cf. D **493** θυμοδακὴς — μῦθος cf. Eust. 575, 9 **495** an sch. Nicanoris ? Vide praeterea ad Z 104 **499** ἀπὸ γὰρ τοῦ (2) sq. cf. Et. Gen. (AB) ἀλῳάς, unde Et. Gud. 102, 17 Stef.; cf. Valk II 205 παρὰ γὰρ (3) sq. cf. Eust. 575, 43

---

**79** ὁμονοεῖν Wil. (cf. test.); sch. mutilatum, fort. lac. ante ἢ statuenda **80** le. T supplevi, om. **b** (qui sch. ad versum priorem revocavit) **81** τοὺς T καὶ τοὺς **b** **83** (le.) νωλεμέως eiecit Li ἔχε T suppl. Bk. **85** le. Vill., δάκε δὲ φρένας ἕκτορι: pone sch. E 493 (coni. cum v. μῦθος) T, om. **b** **85** sq. ὁ ἕκτωρ E$^3$E$^4$ **86** διζ.] διζήμενος οὐδὲ χατίζων Hom. πολήων T **87** δὲ om. E$^4$ **90** ἠνίασεν καὶ T ἠνίασε BCE$^3$, om. E$^4$ γὰρ T, γὰρ ὁ **b** (fort. rectius) **92** ἔδει (ᾔδει C) γὰρ ἔργ.] ἔργοις γὰρ E$^4$ οὐ T ἀλλ' οὐ **b** **92** sq. ἀπολ. ἔδει E$^4$ **94** le. add. Vill. **95** τὸ$^2$ Bk., τὸν **b** **2** le. scripsi, ἱερὰς κατ' ἀλῳάς T, om. **b** ἀγαθάς = B 273 γὰο om. C Ϊ ἰῶτα C **3** παρὰ γὰρ τὸ T ἀπὸ γὰρ τοῦ **b**

500. {ὡς δ' ἄνεμος ἄχνας} ἀνδρῶν λικμώντων, ὅτε τε ξανθὴ Δημήτηρ: Πτολεμαῖος (p. 64 B.) τοὺς δωδεκασυλλάβους στίχους ἐκτιθείς φησι καὶ τοῦτον οὕτω γράφεσθαι „εὖτ' ἂν ξανθὴ Δημήτηρ". T *ex. (vel Did.)*

502 *a*. αἱ δ' ὑπολευκαίνονται: καλῶς ἡ ὑπό· οὐ γὰρ ἀθρόα ἡ τῶν ἀχύρων πτῶσις ἐπὶ τὴν ἅλω, κατ' ὀλίγον δὲ ἑτεροιοῦται τὸ χρῶμα τοῦ ἐπιδεχομένου αὐτὰ χωρίου. ὁμοίως δὲ καὶ τοῖς μαχομένοις κατ' ὀλίγον προσεκάθιζεν ὁ κονιορτός. b($BCE^3E^4$) T *ex.*

*b*. ἀχυρμιαί: κατ' ὀξεῖαν τὸ ἀχυρμιαί· Ἰωνικώτερον γάρ ἐστιν ὡς τὸ „ἀγυιαί" (β 388 al.), „θαμειαί" (Α 52 al.), „ταρφειαί" (Τ 357. 359). | εἰσὶ δὲ οἱ τόποι, ἔνθα ἐκτινάσσεται τὰ ἄχυρα. b($BCE^3E^4$) T *Hrd.* | *ex.*

505. ἂψ ἐπιμισγομένων: ἐκ δευτέρου τῶν Τρώων προσμιγνύντων τοῖς Ἀχαιοῖς. b($BCE^3E^4$) T *ex.*

505—6. ὑπὸ δ' ἔστρεφον ⟨ἡνιοχῆες / οἱ δὲ μένος χειρῶν ἰθὺς φέρον⟩: οἱ μὲν ἡνίοχοι ἐπιστρέφουσι τοὺς ἵππους, οἱ δὲ ἐπιβάται τὸ μένος φέρουσιν. b($BCE^3E^4$) T | ὁ δὲ δέ ἀντὶ τοῦ γάρ. T *ex.* | *ex.*

506—7. ἀμφὶ δὲ νύκτα / θοῦρος Ἄρης: σκέπει αὐτούς, ὡς εἰ καὶ θέλοιεν, μὴ δύναιντο φυγεῖν, ὡς „πίτνα πρόσθε βαθεῖαν ἐρυκέμεν" (Φ 7). ἢ ἑαυτὸν ἐσκέπασεν, ὡς μὴ ὁρῷτο κακῶν τοὺς Ἕλληνας. ἢ ἵνα οἱ μὲν λευκανθέντες ὁρῷντο, οἱ δὲ σκέποιντο. b($BCE^3E^4$) T *ex.*

507 *a*.[1] μάχῃ Τρώεσσι ἀρήγων: τινὲς ἀντὶ μάχῃ Τρώων. οἱ δὲ εἰς τὸ †μάχην† στίζουσιν. T *ex.*

*a*.[2] στιγμὴ δὲ εἰς τὸ μάχῃ. b($BCE^3E^4$)

500 Ge (ex h?): ⟨ξανθὴ Δημήτηρ·⟩ (add. Nicole) ξανθὴν δὲ εἶπε διὰ τὸν καρπόν· πεπαινόμενος γὰρ ξανθὸς γίνεται, originis incertae, cf. Eust. 576, 2: ξανθὴν δὲ λέγει τὴν Δήμητραν ἀλληγορικῶς διὰ τὸ τὸν στάχυν τοιούτου χρώματος γεγονότα εἶτα ἐπιτήδειον εἶναι θερίζεσθαι  Πτολεμαῖος (5) h. e. Ptolem. Ascalonita in libro qui inscribebatur Π. μέτρων, vide ad B 461 *a*  502 *b* — ταρφειαί (12) ad A 52 (Hrd.), cf. Eust. 575, 25  εἰσὶ δὲ (13) sq. cf. D, Or. 7, 14: ἀχυρμιαί· οἱ τόποι τῶν ἀχύρων, οἷον ἀχυριαί τινες οὖσαι, καὶ πλεονασμῷ τοῦ μ ἀχυρμιαί, in sede scholiorum 505 et 505—6 — φέρουσιν (19) cf. Cauer 490

---

4 (le.) ὡς δ' ἄν. ἄχνας delevi  8 πτῶσις om. b  ἅλω T  κατ' T φορά, κατ' b  9 ὑποδεχομένου b  11 κατ' ὀξεῖαν δὲ τὸ coni. cum scholio praecedenti b  11 sq. γάρ ἐστιν T ὂν b  15 προσμιγν. τ. τρώων $E^4$  17 sq. le. T supplevi, om. b  18 οἱ[1] T, καὶ οἱ coni. cum scholio praecedenti b  ὑποστρέφουσι Ma., vix recte  19 fort. ἐπιφέρουσιν  δέ sc. particula δ' post ὑπό posita  20—3 sch. in b ad versum 505 revocatum est  20 σκέπει T ὁ ἄρης σκοτοῖ b  21 καὶ θέλ. b κ' ἐθέλοιεν T  δύνοιντο C  ὡς T ὡς τὸ b  πίτνα] fort. ἠέρα δ' ἥρη / πίτνα (Φ 6—7)  πρόσθεν $E^4$  22 ὡς $E^4$ T ὅπως $BCE^3$  μὴ b οὐχ T  κακῶν ὁρῶτο $E^4$  23 ὁρ. Vill., ὁρῶντο b ὁρῶνται T  25 μάχην T, μάχῃ Bk.  26 στιγμὴ δὲ sq. pone sch. E 506—7 (coni. cum v. σκέποιντο) b

*ex.* 509. Ἀπόλλωνος χρυσαόρου: τινὲς τιμίως λαλοῦντος, διὰ τὴν λύραν. T

*Hrd.* 511 *a.*[1] {ἦ γάρ ῥα πέλεν δαναοῖσιν} ἀρηγών: Ἀρίσταρχος ὀξυτόνως· καὶ δῆλον ἐκ τῆς πλαγίου „δοιαὶ μὲν Μενελάου ἀρηγόνες" (Δ 7). T

*a.*[2] ὅτι προενεκτέον ἀρηγών ὡς ἀηδών· λέγει γὰρ καὶ ἀλλαχοῦ „ἀρηγόνες" ὡς ἀηδόνες. A[a]

*ex.* *b.*[1] ⟨οἰχομένην·⟩ ἦ γάρ ῥα πέλεν Δαναοῖσιν: πιθανῶς τοῦτο, ἵνα μὴ προλάβῃ ἡ θεομαχία. T

*b.*[2] πιθανῶς αὐτοὶ τῆς ἀδικίας προάρχουσιν, ἵνα μὴ προλάβῃ ἡ Διομήδους θεομαχία. b(BCE³E⁴)

*ex.* 512. πίονος ἐξ ἀδύτοιο: τοῦ †κεκνισσωμένου b(BCE³E⁴) T καὶ λελιπασμένου. b(BCE³E⁴)

*ex.* 515. ἀρτεμέα: πρὸς τὸ ἄρτιον. T

*ex.* | *ex.* 516. μετάλλησάν γε μὲν οὔτι: πιθανῶς τὸ ψυχρὸν τῆς δισσολογίας περιεῖλε, τὴν διάθεσιν ἤδη ἐμφήνας. b(BCE³E⁴) T | τὸ δὲ μετάλλησαν ἀντὶ τοῦ ἠρώτησαν. T

*ex.* 518. ἄμοτον {μεμαυῖα}: ἄπληστον ἢ σφοδρόν. T

*ex.* 519. τοὺς δ' Αἴαντε δύω καὶ Ὀδυσσεὺς καὶ Διομήδης: ἱκανὸν πρὸς αὔξησιν. ἄλλως τε καὶ τὴν παρὰ τῶν ἀκουόντων εὔνοιαν κτῶνται ἔρημοι θεῶν ὄντες Ἕλληνες. καὶ δικαίως ἐπάξει τῷ Ἄρει τὴν Ἀθηνᾶν. b(BCE³E⁴) T

*ex.* 522. ⟨νεφέλῃσιν ἐοικότες:⟩ διὰ τί μὴ πύργοις ἢ ὄρεσιν; ὅτι ὕστερον κινηθήσονται. b(BCE³E⁴)

---

**509** cf. D, D ad O 256. Vide ad Σ 385. O 256; praeterea [Her.] Qu. Hom. 7 (p. 12, 6); H. L. Lorimer, Gold and Ivory in Greek Mythology, in: Greek Poetry and Life (Oxon. 1936) 26 **510** incertum an sch. Didymi exstiterit de v. ἐγεῖραι, cf. Eust. 577, 16: ἰστέον δὲ ὅτι τὰ πλείω τῶν ἀντιγράφων οὐκ „ἀγεῖραι" γράφουσιν, ἀλλὰ „Τρωσὶν θυμὸν ἐγεῖραι", ὡς οἷον ἀναπίπτοντα ἢ εὕδοντα. μετ' ὀλίγα δὲ (sc. E 517—8) καὶ πόνον ἐγείρει Ἀπόλλων καὶ Ἄρης καὶ Ἔρις, fort. de varia lectione recenti agitur **511** *a* ad Φ 141 (Hrd.); vide ad Δ 7. M 125 *a*¹ ὀξυτόνως (29) cf. Eust. 577, 23 **512** cf. D; Eust. 577, 39 **515** cf. Eust. 577, 44; sch. ν 43; vide D; Hrd. παθ. (2, 292, 1), unde sch. A[a] (fol. 91ᵛ) **518** cf. D

---

**29** (le.) ἦ γάρ ῥα π. δαν. delevi **30** μενελάῳ Hom. **34** le. T suppl. Ma. **38** τοῦ om. T, fort. recte κεκν. b κεκνισσαμένου T, κεκνισωμένου Ddf. **40** πρὸς susp., fort. παρὰ **42** διάθ. T, διάθεσιν αὐτῶν τὴν ἄδικον (τὴν ἄδικον διάθεσιν αὐτῶν E⁴) b (vix recte) **44** (le.) μεμαυῖα eieci **45** le. T (ut suppleverat Vill.), om. b, οἱ δὲ καὶ αὐτοί (scholio b ad E 520 relato) Bk., fort. vere **45 sq.** ἱκανὸν T ἱκανὸν καὶ τοῦτο b, fort. rectius **47** ἐπικτῶνται E⁴ **47 sq.** καὶ δικαίως sq. T δικαίως οὖν ἀνθίσταται ἡ ἀθηνᾶ τῷ ἄρει b **49** le. add. Bk.

**523.** νηνεμίης: ποικίλως ἄνω (sc. E 499—501) μὲν ἀπὸ ταραχῆς ἀνέμου ἔλαβε τὴν εἰκόνα, ὧδε δὲ ἀπὸ νηνεμίας. **b**(BC$E^3E^4$) **T** *ex.*

**524** *a.* ἀτρέμας ὄφρ' εὕδῃσι: τὸ ἀτρέμας καὶ τοῖς ἄνω δύναται αἱ τοῖς κάτω συνάπτεσθαι. **b**(BC$E^3E^4$) **T** *Nic.*

κ*b.*[1] ὄφρ' εὕδῃσι: ἐν ὅσῳ. εὔδῃσι ὡς „παμφαίνῃσι" (E 6). **T** *ex.(?)*

*b.*[2] τὸ ἐν ὅσῳ ἐνταῦθα δηλοῖ, τὸ δὲ εὔδῃσιν τὸ εὕδει. **b**(BC $E^3E^4$)

**526.** ἀέντες: ὡς τιθέντες· ἀπὸ γὰρ τοῦ ἄημι. **b**(B$E^3$) **T** *ex.* τὸ δὲ παρ' Ἡσιόδῳ (th. 875) „ἄλλοτε δ' ἄλλοι ἄεισι" Αἰολικόν. **T**

**528.** Ἀτρείδης δ' ἀν' ὅμιλον ἐφοίτα πολλὰ κελεύων: ἄνω παραλιπὼν αὐτὸν ἰάσατο διὰ τοῦ πολλά **b**(BC$E^3E^4$) **T** *ex.* τὸ ἐλλεῖπον, **b**(BC$E^3E^4$) ὅ ἐστι ταῦτα. **T**

**529.** ἀνέρες ἔστε: οὐκ εἶπεν ἀνδρεῖοι, ἀλλὰ μὴ προδῶτε τὴν φύσιν. **b**(BC$E^3E^4$) **T** *ex.*

**530** *a.* ἀλλήλους τ' αἰδεῖσθε: εἰκότως· κατὰ φῦλα γάρ εἰσιν· δογματίζει δὲ ὅτι χρήσιμον αἰδὼς οὐ μόνον ἐν εἰρήνῃ, ἀλλὰ καὶ ἐν πολέμῳ. μετρίως δὲ οὐ λέγει αἰσχύνθητε ἐμέ, ἀλλ' ἀλλήλους. **b**(BC $E^3E^4$) **T** *ex.*

*b.* ⟨κατὰ κρατερὰς ὑσμίνας:⟩ τελεία εἰς τὸ ὑσμίνας. **b** (BC$E^3E^4$) **T** *Nic.*

524*b* ad E 6*a* (Ariston.); de coniunctivo εὔδῃσι vide Chantraine, Gr. Hom. 1, 461 (§ 219) **526** — ἄημι (58) cf. Philox. ῥημ. in Et. Gen. (B, deest A) ἀέντες τὸ δὲ παρ' (58) sq. cf. Philox. ῥημ. in Et. Gen. (B, deest A) ἄεισιν, Ep. Hom. (An. Ox. 1, 46, 33) ἄεισι (59) cf. Wackernagel II 1180; Chantraine, Gr. Hom. 1, 190 (§ 77); West, Hesiod Theogony (Oxon. 1966) p. 82 **529** ἀνδρεῖοι (63) = D; cf. sch. Thuc. 2, 43, 1 **530** *b* cf. Friedl., Nic. 118

---

51 le. Bk., νηνεμίης ἔστησεν T, om. **b** ποικίλως δὲ coni. cum scholio praecedenti $E^4$ 52 ὧδε T, ἐνταῦθα **b** (fort. melius) δὲ om. T 53 τὸ δὲ ἀτρέμας pone sch. *b*[2] (coni. cum v. εὕδει) **b** 53 sq. δύναται om. $E^4$ 54 τοῖς κάτω] τοῖς ἑξῆς ipse Nicanor alias dicit συν.] δύναται συνάπτεσθαι $E^4$ 55 (le. et sch.) cum scholio praecedenti coni. T, dist. Ma. fort. εὔδησι (bis) et παμφαίνησι, ct. sch. *b*[2] et test. 56 τὸ ἐν] fort. τὸ ὄφρα τὸ ἐν εὔδησι $E^4$ εὔδηισιν $E^3$ 58 le. Bk., διασκιδνᾶσιν ἀέντες T, om. **b** ἀπὸ — ἄημι T ἀπὸ τοῦ ἄημι παράγεται **b** 59 ἄλλαι Hsd. 62 ὅ T, πολλά, ὅ Wil. (post ἐλλεῖπον interpungens) 63 τὴν T φησὶ τὴν **b** 65 εἰσι **b** 66 δὲ] γὰρ C 67 ἐμέ, ἀλλ' T ἀλλ' ἢ **b** 69 le. add. Frdl. τελεία δὲ εἰς coni. cum scholio praecedenti **b** (τελ. δὲ ἀλλὰ καὶ ἐν εἰς $E^3$)

*ex.* **531.** αἰδομένων δ' ἀνδρῶν πλέονες σόοι: †οὐ γὰρ τὸ περὶ αὐτοῦ† μόνον σκοπεῖ, αὐτός τε χωρίζεται συμμαχίας καὶ τοὺς ἄλλους χωρίζει. **b**(BCE$^3$E$^4$) **T**

*ex.* **533.** ἦ καὶ ἀκόντισε δουρὶ θοῶς: καλῶς τοῖς κελεύσμασι πρῶτος ὑπακούει, τύπον ἑαυτὸν τοῖς ἄλλοις παρεχόμενος. **b**(BCE$^3$E$^4$) **T**

*Hrd.* **535** *a.* ὁμῶς {Πριάμοιο τέκεσσι}: προκατάρχει τοῦ ὁμῶς τὸ ὁμός καὶ ὁμή καὶ ὁμόν· διὸ περισπᾶται ὡς „καλῶς" (β 63). **T**

*ex.* *b.* ⟨ὁμῶς:⟩ παραπλησίως. **T**$^{il}$

*D* **538** *a.* ⟨ἔρυτο:⟩ ἀντὶ τοῦ ἐφύλαξεν. **T**$^{il}$

*D* *b.* ⟨διὰ πρὸ δὲ εἴσατο:⟩ διῆλθε. **T**$^{il}$

*ex.* **539.** νειαίρῃ δ' ἐν γαστρί: τῷ παχεῖ ἐντέρῳ ἢ τῇ κύστει. **b** (BCE$^3$E$^4$) **T**

*ex.* **541.** Αἰνείας Δαναῶν ἕλεν ⟨ἄνδρας ἀρίστους⟩: δικαίως, ἐπεὶ καὶ ἀριστεὺς καὶ παροξύνεται διὰ τὸν ἑταῖρον καὶ προθυμίαν ἔχει παρὰ τοῦ Ἀπόλλωνος. **b**(BCE$^3$E$^4$) **T**

*ex.* **542** *a.* υἷε Διοκλῆος: Ἑλληνικὸν καὶ φιλάδελφον τὸ συναποθνῄσκειν τοὺς ἀδελφούς, οὐχ οἷον τὸ Ἰδαίου ἦθος τοῦ ἀδελφοῦ τοῦ Φηγέως (cf. E 20—1). **b**(BCE$^3$) **T**

*Did.(?)* *b.* Κρήθωνά τε Ὀρσίλοχόν τε: ὁ πρόγονος διὰ τοῦ τ̅, ὁ παῖς διὰ τοῦ σ̅· καὶ ἐν Ὀδυσσείᾳ (sc. γ 489. ο 187. φ 16) οὖν διὰ τοῦ τ̅. **T**

*ex.* **543** *a.* Φηρῇ: Μεσ⟨σ⟩ήνης. καὶ Φηρὰς αὐτὴν καλεῖ (sc. I 151.

**531** fort. exstabat sch. Didymi referentis Aristarchum particulam δέ omisisse, ad O 563 (Did.), cf. Ludwich, A. H. T. 1, 257, 22. Vide ad E 530 *b* (Nic.) †οὐ γὰρ τὸ (71) sq. Ge (pendens aut e T aut ex **h**) **533** cf. Eust. 579, 41 **535** *a* ad O 209 (Hrd.); vide ad M 393 *b* cf. D ad A 196. 209. I 312 **539** cf. D, Ap. S. 115, 9 (He. ν 216), Eust. 580, 22; Poll. 2, 209; vide ad Π 465 *a* (ex.) **542** *b* ad E 546. 549 (test.) **543** exstabat sch. Herodiani, Et. Gen. (AB) Φηρῇ· „ἐϋκτιμένῃ (ἐϋκτιμαίνη A ἐϋκτημαίνη B) ἐνὶ Φηρῇ". περισπᾶται κατὰ τὴν παράδοσιν. ἡ δὲ ἀναλογία ἠξίου βαρύνειν· τὰ γὰρ εἰς ρ̅α̅ δισύλλαβα μονογενῆ τῷ (EM., τὸ Et. Gen. AB) η̅ παραληγόμενα βαρύνεται, πήρα θήρα Ἥρα, fort. ex

---

**71** sq. οὐ γὰρ (γὰρ om. **b**) — αὐτοῦ] ὃς γὰρ τὸ περὶ ἑαυτοῦ Ge, fort. recte **72** αὐτός T ἀλλ' αὐτός **b** **74** le. Vill., δουρὶ θοῶς T, om. **b** **74** sq. τοῖς ἑαυτοῦ πρώτως (πρῶτον E$^4$) ὑπ. κελ. πρῶτος (πρ. om. E$^4$) **b** **75** ἑαυτὸν om. **b** **76** (le.) πρ. τέκεσσι del. Bk. **78** et **80** le. addidi **79** le. add. V **83** le. T supplevi (auctore Vill.), om. **b** **84** παρώξυνται **b**, fort. rectius **85** παρὰ τοῦ T τὴν **b** **87** τοῖς ἀδελφοῖς, ἀλλ' οὐχ **b** **87** sq. Ἰδαίου — φηγέως T φηγέως ἦθος **b** **92** μεσήνης T suppl. Bk., at vide ad E 544

293. γ 488. ο 186). Φεραὶ Θεσσαλίας (cf. B 711. δ 798). **T**

*b*. ⟨ἐνὶ Φηρῇ:⟩ γράφεται „†ἔφηρη“. **T**[il] *Did.(?)*

**544.** ἀφνειὸς βιότοιο: προσυνίστησιν αὐτοὺς αὔξων τὴν περὶ αὐτῶν μάχην. οὐ μέμνηται δὲ αὐτῶν ἐν τῷ Καταλόγῳ, ἐπεὶ †μεσσήνιοί† εἰσιν οἵτινες ὑπὸ Μενελάῳ ἐτέλουν δῶρα, **b**(BE³E⁴) **T** „τά οἱ ξεῖνος Λακεδαίμονι δῶκε τυχήσας“ (φ 13), „τὼ δ' ἐν †μεσσήνῃ† ξυμβλήτην / οἴκῳ ἐν 'Ορτιλόχου“ (φ 15—6). **T** διὰ τοῦτο καὶ πεσόντας αὐτοὺς οὐδεὶς ἄλλος ἢ ὁ Μενέλαος ἐλεεῖ (cf. E 561). **b** (BE³E⁴) **T** *ex.*

**550** *a*.¹ ⟨ἡβήσαντε:⟩ ηὔξησε τὸ πάθος καὶ ὅτι ἡβῶντες καὶ ὅτι δίδυμοι ἦσαν δηλώσας, καὶ εἰς οἶκτον κινεῖ τὸν ἀκροατήν. **b**(BCE³) *ex.*

*a*.² {τὼ μὲν ἄρ'} ἡβήσαντε: ἡμᾶς ὤτρυνε διὰ τοῦ παθητικοῦ, τῆς ἥβης, τῆς τιμῆς, ὅτι δίδυμοι. **T**

**554.** οἵω τώ γε λέοντε: λέοντε μὲν διὰ τὸ εὐγενὲς ἄνωθεν καὶ εἰς ἀλκὴν προκόπτον, ἀτελεῖς δὲ διὰ τὸ μήπω θαρρεῖν τῇ δυνάμει. ἄλλως τε ἡ λέαινα δύο τίκτει δύο μαζοὺς ἔχουσα, οἳ ἀμύξαντες τὴν μήτραν τοῦ λοιποῦ ποιοῦσι τὴν μητέρα στεῖραν. ἡ δὲ πόρδαλις τέσσαρα τίκτει. **b**(BCE³E⁴) **T** *ex.*

hyp. Iliad., cf. Eust. 580, 43 (κατὰ τοὺς παλαιούς), sim. Ge (ex h?): περισπᾷ ἡ παράδοσις τὸ „Φηρῇ“· τὰ γὰρ εἰς ρα δισύλλαβα θηλυκὰ μονογενῆ τῷ η παραληγόμενα βαρύνονται, πήρα θήρα Ἥρα. Vide Hrd. μον. 2, 943, 23 *a* — Μεσσήνης (92) cf. Paus. 4, 30, 2 Φεραὶ (93) sq. at cf. sch. δ 798 **544** ἐπεὶ Μεσσήνιοι (1) sq. cf. sch. φ 13. 15 **546** exstabat sch. Didymi (etiam Aristonici?), cf. Et. Gen. (AB) 'Ορσίλοχος· 'Ιλιάδος E· „ὃς τέκετ' 'Ορτίλοχον (A, ὀρσίλοχον B)“. ὅτι οὗτός ἐστιν ὁ πρόγονος. οὕτω καὶ 'Αρίσταρχος διὰ τοῦ τ. ἑξῆς μέντοι ὁ υἱωνὸς τούτου (B, του ss. τ A) διὰ τοῦ σ „'Ορσίλοχος“ (E 549), fort. ex hyp. Iliad.; vide ad E 542 *b* **549** sch. γ 489: υἱέος 'Ορτιλόχοιο (h. e. Dioclis)· ἐντεῦθεν Ζηνόδοτος ἐν 'Ιλιάδι (E 549) ἔγραφε „Κρήθων 'Ορτίλοχός τε“. ἔστι γὰρ 'Ορτίλοχος μὲν 'Αλφειοῦ, τούτου δὲ Διοκλῆς, Διοκλέους δὲ Κρήθων καὶ 'Ορτίλοχος, fort. partim e scholio Didymi ad E 549; vide ad E 542 *b* **554** ἄλλως τε ἡ (13) sq. cf. Eust. 581, 44 (ubi additur: ὅτι δὲ καὶ πέντε τίκτει ὁ λέων, εἶτα τέσσαρα, καὶ ἑξῆς ὑποκαταβαίνων, ἱστοροῦσιν ἄλλοι, h. e. Aristot. gen. an. 3, 1 p. 750 a 32, cf. 3, 10 p. 760 b 23; Opp. cyn. 3, 57); Hdt. 3, 108, 4

---

**94** le. add. Ma. γράφ. cp. T fort. ἐμ φηρῇ ?, ἐνὶ φηρῆς Nickau; ἐφύρῃ Valk (I 530 n. 596), improbabiliter **95** le. T, om. **b**; sed sch. fort. ad versus E 544 (543)—49 referendum πρὸς συνίστησιν T **95 sq.** αὔξων post μάχην **b** **1 sq.** μεσσήνιοί Bk. **2** οἵτινες T οἳ καὶ **b** δῶρα ἐτέλουν **b** **3** μεσσήνῃ Hom. (et Bk.) **4** ξυμβλ. ἀλλήλοιϊν / οἴκῳ ἐν ὀρτιλόχοιο Hom. **5** πεσόντων αὐτῶν **b** ἄλλος οὐδεὶς **b** ὁ om. **b** **7** le. add. Bk. **9** (le.) τὼ μὲν ἄρ' delevi **12** προκόπτειν T ἀτελεῖς T ἀτελέσι, **b** **13** ἄλλως τε ἡ T ἡ δὲ **b** **13 sq.** ἀμύξ. τὴν μήτραν T τὴν μήτραν πρώτως ἀνοίξαντες **b** **14** στείραν E⁴ **14 sq.** τέσσαρα om. T

*Hrd.* **555.** τάρφεσιν {ὕλης}: ὡς „βέλεσιν" (π 277), ἀπὸ τοῦ τάρφος. ὅτε δὲ ἀπὸ τοῦ ταρφοῦς, ὡς „ὀξέσιν" (Μ 56). **T**

*ex.* **556.** τὼ μὲν ἄρ' ἁρπάζοντε: ἁρπάζειν λέγεται †ἀπὸ† τῶν κωλυομένων λαβεῖν. διὰ μιᾶς οὖν λέξεως ἐδήλωσε καὶ τῶν πασχόντων τὴν ἄμυναν καὶ τῶν ἁρπαζόντων τὴν βίαν. **b**(BCE$^3$E$^4$) **T**

*ex.* **557—8.** σταθμοὺς ἀνθρώπων κεραΐζετον, ὄφρα καὶ αὐτὼ / ἀνδρῶν ἐν παλάμῃσιν: πιθανῶς ἐπὶ μὲν τῶν πασχόντων τὸ τῶν ἀνθρώπων ἔθηκεν ὄνομα, ἐπὶ δὲ τῶν κτεινόντων τὰ θηρία τὸ τῶν ἀνδρῶν. **b**(BCE$^3$E$^4$) **T**

*Did.* **560** *a.* ⟨ἐοικότες:⟩ δυϊκῶς „ἐοικότε" Ἀρίσταρχος. **T**$^{il}$

*ex.* *b.* ⟨ἐλάτῃσιν ἐοικότες ὑψηλῇσιν:⟩ περιπαθῶς τὸ ἐλάτῃσιν ὑψηλῇσι διά τε τὸ κάλλος καὶ τὴν ἥβην. **b**(BCE$^3$E$^4$)

*ex.* **561.** τὼ δὲ πεσόντ' ἐλέησεν ἀρηΐφιλος Μενέλαος: ὡς Λάκων, καὶ Ἀντίλοχος (cf. E 565—70) ὡς τῆς Τριφυλίας ὤν· ἡμερήσιός τε ἡ ἀπόστασις οἴκου Ὀρτιλόχου καὶ Μενελάου, ὃ πόρρω (cf. ο 185—7) δηλῶν ὁ ποιητὴς γυμνάζει τὸν ἀκροατήν. **T**

*ex.* **563.** τοῦ δ' ὤτρυνεν μένος Ἄρης: ἀνθρωποπαθεῖς εἰσάγων τοὺς θεούς, πλέον πάντων τὸν ἀλλοπρόσαλλον Ἄρεα. **b**(BCE$^3$E$^4$) **T**

*ex.* **565.** τὸν δ' ἴδεν Ἀντίλοχος: ἐν τοῖς καιροῖς ἀεὶ ὀξὺς ὁ Ἀντίλοχος. **b**(BCE$^3$E$^4$) **T** τιμᾷ δὲ αὐτὸν διὰ Νέστορα τιμῶντα τοὺς βασιλεῖς καὶ ὑπ' αὐτῶν τιμώμενον. **b**(BCE$^3$E$^4$) καὶ ὁ μὲν Ἀλέξανδρος ὡς ἠδικηκὼς τοῖς Τρωσὶν „ἶσον ἀπήχθετο κηρὶ μελαίνῃ" (Γ 454), ὁ δὲ Μενέλαος εὐνοεῖται ὑπὸ τῶν Ἑλλήνων ὡς ἠδικημένος. **b** (BCE$^3$E$^4$) **T**

**555** ad Λ 69. Ο 606 *b*. Φ 276 (Hrd.); cf. Beiträge 401 τάρφος (16) cf. Nauck, Ar. Byz. 225; Lex. Vind. 35, 18 not. **556** Ge (e T) **557** h(Ge): ⟨σταθμούς·⟩ (suppl. Nicole) τὰ εἰς μος λήγοντα, ἔχοντα πρὸ τοῦ μ τὸ θ, ὀξύνονται· μηνιθμός (cf. Π 62 al.), πορθμός (cf. δ 671. ο 29), σκαρθμός, ἰσθμός. οὕτω καὶ σταθμός, cf. Eust. 582, 14: ὀξύνεται δὲ ὁ σταθμός κανόνι τοιούτῳ· τὰ εἰς μος λήγοντα, ἔχοντα πρὸ τοῦ μ τὸ θ, ὀξύνεται, μηνιθμός πορθμός σκαρθμός ἰσθμός. οὕτω καὶ σταθμός. τὸ κρῆθμος οἱ μὲν τοῦ Ὁμήρου ὑπομνηματισταὶ βαρύνεσθαί φασιν εἰς ἰδιότητα. Est sch. Herodiani, cf. Arcad. 66, 5; Beiträge 202. Vide ad Μ 148 (Hrd.) **565** — Ἀντίλοχος (34) cf. Eust. 582, 45 τιμᾷ δὲ (35) sq. cf.

---

**16** (le.) ὕλης eiecit Li **17** ταρφοῦς susp., fort. ταρφύς **18** ἐπὶ Ge. e coniectura, recte τῶν] τοῦ T **22—4** sch. ad E 557 rettulit **b** **22** πασχ. T βλαπτομένων **b** **25** le. add. V$^c$ ἐοικότε Ma., τὸ ἐοικότε T, τὸ ἐοικότες V **26** le. addidi (auctore Vill.) **29** sq. ἡμερ. τε ἡ ἀπόστ. scripsi, ἡμερούσιός τε ἡ ἀπουσία T **33** πλέον δὲ B ἀλλοπροσαλον T **34—8** pone sch. E 567 *b* in BE$^3$E$^4$, pone sch. E 576 in C **34** καιροῖς T, καιροῖς τοῖς τοιούτοις BCE$^3$ (fort. rectius), τοιούτοις καιροῖς E$^4$ ὀξὺς ἀεὶ **b** **37** ἀπήχθετο ἶσον **b**, ἶσον γάρ σφι πᾶσιν ἀπήχθετο Hom. **38** εὐνοιεῖται T

567 *a*. {μέγα δέ} σφας: συσταλτέον διὰ τὸ μέτρον. **T** *D*

*b*. ⟨ἀποσφήλειε:⟩ ἀποτυχεῖν ποιήσειεν· **b**(BCE$^3$E$^4$) | „αὐτίκα γάρ", φησί, „μνήσονται Ἀχαιοί" (Δ 172). **b**(BCE$^3$) *D* | *ex.*

571—2. Αἰνείας δ' οὐ μεῖνε ⟨——— /⟩ ὡς εἶδεν δύο φῶτε: δείκνυσιν, ὅσον αἰδὼς καὶ φιλαλληλία, ἣν ἔχειν συνεβούλευσεν Ἀγαμέμνων (sc. E 530—1). **b**(BCE$^3$E$^4$) **T** *ex.*

574. τὼ μὲν ἄρα δειλώ: καλῶς τὸ δειλώ· **b**(BCE$^3$E$^4$) προεῖπε γὰρ τὸ ἐμπαθὲς τῆς ἡλικίας, τῆς ὁμογενείας, τοῦ θανάτου, τῆς περὶ τοὺς φίλους σπουδῆς· μηδέπω γὰρ καλοῦντος τοῦ καιροῦ ἧκον ἐπίκουροι. **b**(BCE$^3$E$^4$) **T** *ex.*

576. ἔνθα Πυλαιμένεα ἑλέτην: σκόπει τὴν φράσιν, ἕλετο ἑλέτην ἐπόρθησαν, διὰ τὸν ἡνίοχον καὶ τοὺς ἵππους· ἢ συλληπτικῶς, ὡς „τώ τε Θρήκηθεν ἄητον" (I 5). **T** | πῶς οὖν τῷ υἱῷ ἕπεται δάκρυα λείβων ἐν τῇ ἐπὶ ταῖς ναυσὶ μάχῃ, „ἔνθα οἱ υἱὸς ἐπᾶλτο Πυλαιμένεος βασιλῆος" (N 643, cf. 658); ἔστιν οὖν ὁμωνυμία. καὶ ὁ μὲν ἀρχηγὸς ὡς „Ἴασος αὖτ' ἀρχὸς μέν" (O 337), ὁ δὲ βασιλεύς· διὸ πολλὴ γίνεται περὶ αὐτὸν σπουδὴ τῶν Παφλαγόνων καὶ τοῦ Ἀλεξάνδρου· **b**(BCE$^3$E$^4$) **T** πῶς δὲ ὁ Ἁρπαλίων (cf. N 644) ἐνταῦθα οὐκ ἐπήμυνε τῷ πατρί, εἰ τούτου ἦν υἱὸς τοῦ Πυλαιμένεος; | Πυλαιμένεα δὲ ὡς „Διομήδεα" (Δ 365 al.). **T** *ex.* | *ex.* | *Hrd.*

Eust. 583, 9 **567** *a* fort. similia etiam Herodianus scripsit, cf. Ap. Dysc. pron. 100, 16: ἡ σφᾶς ἔσθ' ὅτε συστέλλει τὸ ᾱ κατ' ἔγκλισιν, συζύγως τῇ „μηδ' ἧμας" (π 372), ἐν τῷ „μέγα δέ σφας ἀποσφήλειε πόνοιο". Vide ad A 147 (Hrd.) *b* cf. Eust. 583, 12 **571** incertum an sch. de v. θοός exstiterit, cf. Ep. Hom. (An. Ox. 1, 200, 26, EM. 453, 13): . . . ἔνθεν τὸ „Αἰνείας δ' οὐ μεῖνε θοός περ ἐὼν πολεμιστής". τὸ λέγειν αὐτὸ ἀγαθὸν (vide ad Π 422. 494) πταῖσμα· ἡγοῦμαι γὰρ τὸν ἀνδρεῖον (EM., τὸν ἄνδρα cod. Barocc.) καὶ ἰσχυρὸν λέγειν αὐτόν· καὶ γὰρ μενεπτόλεμον (cf. B 740 al.) καὶ μενεχάρμαν (lg. μενεχάρμην, cf. Λ 122 al.); Beiträge 243. Vide Buttmann II 54 **571—2** cf. Eust. 583, 2 **576** fort. exstabat sch. Aristonici de v. Πυλαιμένεα, ad B 517 *c*; vide ad Λ 302 *a*. M 140. 193. N 643 *c*. Π 175 *b*. 311 (Ariston.), test. ad Π 197 σκόπει (50) — ἄητον (52) ad E 487 *b* πῶς οὖν (52) — Πυλαιμένεος (58) ad N 643, cf. Porph. 1, 84, 6; Eust. 583, 34 Πυλαιμένεα δὲ (58) sq. Et. Gen. (AB) Πυλαιμένεα· ὡς Διομήδεα (δῆομήδεα A)·

**40** (le.) μέγα δέ eiecit Bk. **41** le. add. Bk. **42** φησί om. C ἀχαιοὶ πατρίδος αἴης Hom., fort. hic quoque scribendum **43** le. T suppl. Ma., om. **b** (ubi sch. ad E 572 revocatum est) **44** δείκν. om. T αἰδὼς καὶ om. T φιλαλία ss. λη T (m. pr.) ἔχειν om. T **47** τῆς ὁμογειτονίας T **50** ἕλετο del. Schrader **53** ἔνθα T ἔνθα γὰρ **b** οἱ sc. Menelao πυλαιμενέος BE$^4$ **54** sq. καὶ ὁ μὲν ἀρχηγὸς ὡς ἴασος αὖτ' ἀρχὸς (αὖτ' ἀρχ. Ma., ναύταρχος T) μέν, ὁ δὲ βασιλεύς T, καὶ ὁ μὲν βασιλεύς, οὗτος δὲ ἄρχων **b**, fort. καὶ ὁ μὲν ἀρχὸς ὡς „ἴασ. αὖτ' ἀρχὸς μέν", ὁ δὲ βασ. **55** sq. πολλὴ — αὐτὸν T καὶ ἡ πλείων **b** **56** τῶν T ἐκεῖσε γίνεται **b** τοῦ om. **b**

*Nic.(?)* **581.** ὁ δ' ὑπέστρεφε μώνυχας ἵππους: τοῦτο διὰ μέσου. T

*ex.* **582.** χερμαδίῳ ἀγκῶνα: ἐπώδυνος ἡ πληγή· διὸ καὶ τὰς ἡνίας ἀπέβαλε (cf. E 583) καὶ φεύγειν οὐκ ἔχων εὐάλωτος γέγονεν. **b**(BCE$^3$E$^4$) T

*ex.* **583.** ἡνία λεύκ' ἐλέφαντι: λείπει τὸ ὡς, ἵν' ᾖ λευκὰ ὡς ἐλέφας. οἱ δὲ ἐξ ἐλεφαντίνων λελευκασμένα ὀστῶν· ἔχουσι γὰρ αἱ ἡνίαι ἐλεφαντίνους ἀστραγάλους ἑκατέρωθεν, δι' ὧν ἕλκουσιν οἱ ἡνίοχοι. **b**(BCE$^3$E$^4$) T

*ex.* **584.** ξίφει ἤλασε ⟨κόρσην⟩: πῶς ἐπὶ τοῦ ἅρματος ἑστηκὼς τὴν κεφαλὴν ξίφει πλήττεται; τάχα οὖν τὰς ἡνίας ἀναλαβεῖν ἐθέλων ἢ ναρκήσας ὑπὸ τῆς πληγῆς κατέκυψεν. **b**(BCE$^3$E$^4$) T

*ex.* **586** *a*. ⟨κύμβαχος:⟩ τῆς κυνῆς ὁ λόφος. ἔνιοι τὸ ἐπὶ κεφαλῇ. T$^{il}$

*ex.* *b*. βρεχμόν: βρεχμὸς λέγεται ἡ τοῦ αὐχένος σπονδυλώδης ἀρχή, καὶ **b**(BCE$^3$E$^4$) †βρέχμα ἀπόπτυγμα† ἀπὸ θώρακος. **b**(BCE$^3$E$^4$) T

*ex.* **587** *a*. δηθὰ μάλ' εἱστήκει: οὐκ ἀπίθανον τοῦτο· ἠνέχθη γὰρ μεταξὺ τῶν ἵππων καὶ τοῦ ἅρματος, καὶ ἦν ἡ μὲν κεφαλὴ βυθισθεῖσα, οἱ δὲ ὦμοι ἑδραῖοι ὄντες μετὰ τοῦ σώματος, **b**(BCE$^3$E$^4$) T οἱ δὲ

φιλεῖ γὰρ τὰ τοιαῦτα κύρια βαρύνεσθαι. πολλὰ μέντοι ἡ συνήθεια διέφθειρεν, fort. ex hyp. Iliad. (est fragmentum Herodiani), cf. Eust. 583, 32: τὸ Πυλαιμένης κύριον βαρύνοντες οἱ παλαιοὶ λέγουσιν ὅτι τὰ τοιαῦτα κύρια ὡς ἐπὶ πλεῖστον βαρύνεσθαι φιλεῖ. ἡ μέντοι συνήθεια πολλὰ παρέφθειρεν ὀξυτονοῦσα, ὡς τὸ Εὐτυχής καὶ τὸ Εὐμενής τὰ κύρια. Vide ad N 643 **583** — ὡς ἐλέφας (64) cf. D οἱ δὲ (65) sq. cf. Eust. 583, 40; vide ad Θ 116 *a* **584** cf. Kurz 20 n. 16. Vide ad E 587 *a* τὴν κεφαλὴν (69) cf. Poll. 2, 40; vide ad Δ 502 **585** fort. exstabat sch. Didymi referentis Aristarchum particulam γέ omisisse, ad N 399 *a* **586** *a* ad O 536 (ex.), cf. Ap. S. 105, 5, unde Et. Gen. (EM. 545, 21); He. κ 4540; — λόφος (71) cf. Eust. 584, 23 ἔνιοι (71) sq. cf. D, Eust. 584, 18; **h**(M$^1$ P$^{11}$): κύμβαχος (om. M$^1$) . . . κυβιστῶν ἐπὶ τὸ ὄπισθεν μέρος τῆς κεφαλῆς, originis incertae *b* — ἀρχή (73) cf. D; Poll. 2, 39, He. β 1116 (Diog.), Or. 34, 8, Et. Gen. (AB) βρέγμα καὶ βρεγμόν (partim ex Orione; cf. Reitzenstein, Gesch. 194, 4), Eust. 584, 32. Vide Call. fr. 186, 1 (test.) †βρέχμα (73) sq. cf. Diog. ap. He. β 1117: βρῆγμα· ἀπόπτυσμα ἀπὸ θώρακος παρὰ Ἱπποκράτει (morb. 2, 47); Valk I 415 **587** *a* — βυθισθεῖσα (76) cf. Eust. 584, 12 οἱ δὲ ὦμοι (77) — σώματος cf. Eust. 584, 16 γέ-

**62** ἀπέβαλε T ἀπέχει **b** φευγ. οὐκ ἔχων T φεύγων μηδ' ὅλως (μηδόλως BE$^4$) **b** γέγονεν T γίνεται **b** **65** λελευκ. T λελευκαμμένα **b** ὀστῶν om. T **65** sq. ἐλεφαντίνους] λελευκαμένους E$^4$ **68** le. T supplevi (auctore Vill.), om. **b** **69** ἐθ. Ma., ἐθέλων κατέκυψεν T θέλων **b** **71** le. add. V **72** le. T, om. **b** σποντυλώδης **b** em. Bk., possis σφονδυλώδης **73** βρέχμα ἀπόπτ.] debuit βρῆγμα ἀπόπτυσμα (cf. test.) ἀπόπτ. ἀπὸ θωρ. T, δὲ τὸ τοῦ θώρακος ἀπόπτυγμα **b** **75—80** bis in C **75** τοῦτο om. T **77** ἑδραῖοι] εὐρέοι C (primo loco) ὄντες μετὰ **b**, ὄντες T, del. Ma., fort. ὄντες θεμέλια, ὄντες ὑπόθημα sim.

πόδες τῷ ἅρματι ἐρειδόμενοι. b(BCE³E⁴) γέγονε δὲ τοῦτο διὰ τὸ τοῦ θανάτου αἰφνίδιον· ψυχορραγῶν γὰρ ἔτι ἔπνει καὶ ἐνήλατο. ἀκριβῶς δὲ τὸ „κύμβαχος“ (E 586) διὰ τούτου ἐπεξηγήσατο. b(BCE³E⁴) T

*b*. ἀμάθοιο {βαθείης}: διάφορος ἡ σημασία ἐπὶ τῆς ἀμάθου καὶ ψαμάθου. T *ex.(?)*

**593.** ἡ μὲν ἔχουσα ΚΥΔΟΙΜΌΝ: ἡ δύναμιν ἐν αὐτῇ θορυβώδη ἔχουσα, ἢ ὡς φίλη τῆς χειρὸς κατέχουσα, ἢ ὡς „†τέρας πολέμοιο† b(BCE³E⁴) T μετὰ χερσὶν ἔχουσα“ (Λ 4). b(BCE³E⁴) *ex.*

**596.** ⟨ῥίγησε:⟩ ἐπεὶ ἀπείρητο αὐτῷ μὴ συνάπτειν τινὶ τῶν ἄλλων θεῶν πόλεμον. b(BCE³E⁴) T *ex.*

**597.** ἀπάλαμνος: ἄπειρος· καὶ Διομήδης γὰρ ἄπειρος τῆς πρὸς Ἄρεα ἀντιπαρατάξεως. b(BCE³E⁴) T *ex.*

**598.** στήῃ ἐπ' ὠκυρόῳ ⟨ποταμῷ ἅλα δὲ προρέοντι⟩: αἰφνιδίως ἐπιστὰς τῷ ποταμῷ πλημμυροῦντί τε καὶ ὑπὸ τῆς θαλάσσης ἀνακρουομένῳ. T *ex.*

**599.** ⟨μορμύροντα:⟩ ὀνοματοποιΐα ὁ τρόπος· ἀπὸ τοῦ ψόφου τοῦ ἐν τοῖς ὕδασι γινομένου. T[il] *D*

**601—6.** ὦ φίλοι, οἷον δὴ θαυμάζομεν Ἕκτορα δῖον ⟨——— μάχεσθαι⟩: ἄμφω ποιεῖ, τῷ θεῷ εἴκειν παραινεῖ καὶ τὸν πόλεμον μὴ δεδιέναι προτρέπεται. b(BCE³E⁴) T *ex.*

γονε δὲ τοῦτο (78) — ἐνήλατο (79) cf. Koerner, Ärztl. Kenntn. 40; Friedrich 15; Kurz 20 n. 16. Vide ad E 584 ἔτι ἔπνει (79) sq. cf. h(M¹ P¹¹ V¹⁵): . . . ὡσεὶ (= T) ἔπνει καὶ ἐνήλατο. τὸ δὲ „κύμβαχος“ αὐτὸς ὁ ποιητὴς παρακατιὼν ἐν τῷ αὐτῷ στίχῳ ἐπεξηγήσατο. Neque tamen auctor videtur sch. uberius legisse ἀκριβῶς δὲ (80) sq. cf. Porph. 1, 300, 1; Eust. 584, 30 *b* ad I 385. 593 (Ariston.), cf. D, Amm. 39; Eust. 584, 36; sch. β 326; Or. 13, 3 **593** fort. exstabat sch. Aristonici de v. κυδοιμόν (κυδοιμοῦ εἴδωλον), ad Λ 4 **597** ἄπειρος (89) = D, cf. Ap. S. 37, 24, Eust. 586, 1 **598** ὑπὸ (92) sq. verba poetae rectius intellexit D **599** cf. Eust. 586, 8

---

**78** sq. γέγονε — γὰρ b τὸ δὲ ὅλον ἐπὶ τῷ αἰφνιδίῳ θανάτῳ T **79** ἔτι] ἔτνει B ὡσεὶ T ἐνήλλατο T, C (primo loco) **80** ἀκριβῶς δὲ τὸ b τὸ δὲ T κύμβαχον b διὰ τούτου om. T, fort. recte **82** (le.) βαθ. eieci **85** φίλη b βέλη T ὡς² T ὡς τὸ b πολέμοιο om. b, πολ. τέρας Hom. **86** ἔχουσαν Hom. **87** le. add. Bk. (τὸν δὲ ἰδὼν ῥίγησε· Li) **89** le. Bk., ὡς δ' ὅτ' ἀνὴρ ἀπάλαμνος T, om. b ἄπειρος¹] τοῦ νήχεσθαι ἄπειρος E⁴ καὶ T ἐπεὶ καὶ b γὰρ om. b **90** ἀντιπαρατ. T μάχης b **91** le. T supplevi **94** le. add. Bk. (ἀφρῷ μορμ.· add. Li) ὀν. ὁ τρόπος T ὠνοματοπεποίηται ἡ λέξις D **1** sq. le. T supplevi, om. b (ubi sch. ad E 601 relatum fuisse vid.) **2** τῷ T τῷ τε b **3** δεδ. T ἐκφεύγειν b

*ex.* **605—6.** ἀλλὰ πρὸς Τρῶας τετραμμένοι αἰὲν {καὶ} ὀπίσσω / εἴκετε: κατ' ὀλίγον ὑποχωρεῖτε ὑποποδίζοντες. διδάσκει δέ, πῶς δεῖ τὰς τροπὰς ποιεῖσθαι. **b**(BCE³E⁴) **T**

*Hrd. (Did.?)* | *ex.* | *Hrd.* **609** *a.* Μενέσθην Ἀγχίαλόν τε: Ἀρίσταρχος „Μενεσθῆν" ὡς Ἀπελ⟨λ⟩ῆν. τινὲς δὲ διὰ τοῦ τ̄ „Μενέστην" ὡς „Ὀρέστην" (E 705 al.). | τινὲς δὲ Ἐλωρέα τὸν Ἡφαίστου κατ' ἐπίκλησιν οὕτω φασὶ κεκλῆσθαι. | τὸ δὲ Ἀγχίαλον ψιλωτέον· κύριον γάρ. **T**

*ex. (Hrd.?)* *b.* Μενέσθην: ὡς ὄρος Ὀρέστης, οὕτω μένος Μενέστης, καὶ μεταβολῇ Μενέσθης. **b**(BCE³) **T**

*ex.* **612.** {ὅς ῥ' ἐνὶ} Παισῷ: Ἀπαισός ἐστιν, ἣν διὰ τὸ μέτρον Παισὸν εἶπεν, ὡς Σπληδόνα. **T**

*ex.* **613.** πολυκτήμων πολυλήϊος· ⟨ἀλλά ἑ Μοῖρα⟩: διδάσκει τοὺς πλουσίους θνητὰ φρονεῖν καὶ τὸν θάνατον νομίζειν **b**(BCE³E⁴) **T** μηδὲν ἧττον παρεῖναι, **T** ἀλλὰ μὴ πλούτῳ ἐπῆρθαι. **b** (BCE³E⁴)

**605—6** cf. Eust. 586, 35 **609** fort. exstabat sch. Herodiani de accentu v. Μενέσθην, Et. Gen. (A, om. B) Μενέσθην· οἷον „Μενέσθην Ἀγχίαλόν τε". τὰ εἰς ῆς λήγοντα παραληγόμενα τῷ (scripsi, τὸ A) ε̄ ἀπὸ ὀνομάτων (scripsi, ὀνόματος A) ὀξύνεται μὲν ἐπιθετικώτερα ὄντα, βαρύνεται δὲ οὐχ οὕτως ἔχοντα, οἷον κῆδος κηδεστής, ἀργὸς ἀργεστής (cf. Λ 306). Ὀρέστης δὲ καὶ Ὀφειλέτης. οὕτω καὶ παρὰ τὸ μένος Μενέστης καὶ Μενέσθης κατὰ τροπήν, fort. ex hyp. Iliad., cf. Eust. 596, 23: τὸ δὲ Ὀρέστης (cf. E 705) βαρύνεται κανόνι τοιούτῳ κατὰ τοὺς παλαιούς· τὰ εἰς τῆς (scripsi, στης edd.) τῷ ε̄ παραληγόμενα, ἀπὸ ὀνομάτων ὄντα ἤτοι παρώνυμα (ἤτ. παρ. fort. add. Eust.), ὀξύνονται μὲν ἐπιθετικώτερα ὄντα, βαρύνονται δὲ οὐχ οὕτως ἔχοντα, οἷον ἀργὸς ἀργεστὴς ἄνεμος, κῆδος κηδεστής. τὸ Ὀφελέτης, εἰ καὶ παρώνυμον παρὰ τὸ ὄφελος, ἀλλ' οὐκ ἐπίθετον, κύριον δέ· διὸ οὐδὲ ὀξύνεται, ἀλλὰ βαρύνεται ὡς κύριον. ὡσαύτως καὶ Ὀρέστης παρὰ τὸ ὄρος. οὕτω δὲ καὶ παρὰ τὸ μένος Μενέστης κύριον. ἡ δὲ κοινὴ παράδοσις ἔτρεψε τὸ τ̄ εἰς θ̄ (ὡς πρὸ μικροῦ ἔφη „Μενέσθην Ἀγχίαλόν τε"), vide ad sch. *b* *a* — Ἀπελλῆν (8) cf. Eust. 596, 36 τινὲς δὲ (8) — κεκλῆσθαι (10) cf. He. ε 2248 τὸ δὲ Ἀγχίαλον (10) sq. ad O 705 (Hrd.) *b* μένος (11) sq. cf. Choer. Th. 1, 154, 24; Lehrs Ar.³ 295 not. 215; adde test. supra (ad 609) excripta **612** exstabat sch. Aristonici de homonymo Ἄμφιος, ad B 830 Ἀπαισός ἐστιν (13) sq. ad B 828 (Hrd.), cf. D; Strab. 13, 1, 19 (p. 589) ἣν (13) — εἶπεν (14) aliter Eust. 587, 16: λέγεται δέ, φασί, Παισός, διότι ἐκεῖ που ἡ Ἀργὼ ὑπὸ πνευμάτων ἀντιπνόων ἀνεπαίσθη ἤτοι ἀντεκρούσθη (fort. ἀνεκρούσθη), ὅτε καὶ τῇ Κίῳ προσωρμίσθη, originis incertae διὰ τὸ μέτρον (13) ad B 518 Σπληδόνα (14) ad B 511 **613** μηδὲν ἧττον παρεῖναι (17) cf. Porph. 1,

**4** sq. le. T (καὶ ante ὀπ. add. T, del. V), om. **b** (qui sch. ad E 605 revocavit) **5** ἀναχωρεῖτε **b** ὑποποδ.] fort. ἀναποδίζοντες (aut ἀναχ. ὑποποδ. aut ὑποχ. ἀναποδ. scribendum) **8** ἀπελῆν T suppl. Bk., ἀπελλήν (?) Eust. **11** ὡς T, ὥσπερ ἀπὸ τοῦ **b**, (fort. rectius) οὕτω T οὕτως ἀπὸ τοῦ **b** (fort. rectius) **13** (le.) ὅς ῥ' ἐνὶ del. Bk. **15** le. T supplevi (auctore Vill.), om. **b**

**619.** σάκος δ' ἀνεδέξατο πολλά: τὸ πλῆθος τῶν βληθέντων δοράτων καὶ τὴν ἀνδρίαν τοῦ βληθέντος δηλοῖ. b(BCE$^3$E$^4$) T *ex.*

**620.** ⟨λὰξ προσβάς:⟩ λὰξ λέγεται τὸ πλατὺ τοῦ ποδός, ὁμωνύμως δὲ καὶ ἡ ἀπὸ τούτου πληγὴ λὰξ καλεῖται. ἐλάκτισε δὲ προσελθών. A$^{t}$ *ex.*

**621.** {οὐδ' ἄρ'} ἔτ' ἄλλα {δυνήσατο}: τινὲς ὡς τὰ ὅλα, κακῶς. T *ex.*

**629.** ὦρσεν ἐπ' ἀντιθέῳ Σαρπηδόνι: φασὶν Εὐρώπῃ τῇ Φοίνικος ἀνθολογούσῃ φανῆναι τὸν Δία ἐν σχήματι ταύρου κρόκον ἐκ τῶν ῥινῶν βλαστάνοντος. ἐπικαθεσθείσης δὲ τοῖς νώτοις τῆς κόρης πρὸς ἀπανθισμόν, ἁρπάσας εἰς Κρήτην ἐκόμισεν· b(BCE$^3$E$^4$) T ἀφ' ἧς φασι Σαρπηδόνα γενέσθαι. b(BCE$^3$E$^4$) *D*

**630.** {ἐπ' ἀλλήλοισιν} ἰόντες: ἐν τῇ ἑτέρᾳ „ἰόντε" κεῖται. T *Did.*

**631.** υἱός θ' υἱωνός τε ⟨Διός⟩: ταχέως ἄμφω ἐδήλωσεν· τὸν μὲν γὰρ ἴσμεν διὰ τοῦ Καταλόγου (sc. B 653), τὸν δὲ γνωσόμεθα. πῶς δὲ συγγενεῖς ὄντες μάχονται; οὐκ ἐδόκει μιαρὸς εἶναι ὁ ἐν πολέμῳ θάνατος· ἄλλως τε καὶ ἀρνοῦνται τὴν συγγένειαν· „ψευδόμενοι δέ σέ φασι Διὸς γόνον" (E 635). b(BCE$^3$E$^4$) T *ex.*

104, 25 **620** h(Ag M$^1$ P$^{11}$ V$^{16}$): λάξ· τὸ στῆθος τοῦ ποδός, ὁμωνύμως δὲ καὶ ἡ ἀπὸ τούτου πληγὴ λὰξ καλεῖται. ἐλάκτισε προσελθών, ἐσπάσατο  λάξ (21) — ποδός cf. D ad Z 65  **626** sch. A$^a$ sprevi: τὸ (διὰ τὸ Duchesne) μέτρον· ἐπλεόνασε τὸ ε̄, σφέων, originis incertae, fort. sch. recens; quae in Ge leguntur (ὁ δὲ ἀναχωρήσας „πελεμίχθη", ἤτοι διετίναξε τὴν ἀσπίδα, ἵνα ἀποβάλῃ τὰ ἐμπεπηγότα δόρατα), e scholio D videntur fluxisse  **627** fort. exstabat sch. Aristonici de v. πονέοντο, ad A 467 *a*  **630** ad Z 121 (Did.), cf. Ludwich, A. H. T. 1, 258, 13  ἐν τῇ ἑτέρᾳ sc. τῶν Ἀριστάρχου  **631** cf. Eust. 590, 5  πῶς δὲ (33) — θάνατος (34) ad E 658  **633** fort. exstabat sch. Herodiani de accentu vocis Σαρπῆδον, cf. Eust. 590, 40: τὸ „Σαρπῆδον" . . . δύναται μὲν γράφεσθαι καὶ Σαρπηδὼν ὀξυτόνως, ἀρέσκει δὲ τοῖς παλαιοῖς προπερισπᾶν αὐτό· ἔστι γὰρ εὐθεῖα ὁ Σαρπηδὼν ὀξυτόνως καὶ ἑτέρα Αἰολικὴ ἴσως ὁ Σαρπήδων παροξυτόνως· διαφέρει γὰρ τὸ ὄνομα, καὶ τοῦ μὲν ἡ γενικὴ Σαρπηδόνος ὡς ἀηδόνος καὶ ἡ κλητικὴ ὁμόφωνος τῇ εὐθείᾳ τῷ κανόνι τῶν εἰς δων ὀξυτόνων, τοῦ δὲ ἡ κλίσις Σαρπήδοντος ὡς „λέοντος" (Θ 338 al.) καὶ ἡ κλητικὴ ἀποβολῇ τῆς ληγούσης „Σαρπῆδον" προπερισπωμένως μετὰ συστολῆς τῆς ληγούσης, Ap. S. 140, 19: Σαρπήδοντος· ταύτῃ τῇ κλίσει τοῦ ὀνόματος ἅλις κέχρηται ὁ ποιητής· „Σαρπήδοντος ἑταῖρον Ὀϊκλῆα"

19 βληθ.] βαλλομένων E$^4$  20 ἀνδρίαν BE$^3$T ἀνδρείαν CE$^4$  βληθέντος T, βαλλομένου b (fort. rectius)  21 le. addidi  22 ἐλάκτ. h ἐλλάκτισε A$^a$  δὲ om. h, fort. recte  24 (le.) οὐδ' ἄρ' et δυνήσ. eieci  27 ἐπικαθεσθεῖσαν . . . τὴν κόρην D  28 πρὸς E$^4$T εἰς BCE$^3$  ἐκόμ. αὐτὴν Ma.  ἀφ' b ἐξ D  30 (le.) ἐπ' ἀλλ. delevi  ἐ[.] τῇ T suppl. m. sec.  31 le. T supplevi (auctore Vill.), om. b  ἐδήλωσε b  32 δὲ T, δὲ νῦν b (fort. rectius)  33 δὲ (pone πῶς) T οὖν b  34 συγγένειαν· φησὶ γὰρ ὅτι ψευδ. b  35 διὸς γόνον om. T

*Ariston.(?) | ex. | ex.(?)* **633—4.** ⟨τίς τοι ἀνάγκη / πτώσσειν ἐνθάδ' ἐόντι μάχης ἀδαήμονι φωτί:⟩ τίς σοι ἀνάγκη πτώσσειν καὶ δειλιᾶν ἐνθάδε ἐόντι, δηλονότι ἐν τῷ πολέμῳ, ὡς ἀπείρῳ ὄντι τῆς μάχης. λείπει τὸ ὡς. | εἰ δὲ σημαίνει τὸ πτώσσειν ἀντὶ τοῦ ἐπέρχεσθαι, ἔστιν ἡ ἑρμηνεία οὕτως· ποία σοὶ ἀνάγκη ἐνθάδε ἐπέρχεσθαι ἐν τῷ πολέμῳ ὄντι σοι ἀμαθεῖ καὶ ἀπείρῳ τῆς μάχης; ὃ καὶ κρεῖττον. | ἢ καὶ ἄλλως· ὄντι σοὶ τῆς μάχης ἀπείρῳ ἀνδρὶ τίς σοι ἀνάγκη ⟨εἰς⟩ τοὺς Ἕλληνας ἐμβάλλειν; $A^{a}$

*ex.(?)* **634.** πτώσσειν {ἐνθάδε}: πτήσσειν. T

*ex.* **635.** ψευδόμενοι δέ σέ φασι ⟨Διὸς γόνον⟩: ἀλλοτριοῖ αὐτὸν ἐκείνου, ἐφ' ᾧ αὐτὸς αὐχεῖ. ἄλογος δὲ ὁ μηδὲν ἑαυτοῦ διεξιών, ἀλλὰ τοῦ πατρός. ἠρέμα οὖν ἐλέγχει ὁ ποιητὴς τοὺς ἐπὶ πατράσιν αὐχοῦντας καὶ τούτου χάριν ἐθέλοντας πρωτεύειν· διὸ καὶ ἀποκτείνει Τληπόλεμον. b($BCE^{3}E^{4}$) T

*Ariston.* **638** *a.* ⟨ἀλλ' οἷόν τινά φασι βίην Ἡρακληείην:⟩ ὅτι τὸ οἷον ἐπὶ θαυμασμοῦ. τινὲς δὲ „ἀλλοῖον" παρὰ τοὺς νῦν. Ζηνόδοτος δὲ καὶ ἀμέτρως γράφει „Ἡρακλεῆην". $A^{im}$

*b.* ἠέρα πουλύν: ἀντὶ τοῦ πολλήν· ἀεὶ γὰρ θηλυκῶς φησι καὶ τὸ σκότος δηλοῖ. τὸ δὲ ἐπὶ τοῦ συνήθους ἅπαξ εἶπε „δι' ἠέρος αἰθέρ' ἵκανεν" (Ξ 288). **b**(BCE$^3$) **T** *ex. (Ariston.?)*

777. τοῖσι⟨ν⟩ δ' ἀμβροσίην Σιμόεις: ποιητικοῦ κάλλους ἴδια ταῦτα, ὡς καὶ ἐπὶ τοῦ λέχους τοῦ Διός (sc. Ξ 347—9). καλῶς δὲ οὐχ ὁ Σκάμανδρος ἀνέτειλεν· Τρωσὶ γὰρ βοηθὸς οὗτος. **b**(BCE$^3$E$^4$) **T** *ex.*

778. τρήρωσι πελειάσιν ἴθμαθ' ὁμοῖαι: τὴν ὁρμὴν καὶ τὴν πτῆσιν· ἄτοπον γὰρ τρυφερῶς βαδίζειν τὰς εἰς πόλεμον ἐσκευασμένας. **b**(BCE$^3$E$^4$) **T** | ἄλλως· καλῶς τῶν βουλομένων λαθεῖν τὰ ἴχνη περιστεραῖς εἴκασεν· ἀφανῆ γὰρ τὰ τῶν περιστερῶν ἴχνη καὶ Ἀριστοτέλης λέγει (fr. 154 R.). | ἄλλως· πρὸς τὸ καθαρὸν καὶ ταχύ· **b** (BCE$^3$) **T** ὅτι γὰρ καὶ ταχύ, δῆλον ἀφ' οὗ τὴν κομιδὴν τῆς ἀμβροσίας πεπίστευται (sc. μ 63). **T** *ex.* | *ex.* | *ex.*

784. ⟨στᾶσ':⟩ περισπαστέον· ἔστι γὰρ τὸ πλῆρες στᾶσα. **A**$^{\text{int}}$ *Hrd.*

785 *a.* ⟨Στέντορι:⟩ ὅτι ἐνταῦθα μόνον μνημονεύει{τ} τοῦ Στέντορος. **A**$^{\text{im}}$ *Ariston.*

*b.* Στέντορι: τινὲς αὐτὸν Θρᾷκά φασιν, Ἑρμῇ δὲ περὶ μεγαλοφωνίας ἐρίσαντα ἀναιρεθῆναι· αὐτὸν δὲ εὑρεῖν καὶ τὴν διὰ κόχλου μηχανὴν εἰς τὰς μάχας. **A b**(BCE$^3$E$^4$) **T** ἀλλ' ἔθος Ὁμήρῳ τοῖς παροῦσιν εἰκάζειν τοὺς θεούς. **b**(BCE$^3$E$^4$) **T** τινὲς δὲ Ἀρκάδα φασὶν εἶναι τὸν Στέντορα καὶ ἐν τῷ Καταλόγῳ (an post B 609?) πλάττουσι περὶ αὐτοῦ στίχους. **AT** *ex.*

(Ariston.), cf. sch. ι 144 *b* — φησι (76) vide ad Θ 50 ἀεὶ γὰρ θηλυκῶς (76) cf. sch. Hsd. th. 697 (vide M. L. West ad Hsd. th. 9); aliter Ap. S. 12, 8, Ep. Hom. (An. Ox. 1, 185, 19. 1, 191, 7, sim. Et. Gen. [AB] ἠέρα), Serv. Verg. A. 3, 585 778 fort. exstabat sch. Herodiani de accentu v. πελειάσιν, ad Φ 493 τὴν ὁρμὴν (82) — ἐσκευασμένας (83) cf. Porph. 1, 86, 14. 2, 56, 1 ἀφανῆ γὰρ (85) — ἴχνη cf. Eust. 607, 1 785 *a* ἐνταῦθα μόνον (90) vide ad Γ 54 (Ariston.) *b* cf. Eust. 607, 29; Roemer, Philol. 70, 1911, 161, 2; Wecklein, Zusätze 6 et Zen. Ar. 84; Cantarella 109. Vide ad B 609—11; — ἀναιρεθῆναι (93) cf.

---

76 le. Bk., περὶ δ' ἠέρα πολὺν ἔχευεν T, om. b 77 εἶπεν B ἀέρος b 79 le. T suppl. Li (qui habet τοῖσιν δ' ἀμβρ.), om. b 81 ἀνέτειλε b γὰρ T γὰρ ἦν b 85 sq. τὰ — λέγει T αὐτῶν τὰ ἴχνη ὡς ἀριστοτέλης b 86 ἄλλως — καὶ ταχύ T ἢ καὶ διὰ τὸ καθαρὸν ἢ διὰ τὸ ταχύ b 87 ταχύ sc. τὸ θηρίον 89 le. add. Bk. 90 le. addidi (auctore Vill.) ὅτι A, ἡ διπλῆ, ὅτι Vill. τ del. Vill. 92 le. A, στέντορι εἰσαμένη T, om. b θρῇκά T φασιν om. A 93 ἐρίσ. λέγουσιν ἀν. b εὑρεῖν om. b 94 μηχανὴν — μάχας T, μηχανὴν εἰς τὰς μάχας εὑρεῖν b, γραφὴν A (cf. Eust. τὴν ἐκ κόχλου βαφὴν ἢ μᾶλλον τὴν διὰ κόχλου βοὴν ἐν ταῖς μάχαις) ἀλλ' ἔθος T ἔθος δὲ b τοῖς T τοῖς μὴ b 1 φασὶν εἶναι] φασὶ A 2 post στίχους lac. indicavit Roe. l. c.

*Did.* **786.** ὃς τόσον αὐδήσασχ' ὅσον ἄλλοι πεντήκοντα: ἔν τισιν οὐκ ἦν ὁ στίχος διὰ τὴν ὑπερβολήν. A b(BCE$^3$E$^4$) T

*Hrd.* **787** *a.* ⟨ἐλέγχεα:⟩ ἐλέγχεα ὡς „τείχεα" (B 691 al.)· οὐ γὰρ νῦν ἐπιθετικόν. A$^{im}$

*Did.* *b.* ⟨κάκ' ἐλέγχεα:⟩ Ἀρίσταρχος „†κακκελέχεες†". τὸ δὲ ἑξῆς διχῶς, „εἶδος ἄριστοι" καὶ εἶδος ἀγητοί. A$^{im}$

*ex.* *c.* κάκ' ἐλέγχεα: ὡς καὶ Ἀλέξανδρον „λώβην" (Γ 42). T

*ex. (?)* *d.* εἶδος ἀγητοί: τῷ εἴδει μόνον θαυμαστοί. A

*ex.* **788.** πωλέσκετο δῖος Ἀχιλλεύς: οὐκ ἐᾷ λήθῃ δίδοσθαι τὸ ὄνομα τοῦτο ὁ ποιητής. b(BCE$^3$) T

*Ariston.* **789.** πυλάων Δαρδανιάων: τῶν Σκαιῶν· b(BCE$^3$E$^4$) T φησὶ γὰρ „ἀλλ' ὅσον ἐς Σκαιάς τε πύλας καὶ φηγὸν ἵκανον" (I 354). b (BCE$^3$E$^4$)

*D* **790.** ⟨οἴχνεσκον:⟩ ἐπορεύοντο. T$^{il}$

*ex.* **795** *a.* ἕλκος ἀναψύχοντα: γυμνοῦντα πρὸς τὸ ἀποψῆν τὸν λύθρον. b(BCE$^3$E$^4$) T

*Ariston.* | *ex.* *b.* ἕλκος ⟨———⟩ τό μιν βάλε Πάνδαρος ἰῷ: οὐ τὸ ἕλκος ἔβαλεν, εἰργάσατο δὲ ἕλκος βαλών, ὡς τὸ „νεκρὸν ἄγοι προτὶ ἄστυ, τὸν ἔκτανε δῖος Ἀχιλλεύς" (Ω 151), ὅ ἐστι κτανὼν νεκρὸν εἰργάσατο. | ἀνδρείου δὲ καὶ καρτερικοῦ τὸ μὴ ἀναχωρῆσαι εἰς τὰς ναῦς μετὰ τὸ τραῦμα. b(BCE$^3$E$^4$) T

*Ariston.* *c.* ⟨ἕλκος ἀναψύχοντα, τό μιν βάλε Πάνδαρος ἰῷ:⟩ ὅτι ἰδίως εἴρηκεν ἀντὶ τοῦ ὃ βαλὼν ἕλκος ἐποίησεν. A$^{im}$

W. F. Otto, Die Götter Griechenlands$^3$, Francofurti 1947, 124 **786** cf. Eust. 607, 31; Duentzer, Zen. 159, 4 **787** *a* cf. Ep. Hom. (An. Ox. 1, 136, 4) *d* cf. D **788** cf. Eust. 608, 7 **789** nullum signum ante versum in A τῶν Σκαιῶν (13) sq. ad. Z 237. I 354. X 6. 194 (Ariston.), cf. Lehrs Ar.$^3$ 223; vide ad B 809 (Ariston.), Γ 145 (D). H 22 (Ariston.); Goedhardt 79; — Σκαιῶν (13) cf. Eust. 608, 10; plura Diog. ap. He. (δ 262): Δαρδάνιαι πύλαι· αἱ τῆς Ἰλίου, ἤτοι ἀπὸ Δαρδάνου κληθεῖσαι ⟨ἢ⟩ (add. Herwerden) διότι ἐπὶ τὴν Δαρδανίαν χώραν ἔφερον. τὰς δὲ αὐτὰς καὶ Σκαιὰς Ὅμηρος καλεῖ, fort. partim e scholiis **791** fort. exstabat sch. Didymi (Aristarchus vid. scripsisse νῦν δ' ἕκαθεν), ad N 107 *b* **795** *b*/*c* cf. Lehrs Ar.$^3$ 61. Vide ad Π 511 *b* ad Ω 151

---

**3** le. T, om. Ab **3** sq. ἔν τισι δὲ coni. cum scholio praecedenti (v. στίχους) A **4** ὑπερβολήν AT, ὑπερβολὴν ταύτην τὴν ψυχράν BCE$^3$, ψυχρὰν ταύτην ὑπερβολήν E$^4$ **5** le. addidi (auctore Vill.) **7** le. addidi (auctore Vill.) κακ' ἐλεγχέες Bk., κακελεγχέες Lehrs (fort. recte) **11** (le.) πωλ. Ma. (Vill.) cl. sch. D, πολέσκετο T (ut T$^{cont}$) **14** ἵκανεν Hom. **16** le. add. V **17** ἀποψῆν T ἀποβαλεῖν b **19—23** le. et sch. coni. cum scholio praecedenti T, dist. et le. suppl. Ma., le. om. b **19** sq. οὐ τὸ ἕλκος δὲ sq. coni. cum scholio praecedenti b **20** ἔβαλλεν C εἰργάσ. — βαλών T ἀλλὰ βαλὼν εἰργάσατο ἕλκος b ἄγειν b **21** ὅ ἐστι T πάντως γὰρ ὁ b **21** sq. εἰργ. νεκρόν E$^4$ **22** sq. ἀναχωρ. post τραῦμα b **24** le. add. Vill. **24** ὅτι A, ἡ διπλῆ, ὅτι Vill.

**796.** ⟨ὑπὸ πλατέος τελαμῶνος:⟩ ὅτι τελαμῶσιν ἐπὶ τῶν ἀσπίδων ἐχρῶντο. A$^{int}$ *Ariston.*

**797** *a.*$^1$ ⟨τῷ τείρετο:⟩ Ἀρίσταρχος τῷ τείρετο, ἄλλοι δὲ „τῷ τρίβετο". A$^{im}$ *Did.*

*a.*$^2$ Ἀρίσταρχος τείρετο, b(BCE$^3$E$^4$) T αἱ δὲ κοιναὶ „τρίβετο". b(BCE$^3$) T

**798.** ἴσχων: ὡς λέγων, ἔχων· AT$^{il}$ οὐδὲ γὰρ δύναται ὀξύνεσθαι ὡς δευτέρου ἀορίστου· ἄνευ γὰρ τοῦ ῑ ἐλέγετο ἂν σχών. | ζητεῖται, πότερον ἴσχων ὡς τρέχων ἢ ὡς νοῶν· εὑρέθη γὰρ ἴσχηκα ὁ παρακείμενος. ἀλλὰ τοῦτο οὐδὲν συμβάλλεται πρὸς τὴν Ὁμηρικὴν ἀνάγνωσιν· παρ' αὐτῷ γὰρ πάντα τὰ κινήματα ὡς ἀπὸ βαρυτόνου „ἴσχεσθ' Ἀργεῖοι" (Γ 82), „ἴσχον γὰρ πυργηδόν" (Ο 618), ἥ τε πληθυντικὴ μετοχὴ „χεῖρας {τ'} ἀνίσχοντες" (Θ 347). A *Hrd.* | *ex.* (?)

**799.** ἱππείου δὲ θεὰ ζυγοῦ ἥψατο: ἄκρως τὸ ἀνθρώπινον ἦθος μεμίμηται· τοῦτο γὰρ γίνεται καὶ νῦν. b(BCE$^3$E$^4$) T *ex.*

**800.** ἦ ὀλίγον οἷ παῖδα ⟨ἐοικότα γείνατο Τυδεύς⟩: ὅτι οὐ λέγει κατά τι ὅμοιον, ἀλλ' ἀντὶ τοῦ οὐδὲ ὅλως ὅμοιον. AA$^{int}$ | τὸν δὲ ἦ περισπαστέον· βούλονται γὰρ αὐτὸν ἰσοδυναμεῖν τῷ δὴ καὶ βεβαιωτικὸν εἶναι· τοιοῦτος γὰρ ὁ κατ' ἀρχὴν η̅. τὴν δὲ ἀντωνυμίαν ὀρθοτονοῦσιν, ἐπεὶ εἰς σύνθετον μεταλαμβάνεται. A *Ariston.* | *Hrd.*

**801.** Τυδεύς: τῇ ἐπαναλήψει τοῦ ὀνόματος ηὔξησε τὸν Τυδέα. b(BCE$^3$) T *ex.*

(Ariston.) **796** ad B 388 *a* **797** cf. Valk II 611 **800** — ὅλως ὅμοιον (42) cf. D, Or. 119, 23; sch. Pind. Ol. 1, 55 c. 10, 26 c. 10, 112 b, N. 10, 147 a, sch. Eur. Or. 393, sch. Ar. pac. 764, av. 1636, sch. Thuc. 1, 33, 2, [Hrd.] Phil. 61 τὸν δὲ ἦ (42) sq. ad A 229 (Hrd.), vide ad A 156 *a* (test.) τὴν δὲ ἀντωνυμίαν (44) sq. ad Λ 239. N 542. Y 418. Φ 507 (Hrd.), cf. Ap. Dysc. pron. 36, 11. 41, 30, synt. 199, 4 ὀρθοτονοῦσιν (44) h. e. circumflectunt, cf. Ap. Dysc. pron. 81, 2: ἐπὶ δὲ τοῦ „ἦ ὀλίγον οἷ παῖδα" (E 800) περισπῶμεν· ὅθεν ὡς παράλογον ὁ Σιδώνιος ὤξυνεν, ἢ αἱ ὁμοιοκατάληκτοι καὶ ὁμότονοι κατὰ πᾶν πρόσωπον (originis incertae), ib. 82, 15: (οἷ . . .) εἴρηται ὡς ὀρθοτονουμένη περισπᾶται εἰς σύνθετον (45) ad A 368 *b*$^1$ **801** cf. Eust. 610, 38

---

**26** le. addidi (auctore Vill., Frdl.) ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **28** le. add. Vill. **30** ἀρίστ. b, τῷ τρίβετο (= T$^{cont}$): ἀρίσταρχος T **32** le. (sine signo lemmatis) T, ἂν δ' ἴσχων: A λέγων om. T; cf. μ 165 al. ἔχων cf. A 14 al. **34** erat εἴσχηκα, cf. Schulze, Quaest. ep. 44 not. **38** τ' del. Ddf. **39** (le.) θεὰ ζυγοῦ Ddf., ζυγοῦ θεὰ T (et T$^{cont}$), le. om. b **39** sq. τοῦ ἀνθρωπίνου ἤθους μέμνηται b **40** καὶ νῦν post γὰρ b **41** le. A suppl. Vill. (le.) ἦ Frdl., ἢ A ὅτι AA$^{int}$, ἡ διπλῆ, ὅτι Vill. **43** τῷ Bk., τὸ A **44** η̅ Bk., ε̅ A **46** le. Bk., τυδεύς τοι T, om. b, sch. fort. ad E 800—01 referendum ηὔξηται τυδεύς b

*ex.* **802—4.** ⟨καί ῥ'⟩ ὅτε πέρ μιν ⟨ἐγὼ⟩ πολεμίζειν οὐκ εἴασκον ⟨——— Καδμείωνας⟩: καὶ ὅτε ἐγὼ αὐτὸν ἀπετρεπόμην, ἐκεῖνος ὅμως μαχητὴς ἦν, ἡνίκα ἦλθεν ἄγγελος εἰς Θήβας. τὸ δὲ ἑξῆς ἀσύνδετον. **b**(BCE$^3$E$^4$) **T**

*ex.* | *Nic.* (?) | *ex.* **803—7.** οὐδ' ἐκπαιφάσσειν ⟨——— ἐνίκα⟩: †φανεροῦν ἑαυτόν, ἀλλ' ἐν ἀγγέλου σχήματι μένειν. | δύναται δὲ εἰς τὸ ἐκπαιφάσσειν (803) εἶναι στιγμή, εἶτα ἀπὸ ἄλλης ἀρχῆς ὅτε τ' ἤλυθεν ἐς Θήβας (cf. 803—4), ἐκέλευον μὲν ἐγὼ δαίνυσθαι, ὁ δὲ ἐπολέμει. **b** (BCE$^3$E$^4$) **T** | τὸ δὲ ἐκπαιφάσσειν γίνεται παρὰ τὸ **T** φῶ τὸ φαίνω φάσσω, ἀναδιπλασιασμὸς παφάσσω, πλεονασμὸς παιφάσσω, οἱονεὶ φανερῶ, ὡς πτῶ πταίνω παπταίνω. **b**(BCE$^3$E$^4$) **T**

*ex.* **806—7.** αὐτὰρ ὁ θυμὸν ἔχων κρατερόν ⟨——— ἐνίκα⟩: ὑπερβολή, εἴγε καὶ ὑπὸ τῆς πολεμικωτάτης θεοῦ κελεύεται ἡσυχάζειν, **b** (BCE$^3$E$^4$) **T** ὁ δὲ οὐκ εἴκει, ἀλλὰ πολεμεῖ, **T** ὡσὰν ἄμετρον ἔχων ὁρμήν. **b**(BCE$^3$E$^4$) **T**

*Ariston.* **807.** κούρους Καδμείων προκαλίζετο, πάντα δ' ἐνίκα: ὅτι Ζηνόδοτος ὑποτάσσει τούτῳ στίχον „ῥηϊδίως· τοίη οἱ ἐγὼν ἐπιτάρροθος ἦα" (= E 808). ἐναντιοῦται δέ· ἡ γὰρ Ἀθηνᾶ οὔ φησι παροτρύνειν, ἀλλὰ κωλύειν (cf. E 802 et 805). κατήχθη δὲ οὐ δεόντως ἐκ τοῦ Ἀγαμέμνονος λόγου (sc. Δ 390). **A**

**803—7** —μένειν (53) cf. Et. Gen. (AB) παιφάσσουσα· ... ἀντὶ τοῦ οὐκ εἴων ἐκφανῆ αὐτὸν καὶ περιφανῆ ποιεῖν τοῖς Θηβαίοις, ἀλλ' ἐν τῷ τοῦ ἀγγέλου σχήματι μένοντα (EM., μένοντι B, om. A) συνευωχεῖσθαι (B, συνεωχεῖσθαι A). αὐτὸς δὲ τῇ ἐμφύτῳ (ἐκφύτῳ A) αὐτοῦ ἀνδρείᾳ (ἀνδρίᾳ B) ἐκφερόμενος (συνεκφερόμενος A) προεκαλεῖτο τοὺς Θηβαίους, incertum an ex hyp. Iliad. γίνεται παρὰ τὸ φῶ (56) sq. fort. doctrina Orionis, cf. Or. 136, 30 et 125, 9 (Et. Gen. l. c., pars sec.) **807** ad Δ 390 (Ariston.). Vide ad B 318 (Ariston.), E 808 (Did.); cf. Roemer, Mus.

---

**48** sq. le. T supplevi, om. **b** (ubi sch. ad E 802 revocatum est) **49** αὐτὸν ἐγὼ **b** ὅμως ἐκεῖνος **b** **50** ἡνίκα — θήβας pone ἀπετρεπόμην (49) **b** τὸ δὲ ἑξῆς sc. E 805 (ut vid.) **52** le. T supplevi, ἐκπαιφάσσειν δὲ **b** (ubi verba ἐκπαιφάσσειν δὲ τὸ φανεροῦν ——— ἐπολέμει [55] in fine scholii, sc. post v. παπταίνω [58], posita sunt) φανερ. T τὸ φανεροῦν **b**, οὐ φανεροῦν Ma. **53** σχήμ. μένειν T μᾶλλον εἶναι σχήματι **b** **54** ὅτε τ' T τὸ ὅτ' **b** ἤλυθεν: — **b** **54** sq. ἐς θήβ. T, ὅτε ἦλθε φησὶν εἰς θήβας (initium scholii separati) **b** **55** ἐγὼ μὲν ἐκέλ. **b** ἐπολέμει: — CE$^3$E$^4$ **57** φάσσω καὶ ἀναδ: C ἀναδιπλασιασμῷ **b** πλεονασμῷ BE$^3$E$^4$ καὶ πλεονασμῷ C **59** le. T supplevi, om. **b** (qui sch. ad E 806 rettulisse vid.) **59** sq. ὑπερβολὴ δὲ coni. cum scholio praecedenti (v. ἐπολέμει) B **62** ὁρμήν T δύναμιν **b** **63** ὅτι A, ἡ διπλῆ (sc. περιεστιγμένη), ὅτι Vill. **65** ἐναντιοῦται δέ sc. τοῖς προκειμένοις, cf. sch. sequens **66** κατήχθη susp., μετήχθη Frdl. (recte ut vid.), μετηνέχθη Cob.

807—8. πάντα δ' ἐνίκα ⟨/ ῥηϊδίως ——— ἦα⟩: πάντα κοῦρον· ἢ τὰ ἀγωνίσματα. | οὐ καθόλου δὲ εὑρέθη ἐν τοῖς Ἀριστάρχου τὸ ῥηϊδίως· τοίη τοι ἐγὼν ἐπιτάρροθος ἦα (808)· ἐναντίον γάρ ἐστι τοῖς προκειμένοις. b(BCE$^3$E$^4$) T *ex.* | *Did.*

808. ⟨ῥηϊδίως· τοίη οἱ ἐγὼν ἐπιτάρροθος ἦα:⟩ τοῦτον τὸν στίχον οὐχ εὑρῆσθαι καθόλου φασὶν ἐν ταῖς Ἀριστάρχου· καὶ γὰρ ἀντιπράττει καὶ πρὸς τὸ „δαίνυσθαί μιν ἄνωγον ἐνὶ μεγάροισιν ἕκηλον" (E 805), καὶ οὐχ οἷόν τε ἐπιφέρειν „σοὶ δ' ἤτοι μὲν ἐγὼ παρά θ' ἵσταμαι ἠδὲ φυλάσσω" (E 809). A$^{int}$ *Did.(?) vel ex.(?)*

809. σοὶ δ' ἤ τοι μὲν ἐγὼ παρά θ' ἵσταμαι: ἐκ τῆς ἀντιπαραθέσεως ἤλεγξεν αὐτόν· b(BCE$^3$E$^4$) T φησὶ γὰρ „καί σε προφρονέως κέλομαι Τρώεσσι μάχεσθαι" (E 810). T *ex.*

811. κάματος πολυᾶϊξ ⟨γυῖα δέδυκεν⟩: ἐκ γὰρ πολλῆς κινήσεως ὁ κάματος. b(BCE$^3$E$^4$) T τὸ δὲ δέδυκεν ἀντὶ τοῦ ἐκάκωσεν. T *ex.*

812 *a*. ἤ νύ σέ που: ὁ ἢ ὀξύνεται· διαζευκτικὸς γάρ. φυλάσσεται δὲ ἡ ὀξεῖα διὰ τὸ ἐπιφερόμενον νύ ἐγκλιτικόν, ὃ καὶ αὐτὸ ἔσχεν ὀξεῖαν διὰ τὴν σέ ἐγκλιτικὴν οὖσαν. A *Hrd.*

Rhen. 66, 1911, 350 **807—8** — ἀγωνίσματα (69) cf. Eust. 610, 45 **808** A$^a$ cuius codicis verba digna sunt quae notentur: οὗτος ὁ στίχος οὐδαμῶς εὑρίσκεται ἐν τῷ Ἀριστάρχῳ· καὶ γὰρ — φυλάσσω, de verbis Didymi cf. Ludwich, A. H. T. 1, 261, 5 (sch. a m. prima codicis A scriptum esse censeo); Gnom. 37, 1965, 536. Vide ad E 807. Ceterum suspiceris sch. Aristonici exstitisse docentis versum (a Zenodoto additum) asterisco et obelo ornandum esse, vide ad Δ 390; cf. Roemer, Zen. 711, Wecklein, Zusätze 73 et Zen. Ar. 92. Aliter Valk II 493 **811** — κάματος$^2$ (81) cf. Eust. 611, 5 **812** diple ante versum in A, fort. erat sch. Aristonici de v. δέος (vide ad E 223); Wismeyer 19 *a* fort. excidit pars scholii Herodiani, cf. Ap. Dysc. pron. 39, 17: ... καὶ ἐπὶ μὲν συντάξεως „ἤ νύ σέ που δέος ἴσχει"· τὸ γὰρ ποῦ ἐγκλιτικὸν αἴτιον τοῦ τὴν σέ ὀξύνεσθαι, Hrd. 1, 551, 10 (= B. A. 1142): ὁ μὲν γὰρ ἤ ὀξύνεται διὰ τὸ νύ ἐγκλιτικόν, τὸ δὲ νύ διὰ τὴν ἀντωνυμίαν τὴν σέ, ἡ δὲ σέ ἀντωνυμία διὰ τὸν ποῦ παραπληρωματικὸν σύνδεσμον, ad Λ 719 *a*; Ap. Dysc. de coni. 249, 18, Hrd. 1, 563. 12; Beiträge 366. 400. At vide sch. α 62. 170 ὁ ἤ (83) sq. Ge (fort. ex h) διαζευκτικὸς (83) ad E 885—7. Z 438—9. K 174, cf. sch. δ 546. ι 273. λ 403. 459 (Hrd.), Ap. Dysc. de coni. 216, 5. Vide ad Γ 239—40 (Hrd.) ἡ ὀξεῖα (84) ... ὀξεῖαν (84) ad Δ 539 *a*. Z 289. Λ 249. 719. N 15 *a*. O 165, cf. sch. ν 276. π 91, Ep. Hom. (An. Ox. 1, 323, 23, Et. Gud. 439, 46,

---

**68** le. T supplevi, om. b (ubi sch. ad E 807 revocatum est) **69** καθόλου δὲ οὐχ Wil., at cf. sch. E 808 ἐν τοῖς ἀριστ. T παρὰ ἀριστάρχῳ b **70** τοι om. E$^4$ ἐπιτάροθος T **72** le. add. Ldw. **77** τῆς T τῆς τοιαύτης b **78** ἐλέγχει b, fort. rectius **80** le. T supplevi, om. b **81** κάματος T κόπος b **84** ἐγκλ. ὄν, ὃ Ge **85** τὴν A τὸ Ge

*ex.* | *D* *b*. ἀκήριον: ἄψυχον, ἀσθενές. σημαίνει δὲ καὶ ὑγιὲς καὶ ἄνοσον καὶ ἀθάνατον, | νῦν δὲ **T** εἰς ἀψυχίαν ἄγον. **b**(BCE³E⁴) **T**

*x* **813.** ⟨ἔκγονος⟩: ὁ υἱός, ἔγγονος ὁ υἱωνός. **A**

*Ariston.* **814.** ⟨τὴν δ' ἀπαμειβόμενος προσέφη κρατερὸς Διομήδης:⟩ ὅτι ἔνιοι „τὴν δ' αὖτε προσέειπε ⟨* * *⟩". **A**^im^

*Did.* **818.** {ἀλλ' ἔτι} σῶν {μέμνημαι}: Ἀρίσταρχος „σέων" γράφει. **T**

*Hrd.* **824** *a*. μάχην ἀνὰ κοιρανέοντα: οἱ μὲν ἀνέστρεψαν, ἵνα γένηται ἀνὰ τὴν μάχην. Ἀρίσταρχος δὲ παρῃτήσατο τὴν ἀνά ἀναστρέψαι, ὁπότε μὴ σημαντικὴ εἴη τοῦ ἀνάστηθι, ἵνα μὴ συνεμπέσῃ τῷ „Ζεῦ ἄνα Δωδωναῖε" (Π 233). ἔστι δὲ καὶ νῦν ἐκεῖνον προσθεῖναι τὸν λόγον ὡς ὅτι ὅταν πρόθεσις ἀντὶ ἑτέρας προθέσεως παραλαμβάνηται, οὐκ ἀναστρέφεται, „ἀλλ' ὅδ' ἀνὴρ ἐθέλει περὶ πάντων ἔμμεναι" (Α 287), „θεῖναι Ἀθηναίης ἐπὶ γούνασι" (Ζ 92). οὕτως οὖν κἀνθάδε δύναται ἡ ἀνά ἀντὶ τῆς κατά. **A**

*D* *b*. μάχην ἀνὰ κοιρανέοντα: αἱ προθέσεις ἀντιπαραλαμβανόμεναι ἀλλήλων τοὺς οἰκείους τόνους τηροῦσιν. **T**

*D* τὸ ἀνά ἀντὶ τῆς κατά. **A**^im^

*ex.* **827.** μήτε σύ γ' Ἄρηα τό γε δείδιθι μήτε τιν' ἄλλον: οὐ καθολική, ἀλλὰ πρὸς τὸ παρὸν προτρεπτικὴ ἡ παραίνεσις. **b**(BCE³E⁴) **T**

EM. 638, 15) al. Vide ad E 252 *b* (Hrd.); Wackernagel II 1090 *b* — ἄνοσον (86) cf. Wilamowitz, Sapph. Sim. 273, 2; — ἀσθενές (86) cf. sch. Ap. Rh. 2, 197 **813** incertum an doctrina Ar. Byz., cf. Et. Gen. (AB) ἔγγονος καὶ ἔκγονος διαφέρουσι· ἔκγονος (καὶ ἔκγ. διαφ. ἔκγ. om. A) ὁ υἱός, ἔγγονος (B, ἔκγονος A) δὲ ὁ τοῦ υἱοῦ υἱός, ὃν Ὅμηρος υἱωνὸν καλεῖ· „υἱός θ' υἱωνός τε Διὸς νεφεληγερέταο" (ὃν sq. om. A; E 631), Et. Gud. 441, 4 Stef. (test.), sim. Amm. 161, Eran. 166, D, Eust. 611, 9; Dimpfl 36 **814** ad E 764 (Ariston.); cf. Ludwich, A. H. T. 1, 134 **824** *a* — τὴν μάχην (94) cf. Ap. S. 30, 21: . . . ἡ δὲ πρόθεσις κατὰ ἀναστροφὴν „γινώσκω γὰρ Ἄρηα μάχην ἄνα κοιρανέοντα" Ἀρίσταρχος (94) — Δωδωναῖε (1) ad E 332 *a*¹ (Hrd.), cf. Lehrs, Quaest. ep. 72; Wackernagel II 1195 ἀνάστηθι (95) cf. Ep. Hom. (An. Ox. 1, 51, 4); at vide D ad Γ 351, Ap. S. 30, 15 ἔστι δὲ (1) sq. ad A 258 *a*¹ (Hrd.) ἡ ἀνά ἀντὶ τῆς κατά (5) = D ap. De Marco I p. 379, cf. D ad A 10, Ap. S. 30, 16

---

**87** τὸ εἰς ἀψ. σε ἄγον φησίν **b**, fort. rectius **88** le. addidi (auctore Vill.) ὁ υἱός sq. a m. pr. in mg. exteriore scriptum **89** sq. le. add. Frdl. **90** ὅτι A, fort. ἡ διπλῆ, ὅτι lac. indic. Spitz. verbis supplens βοὴν ἀγαθὸς διομήδης cl. B 563 al. **91** (le.) ἀλλ' ἔτι et μέμνημαι auctore Bk. delevi **93** (le.) ἀνὰ κοιρ. Lehrs, ἀνακοιρανέοντα A **94** παρητήισατο A em. Vill. **8** τὸ] ἡ D **9** (le.) τό γε Ma., τόν γε (= T^cont^) T (le. om. **b**)

**830.** ⟨τύψον δὲ σχεδίην μηδ' ἅζεο θοῦρον Ἄρηα:⟩ ἐγγύθεν αὐτοῦ, πλησίον. οὕτως αὐτοῦ καταφρόνησον, μὴ μακρόθεν ἐπ' αὐτὸν βαλών. A[im] *D*

**831** *a.*[1] τυκτὸν κακόν: οὐ φυσικόν, ἀλλὰ κατ' ἐπιτήδευσιν. T *ex.*

*a.*[2] οὐ μόνον, φησί, φυσικόν, ἀλλὰ καὶ ἐπιτηδευτόν. b(BC E³E⁴)

*b.* ἀλλοπρόσαλ⟨λ⟩ον: σύνθετόν ἐστι· διὸ οὐ κατ' ἰδίαν ὁ τόνος τῆς πρώτης λέξεως λέγεται, ὁμοίως δὲ τῷ „ἀλλοθρόους" (α 183 al.), „ἀλλοειδέας" (cf. ν 194). A *Hrd.*

**832.** ⟨στεῦτ':⟩ πρὸς τὸ στεῦτο, ὅτι τὸ κατὰ διάνοιαν διωρίζετο ἡ λέξις σημαίνει. A[im] *Ariston.*

**834.** ⟨νῦν δὲ μετὰ Τρώεσσιν ὁμιλεῖ:⟩ ὅτι ἀντὶ τοῦ ἐν τοῖς Τρωσίν †ἐστι† μετὰ τῶν Τρώων. A[im] *Ariston.*

**836** *a.* ⟨πάλιν:⟩ ὅτι ἀντὶ τοῦ εἰς τοὐπίσω. A[im] *Ariston.*

*b.* ἐμμαπέως: συντόμως παρὰ τὸ μάρψαι, ἢ ἐρρωμένως. T *ex.*

**838—9.** ἐμμεμαυῖα ⟨θεὰ ——— ἄνδρα τ' ἄριστον⟩: ἀθετοῦνται στίχοι δύο, ὅτι οὐκ ἀναγκαῖοι καὶ γελοῖοι καί τι ἐναντίον ἔχοντες. τί γάρ, εἰ χείριστοι ἦσαν ταῖς ψυχαῖς, εὐειδεῖς δὲ καὶ εὔσαρκοι; A *Ariston.*

**830** D ap. De Marco I p. 379; sim. Ge: μὴ μακρόθεν αὐτὸν τρώσας, ἀλλ' ἐκ τοῦ σύνεγγυς. Vide ad Ο 386. Ρ 202 **831** *a* cf. D, sch. ρ 206, Ap. S. 156, 2 **832** ad Β 597 (Ariston.) διωρίζετο (21) = D **834** cf. Lehrs, Quaest. ep. 88 μετὰ τῶν Τρώων (24) cf. sch. Eur. Phoen. 1408 **836** *a* ad Β 276 *a* (Ariston.), cf. D. Vide ad Ε 257 *a* *b* aliter Philox. in sch. ξ 485; Or. 51, 14; Eust. 612, 42; cf. D **838—9** cf. D ap. De Marco I p. 379: βριθοσύνῃ· βάρει (= D ad Ε 839). | ἀθετοῦνται δὲ οἱ δύο· εἰ γὰρ ἐβάρησεν, κατέαξεν ἄν. εὔηθες δὲ καὶ τὸ „ἄνδρα τ' ἄριστον" (839)· βαρύνουσιν γὰρ οἱ μεγάλοι, ἀλλ' οὐχ (οὐχ De Marco, οὐκ cod.) οἱ ἄριστοι, fort. pars doctrinae Aristarcheae. Vide Antim.

---

**12** le. addidi (auctore Vill.) **12 sq.** ἐγγύθεν — πλησίον] ἐγγύθεν, ἐκ τοῦ πλησίου D **14** βάλλων D **16** φησὶ φυσ.] φυσικὸν κακὸν E⁴ **18** le. ἀλλοπρόσαλον: A suppl. Vill. **20** ἀλλοειδέα Hom. **21** le. addidi (auctore Vill.) πρὸς A, ἡ διπλῆ πρὸς Vill. **23** le. add. Frdl. ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **24** ἐστι A, οὐ Lehrs, recte ut vid. **25** le. add. Bk. ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **27** le. ἐμμεμαυῖα: (voce βριθοσύνη fort. a m. sec. subscripta) A suppl. Vill.

*ex.* **838.** μέγα δ' ἔβραχεν ἄξων: ἐμψύχως, ὡς καὶ ἐπὶ τοῦ „ἔκλαγξαν δ' ἄρ' ὀϊστοί" (Α 46). **b**(BCE$^3$) **T**

*Did.* **839.** ⟨ἄνδρα τ' ἄριστον:⟩ διὰ τοῦ δέ αἱ Ἀριστάρχου, „ἄνδρα δ' ἄριστον". **A**$^{im}$

*Ariston.* **842.** ἤτοι ὁ μὲν Περίφαντα ⟨πελώριον ἐξενάριζεν⟩: ὅτι ἀπὸ τῶν ἀνδρῶν σκυλεύοντα τὸν Ἄρη ποιεῖ, καὶ ὅτι τινὲς γράφουσιν „ἐξενάριξεν". συντελικὸν δὲ γίνεται, δεῖ δὲ παρατατικῶς· καὶ γὰρ ἐπιφέρει „τὸν μὲν Ἄρης ἐνάριζε μιαιφόνος" (Ε 844) ἀντὶ τοῦ ἀνῄρει. **A**

*ex.* **843.** Ὀχησίου: Ὀχήσιος υἱὸς Οἰνέως, ὡς Νίκανδρος ἐν τοῖς Αἰτωλικοῖς (fr. 8a, p. 130, 1). κατὰ Διομήδους οὖν ἡ τοῦ Ἄρεως πρᾶξις. **b**(BCE$^3$) **T**

*ex.* **845** *a.* δῦν' Ἄϊδος κυνέην: ἐπὶ τῷ πρὸ τῆς πληγῆς λαθεῖν. ἀμέλει μετὰ τὴν πληγὴν ὁρᾶται ὡς καὶ τὸν Ἄρεα λέγειν κατ' αὐτῆς πρὸς τὸν Δία (sc. Ε 875—84). **b**(BCE$^3$E$^4$) **T**

*ex. (?)* *b.* Ἄϊδος κυνέην: νέφος, δι' οὗ οἱ θεοὶ ἀλλήλοις ἀφανεῖς γίνονται. **A**$^{im}$

fr. 58 W., Anon. incred. XXI (p. 98) **838** fort. exstabat sch. Didymi de v. l. „πήδινος", EM. 669, 39: πηδάλιον· πῆδός ἐστιν εἶδος δένδρου, οἷον „μέγα δ' ἔβραχε πήδινος ἄξων". λέγεται οὖν πῆδος (an πηδὸς?) ἡ πλάτη διὰ τὸ ἐκ πήδου κατασκευάζεσθαι ξύλου (brevius Et. Gen. [AB] πηδάλιον· πηδὸς μὲν ἡ πλάτη διὰ τὸ ἐκ τοῦ πήδου κατασκευάσθαι [fort. κατεσκευάσθαι] ξύλου. ἐκ τούτου καὶ πηδάλιον. πῆδος δέ ἐστιν εἶδος δένδρου. ἢ παρὰ τὸ πηδᾶν ἐν τῇ ἁλί), incertum an partim quidem ex hyp. Iliad., cf. Eust. 613, 9: οἱ δὲ παλαιοὶ ἀντὶ τοῦ φήγινος „πήδινος" γράφουσιν εἰπόντες ὅτι πῆδος εἶδος ξύλου. ὅθεν καὶ πηδὸς ἡ πλάτη ὡς ἐκ τοιούτου ξύλου σκευασθεῖσα, He. s. πῆδος (an πηδός?)· τὸ πλατὺ τῆς κώπης, ἀπὸ τοῦ παίειν. οἱ δὲ πήδινον εἶναι ξύλον εὔθετον πρὸς τὴν τῆς κώπης κατασκευήν. γράφουσι δὲ καὶ ἐν ἐκείνῳ „μέγα δ' ἔβραχε πήδινος" **841** in A$^{cont}$ hunc versum sequitur v. E 846, scholio rec. a m. rec. in marg. interiore scripto verbis hisce: ἐν ἄλλῳ οὗτος ὁ στίχος μετὰ τέσσαρας στίχους κεῖται **842** — ποιεῖ (35) cf. Lehrs Ar.$^3$ 178 καὶ ὅτι (35) — ἐξενάριξεν (36) ad Λ 368 *b*; cf. Duentzer, Zen. 79 δεῖ δὲ παρατατικῶς (36) ad N 443 *b*. O 240 (Did.) **843** cf. Eust. 613, 44 **845** *b* cf. Eust. 613, 24; sim. Diog. ap. He. α 1756; D, Et.

---

**30** le. T, μέγα δ' ἔβραχε ἄ. V, om. **b**; fort. μέγα δ' ἔβραχε φήγινος ἄξων (ut Hom.) ἐμψύχως — τοῦ T ἐμψύχως τὸ ἔβραχεν, ὡς τὸ **b** **32** le. add. Vill. **34** le. ἤτοι ὁ μὲν περὶ φάντα: A em. et suppl. Vill. ὅτι A, ἡ (δὲ) διπλῆ, ὅτι Vill. **38** οἰνέως υἱὸς ὥς φησι **b** **39** sq. ἡ — πρᾶξις T καὶ αὕτη τοῦ ἄρεως (ἄρεος C) πρᾶξις **b** **41** τῷ] τὸ C **42** sq. λέγειν post δία **b**

**849.** ἰθὺς Διομήδεος: ὡς „εὐθὺ τῆς σωτηρίας" (Ar. pac. 301). **T** *ex.*

**850—5.** οἱ δ' ὅτε δὴ σχεδὸν ⟨——— Διομήδης⟩: δύναται μὲν *ex.* Ἄρει μονομαχεῖν Ἀθηνᾶ, φυλάσσει δὲ τὸν πόλεμον εἰς ἄλλον καιρὸν (sc. Φ 391—414) ὁ ποιητής. **b**(BCE$^3$E$^4$) **T**

**851.** ὠρέξαθ' ὑπὲρ ζυγόν: τινὲς ἀντὶ τῆς ὑπό, ἵνα λαθὼν αὐ- *ex.* τὸν τρώσῃ. **b**(BCE$^3$E$^4$) **T**

**852.** ⟨ἐλέσθαι:⟩ γράφεται „ὀλέσσαι". **A**$^{im}$ *Did.(?)*

**856** *a.* ἔγχεϊ {χαλκείῳ}: εἴρηται περὶ τῶν τοιούτων δοτικῶν, *Hrd.* πότε κατὰ διάστασιν, ὡς νῦν, καὶ πότε κατὰ συναλιφήν, καὶ ὅτι τὸ μέτρον πολλάκις αἴτιον· καὶ τὰ ἀντικείμενα, καίτοι γε μέτρου μὴ ἐμποδίζοντος, ὡς τὸ „πλήθει πρόσθε βαλόντες" (Ψ 639). **A**

*b.* ἐπέρεισε δὲ Παλλὰς Ἀθήνη: μόνον ὁρμᾶται {διομή- *ex.* δης} καὶ **b**(BCE$^3$E$^4$) μόνον ὄνομα τρώσεως ἔχει ὁ Διομήδης. δύο οὖν παρίστησι, καὶ τοὺς ἀσθενεῖς τῶν κρειττόνων ποιῶν κρατεῖν κατὰ προστασίαν θεῶν καὶ τοὺς ἀτακτοῦντας κολάζων. **b**(BCE$^3$E$^4$) **T**

**857** *a.* νείατον ἐς κενεῶνα: κατὰ τὸ ἔσχατον τῆς λαγόνος ἤτοι *ex.* τὸ ἐνδότατον. **b**(BCE$^3$E$^4$) εἰ οὖν ἑπταπέλεθρος ὁ Ἄρης (cf. Φ 407), πῶς φθάνει τὸ δόρυ Διομήδους τρία πλέθρα; ὅτι νῦν ἀνδρὶ εἴκασται· „καὶ νῦν οἱ πάρα κεῖνος Ἄρης βροτῷ ἀνδρὶ ἐοικώς" (Ε 604). **b**(BCE$^3$E$^4$) **T**

*b.* νείατον ἐς κενεῶνα, ὅθι ζωννύσκετο μίτρην: ὅτι *Ariston.* | *Did.* κατὰ τὰ κοῖλα μέρη ἐζώννυντο τὴν μίτραν· καὶ ἔστιν διδασκαλικὸς ὁ τόπος. | ὁ δὲ Ἀρίσταρχος „μίτρῃ" κατὰ δοτικήν. ἐν δέ τισι τῶν ὑπομνημάτων „ὅθι †στελέσκετο μίτρῃ". **A**

Gen. (B, deest A) Ἄϊδος κυνέην **849** cf. sch. Eur. Hipp. 1197; Amm. 202 **851** — ὑπό (50) ad Z 15. Λ 748. Ξ 32. O 225. Π 1. 27. T 93. X 97 (ex.), vide ad Γ 460 (Ariston.); cf. D ad E 865 al. **856** *a* ad Λ 297 *b* (Hrd.), cf. Ep. Hom. (An. Par. 3, 314, 30, An. Ox. 1, 22, 6, Et. Gud. 185, 1 Stef., EM. 136, 12) εἴρηται (53) fort. in libro qui inscribebatur Π. παθῶν, cf. Hrd. 2, 310, 21 **857** *a* — ἐνδότατον (62) cf. D, D ad E 284, Or. 79, 16 ἔσχατον (61) ad I 153 (Hrd.) εἰ οὖν (62) sq. vide ad Φ 407 (ex.) *b* (Did.) et *c*

---

**47** le. T supplevi, om. **b** (scholio relato ad v. E 853 et pone sch. E 851 posito) δύναται μὲν **b** δυναμένη T **48** sq. ἄλλον — ποιητής T, ἕτερον ὁ ποιητὴς καιρόν **b** **50** sq. ἵνα τρώσῃ αὐτὸν λαθὼν **b** **52** le. (= A$^{cont}$) addidi **53** (le.) χαλκ. del. Bk. εἴρηται cf. test. (scholii initium fort. mutilatum) **54** πότε$^1$ Lehrs, ποτὲ A, ὅτι ποτὲ Bk. πότε$^2$ Lehrs, ποτὲ A **56** τὸ Bk., τῶι A **57** le. T, om. **b** **57** sq. διομήδης delevi **58** ὄν. — διομ. T ἔχει τρώσεως ὄνομα **b** **59** παρίστ. **b** ποιεῖ T **59** sq. κατὰ πρ. θεῶν T διὰ προστασίας θεοῦ **b** **61** le. T, om. **b** κατὰ τὸ ἔσχ.] εἰς τὸ ἔσχατον μέρος E$^4$ **62** οὖν om. T ἑπτάπλεθρος T **63** φθάνει (Bk., φθάνω T) — πλέθρα T, τὸ δόρυ διομήδους (C, τὸ δ. διομήδεος BE$^3$, τὸ διομήδους δόρυ E$^4$) τρῶσαι αὐτὸν δύναται κατὰ κενεῶνος **b** **64** καὶ — ἄρης T πάρα γάρ οἱ κεῖνος ἄρης φησὶ **b** **66** le. Vill., νειατὸν ἐς κενεῶνα: ὅθι ζωννυέσκετο μίτρηι: A ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **67** ἐζωννύοντο Lehrs **69** στελλέσκετο Bk.

*Did.* *c.*[1] ὅθι ζων⟨ν⟩ύσκετο μίτρη⟨ν⟩: αἱ Ἀριστάρχου κατὰ δοτικὴν †τὸ μίτρη†. ἔν τισι δὲ τῶν ὑπομνημάτων „ὅθι †τελέσκετο μίτρη†“. **T**

*Did.+rec.(?)* *c.*[2] τὸ δὲ μίτρην κατὰ δοτικὴν Ἀρίσταρχος, Ἡρωδιανὸς δὲ μετὰ τοῦ $\overline{\nu}$, ὃ καὶ βέλτιον. **b**(BCE³E⁴)

*Hrd.* **862.** ⟨τοὺς δ᾽ ἄρ᾽ ὑπὸ τρόμος εἷλεν:⟩ βαρυτονητέον τὴν ὑπό· παρέλκεται γάρ. **A**[im]

*ex.(?)* **863.** ἔβραχ᾽ ⟨Ἄρης, ἆτος πολέμοιο⟩: ἐψόφησεν, ἐφώνησεν. ἆτος δὲ ὁ βλαπτικός. **T**

*Ariston.* **864.** οἵη δ᾽ ἐκ νεφέων ἐρεβεννὴ ⟨φαίνεται ἀήρ⟩: πρὸς τὴν πλοκὴν τοῦ ἑξῆς λόγου, οἷα φαίνεται ἀὴρ ἐκ νεφέων δυσαέος ἀνέμου ὀρνυμένου ἐκ καύματος. **A**

*D | D vel ex.* **864—5.** οἵη δ᾽ ἐκ νεφέων ἐρεβεννὴ φαίνεται ἀήρ ⟨/ ——— ὀρνυμένοιο⟩: ὅταν γὰρ καυματώδους οὔσης τῆς ἡμέρας πρὸς ἀνατολὴν ἢ δύσιν ὁ ἀὴρ μέλας δοκῇ, προσδοκῶσιν ἄνεμον. τὸ δὲ ἑξῆς οὕτως· ἐκ καύματος ἀνέμου ὁρμήσαντος δυσαέος, | ὅ ἐστι σφοδροῦ. **b**(BCE³E⁴) **T**

*ex.* **865.** καύματος ἐξ ἀνέμοιο: γίνονται γὰρ καὶ καυσωνικαὶ πνοαὶ κατὰ τὰς ἐαρινὰς καὶ θερινὰς ὥρας, ὅτε νότοι πνέουσιν. **b**(BCE³E⁴) **T**

ad Ξ 181 (Did.) *b* vide ad Π 419 *c* (ex.); — τόπος (68) vide ad Λ 234 *a*; cf. Lehrs Ar.³ 123 **860** fort. exstabat nota Didymi referentis Aristophanem Byz. ὅσσον δ᾽ ἐννεάχιλοι scripsisse, ad Ξ 148 *a*. Didymus praeterea annotavisse videtur quosdam scripsisse ἐννεάχειλοι et δεκάχειλοι, cf. Eust. 614, 45: . . . ἐὰν δὲ διὰ διφθόγγου κατά τινας γράφεται, οὐ μόνον ἀδιανόητόν ἐστιν, ἀλλὰ καὶ πάνυ σμικροπρεπές· τί γὰρ μέγα, ἐὰν ἐννέα χειλέων ἢ δέκα φωνὴν ὁ τοιοῦτος Ἄρης ἀφίησιν, ὅπου γε ὁ θνητὸς Στέντωρ αὐδᾶν ἔχει, ὅσον ἄλλοι πεντήκοντα; Vide ad Ξ 148 *b* (Did.?) **862** ad Δ 423 (test.), Ε 178. Ζ 357. Ψ 561, cf. sch. δ 386. ε 40 (Hrd.), Ap. S. 160, 27; Beiträge 398 **863** — ἐφώνησεν (77) cf. D ad Δ 420 al. ἐψόφησεν (77) = D ad Φ 9 ἆτος δὲ (78) sq. aliter D, D ad Ε 388 **864** diple ante versum 864 (non ante Ε 865) in A **864—5** cf. D ap. De Marco I p. 379—80; — ἄνεμον (84) cf. Eust. 615, 29 **865** cf. Ecl.

**70** le. ὅτι ζωνύσκετο μίτρη: T suppl. Ma. (μίτρην iam V) **71** τὸ μίτρη] aut τὸ μίτρην aut μίτρῃ **71** sq. τελέσκετο μ. cf. sch. *b* **73** sq. τὸ δὲ sq. pone sch. Ε 857 *a* (coni. cum v. ἐοικώς) **b** ἡρωδιανὸς susp. **75** le. addidi (auctore Vill.) **77** le. T supplevi **79** le. A suppl. Vill., φαίν. ἀήρ / καύματος — ὀρνυμένοιο add. Frdl. πρὸς A, fort. ἡ διπλῆ πρὸς **80** οἷα Nickau, οἱα A, οἷος Frdl. **82** sq. le. T supplevi, om. **b** (ubi sch. ad Ε 865 revocatum est) **84** ὁ om. E⁴T **85** οὕτως om. D ὁρμήσοντος BE³T **87** sq. γίνονται sq. cum scholio praecedenti coni. **b** **88** καὶ θεριν. om. T

866—7. τοῖος Τυδείδη ⟨——— / φαίνεθ'⟩: γραφικῶς ἔχει Διομήδης τὴν ἄνοδον θεώμενος Ἄρεος. T *ex.*

867 *a.* φαίνεθ' ὁμοῦ νεφέεσσιν ⟨ἰὼν εἰς οὐρανὸν εὐρύν⟩: διασταλτέον ἐπὶ τὸ νεφέεσσιν· οὐ γὰρ σὺν τοῖς νέφεσιν εἰς οὐρανὸν ἀνῄει, ἀλλὰ κατ' αὐτὰ γενόμενος ἑωρᾶτο, ἐξ οὗ τὸ τάχος παρίστησι καὶ τοῦ θεοῦ τὴν δύναμιν. δύναται δὲ ὅλος συναπτόμενος ὁ στίχος δηλοῦν ὅτι νέφεσι κεκαλυμμένος ἀπὸ γῆς ἀνήρχετο. A *Nic.*

*b.* ὁμοῦ νεφέεσσιν ⟨ἰὼν εἰς οὐρανὸν εὐρύν⟩: εἰς τὸ νεφέεσσιν διαστολή, ἵν' ᾖ ἐγγὺς τῶν νεφῶν. Δημοσθένης (or. 25, 51)· „Ἀθηναῖοι δέ εἰσιν ὁμοῦ δισμύριοι." οἱ δὲ συνάπτουσιν ὅλον, ἀντὶ τοῦ ὑπὸ νεφῶν κεκαλυμμένος καὶ ἀνιὼν εἰς οὐρανόν. b(BCE$^3$E$^4$) T *D*

870. ἄμβροτον αἷμα: οὐκέτι προσέθηκε τὸ „ἰχώρ" (E 340)· προεδίδαξε γὰρ ἡμᾶς (sc. E 340—2), τί ἐστιν ἰχώρ. b(BCE$^3$E$^4$) T *ex.*

871 *a.*$^1$ καί ῥ' ὀλοφυρόμενος: κυρίως ὁ μετὰ τίλσεως τριχῶν θρῆνος παρὰ τὸ ὀλόψαι. T *ex.*

*a.*$^2$ κυρίως ὀλοφυρμὸς ὁ μετὰ τίλσεως τριχῶν θρῆνος, παρὰ τὸ τὰς οὔλας, ὅ ἐστι τὰς τρίχας, φύρειν. b(BCE$^3$E$^4$)

872. {τάδε} καρτερὰ ἔργα: γράφεται „ἔργ' ἀΐδηλα", ὅ ἐστι φθοροποιά. T *Did.*

873. ῥίγιστα: κακά, ἄνομα. T *ex.*

874 *a.*$^1$ ⟨χάριν δ' ἄνδρεσσι:⟩ οὕτως Ἀρίσταρχος μετὰ τοῦ δέ, χάριν δ' ἄνδρεσσι. A$^{im}$ *Did.*

*a.*$^2$ Ἀρίσταρχος δὲ σὺν τῷ δέ γράφει. T

*b.* χάριν ἄνδρεσσι φέροντες: χαριζόμενοι ἀνθρώποις ἀλλήλους διατίθεμεν κακῶς, οὐχ ὑπ' ἀνθρώπων δὲ πάσχομεν· ἀσθενεῖς γὰρ οὗτοι. b(BCE$^3$E$^4$) T *ex.*

(An. Ox. 2, 454, 19), fort. Seleuc. (Reitzenstein, Gesch. 172) **870** cf. Eust. 616, 11 **871** ad Ψ 102 (ex.), cf. Or. 113, 19 (sim. Et. Gud. 426, 18, Or. Koes. 188, 3): ὀλοφυρόμενος· κυρίως τὸ μετὰ τιλμοῦ τῶν τριχῶν κλαίειν. Καλλίμαχός φησι (fr. 573)· „ὀλόψατο χαίτας", ἀντὶ τοῦ ἔτιλλεν (fort. ἔτιλεν), in sede scholiorum **872** ad E 757 *b* (Did.) **873** cf. D (φρικτά), sim. Et. Gen. (= EM. 704, 7) **874** *a* alii scripserunt χάριν ἄνδρεσσι *b* — ἀνθρώποις (17) cf. D

---

**89** le. T supplevi (le.) τυδείδης T em. V (om. v. τοῖος) **91** le. A suppl. Vill. **93** ἑορᾶτο A em. Vill. **1** le. T supplevi, om. b **2** νεφέεσσι BE$^3$E$^4$ νεφέεσι C δημοσθ. T καὶ δημοσθένης b **3** ἀθην. — δισμ.] εἰσὶν ὁμοῦ δισμύριοι πάντες ἀθηναῖοι Dem. **4** τοῦ om. T καλυπτόμενος b καὶ εἰς οὐρανὸν ἀνιών E$^4$ (= D) **5** le. scripsi (auctore Bk.), δεῖξε δ' ἄμβροτον αἷμα T, om. b **6** τί T ὁποῖόν τι BCE$^4$ ὁ ποιητὴς τί E$^3$ **11** (le.) τάδε del. Bk. **14** le. (= vulg.) addidi **16** ἀρίσταρχος δὲ sq. post sch. *b* (coni. cum v. οὗτοι) T, transposui **17** χαριζόμενοί φησιν ἀνθρ. b **18** δὲ om. T **18** sq. ἀσθ. γ. οὗτ. T, οὗτοι γὰρ ἀσθενεῖς πρὸς ἡμᾶς εἰσιν b (fort. rectius)

*Ariston.* 875 *a.* σοὶ πάντες μαχόμεσθα· ⟨σὺ γὰρ τέκες ἄφρονα κούρην⟩: ὅτι ἀντὶ τοῦ διὰ σέ, καὶ ὅτι ἐμφαίνει ὡς ἐκ μόνου τοῦ Διὸς γενομένης τῆς Ἀθηνᾶς. **A**

*Ariston.* | *ex.* *b.* σοὶ πάντες μαχόμεσθα: ἢ διὰ σέ, | ἢ σὺ πᾶσι πολέμιος εἶ ταύτην ἐπιτρέπων ἀδεῶς καθ' ἡμῶν. **b**(BCE³E⁴) **T**

*ex.* *c.* σὺ γὰρ τέκες: ἁπλοϊκῶς. καὶ ἐπὶ Ἡφαίστου „ἀλλὰ τοκῆε †δύο" (θ 312). **b**(BCE³E⁴) **T**

*D* 876 *a.*¹ ἀήσυλα: ἥδω ἥσω ἥσυλον καὶ ἀήσυλα, τὰ μὴ εὐφραίνοντα. **T**

*a.*² ἥδω ἥσω ἥσυλον καὶ ἀήσυλον. δηλοῖ δὲ τὰ μὴ τέρποντα καὶ ἥδοντα, μᾶλλον δὲ λυποῦντα. **b**(BCE³E⁴)

*ex.* 877—8. ἄλλοι μὲν γὰρ πάντες ⟨—— /⟩ σοί τ' ἐπιπείθονται: τῇ ἀντιπαραθέσει χαλεπωτέραν ἐποιήσατο τὴν κατηγορίαν. διὰ δὲ τοῦ πειθηνίου τοὺς ἄλλους θεοὺς ἐπάγεται. **b**(BCE³E⁴) **T**

*Ariston.* 878 *a.* σοί τ' ἐπιπείθονται ⟨καὶ δεδμήμεσθα ἕκαστος⟩: πρὸς τὸ σχῆμα· ἔδει γὰρ πειθόμεθα καὶ δεδμήμεθα ἕκαστος. **A**

*ex.* *b.* σοί τ' ἐπιπείθονται καὶ δεδμήμεσθα ἕκαστος: περὶ πρόσωπον τὸ σχῆμα, ὡς παρὰ Εὐριπίδῃ (Or. 1483)· „διαπρεπεῖς ἐγένοντο Φρύγες", **b**(BCE³E⁴) **T** ἕκαστος καλῶς μαχόμενος. **b** (BCE³E⁴)

875 *a* διὰ σέ (21) = D, cf. Eust. 616, 35; sch. ι 19. ν 5. τ 378 (Ariston.); Friedl., Ariston. 25; vide sch. (VW) Soph. El. 289 (ed. F. Benedetti in commentario, qui inscribitur Bolletino del Comitato per la preparazione della Edizione Nazionale dei Classici Greci e Latini [Accademia Nazionale dei Lincei] N. S. XV [Romae 1967] 140); sch. (gloss.) Eur. Tro. 276; Lesbon. 47, 18 καὶ ὅτι ἐμφαίνει (21) sq. cf. D ad Θ 31; Serv. Verg. B. 2, 61; sch. Bern. Verg. G. 1, 18 al. 876 T = D, cf. Eust. 617, 25 877—8 τοὺς ἄλλους θεοὺς (33) at cf. Ap. Dysc. synt. 55, 17 878 *a* et *b* ad Z 71 (Did.), cf. Anon. sol. 199; Lesbon. 51, 3; Hrd. rhet. fig. 95, 30; Polyb. barb. 288, 13; [Hrd.] sol. 302, 13; aliter Eust. 617, 1. Vide ad O 256—7 (ex.),

**20** sq. le. A suppl. Vill. **21** ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **23** σὺ πᾶσι] πᾶσι σὺ C **24** καθ' ἡμῶν ἀδεῶς **b** **25** τὸ δὲ τέκες ἁπλοϊκῶς ὡς ἐπὶ (coni. cum scholio praecedenti, v. ἀδεῶς) in **b** **26** δύω BE³E⁴ (= Hom.) **27** ἐκ τοῦ ἥδω D ἥσυλον T ἥσυλα D **27** sq. τὰ μὴ πρέποντα ἢ μὴ εὐφραίνοντα D **29** ἐκ τοῦ ἥδω E⁴ (= D) **31** sq. le. T suppl. Ma., om. **b** (qui sch. ad E 877 revocavit) **32** παραθέσει **b** (auctor antiparathesin dicit ἄλλοι μὲν — ταύτην δέ; at cf. test.) **33** πιθηνίου BE³E⁴ τοὺς T καὶ τοὺς **b** **34** le. A suppl. Vill. **35** πρὸς A, fort. ἡ διπλῆ πρὸς δεδμήμεθα Bk., δεδυμήμεθα A, δεδμήμεσθα Vill. **36** le. Vill., καὶ δεδμήμεθα ἕκαστος T, om. **b** **37** παρὰ εὐρ. T τὸ **b** **38** ἐγέν.] τότ' ἐγένοντο Eur. φρύγ.] φρύγες, ὅσον ἄρεως ἀλκὰν ἥσσονες ἑλλάδος ἐγενόμεθ' αἰχμᾶς (= Eur. Or. 1484—5) add. Ma. καλῶς] fort. κακῶς

**879.** προτιβάλλεαι: ὑπερβάλλεις, νικᾷς, ὅπως ὑπακούοι σοι. b(BCE$^3$E$^4$) T *ex.*

**880.** ⟨ἀλλ' ἀνιεῖς,⟩ ἐπεὶ αὐτὸς ἐγείναο παῖδ' ἀΐδηλον: τοῦτο δέδωκεν ἀφορμὴν Ἡσιόδῳ εἰπεῖν „αὐτὸς δ' ἐκ κεφαλῆς" (th. 924)· νῦν γὰρ τὸ αὐτός ἀντὶ τοῦ μόνος φησίν, ὅπερ οὐκ οἶδεν ὁ ποιητής, ἀλλὰ λέγει ἀνίεις αὐτήν, ἐπεὶ ἀΐδηλον σὺ αὐτὴν ἐγέννησας, ὅ ἐστι φθοροποιόν. b(BCE$^3$E$^4$) T *ex.*

**881** *a.*[1] ὑπέρθυμον {διομήδεα}: αἱ Ἀριστάρχου „ὑπερφίαλον", οὐχ ὑπέρθυμον, ὥσπερ αἱ δημώδεις. A *Did.*

*a.*[2] Ἀρίσταρχος „ὑπερφίαλον". T$^{il}$

**882.** ⟨μαργαίνειν:⟩ ἐνθουσιᾶν, μαίνεσθαι. T$^{il}$ *D*

**883.** Κύπριδα μὲν πρῶτον: ῥητορικὸν τὸ μὴ ἐκ τῶν οἰκείων ἄρχεσθαι κατηγοριῶν, ἀλλ' ἐξ ἑτέρων ὡμολογημένων. A b(BCE$^3$E$^4$) T *ex.*

**884.** ἐπέσσυτο δαίμονι ἶσος: ἐπιφθόνως καὶ κινητικῶς τοῦτό φησιν· ἢ ἀλαζονικῶς, ἵνα μὴ δοκῇ ὑπὸ τοῦ τυχόντος τετρῶσθαι, b BCE$^3$E$^4$) T ὡς καὶ ἑξῆς „ἀλλά μ' ὑπήνεικαν ταχέες πόδες" (E 885). T *ex.*

**885—7** *a.* ἢ ——— ἤ: διαζευκτικοὶ ἀμφότεροι· διὸ ὀξύνονται διὰ τὰ ἐπιφερόμενα ἐγκλιτικά, χωρὶς εἰ μὴ ὁ δεύτερος βεβαιωτικός· καὶ γὰρ τοῦτο μᾶλλον αἰτεῖ ἡ διάνοια. A *Hrd.*

P 250 (Ariston.) **879** cf. D, Ap. S. 136, 14 (Apion. fr. 110 B.); aliter sch. Ap. Rh. 4, 1045—46 *b*; Wifstrand, Krit. u. exeg. Bemerkungen zu Ap. Rh., Kungl. hum. Vetenskapssamf. Årsberättelse 1928—9, III (Lundii 1929) 103 **880** ὅπερ οὐκ οἶδεν ὁ ποιητής (44) at vide ad Θ 99 (Ariston.); Lehrs Ar.$^3$ 178; Roemer, Ar. 147 ὅ ἐστι φθοροπ. (45) cf. D **881** ὑπερφίαλον (47 et 49) ad O 94 *b*, cf. Lehrs Ar.$^3$ 145; Valk II 609 **882** cf. derivationem (fort. Orionis) ap. Eust. 617, 32. Vide Or. 97, 18 **883** Ge: ⟨καρπῷ·⟩ (add. Nicole) λέγει δὲ τὸν κατάξηρον τόπον (pone paraphrasim), originis incertae, fort. sch. rec.; cf. D ad N 409 **885—7** *a* ad Z 438—9 (Hrd.), K 174 (T), cf. sch. δ 546. ι 273. λ 459; — ἐγκλιτικά (59) ad E 812 *a* (Hrd.) διὰ τὰ ἐπιφερόμενα ἐγκλιτικά (58) ad

---

**40** le. Bk., οὔτ' ἐπεὶ προτιβάλλεαι T, om. b ὑπακούῃ Ma. **42** le. T supplevi, om. b **43** sq. εἰπεῖν — φησίν T τὸ αὐτός ἀντὶ τοῦ μόνος λαβεῖν b **44** ἀντὶ] οὐκ ἀντὶ Roe. (Ar. 159), at auctor Hesiodum dicit **44** sq. ὅπερ — αὐτήν om. C (supra ἐπεὶ add. m. sec.) ὁ ποιητὴς οὐκ οἶδεν BE$^3$E$^4$ **45** ἀνίεις sic codd. ἀΐδ. σὺ T καὶ σὺ ἀΐδηλον b **45** sq. ὅ ἐστι φθορ. T ἤτοι ἐπιβλαβῆ b (fort. ex D) **47** (le.) διομήδεα delevi **50** le. add. V μαίν. ἐνθουσ. D **51** le. AT, om. b **52** ὡμολογουμένων C **54** καὶ om. b, fort. recte **55** ἢ ἀλαζ. om. E$^4$ **56** μ' Ma., μοι T **58** le. Bk., ἤ τέ κε δηρόν: ἤ κεν ζῶς: A, fort. ἤ τέ κε — ἤ κε

*ex.* *b.* ἦ τέ κε δηρόν ⟨——— τυπῇσι⟩: καὶ πῶς ἂν ὁ Ἄρης ἔπασχε δεινὰ ἐν τοῖς νεκροῖς κείμενος; εἰ μὲν γὰρ ζῶν, πῶς ἐπιφέρει διαστέλλων ἤ κεν ζὼς ἀμενηνὸς ἔα (887); εἰ δὲ καὶ τεθνηκώς, πῶς θεὸς ἀποθανεῖν ἠδύνατο, ὡς καὶ ἀποθανὼν ἔπασχε δεινά; λύσις γὰρ τῶν δεινῶν ὁ θάνατος. ῥητέον οὖν ὅτι ὁ δεύτερος ἤ ἀντὶ τοῦ εἰ συναπτικοῦ κεῖται, ὡς τὸ „ὄφρα καὶ Ἕκτωρ / εἴσεται, ἦ καὶ ἐμὸν δόρυ μαίνεται ἐν παλάμῃσιν" (Θ 110—1). καὶ ὁ λόγος γίνεται· δεινὰ ἂν ἔπασχον ἐν τοῖς νεκροῖς κείμενος, εἰ ζῶν ἀσθενὴς διὰ τὸ τραῦμα ἦν. **b**(BCE³E⁴) T

*ex.* **886.** ⟨αὐτοῦ πήματ' ἔπασχον:⟩ αὐτόθι δεινὰ ἂν ἔπασχον. T^il

*Hrd.* 887 *a.*¹ ζώς: τὸ ζὼς ὁ Ἀσκαλωνίτης (p. 47 B.) ἀξιοῖ περισπᾶν, οὐχ ὑγιῶς· μόνον γὰρ τὸ σῶς ἐστι περισπώμενον μονοσύλλαβον εἰς ῶς λῆγον, ἀρσενικόν, γεγονὸς ἢ ἐκ τοῦ σόος, ὡς οἴεται Φιλόξενος, ἢ ἐκ τοῦ σάος, ὅπερ κρεῖττον. εἰ δὲ ὁ Ἀσκαλωνίτης †ἀξιοῖ αὐτὸ† ἐκ τοῦ ζωός, ἴστω ὅτι τὸ μὲν προκείμενον βαρύτονον ἦν, ἔνθεν περιεσπᾶτο τὸ σῶς· τὸ δὲ ζώς ἐξ ὀξυνομένου, ὥς φησι, τοῦ ζωός †ἄμεινον δεῖ† ὀξύνειν, ἐγκλίνειν δὲ ἐν ταύτῃ τῇ ἀναγνώσει. ἡ μέντοι κλίσις αὐτοῦ

Z 260 (Hrd.)  *b* brevius Eust. 618, 7  ἀντὶ τοῦ εἰ (65) ad Γ 46—52 (Nic.). Vide ad Θ 111  886 fort. exstabat sch. Aristonici (?) de v. νεκάδεσσι, cf. Et. Gen. (AB): νεκάδες· Ὅμηρος εἴωθε λέγειν (sc. „νεκάδας") τὰς τῶν νεκρῶν τάξεις, παρὰ τὸ (fort. τοὺς) νέκυας νεκυάδας τινὰς οὔσας. οἱ δὲ νεώτεροι καὶ τὰς τῶν ὁπλιτῶν τάξεις οὕτω καλοῦσι, παρὰ τὸ νεῖκος, αἱ εἰς πόλεμον ἡτοιμασμέναι· ἢ ἀχώριστοι· τὸ γὰρ νε στερητικόν ἐστι, καὶ †καδεῖν (an κεκαδεῖν?) τὸ χωρῆσαι, fort. ex hyp. Iliad.; He. ν 254: νεκάδεσσι· νεκυάδεσι, ταῖς τῶν νεκρῶν τάξεσι, νεκροῖς. ἐλέγχεται δὲ ὁ Καλλίμαχος νεκάδας ψιλῶς τὰς τάξεις νενοηκώς· „ἡδομένη νεκάδεσσιν †ἐπισκυρῶν† πολέμοιο" (fr. 567); D. Vide ad O 118 (T)  887 *a/b* Et. Gen. (AB) ζώς: ἀξιοῖ ὁ (ὁ om. A) Ἀσκαλωνίτης τοῦτο περισπᾶν, οὐχ (οὐχ A, ὡς B) ὑγιῶς· μόνον γάρ ἐστι τὸ σῶς περισπώμενον μονοσύλλαβον ἀρσενικὸν εἰς ῶς λῆγον, εἴτε ἀπὸ τοῦ σῶος γέγονεν εἴτε (εἴτε A, ἢ B) ἀπὸ τοῦ σάος· ὅπερ ἄμεινον. εἰ δὲ ἐκ τοῦ ζωός ἀξιοῖ αὐτὸ περισπᾶν (περισπᾶν cp. AB), ἴστω ὅτι τὰ ἐκ βαρείας καὶ ὀξείας πάλιν βαρύνονται. εἰ μέντοι κλίνει αὐτό, ἰσοσύλλαβον εὑρεθήσεται. γίνεται δὲ ἐκ τοῦ ζώω ζωὸς καὶ ζώς, fort. ex hyp. Iliad., cf. Eust. 618, 9: τὸ δὲ ζώς ἐκ τοῦ ζωός γίνεται κατὰ συναίρεσιν, οἷον „ζωὸς ἔην" (M 10) καὶ „Ἄδρηστον ζωὸν ἕλε" (cf. Z 37—8)· διὸ καὶ ὀξύνεται ὡς ἐκ βαρείας καὶ ὀξείας συναιρεθέν, εἰ καὶ ὁ Ἀσκαλωνίτης αὐτὸ περιέσπα, καθά φησιν Ἀπίων καὶ Ἡρόδωρος. καὶ οὐκ ἔστιν ὅμοιον τῷ σῶς ὁ ὑγιής· ἐκεῖνο γὰρ ἐκ τοῦ σάος ἢ σόος περιέσπασται, ὡς ἐξ ὀξείας καὶ βαρείας κραθέν  *a*¹ μόνον γὰρ (72) — ἀρσενικόν (73) cf. Choer. in Et. Gen. (AB) σῷος  σόος (73) vel σάος (74) at cf. Hrd. 2, 420, 25  σάος (74) cf. Io. Alex. 7, 31 (Hrd. 2, 317, 25)  κλίσις (77) sq.

---

**61** le. ἦτε κε δηρόν T supplevi, om. **b** (scholio ad v. E 886 relato)  **63** ἤ κεν] εἴ κεν BE³E⁴  ἔα om. **b**  **64** θεὸς om. **b**, fort. recte  ἔπασχε T ἔτι ἔπασχε **b**  **65** οὖν T δὲ **b**  **67** ἐν παλάμησι E⁴, om. T  γίνεται T οὕτως **b**  **70** le. add. Li V  **71** le. Lehrs, ζῶς: A  **72** ὑγειῶς A em. Vill.  **74** ἀξιοῖ αὐτὸ A ἀξιοῖ αὐτὸ περισπᾶν Et. Gen. (recte ut vid.), περισπώμενον ἀξιοῖ αὐτὸ Lehrs  **75** ἦν Bk., ἢν A  **76** ἄμ. δὲ A, γενόμενον δεῖ Lehrs, exspectes συναιρούμενον δεῖ (cf. sch. *b*)  **77** ἀναγνώ-

ἰσοσύλλαβος εὑρέθη. **A**

*a.*[2] ὀξυντέον τὸ ζώς. **T**[il]

*b.* ζώς: ἡ γενικὴ ζωοῦ· ἀπὸ γὰρ τοῦ ζωός ἐστιν ἡ συναίρεσις. **b**(BCE[3]) **T** *D*

*c.* ⟨ἀμενηνός:⟩ ἀσθενής. **T**[il] *D*

*d.* {ἀμενηνὸς} ἔα: τὸ ἔα Ἰωνικόν ἐστιν, ἐκ τοῦ ἦν γεγονός· διὸ συσταλτέον τὸ ἄλφα ὁμοίως τῷ „τοῖος ἔα ἐν πολέμῳ" (ξ 222)· ὃ καὶ διὰ τοῦ η λέγεται „†τοῖς ἦα φιλοπτόλεμος†". τὸ δὲ μέτρον οὐ κωλύεται· ἀπήρτισε γὰρ εἰς μέρος λόγου καὶ ἐπέχει τόπον μακρᾶς ὁμοίως τῷ „ἀμφηρεφέα τε φαρέτρην" (Α 45). **A** *Hrd.*

*e.* τυπῆσιν: ὡς „πληγῆσιν" (Β 264 al.). δοκεῖ δὲ ὡς πρὸς τὴν ἀναλογίαν σημειοῦσθαι· τὰ γὰρ εἰς πη μονογενῆ δισύλλαβα φιλεῖ βαρύνεσθαι. εἰ δέ τι ὀξύνεται, ἔχει πρὸ τέλους ἢ ι ἢ ο. πῶς οὖν τὸ τυπῆ μόνον ὀξυνόμενον τῷ υ παρελήχθη; **A** *Hrd.*

890—1. ἔχθιστος δέ μοί ἐσσι ⟨θεῶν, οἳ Ὄλυμπον ἔχουσιν· /⟩ αἰεὶ γάρ τοι ἔρις ⟨τε⟩ φίλη: ἀπαλλάσσει ἡμᾶς τῶν τοιούτων ὁ ποιητής, καὶ †πάτριόν τι† μεμισῆσθαι διὰ ταῦτα λέγων τῷ Διὶ τὸν Ἄρεα. ἄχθεται δὲ αὐτῷ οὐχ ὅτι ἔριδι χαίρει — ἐπεὶ αὐτὸς γελᾷ, „ὅθ' ὁρᾶτο θεοὺς ἔριδι ξυνιόντας" (Φ 390) —, ἀλλ' ὅτι ἀεὶ καὶ πάνυ. καὶ οἰνόφλυξ λέγεται ὁ οἴνῳ χαίρων **b**(BCE[3]E[4]) **T** καὶ σφόδρα καὶ ἀεί. τινὲς δέ, ἐπεὶ ὑποκατιὼν ὁ Ἄρης ἐπισκοτεῖ τῷ ἀστέρι τοῦ Διός. **T** *ex.*

cf. Choer. Th. 1, 239, 28. 247, 31 *b* cf. Choer. Th. 1, 247, 20 *d* multo brevius Eust. 618, 17; vide ad A 45 *b* (test.); Call. fr. 384, 32 τὸ ἔα (83) — γεγονός (83) cf. Choer. Th. 2, 87, 28. 118, 5. 119, 10. 340, 2; aliter sch. Ar. Plut. 77 τὸ δὲ μέτρον (85) sq. ad B 518 (Hrd.) *e* cf. Arcad. 130, 2 890—1 ἄχθεται (95) sq. cf. Porph. 1, 255, 1. Vide ad Φ 389 (ex.) ἔριδι χαίρει (95) cf. M. Landfester, Das griech. Nomen „philos" und seine Ableitungen (= Spu-

---

σει A, συντάξει Wackernagel **80** le. T, τὸ δὲ ζώς E[4] (uterque coniunxit hoc sch. cum scholio E 885—7 *b*, v. ἦν), om. BCE[3] ἡ — ζωός] ἀπὸ τοῦ ζωός. ἡ γενικὴ ζωοῦ E[4] **80** sq. συναίρ.] συναίρεσις· διὸ ὀξύνεται D **82** le. add. Ma. **83** (le.) ἀμενηνὸς delevi **85** τοῖς ἦα φιλ. A, „τοίη οἱ ἐγὼν ἐπιτάρροθος ἦα" (E 808), „οὐκ ἀποφώλιος ἦα / οὐδὲ φυγοπτόλεμος" (ξ 212—3) Lehrs, possis ἐν τοῖς „οὐκ ἀποφώλιος ἦα / οὐδὲ φυγοπτόλεμος" (sim. Ddf.) **86** ἀπήρτησε A corr. Bk. **88** ὡς οὐ πρὸς Lob., at cf. Lehrs Hrd. 235 („videtur quo ad analogiam notandum") **92** sq. le. T supplevi (τε add. Ma.), om. **b** (ubi sch. ad E 890 relatum est) **93** sq. ὁ ποιητ. ante τῶν **b** **94** πάτριόν τι T, πατρὶ ὄντι Bk. (recte ut vid.), πάτριον μῖσος δείκνυσι **b** **95** αὐτὸς T καὶ αὐτὸς **b** **96** ὁρᾶτο T ὁρᾷ τοὺς **b** **2** καὶ ἀεί Wil., καλεῖ T

*Ariston.* **891.** αἰεὶ γάρ τοι ⟨ἔρις τε φίλη πόλεμοί τε μάχαι τε⟩: ὅτι ἐντεῦθεν μετενήνεκται ἐν τῇ πρώτῃ ῥαψῳδίᾳ (sc. A 177) ἐπὶ τὸν πρὸς Ἀχιλλέα ὑπὸ Ἀγαμέμνονος λόγον. **A**

*Ariston.* **892** *a.* μητρός τοι: ἡ διπλῆ, ὅτι σαφῶς Ἥρας ὁ Ἄρης, οὐκ Ἐνυοῦς, ὥς τινες. **A**

*ex.* *b.* μητρός τοι μένος ⟨ἐστὶν⟩ ἀάσχετον: τῆς Ἥρας μέγας ὁ θυμὸς κατὰ σοῦ. ἢ ἀνίκητός σού ἐστιν ἡ μήτηρ, πρὸς ἣν ἀντιτάσσῃ. **b**(BCE[3]E[4]) **T**

*Ariston.* **893.** ⟨σπουδῇ:⟩ ὅτι μετὰ σπουδῆς καὶ κακοπ⟨αθείας⟩. **A**[im]

*ex.* **895—6.** ⟨ἀλλ' οὐ μάν σ' ——— μήτηρ:⟩ ἔδειξεν ἦθος πατέρων **b**(BCE[3]E[4]) **T**[il] διὰ τούτου τοῦ σχήματος. **b**(BCE[3]E[4])

*Ariston.* **898** *a.* καί κεν δὴ πάλαι ἦσθας ἐνέρτερος Οὐρανιώνων: ὅτι Ζηνόδοτος γράφει „ἐνέρτατος". οὐ δεῖ δέ· ἡ γὰρ σύγκρισίς ἐστι πρὸς τοὺς Τιτᾶνας ἀνομοιογενεῖς καὶ ἐν ἑνὶ κατηγμένους τόπῳ. τούτων οὖν ἐνέρτερος ὁ μὴ κατὰ γένος ὢν ἐξ αὐτῶν. **A**

*Did.* *b.* ⟨ἐνέρτερος:⟩ οὕτως Ἀρίσταρχος, ὁ δὲ Ζηνόδοτος „ἐνέρτατος". **T**[il]

*D | ex.* *c.* ἐνέρτερος Οὐρανιώνων: τῶν Τιτάνων. **T** | εἰ μὴ ὅτι ὡς πατὴρ σὸς ἐπέχω αὐτὴν τῆς κατὰ σοῦ ὀργῆς, **b**(BCE[3]E[4]) **T** πάλαι ἄν, φησίν, ἧς τῶν ποτε οὐρανίων Τιτάνων ὑποχθονιώτερος. **b** (BCE[3]E[4])

dasmata 11), 1966, 105 **891** ad A 177 *a* (Ariston.), cf. Eust. 618, 28: ἐν δὲ τῷ „αἰεὶ γάρ τοι ἔρις τε φίλη" καὶ ἑξῆς ἀστέρα . . . παρατιθέασιν οἱ παλαιοί, ὡς ὧδε κάλλιστα κειμένου τοῦ λόγου ἤπερ ἐπὶ τοῦ Ἀχιλλέως ἐν τῇ A ῥαψῳδίᾳ, temere ib. 618, 21: ὃ ἐκ τῆς A ῥαψῳδίας παρελκυσθὲν ἀπαραποίητον κεῖται **892** *a* ad P 211 (Ariston.), vide ad E 333 *b* (ex.); cf. Lehrs Ar.[3] 177 ὥς τινες (8) cf. Aesch. Sept. 45 *b* ἀνίκητος cf. D, Ap. S. 1, 24, Et. Gen. (Sym., deest AB) ἀάσχετον **893** μετὰ σπουδῆς sq. cf. Ap. S. 144, 11 κακοπαθείας vide ad B 99 (Ariston.) **895** obelus ante versum in A; errorne scribae? **898** *a* ad O 225 (Ariston.), cf. Lehrs Ar.[3] 189 ἐν ἑνὶ (17) — τόπῳ (17) cf. sch. D. Thr. (Σ[m]) 372, 2. (Σ[l]) 535, 13 (utrumque ex Heliodoro) *b* Ge: ⟨ἐνέρτερος Οὐρανιώνων·⟩ (add. Nicole) τῶν Τιτάνων. | τὸ δὲ „ἐνέρτερος" Ζηνόδοτος γράφει· „νέρτερος" γὰρ ὁ Ἀρίσταρχος γράφει. Haec verba ex ipso codice T temere

---

**4** le. A suppl. Vill. ὅτι A, ὁ ἀστερίσκος, ὅτι Vill. **9** le. T suppl. Ma., om. **b** **12** le. add. Frdl. ὅτι A, fort. ἡ διπλῆ, ὅτι κακο ss π A suppl. Pluyg. **13** le. addidi (sch. supra E 895 exaratum est in T, ad eundem versum rettulit **b**) ἔδ. post πατέρ. T, fort. rectius **15** le. καί κεν — οὐρανιώνων: A, ἐνέρτερος Bk., fort. rectius **16** ὅτι A, ἡ διπλῆ περιεστιγμένη, ὅτι Vill. **18** ὢν Bk., ὧν A **19** le. add. Ma. (νέρτερος T[cont], cf. test.) **22** ὡς T αὐτὴν ὡς **b** σὸς et αὐτὴν om. **b** ὀργῆς T ὁρμῆς **b**

899. {ὣς φάτο καὶ} Παιήον᾽: ὅτι ἰατρὸν τῶν θεῶν ἕτερον παρὰ τὸν Ἀπόλλωνα παραδίδωσι τοῦτον. A *Ariston.*

900. ⟨φάρμακ᾽ ἔπασσεν:⟩ Ἰακῶς „φάρμακα πάσσεν". $T^{il}$ *Did.*

902. ὡς δ᾽ ὅτ᾽ ὀπὸς γάλα λευκὸν ἐπειγόμενον συνέπηξεν: οὕτω καὶ τὸ φάρμακον ἔπηξε τὸ αἷμα καὶ ἐσάρκωσε τὴν πληγήν. ταχέως δὲ παρῆλθε τὸν τῆς ἰάσεως τρόπον· ὁ μὲν γάρ ἐστι θεὸς καὶ τὴν τέχνην ἔχων, ὁ δὲ θεὸς καὶ τὴν ἴασιν φθάνων. b(BCE$^3$E$^4$) T λευκὸν δὲ γάλα τὸ μὴ ποιοῦν σκιάν. T *ex.*

903 *a.*[1] ⟨κυκόωντι:⟩ δοτικὴ ἀντὶ γενικῆς· κυκόωντι γὰρ ἀντὶ τοῦ ὑπὸ κυκόωντος. b(BCE$^3$) *ex.(Ariston.?)*

*a.*[2] τὸ δὲ κυκόωντι ἀντὶ ὑπὸ κυκόωντος. T

905 *a.* τὸν δ᾽ Ἥβη λοῦσεν: ὅτι παρθενικὸν τὸ λούειν. οὐκ οἶδεν ἄρα ὑφ᾽ Ἡρακλέους αὐτὴν γεγαμημένην, ὡς ἐν τοῖς ἠθετημένοις ἐν Ὀδυσσείᾳ (sc. λ 602—4). A *Ariston.*

*b.* τὸν δ᾽ Ἥβη λοῦσεν: ὡς ὑπηρέτις οὖσα παρθένος· καὶ Ὀδυσσέα γὰρ ἡ ἀμφίπολος λούει (sc. ψ 154, cf. θ 454. κ 361). τὸ δὲ ἐπὶ Πολυκάστῃ „λοῦσεν" (γ 464) ἀντὶ τοῦ λουτροῦ ἐπεμελήθη· „ἀλλ᾽ *ex.*

descripta esse verisimile est; nam v. νέρτερος in $T^{cont}$ legitur **899** cf. sch. δ 232, aliter sch. Ap. Rh. 2, 702; Macrob. sat. 1, 17, 16; vide ad A 473 *a* (Ariston.), O 262 (ex.); Lehrs Ar.$^3$ 177 **900** qui ἔπασσεν scripsit aut πάσσεν (Aristarchus?), versum E 901 ignoravit vel potius neglexit, cf. sch. rec. in $A^{int}$: ἐν ἄλλῳ (cp., fort. ἄλλοις) ὁ στίχος οὗτος οὐχ εὕρηται Ἰακῶς ad A 162 (test.) **902** fort. exstabat sch. Didymi (?) de v. ἐπειγόμενος, cf. De Marco I p. 380: ἐπειγόμενος· ἀντὶ τοῦ ἐπείγων. γράφεται δὲ καὶ „ἐπειγόμενον", ὅ ἐστι συνεχῶς κινούμενον ὥστε διὰ τὴν πυκνότητα τῆς κινήσεως ἔπειξιν γίγνεσθαι τοῦ ταράσσοντος ταχέως (30) sq. cf. Eust. 619, 31 λευκὸν δὲ γάλα (31) sq. cf. Porph. 1, 75, 10; Aristot. rhet. 3, 3 p. 1406 a 12. Vide ad Δ 434 **903** nullum signum ante versum in A Eust. 620, 14: σημείωσαι ὅτι ὁ σοφὸς Ἡρωδιανὸς τὸ „περιστρέφεται κυκόωντι" „περιτρέφεται" γράφει, πάνυ ὀρθῶς. ἐν γοῦν τοῖς περὶ τροφαλίδος φησί (cf. 2, 567, 15)· „τροφαλίδα ῥητέον διὰ τοῦ ο, οὐ τρυφαλίδα διὰ τοῦ υ· ἡ γὰρ λέξις εἴρηται παρὰ τὸ τρέφεσθαι, ὅ ἐστι πήγνυσθαι", καὶ παράγει χρῆσιν αὐτίκα τὸ „ὡς τ᾽ ὅτε τις γάλα" ἕως τοῦ „περιτρέφεται", τὸ γάλα δηλαδή, „κυκόωντι" ἀντὶ τοῦ πήγνυταί φησιν, cf. ib. 1339, 15. Fort. Eust. scholium ad hunc locum legit hodie deperditum *a* ad Z 398 *a* (Ariston.; test.) **905** *a* ad Δ 2 *d* (Ariston.); — λούειν (36) ad E 722, cf. sch. υ 297; R. Wood, Versuch über das Originalgenie des Homer (aus dem Englischen), Francofurti ad Moenum 1773, 194 not. *b* cf. sch. γ 464. λ 601 (et 568). Vide ad E 722 *a* ἀντὶ τοῦ (41) sq. cf. sch. ζ 215; aliter sch. δ 252, Porph. 2, 62, 18

25 (le.) ὣς φ. καὶ del. Bk. ὅτι A, ἡ διπλῆ, ὅτι Vill. 27 le. add. V πάσσεν T em. Bk. 29 φαρμακόν φησι ἔπ. b συνέπηξε Bk. 33 le. add. Bk. (Vill.) 34 κυκόωντος BE$^3$ κυκόωντι C 35 τὸ δὲ κυκ. sq. cum scholio E 902 (v. σκιάν) coni. T, distinxi 36 ὅτι A, ἡ διπλῆ, ὅτι Vill. 40 τὸ δὲ Bk., τῶι δὲ T 41 ἐπὶ πολυκάστῃ scripsi, ἐπὶ πολυκάστη T, πολυκάστῃ Bk.

ὅτε δή μιν ἐγὼν ἐλόευν" (δ 252), ,,καὶ λοῦσ' ἐν ποταμῷ καί μοι τάδε εἵματ' ἔδωκεν" (η 296). **T**

*Ariston.* **906** *a.* πὰρ δὲ Διὶ Κρονίωνι καθέζετο: ὅτι οὐ δεόντως ἐκ τοῦ περὶ Βριάρεω λόγου (sc. A 405) ἐνθάδε μετάκειται ὁ στίχος· οὐ γὰρ καὶ κύδους ἄξιον πέπρακται αὐτῷ. καὶ ὅτι ἄτοπον ἐπὶ τῷ κύδει γαυριᾶν τὸν ὑπὸ θνητοῦ ἡττημένον. **A**

*ex.* | *Did.* *b.*[1] καθέζετο κύδεϊ γαίων: ὡς ἀλλοπρόσαλλος ἤδη ἐπιλέλησται ὧν πέπονθεν. | Ἀρίσταρχος δὲ ἀθετεῖ. **T**

*b.*[2] ὡς ἀλλοπρόσαλλος ἤδη ἐπιλέλησται ὧν πέπονθε· | διὸ τὸ ἔπος Ζηνόδοτος ἀθετεῖ. **b**(BCE$^3$E$^4$)

*ex.* **907.** αἱ δ' αὖτις πρὸς δῶμα Διὸς ⟨μεγάλοιο⟩ νέοντο: καλῶς οὐ πάρεισιν, ὅτε ἐνετύγχανεν Ἄρης, ἵνα μήτε ἀδολεσχοῖεν μήτε κατὰ δειλίαν δοκοῖεν σιωπᾶν. οὐ διὰ τῶν ἵππων δὲ ὑποστρέφουσιν· προετερατολόγησε γὰρ αὐτοὺς ὁ ποιητής (sc. E 775—7). **b**(BCE$^3$E$^4$) **T**

*ex.* **909** *a.* παύσασθαι {βροτολοιγόν:} παύσασθαι συλληπτικῶς. **T**

*Hrd.* *b.* ⟨Ἄρην:⟩ οὕτως Ἡρωδιανός φησι (cf. 2, 682, 9) μετὰ τοῦ ν̅ Ἄρην. **A**$^{im}$

Παράκειται τὰ Ἀριστονίκου σημεῖα καὶ τὰ Διδύμου Περὶ τῆς Ἀρισταρχείου διορθώσεως, τινὰ δὲ ⟨καὶ⟩ ἐκ τῆς Ἰλιακῆς προσῳδίας Ἡρωδιανοῦ καὶ τῶν Νικάνορος Περὶ στιγμῆς. **A**

**906** asteriscus et diple ante versum in A, exspectes asteriscum cum obelo, cf. sch. *b* (Did.) *a* ad A 405 *a* (Ariston.); cf. Eust. 620, 29 *b* olim fort. plura exstabant, cf. De Marco I p. 380: κύδεϊ γαίων· τῇ δόξῃ γαυριῶν (= D). | ἀθετεῖται δὲ τὸ ἔπος· οὐ γὰρ εἰκὸς κύδει γαίειν τὸν ἀρτίως τετρωμένον. Δημήτριός φησιν (fort. Demetr. Ix. cf. fr. 27—30 St.)· ,,κωμῳδεῖ τὸ πρόσωπον ὡς εἰκὸς ὄν". ῥητέον δὲ ὅτι πρότερον γαίων, ἢ ἐκ περισσοῦ τὸ ἐπίθετον *b* ὡς (48 et 50) — πέπονθεν (49 et 50) cf. Roemer, Mus. Rhen. 66, 1911, 296 not. **907** — σιωπᾶν (54) Ge (e T) **909** *b* cf. Choer. Th. 1, 162, 29; Beiträge 91

---

**42** λοῦσ' ἐν ποτ. Ma. (= Hom.), λοῦσε ποταμῷ T **44** ὅτι A, ἡ διπλῆ σὺν ἀστερίσκῳ περιεστιγμένῳ, ὅτι Vill., at cf. test. **51** ζηνόδοτος fort. corruptum ἀθ.] οὐκ ἀθετεῖ Wecklein (Zusätze 75,1), improbabiliter **52** le. T suppl. Ma. (auctore Vill.), om. **b** **53** παρῆσαν Ge (e coniectura) **54** ὑποστρέφουσι **b** **56** παύσασθαι (utroque loco) T, fort. παύσασαι (= vulg.) (le.) βροτ. eiecit Bk. **58** le. add. Bk. **60—2** sub ipso textu Iliadis exarata **61** καὶ add. Bk.

# Z

## Pap. IV (ad Z 128—494)

128. ⟨κατ' οὐρανὸν εἰλήλουθας:⟩ κατ]αβέβηκας *fr.(a), col. I*
]ἡ κο(ινὴ) „οὐρανοῦ“
148. ⟨ὥρηι:⟩ αιαρ$^{χ}$. ηκο$^{σ}$υ „ὥρη“.

449. ⟨ἐϋμμελίω:⟩ δο(τικὴ) μ(ε)τ(ὰ) τοῦ ῑ· γ́ *fr.(b), col. III*
ἐϋμμελίοιο.
464. ⟨τεθνηῶτα:⟩ ἡ κ(οινὴ) „τεθνειῶτα“.
478. ⟨βίην τ' ἀγαθόν:⟩ ἡ κο(ινὴ) „βίη[ν“.
479. ⟨δ' ὅ γε:⟩ διχ(ῶς).
494. ⟨χειρὶ παχείηι:⟩ „φαί[διμος Ἕκτωρ]“. *fr.(b), col. IV*

128 et 148 cf. Did. 449 ad B 461 *a* et *b*, cf. D ad B 461 464 ad Z 71 $a^1$ (Did., test.) 478 et 479 cf. Did. 494 de v. l. χειρὶ παχείῃ in cont. pap. recepta vide ad Φ 403

---

**182.** ⟨πυρὸς μένος:⟩ λείπει τὸ ὡς, ὡς πυρός. $T^{il}$ *ex.*

**183** *a.* καὶ τὴν μὲν κατέπεφνε ⟨θεῶν τεράεσσι πιθήσας⟩: ὅτι οὐδὲν περὶ τῆς κατὰ τὸν Πήγασον ἱστορίας ἐμφαίνει. **A** *Ariston.*

*b.* καὶ τὴν μὲν κατέπεφνε θεῶν τεράεσσι πιθήσας: ἀπίστου ὄντος, πῶς τὸ τοιοῦτον θηρίον κατηγωνίσατο, ἰάσατο τὸ ἄπιστον θείαν δύναμιν ἐπαγαγών. b($BCE^3E^4$) **T** *ex.*

**184.** δεύτερον αὖ Σολύμοισι: καὶ „ἐκ Σολύμων ὀρέων" (ε 283)· ἀπὸ γὰρ τῶν ἀνατολικῶν Αἰθιόπων ἐπανιὼν ἀπὸ Πισιδίας καὶ Κιλικίας ὁρᾷ Ὀδυσσέα ὁ Ποσειδῶν. **T** *ex.*

*b* similia ap. Porphyrium exstitisse videntur, cf. Eust. 634, 42: καὶ ζητητέον τὸν Πορφύριον καλῶς τοῖς περὶ τούτων διαιτῶντα, cf. sch. D ap. Schimberg I 450; Serv. (auct.) Verg. A. 5, 118. 6, 288; aliter ad Π 328 (T) εἰ τὸ πλεῖον (95) — αὐτὴν εἰπών (4) cf. Eust. 634, 45 οἱ δὲ πανδοκεῖς (4) sq. cf. Eust. 634, 58 ἔνιοι δὲ (7) sq. cf. Strab. 14, 3, 5 (p. 665), Isidor. orig. 11, 3, 36 πολύθηρον (9) cf. Eust. 634, 56: οἱ δὲ θηρία εἶναι ἀπρόσμαχα ἱστοροῦσι τρία περί τι Λυκιακὸν ὄρος, ἐγχώριον λέοντα καὶ χίμαιραν ὑπερφυῆ τινα, ὁποία καὶ ἡ κατὰ Πτολεμαῖον ὁ μεγαλόκερως, καὶ δράκοντα, φύσει μὲν διεστῶτα καὶ τόπῳ, διὰ δὲ τὸ συγγενὲς τῆς ἐξ αὐτῶν βλάβης καὶ τὸ εἰς κάκωσιν σύντροχον εἰς ἓν οἷον σῶμα ὑπὸ τοῦ μύθου συναγόμενα καὶ συμφυόμενα, originis incertae, fort. e Ptolem. Ch. (cf. Palaeph. p. 39, 6 F.) **183** *a* ad Z 191 (Ariston.) **184** — Κιλικίας (17) aliter Strab. 12, 8, 5 (p. 573), 13, 4, 16 (p. 630; cf. Bidder 30), 14, 3, 10 (p. 667); sch. Pind. Ol. 13, 128 b Πισιδίας (17) cf. Eust. 635, 32; Ap. S. 143, 23, Porph. 1, 96, 5, Steph. B. 524, 3. 582, 3 Κιλικίας (17) cf. sch. ε 283 (Antim. fr. 69 W.); He.

ἡ διπλῆ, ὅτι Vill. **94** sq. le. T supplevi (auctore Vill.), om. **b** **95** πλέον Ma. **95** sq. αὐτὴν — καλ. T αὐτὸ χίμαιραν μὴ καλεῖσθαι, ἀλλὰ λέοντα **b** **3** τοῦ[1] om. $E^4$ **4** εἰπών] καλῶν C **5** λέοντα add. Bk. (cl. Eust.) δράκοντα T m. pr., σ in fine v. add. m. sec. **9** εἶναι add. Wil. **10** le. add. Bk. **11** le. A suppl. Frdl. **12** ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **14** κατηγ. T ἀνάλωσε **b** **14** sq. ἰάσατο post ἄπιστον **b** **15** δύν. post ἐπαγ. **b**

*ex.* 185. ⟨φάτο:⟩ εὖ τὸ μὴ εἰπεῖν 'ἔφασαν ἄλλοι', ἀλλ' αὐτὸς ὁ πεπειραμένος. b(BCE$^3$) T$^{il}$

*ex.* 186 *a.*$^1$ ⟨Ἀμαζόνας:⟩ κατέτρεχον γὰρ τὴν Ἀσίαν. ἀμέλει ἐξ αὐτῶν Ἔφεσος καὶ Σμύρνα καλεῖται· „καὶ †φρυνα' ἐσήλυθον" (Γ 184). T$^{il}$

*a.*$^2$ αὗται γὰρ κατατρέχουσαι τὴν Ἀσίαν ἐληΐζοντο. οὐ †μὴν† δέ, ἀλλὰ „καὶ Φρυγίην εἰσήλυθον". b(BCE$^3$E$^4$)

*Did.* 187 *a.*$^1$ ⟨ἀνερχομένῳ:⟩ οὕτως Ἀρίσταρχος. ἄλλοι δὲ διὰ τοῦ †ε̄, „ἐπερχομένῳ†". A$^{int}$

*a.*$^2$ τῷ δ' ἄρ' ἀνερχομένῳ: Ἀρίσταρχος „†ἀπερχομένῳ" γράφει διὰ τοῦ ᾱ. γράφεται δὲ καὶ τῷ δ' ἀνερχομένῳ†. T

*Nic.* 188 *a.* κρίνας ἐκ Λυκίης: βέλτιον τοῖς ἑξῆς συντάττειν τοῦτον τὸν στίχον. A

*ex.(Nic.)* *b.*$^1$ κρίνας ἐκ Λυκίης: ἀπὸ οἰκείας ἀρχῆς ὁ στίχος. T

*b.*$^2$ ἀπὸ ἰδίας δὲ ὁ στίχος ἀρχῆς. b(BCE$^3$)

*ex.* *c.* ⟨φῶτας ἀρίστους:⟩ διδάσκει τοὺς ἀλκιμωτάτους μόνους λοχᾶν· „ἔνθα μάλιστ' ἀρετὴ διαείδεται ἀνδρῶν" (N 277). b (BCE$^3$E$^4$) T

*ex.* 189 *a.* εἷσε λόχον: δῆλον οὖν ὡς καὶ αὐτὸς διὰ τὴν καλοκἀγαθίαν τοῦ ἀνδρὸς οὐκ ἠθέλησεν ἐκ τοῦ προφανοῦς αὐτὸν φονεῦσαι. b(BCE$^3$) T

*Ariston.* *b.* ⟨τοὶ δ' οὔ τι πάλιν οἶκον δὲ νέοντο:⟩ πρὸς τὸ πάλιν, ὅτι οὐ χρονικῶς. A$^{int}$

*Ariston.* 191 *a.*$^1$ ἀλλ' ὅτε δὴ γίνωσκε ⟨θεοῦ γόνον⟩: ὅτι ἐκ τῶν πραττομένων τοῦτο συνέβαλεν. εἰ δὲ προσέκειτο καὶ ὁ Πήγασος, πολὺ πλέον αὐτοῦ τὴν δόξαν ἐπιστώσατο. A

α 2928 **186** diple ante versum in pap. IV, fort. error scribae, cf. Martinazzoli I 65 **187** *a* cf. Ludwich, A. H. T. 1, 268, 32; aliter Valk II 157 (cui non assentior) **189** *b* ad B 276 *a* (Ariston.) **191** *a* ad Z 183 *a* (Ariston.)

---

**19** le. add. Bk. (φάτο δύμεναι add. Li) ἐφ. ἄλλ. T ὅτι ἄλλοι ἔφασαν b **21** le. add. Ma. (ἀμαζόνας ἀντιανείρας ante sch. *a*$^2$ add. Li) **22** φρυγίην εἰσήλυθον Hom. (qui Priamum de se ipsum loquentem facit) **25** μὴν] μόνον Bk., μόνην Nickau **26** le. add. Bk. (Vill.), ἀπερχομένῳ add. Valk (qui cetera in scholiis *a*$^1$ et *a*$^2$ tradita tangi vetuit) **27** ε̄ A, π̄ Lehrs (recte) ἐπερχ. A, ἀπερχομένῳ Ldw. **28** sq. debuit ἀνερχομένῳ γράφει διὰ τοῦ ν̄. γράφεται δὲ καὶ „τῷ δ' ἄρ' ἀπερχομένῳ", cf. Li (ἀρίσταρχος δὲ ἀνερχομένῳ) **33** ἀπὸ ἰδίας sq. pone sch. *c* (coni. cum v. ἀνδρῶν) in b **34** le. add. Bk. (Vill.) **34** sq. τοὺς ἀλκ. μόνους T μόνους τοὺς ἀρίστους b **37** οὖν om. b **38** ἐκ τ. προφ. αὐτ. T αὐτὸν προφανῶς b **40** le. add. Frdl. πρὸς A, ἡ διπλῆ πρὸς Vill. **42** le. A suppl. Frdl. (Vill.) ὅτι A, ἡ διπλῆ, ὅτι Vill.

*a.*² ὅτι οὐκ οἶδεν Ὅμηρος τὸν Πήγασον. T

*b.*¹ ⟨ἀλλ' ὅτε δὴ γίνωσκε θεοῦ γόνον ἠῢν ἐόντα:⟩ ἐκ τῶν πράξεων τὰς εὐγενείας ἀξιοῖ κρίνεσθαι ὁ ποιητής. Ποσειδῶνος δὲ ἦν καὶ Μήστρας τῆς Ἐρυσίχθονος. $T^{il}$ *ex.*

*b.*² ἡ πρᾶξις αὐτὸν ὡς θεοῦ ἔδειξεν υἱόν· ἐκ τῶν πράξεων γὰρ τὰς εὐγενείας ἀξιοῖ κρίνεσθαι ὁ ποιητής. b(BCE³E⁴)

192. δίδου δ' ὅγε θυγατέρα ἥν: Ἀλκιμέδουσαν ἢ Πασάνδραν. T *ex.*

194 *a.*¹ ⟨καὶ μέν οἱ Λύκιοι τέμενος τάμον ἔξοχον ἄλλων:⟩ ὡς τῶν δεινῶν δι' αὐτοῦ ἀπηλλαγμένοι· πολλὰ γὰρ παρὰ τῶν γειτονούντων δεινὰ καθ' ἑκάστην ἔπασχον. b(BCE³) *ex.*

*a.*² καὶ μέν οἱ Λύκιοι τέμενος τάμον: ὡς †ἀπηλαγμένοι† τῶν δεινῶν. T

*b.* {καὶ μέν οἱ λύκιοι} τέμενος τάμον: ὅτι παρετυμολογεῖ τὸ τέμενος ἀπὸ τοῦ τεμεῖν καὶ ἀφορίσαι. A *Ariston.*

195. ⟨πυροφόροιο:⟩ γράφεται „ὄφρα νέμοιτο“. $A^{im}$ *Did.(?)*

198. Λαοδαμείῃ μέν: ὅτι πρὸς τὸ δεύτερον πρότερον ἀπήντηκεν. A *Ariston.*

199. ἡ δ' ἔτεκ' ἀντίθεον Σαρπηδόνα: ὅτι καθ' Ὅμηρον Σαρπηδὼν υἱὸς Εὐρώπης οὐκ ἔστιν οὐδ' ἀδελφὸς Μίνωος, ὡς οἱ νεώτεροι· καὶ γὰρ οἱ χρόνοι εὔδηλοι. A *Ariston.*

*b* cf. Eust. 636, 6 *b*¹ Μήστρας (48) cf. Schwartz 407; Wilamowitz, Hell. Dicht. (Berol. 1924) 2, 43, 1; fort. doctrina Hesiodi, cf. fr. 43 a, 70—91 M.-W. **194** diple ante versum in A et in pap. IV *b* ad Σ 550 (Ariston.), cf. D, D ad B 696. Σ 550, sch. ζ 293, Ap. S. 151, 4, Porph. 1, 131, 25. 299, 1; Philox. in Et. Gen. (sim. EM. 751, 42, Et. Gud. 525, 42), fort. ex Orione; Eust. 636, 13; Serv. Verg. A. 9, 272 παρετυμολογεῖ (57) ad Z 201. I 137 *a*. Ξ 518. P 86 (Ariston.); cf. Fehling, Die Wiederholungsfiguren (Berol. 1969) 156 **198** ad B 621. M 400 *c* (Ariston.) **199** cf. Eust. 636, 28. Vide ad Z 198—9 ὡς οἱ νεώτεροι (63) i. e. Hesiodus, cf. fr. 141, 14 M.-W. (sch. M 292, sch. Eur. Rhes. 29). Vide ad M 292—3 καὶ γὰρ οἱ χρόνοι (64) sq. cf. N 449—54; Diod. 5, 79, 3. Ceterum diple ante versum in A et in pap. IV

---

**45** pone sch. Z 192 in T, transposui, sed sch. fort. ad Z 183 *a* referendum **46** le. addidi (Vill.), ἀλλ' ὅτε — γόνον add. iam $V^{c}$ **48** μήστρας Wil., μητρὸς T (cf. sch. [Tz.] Lyc. 1206, ubi Wil. μήστρας pro ἀλίστρας scripsit) **51** κασάνδραν Li (e coniectura) **52** le. add. Vill. (καὶ μέν οἱ λύκιοι iam Li) **57** (le.) καὶ μ. οἱ λύκιοι eiecit Bk. ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **59** le. (= $A^{cont}$) addidi ὄφρα νέμοιτο = vulg. **60** et **62** ὅτι A, ἡ διπλῆ, ὅτι Vill.

*ex.* 198—9 *a.*[1] Λαοδαμείῃ μὲν παρελέξατο μητίετα Ζεύς· / ἡ δ' ἔτεκ' ⟨ἀντίθεον⟩ Σαρπηδόνα: ἐπεὶ πῶς †εὐρώπη ἦν οὐ στρατεύει† Ἰδομενεῖ. ἢ ὅτι παρὰ Διὸς τὴν ἥβην †ἐπεὶ ἓξ ἔσχον† γενεάς. τινὲς δὲ Εὐρώπην τὴν Λαοδάμειαν, ἐπεὶ εὐόφθαλμος ἦν. T

*a.*[2] καὶ πῶς ἐν ἑτέρᾳ ἱστορίᾳ Εὐρώπης αὐτόν φησιν; λέγομεν δὲ ὅτι ἡ αὐτή ἐστιν· εἴρηται γὰρ Εὐρώπη οὐχὶ κυρίως, ἀλλὰ τοῦ ρ̄ πλεονάζοντος· εὐόφθαλμος γὰρ ἦν. b(BCE³E⁴)

*ex.* 200—5. ἀλλ' ὅτε δὴ κἀκεῖνος (200) / ἤτοι ὁ κὰπ πεδίον (201), / Ἴσανδρον δέ οἱ υἱὸν Ἄρης (203) / ⟨κατ⟩ έκτανε (204), / τὴν δὲ χολωσαμένη χρυσήνιος Ἄρτεμις ἔκτα (205): ἵνα ἡ ἀπώλεια τῶν παίδων αἰτία αὐτῷ ᾖ μονασμοῦ, ὡς καὶ τῷ Λαέρτῃ (cf. λ 187—96). καὶ Ἀλήϊον πεδίον, ὅπερ ᾤκει ἀλεείνων τοὺς ἀνθρώπους. τὰ δὲ ἐκ τῆς τύχης εἰς θεοὺς ἀναφέρομεν. ὥσπερ δὲ ἐν ἀρχῇ διέσυρε τὰ ἀνθρώπινα τὸ φρύαγμα Διομήδους καθαιρῶν (sc. Z 145—9), καὶ νῦν οὐκ ἀπώκνησε τὴν περὶ τὸν πρόγονον μεταβολὴν τῆς τύχης ὁμολογῆσαι. ἢ τάχα πιστοῦται τὰ ἀγαθὰ διὰ τῆς ὁμολογίας τῶν ἀτυχιῶν. b(BCE³E⁴) T εἰ δὲ χωλὸς ἦν, πῶς ἥλατο; T

*ex.* 200 *a.*[1] ἀλλ' ὅτε δὴ κἀκεῖνος ἀπήχθετο: ὥσπερ καὶ οἱ †πρόγονοι† αὐτοῦ, Ἴσανδρος δὲ καὶ †λαοδάμειαν† ἢ ὡς τὸ γένος τῶν ἀνθρώπων. T

198—9 cf. sch. Eur. Rhes. 29 (= Hellanicus, FGrHist 4, 94); Valk I 508 *a*[1] ἢ ὅτι (67) — γενεάς cf. [Apoll.] bibl. 3, 6 (καὶ αὐτῷ δίδωσι Ζεὺς ἐπὶ τρεῖς γενεὰς ζῆν); vide Hsd. fr. 141, 20 M.-W.; ad M 292—3 (T) 200—5 — Λαέρτῃ (75) cf. Eust. 636, 6 Ἀλήϊον (76) — ἀνθρώπους ad Z 201 *a* τὰ δὲ ἐκ τῆς τύχης (77) — ἀναφέρομεν cf. Porph. 1, 95, 9 ὥσπερ δὲ ἐν ἀρχῇ (77) — καθαιρῶν (78) cf.

---

65 sq. le. T suppl. Ma.; ἔτεκ' (= Hom.) Ma., ἔτεκε T 66 sq. verba luxata; εὐρώπης τῆς κρητικῆς ὢν οὐ συστρατεύει Roe. (Ar. 165), fort. εὐρώπης (Ma.) ἦν; οὐδὲ συστρατεύει (συστρ. Ma.) 67 ἐπὶ ἓξ (malim τρεῖς) ἔσχεν Ma. (cf. test.) post γενεάς aliquid vid. deesse (cf. test.) 68 post ἦν fort. lac. statuenda; neque enim argumentum alterum (sc. Sarpedonem non cum Idomeneo profectum esse) hactenus confutatum est 69—71 sch. ad Z 199 revocavit b 69 sq. καὶ πῶς — ἐστιν absc. in E⁴ 69 fort. φασιν 70 sq. εἴρηται — ἦν absc. in E⁴ (exstant reliquiae paucarum litterarum) 73 (le.) δέ οἱ Ma. (Hom.), γάρ οἱ T (le. om. b, ubi sch. ad Z 201 relatum esse vid.) (le.) ἔκτανε T supplevi (cl. Hom.) 74—81 pone sch. Z 200 *a*² in b 74 sq. ἵνα — μονασμοῦ T ἡ τῶν παίδων ἀπώλεια γέγονεν αὐτῷ τοῦ μονασμοῦ αἰτία b 76 καὶ ἀλ. T ἀλήϊον δὲ b 77 τὰ — τύχης T τάχα δὲ καὶ τὰ τῆς τύχης (ψυχῆς E³) b ἀναφέρει b 79 τῆς τύχης pone τὴν b 79 sq. ὁμολ. μεταβ. b 81 πωλησάτω T corr. Ma. 83 voluit ἀπόγονοι et λαοδάμεια (cf. sch. *a*²)

*a*.² ὥσπερ καὶ οἱ ἀπόγονοι αὐτοῦ Ἴσανδρος καὶ Λαοδάμεια ἢ ὡς οἱ ὑπ' αὐτοῦ ἀναιρεθέντες. b(BCE³E⁴)

201 *a*. Ἀλήϊον οἶος ἀλᾶτο: ὅτι παρετυμολογεῖ τὸ Ἀλήϊον ἀπὸ τῆς γενομένης ἐν αὐτῷ τοῦ Βελλεροφόντου πλάνης. | τὸ δὲ Ἀλήϊον οἱ μὲν ἐψίλωσαν ἀπὸ τῆς ἄλης τοῦ Βελλεροφόντου, οἱ δὲ ἐδάσυναν ἀπὸ τοῦ τοὺς ἅλας ἐκεῖ πήγνυσθαι. βέλτιον δὲ τὸ πρότερον. A *Ariston.*|*Hrd.*

*b*. Ἀλήϊον: τινὲς ἐδάσυναν διὰ τὸ ἅλας ἐκεῖ πήγνυσθαι. ἄμεινον δὲ ψιλοῦν ἀπὸ τῆς ἄλης. b(BCE³E⁴) T *ex.(Hrd.)*

202 *a*. ὃν θυμὸν κατέδων: οὐχ ὡς οἱ νεώτεροί φασι, μελαγχολάνας, ἀλλ' ὀδυνώμενος ἐπὶ τῇ τῶν παίδων ἀπωλείᾳ ἐμόναζεν. b (BCE³E⁴) T *ex.*

*b*. ⟨ὃν θυμὸν κατέδων:⟩ διδάσκει, πόσην ψυχαγωγίαν ἔχει ἡ συντυχία, b(BCE³E⁴) T^il καὶ μάλιστα ἡ τῶν ἰδίων, ὅτι δι' αὐτοὺς τὴν ψυχὴν ἀπελέγετο. b(BCE³E⁴) *ex.*

*c*. πάτον {ἀνθρώπων ἀλεείνων}: πάτον ὡς λόγον· τὰ γὰρ εἰς τος λήγοντα δισύλλαβα, βραχείᾳ παραληγόμενα, μονογενῆ βαρύνεται, κρότος κότος μίτος, „Νότος" (B 145 al.), πότος. οὕτως ἄρα *Hrd.*

Porph. 1, 95, 2 ἢ τάχα (80) — ἀτυχιῶν (81) cf. Porph. 1, 95, 6 **200** *a*² ἢ ὡς (85) — ἀναιρεθέντες (86) cf. Antim. fr. 68 W. **201** *a* — πλάνης (88) Et. Gen. (A, om. B) Ἀλήϊον (pars prima), fort. ex hyp. Iliad., cf. Eust. 636, 50 (κατὰ τοὺς παλαιούς); D, Porph. 1, 298, 17. 2, 124, 15; Tz. Lyc. 17 (p. 19, 2). Vide ad Z 200—5 παρετυμολογεῖ (87) ad Z 194. Vide ad Z 12. 18. M 343 οἱ μὲν ἐψίλωσαν (89) sq. Et. Gen. (AB) Ἀλήϊον (pars tertia): ἰστέον δὲ (ἰστ. δὲ om. B) ὅτι οἱ μὲν ἐψίλωσαν αὐτὸ (αὐτῷ A) ἀπὸ — ἀπὸ τοῦ τοὺς (EM., τοῦ τὰς B τούτοις A) — βέλτιον δὲ πρότερον (βέλτιον sq. om. B), fort. ex hyp. Iliad., cf. Eust. 636, 53 ἀπὸ τοῦ (90) — πήγνυσθαι cf. Strab. 13, 1, 48 (p. 605) **202** *a* — μελαγχολάνας (94) cf. Porph. 1, 95, 23; at vide Koerner, Heilk. 12 μελαγχολάνας (94) cf. Aristot. probl. 30, 1 p. 953 a 21; Aristoteles' Problemata Physica übers. v. H. Flashar, Darmstadii 1962, 718 ἀλλ' ὀδυνώμενος (95) sq. cf. Porph. 1, 95, 19; sch. Soph. Ai. 614 ὀδυνώμενος (95) cf. Cic. Tusc. 3, 63 *(in animi doloribus)* *c* Et. Gen. (AB) πάτον, fort. ex hyp. Iliad., cf. Eust.

---

**87** le. Bk., ἤτοι ὁ καπ πεδίον: A ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **90** ἄλλας sec. λ deleto A πείγνυσθαι A em. Vill. **92** le. scripsi, τὸ δὲ ἀλήϊον pone sch. Z 200—5 (coni. cum v. ἀτυχιῶν) b, κὰπ πεδίον τὸ ἀλήϊον T διὰ τὸ T παρὰ τὸ CE⁴ παρὰ τὸ τὸ BE³ **94** le. T, τὸ δὲ ὃν θυμὸν κατέδων (cum scholio pone sch. Z 201 *b*) E⁴, om. BCE³ οἱ om. CE⁴ φασι om. T **94** sq. μελαγχολήσας b **95** ὀδώμενος (?) C τῶν T τῶν ἑαυτοῦ b **2** le. addidi διδάσκει δὲ pone sch. *a* (coni. cum v. ἐμόναζε) in b **2** sq. ἔχει ψυχ. b **3** sq. καὶ μάλιστα sq. fort. sch. rec. **5** (le.) ἀνθρ. ἀλεείνων del. Bk. λόγον cf. O 393 **7** κότος cf. A 82 al., μίτος cf. Ψ 762 νότος μίτος Et. Gen. ἄρα] οὖν Et. Gen.

καὶ πάτος. δοκεῖ ἀντικεῖσθαι τὸ „στρατός" (ω 81)· τὸ γὰρ „βροτός" (Γ 223 al.) κατὰ δύο τρόπους ἀποφεύγει, ὅτι καὶ κοινὸν καὶ ἔχει ἀντέμφασιν. **A**

*ex.* **204.** μαρνάμενον Σολύμοισι: ἴσως ὡς γηράσαντος τοῦ Βελλεροφόντου ἀπέστησαν, ὁ δὲ ὡς πατρῴας ἀρχῆς ἀντιποιούμενος ἐπολέμει. **b**(BCE$^3$E$^4$) **T**

*ex.* **205** *a.* ⟨χολωσαμένη:⟩ ἴσως διὰ τὰς Ἀμαζόνας. **T**$^{il}$

*Hrd.* *b.* ⟨ἔκτα:⟩ ἀποκοπὴ τοῦ „ἔκταν' ἐπὶ προμάχων" (Σ 456). **A**$^{im}$

*ex.* **206.** ⟨Ἱππόλοχος δέ μ' ἔτικτε:⟩ ἐκ Δημωνάσ⟨σ⟩ης. **T**$^{il}$

*ex.* **207—8.** καί μοι μάλα πόλλ' ἐπέτελλεν / αἰὲν ἀριστεύειν: τοῦτο ἀναφέρει πρὸς τὸ ὑπὸ Διομήδους εἰρημένον „ἀτὰρ μὲν νῦν γε πολὺ προβέβηκας ἁπάντων" (Z 125). **b**(BCE$^3$) **T**

*Ariston.* **210.** ἔν τ' Ἐφύρῃ ἐγένοντο: ὅτι οἱ μὲν ἥρωες Ἔφυραν παράγονται λέγοντες, αὐτὸς δὲ Κόρινθον λέγει τὴν πόλιν (sc. B 570. N 664). **A**

*ex.* **211.** ταύτης τοι γενεῆς καὶ αἵματος: σπέρματος· τὸ γὰρ αἷμα εἰς θορὸν μεταβάλλεται· οἱ γοῦν συνεχῶς ἀφροδισιάζοντες τὸ τελευταῖον αἷμα φέρουσιν· τὸ γὰρ μεταβαλλόμενον ἀναλώσαντες τὸ ἀμετάβλητον ἐξέλκουσιν. **A b**(BCE$^3$E$^4$) **T**

*ex.* **212.** γήθησεν δὲ βοὴν ἀγαθὸς Διομήδης: ἔοικε διὰ τὸ ὄνομα Βελλεροφόντου καὶ τοὺς πολλοὺς ἀνασχέσθαι λόγους τοῦ Γλαύκου. **b**(BCE$^3$) **T**

*ex.* **213.** ἔγχος μὲν κατέπηξεν: γραφικῶς ἔχει καὶ τοῦτο. **A b**(B

636, 61; Ep. Hom. (An. Ox. 1, 378, 23, Et. Gud. 263, 19 Stef.), ubi in exemplis etiam v. βάτος enumeratur **205** *b* ad B 662 *a* (Hrd.); cf. Eust. 637, 17 **206** incertum an sch. Herodiani (vix Didymi) exstiterit docentis pro δέ μ' hic esse legendum δ' ἔμ' (vel δ' ἐμέ), ad H 198, cf. sch. δ 619. η 223 (Hrd.); Bk., H. Bl. 1, 71. 322 ἐκ (16) sq. cf. Schwartz 407 **210** ad Z 152 *b* (Ariston.) **211** cf. Eust. 637, 39; aliter He. α 1936: αἷμα· γένος, σπέρμα. | „ταύτης τοι γενεῆς τε καὶ αἵματος εὔχομαι εἶναι", κατὰ μὲν τὴν γενεὴν τοῦ πατρὸς θεωρουμένου, κατὰ δὲ τὸ αἷμα τῆς μητρός· τὸ γὰρ καταμήνιον αἷμα τῇ καταβολῇ τῆς γονῆς παγὲν καὶ σάρξ γενόμενον διαπλάττεται ὑπὸ φύσεως, e Synag. ut vid. (cf. Ba. 44, 26,

---

**10** ἀντέμφασιν ἔχει πρὸς τὸ βρότος Eust. **11** ὡς om. **b** **12** ἀπέστ. T πάλιν ἐπέστησαν **b** δὲ ὡς T δὲ τῆς **b** ἀρχῆς post ἀντιπ. **b** **13** ἐπολέμει αὐτοῖς **b** **14** le. add. V$^c$ **15** le. add. Bk. ἐνὶ προμάχοισι Hom. **16** le. add. Li δημωνάσης T suppl. Bk. **18—9** sch. ad Z 208 revocavit **b** **18** μὲν om. T **20** ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **23** le. AT, om. **b**, ταύτ. τοι γεν. καὶ del. Bk. σπέρμ.] τοῦ σπέρματος λέγει **b** **24** θόρον BCE$^3$ **25** φέρ.] ἀφιᾶσιν Wil. **28** τοῦ γλ. λόγους **b** **30** le. T, κατέπηξεν A, om. **b** ἔχει om. **b**

CE$^3$) T ἵνα δὲ μηκέτι πόλεμος εἶναι δοκῇ, καταπήγνυσι τὸ ἔγχος ὁ Διομήδης. A b(BCE$^3$E$^4$) T

214. ⟨μειλιχίοισι:⟩ ἐπὶ φιλοξενίαν προτρέπεται, δεικνὺς ὡς καὶ ἐκ κινδύνων ῥύεται. b(BCE$^3$) T$^{il}$ *ex.*

217 *a.* ⟨ξείνισεν ἐν μεγάροισι:⟩ γράφεται „ξείνισ' ἐνὶ μεγάροισι". A$^{im}$ *Did.(?)*

*b.* ⟨ἐείκοσιν:⟩ οὕτως 'Αττικοί· ὅθεν καὶ „εἰκοσινήριτα" (X 349). T$^{il}$ *ex.*

218. ⟨οἱ δὲ καὶ ἀλλήλοισι:⟩ ὅτι περιττὸς ὁ καί σύνδεσμος. A$^{int}$ *Ariston.*

219 *a.* Οἰνεὺς μέν: σημειοῦνταί τινες ὅτι πρὸς τὸ πρῶτον ἀπήντηκεν. A *Ariston.*

*b.* Οἰνεὺς μὲν ζωστῆρα: οὐκ ἐκαπήλευε γὰρ τὰς δόσεις. ἢ καὶ ὁ ζωστὴρ πολυτιμότερος ἦν. T *ex.*

219—20. Οἰνεὺς μὲν ζωστῆρα / Βελλεροφόντης δὲ χρύσεον δέπας: ὁ μὲν ὡς μένοντι, ὁ δὲ ὡς ἐκδημοῦντι. b(BCE$^3$E$^4$) T *ex.*

221 *a.* καί μιν ἐγὼ κατέλειπον: ἄπαιδος γὰρ τελευτῶντος Οἰνέως Διομήδης αὐτὸ κληρονομεῖ. b(BCE$^3$E$^4$) T *ex.*

*b.* καί μιν ἐγὼ ⟨κατέλειπον⟩: „μνῆμα ξείνοιο φίλοιο" (φ 40). T *ex.*

*c.* ⟨μίν:⟩ τὸ δέπας. A$^{int}$ *ex.*

222—3. Τυδέα δ' οὐ μέμνημαι ⟨——— 'Αχαιῶν⟩: ἄτοποι οἱ δύο στίχοι. | τὸ δὲ Τυδέα δ' οὐ μέμνημαι (222) ὡς „μέμνημαι τόδε ἔργον" (I 527). T *ex.* | *ex.*

Su. αι 187, Ph.); Synag. fort. e scholiis (?) **213** ἵνα δὲ (31) sq. cf. Eust. 637, 41 **217** Eust. 637, 59: ἐνταῦθα δὲ ἀναγκαία κεῖται στιγμὴ μετὰ τὸ „μεγάροισιν", ἵνα μή τις ἴσως ἐρεῖ σοφιζόμενος „μεγάροισιν εἴκοσι (fort. ἐείκοσιν)", vix e scholiis **219** deest diple ante versum in A, fort. error scribae *a* ad O 6—7 (ex.), test. ad B 621 (Ariston.); sim. ad Λ 103 *b*; vide ad Λ 221 *a* (Nic.); cf. Lehrs Ar.$^3$ 11 **221** *b* cf. Eust. 638, 19 **222—3** — οἱ στίχοι (52) cf. Ludwich, A. H. T. 1, 269, 12; Friedl., Zoil. 77, 1 („ . . . obscurum est; athetesis

---

**31** δὲ] γὰρ BCE$^3$ **33—4** sch. in T supra versum Z 215 scriptum **33** le. add. Bk. **35** le. (= A$^{cont}$) add. Vill. γράφ. cp. (γρ) A **37** le. add. V$^c$ **39** le. addidi ὅτι A, fort. ἡ διπλῆ, ὅτι **40** sq. sch. pone sch. Z 210 in A, trps. Vill. **40** le. οἰνεὺς γάρ ποτε δῖος ἀμύμονα βελλεροφόντην (216) — οἰνεὺς μὲν (219) — βελλεροφόντης δέ (220) Frdl. **44** sq. le. et sch. cum scholio praecedenti coni. T, dist. Bk. (le.) χρύσειον T em. Ma. (le. om. b) **45** sch. ad v. 220 rettulit b μένοντι δίδωσι b **47** αὐτὸν b emendavi, om. T **48** le. et sch. cum scholio *a* (v. κληρονομεῖ) coni. T, distinxi et le. supplevi; le. del. Ma., qui verba μνῆμα ξ. φίλοιο cum scholio Z 219—20 conexuit; at cf. test. **50** le. addidi **51** le. T supplevi

*ex.* 224. Ἀργεϊ μέσσῳ: τὸ Ἄργος μέσον Πελοποννήσου. T

*Nic.* 226 *a.* ἔγχεσι δ' ἀλλήλων ἀλεώμεθα ⟨καὶ δι' ὁμίλου⟩: στικτέον κατὰ τὸ τέλος τοῦ στίχου. ἀμφίβολον δὲ τὸ λεγόμενον· ἤτοι γὰρ ἀλλήλων παρακελεύεται φείσασθαι τόν τε Διομήδη καὶ τὸν Γλαῦκον καὶ πάλιν ἀλλήλων τὰ πλήθη, τοὺς Λυκίους καὶ τοὺς Ἀργείους, ἵν' ὥσπερ σπονδὰς ἔχωσιν οὗτοι οἱ βασιλεῖς καὶ τὰ πλήθη. ἢ καὶ ἐναλλὰξ καὶ οἱ βασιλεῖς τῶν πληθῶν καὶ τὰ πλήθη τῶν βασιλέων, ὡς δὲ συντομώτερον εἰπεῖν, πάντες πάντων, Διομήδης Γλαῦκος, Ἀργεῖοι Λύκιοι· μειοῦνται γὰρ αἱ τῆς φιλίας συνθῆκαι, εἰ μόνοι οἱ βασιλεῖς ἀλλήλων ἀφέξονται. A

*Did.* *b.* ⟨ἀλλήλων:⟩ οὕτως ἀλλήλων. Ζηνοδότειος δέ ἐστιν ἡ „ἀλλήλους". $A^{im}$

*ex.(Did.)* *c.* ἔγχεα δ' ἀλλήλων: ἀλλήλων τὰ ἔγχη ἐκκλίνωμεν. b ($BCE^3E^4$) T γράφεται δὲ καὶ „ἔγχεσιν", ἵν' ᾖ b($BCE^3E^4$) ἀποτύχωμεν ἀλλήλων καίτοι ἐν πλήθει ὄντες. b($BCE^3E^4$) T Ζηνόδοτος δὲ γράφει „ἀλλήλους †ἀλεσώμεθα". T

*ex.* *d.* ἔγχεα δ' ἀλλήλων ἀλεώμεθα καὶ δι' ὁμίλου: ἐπὶ παντὸς τοῦ πλήθους, ὅπως γνῶσιν ὅτι ξεῖνοί εἰσιν· ἢ διὰ πάσης τῆς μάχης, ὡς „τανυσσάμενος διὰ μήλων" (ι 298)· ἢ καὶ ἡμεῖς καὶ αἱ ἡμέτεραι στρατιαὶ παραφυλάξωνται τὴν πρὸς ἀλλήλας στάσιν. b ($BCE^3E^4$) T

*ex.(?)* *e.* ⟨ἀλεώμεθα:⟩ ἀντὶ τοῦ φειδώμεθα. $A^{int}$

*ex.* 227—9 *a.* ⟨πολλοὶ μὲν γὰρ ——— δύνηαι:⟩ οἷον οὐκ ἐπείγει

non esse videtur") 224 vide ad Z 152 *b* (Ariston.) 226 $E^4$ (fol. $54^v$): στικτέον — στίχου (56)· οὐ μόνον γὰρ ἀλλήλων φείσασθαι παρακελεύεται τὸν Γλαῦκον καὶ τὸν Διομήδην, ἀλλὰ καὶ τὰ πλήθη· καὶ ἐναλλὰξ καὶ οἱ βασιλεῖς τῶν πληθῶν καὶ πάντες πάντων, Διομήδης Γλαῦκος, Ἀργεῖοι Λύκιοι· μειοῦνται γὰρ (62) — ἀφέξονται, fort. ex h, cf. Porph. 1, 97, 6 μειοῦνται (62) sq.] μειοῦνται γὰρ αἱ τῆς φιλίας συνθῆκαι, εἰ μόνοι οἱ βασιλῆς ἀλλήλων ἀφέξονται, οὐ μὴν δὲ καὶ πλήθη τὰ ὑπ' αὐτούς T m. sec. in fine scholii *d* (coni. cum v. στάσιν) *b/c* Aristarchus ἔγχεα δ' ἀλλήλων, Zen. ἔγχεσι δ' ἀλλήλους optimam lectionem putavisse vid., cf. Ludwich, A. H. T. 1, 269, 15; aliter Valk I 75 *c* — ἐκκλί-

55 le. A suppl. Vill. 64 le. addidi οὕτ. ἀρίσταρχος ἀλλ. Cob. 66 τὰ ἔγχη om. T 67 sq. ἀλλήλων ἀποτύχωμεν b 69 ἀλεώμεθα V, fort. recte 70—4 le. et sch. scholio praecedenti adhaerent in T, dist. Ma. 70 (le.) ἀλεσώμεθα T emendavi ἐπὶ T τὸ γὰρ δι' ὁμίλου ἀντὶ τοῦ ἐπὶ coni. cum scholio praecedenti (v. ὄντες) b 71 τοῦ om. $E^4$ εἰσιν b εἶεν T 72 ὡς τὸ b τανυσάμενος T 73 παραφυλάξονται T στάσιν T ἐν πολέμῳ στάσιν ἐκκλίνουσαι b 75 le. add. Ddf. 76 le. addidi

πρὸς ἀλλήλους ἡμᾶς ἀμφοτέρους μάχεσθαι. A[im]

*b*. πολλοὶ μὲν γὰρ ἐμοὶ ⟨Τρῶες κλειτοί τ' ἐπίκουροι /⟩ *ex.* κτείνειν ὅν κε θεός γε πόροι ⟨——— ὅν κε δύνηαι⟩: καίτοι εὐημερῶν παραπεφυλαγμένως λαλεῖ ὡς πρὸς φίλον μετριάζων· b(BC E³) T ηὔξησέ τε αὐτὸν διὰ τοῦ δύνηαι. T

229. {ὅν κε} δύνηαι: ὡς λέγηαι καὶ φέρηαι· „σὺ δέ κεν κακὸν *Hrd.* οἶτον ὄληαι" (Γ 417). Τυραννίων (fr. 15 P.) δὲ προπερισπᾷ· καὶ δῆλον ὅτι καὶ τὸ πρῶτον αὐτοῦ πρόσωπον δώσει δυνῶμαι ὡς νικῶμαι. ἀλλ' εἰ ἅπαξ ἐστὶ τὸ ὁριστικὸν κατὰ χρῆσιν, δύναμαι δύνασαι, καὶ ὁμολογεῖται ἀπὸ τῶν εἰς μι, ὁμοτονήσει τούτοις καὶ τὰ ὑποτακτικά. οὕτως καὶ Ἀρίσταρχος καὶ οἱ ἄλλοι. A

230. ⟨τεύχεα δ' ἀλλήλοις ἐπαμείψομεν:⟩ ἁπλοϊκῶς τοῦτο, *ex.* οὐ δι' αἰσχροκέρδειαν. b(BCE³E⁴) T

230—1. ὄφρα καὶ οἵδε / γνῶσιν: δῆλον οὖν ὡς ἐν ἡσυχίᾳ εἰσὶ *ex.* τὰ πλήθη, καραδοκοῦντες τὸ τέλος. b(BCE³E⁴) T

234 *a*. ἔνθ' αὖτε Γλαύκῳ ⟨Κρονίδης φρένας ἐξέλετο Ζεύς⟩: *ex.* εἰκότως ὁ Γλαῦκος τοῦ προγόνου τὸ φιλότιμον ἀκούσας Βελλεροφόντου χρυσὸν δωρεῖται πρὸς τὸ παρόν· ἄλλως τε ὑπερήδεται τῇ συντυχίᾳ γινόμενος ἰδιόξενος τοῦ παναρίστου Διομήδους. b(BCE³ E⁴) T τὸ δὲ ἐξέλετο ἀντὶ τοῦ ὑπερηύξησε τῇ φιλοτιμίᾳ, ὡς τὸ „γέρας ἔξελον" (Π 56 al.). b(BE³E⁴) T

*b*.¹ ἔνθ' αὖτε Γλαύκῳ ⟨Κρονίδης⟩ φρένας ἐξέλετο: ὅτι *ex.* κατὰ τῶν συμμάχων ἐκόσμει λαμπροτέροις αὐτὸν ὅπλοις. ἢ ὡς Ἡφαιστότευκτα. ἤ, ὡς Πῖος (fr. 2 H.), ἵνα κἀν τούτῳ αὐξήσῃ τὸν Ἕλληνα μὴ ἐξ ἴσου ἀπηλ⟨λ⟩αγμένον, ὅπερ ἡδὺ τοῖς ἀκούουσιν. T

*b*.² ἢ μᾶλλον αἰτιᾶται αὐτόν, ὅτι λαμπροῖς ὅπλοις ἐκοσμεῖτο

νωμεν (66) cf. D  **229** ad Γ 417 (Hrd.), cf. Arcad. 194, 18  **230** cf. Eust. 638, 63  **230—1** ad Z 116 *a*  **233** incertum an sch. exstiterit de more veterum, qui ut fidem amicitiae adderent, manus inter se porrigebant, cf. Eust. 638, 30, sch. Ar. nub. 81  **234** *a* — τὸ παρόν (94) cf. Porph. 1, 96, 11; Eust. 638, 44; aliter Porph. 1, 96, 28 (Aristot. fr. 155 R.)  ἄλλως τε (94) — Διομήδους (95) cf. Max. Tyr. 39, 1 *c*  τὸ δὲ ἐξέλετο (1) sq. cf. Porph. 1, 96, 33

---

**78** sq. le. π. μ. γ. ἐμοὶ κτ. ὅν γε θ. γε π. T, emendavi et supplevi, om. b  **82** (le.) ὅν κε del. Bk.  **84** δώδει A em. Bk.  **88** le. add. Bk. (τεύχεα Li)  τοῦτο T φησὶ τοῦτο διὰ φιλίας σύμβολον, ἀλλ' b  **90—1** sch. ad Z 230 rettulit b  **91** καραδοκοῦντα b  **92** le. T supplevi (auctore Vill.), om. b  **95** γενόμενος Bk., fort. rectius  **1** sq. τῇ φιλοτ. sq. T τῇ φιλότητι (ceteris omissis) b, fort. sola verba τῇ φιλοτιμίᾳ  **3** le. T supplevi  **4** αὐτὸν sc. Diomedem  **5** κἀν τοῦτο T em. Ma.  **6** ἀπηλαγμένον T suppl. Ma.  **7—9** ἢ μᾶλλ. sq. cum

κατὰ ἑαυτοῦ καὶ τῶν συμμάχων· ὅπου γὰρ ταῦτα, εὔκαιρος ἡ τῶν πολεμίων ὁρμή. b(BE$^3$E$^4$)

*ex.* 235 *a.*$^1$ ὃς πρὸς Τυδείδην Διομήδη ⟨τεύχε' ἄμειβε⟩: καὶ πῶς οὐ δέδιε Διομήδης γυμνούμενος πρὸ μικροῦ †τρώων† παρασπονδησάντων; τάχα οὖν τὸν ζωστῆρα μόνον καὶ τὸ ξίφος ὡς οἱ περὶ Ἕκτορα (cf. H 303—5) ἤμειψαν· †χάρης† γὰρ οὐ θέλει τὴν ἀσπίδα· ἡ γὰρ †αὐ† προὔκρινεν αὐτὴν Ἕκτωρ τοῦ Νέστορος. T

*a.*$^2$ καὶ πῶς οὐ Διομήδης φρενῶν λείπεται γυμνούμενος πρὸ μικροῦ τῶν Τρώων παρασπονδησάντων; τάχα οὖν τὸν ζωστῆρα μόνον καὶ τὸ ξίφος ὡς οἱ περὶ Ἕκτορα ἤμειψαν· οὐ γὰρ τὴν ἀσπίδα πρὸς χάριν ἐδίδουν· ἡ γὰρ ἂν προὔκρινε τὴν Αἴαντος Ἕκτωρ, εἰ ἐδίδοτο, ὑπὲρ τὴν Νέστορος. b(BCE$^3$E$^4$)

*ex.* 236 *a.*$^1$ ⟨ἑκατόμβοι':⟩ ἑκατὸν ἄξια νομισμάτων· οἱ γὰρ Ἀθηναῖοι ἐν τοῖς ἑαυτῶν νομίσμασι βοῦν ἐνετύπουν. b(BCE$^3$)

*ex.* | *D* | *ex.* *a.*$^2$ ἑκατόμβοι': ἐκ τοῦ παρ' Ἀθηναίοις νομίσματος· | οὐ γὰρ νομίσμασιν ἐχρῶντο· ὅθεν καὶ „ἀλφεσίβοιαι" (Σ 593). | οἱ δὲ παρ' Ἀθηναίοις νόμισμα ἔχον βοῦν. T

*D* | *ex.* *a.*$^3$ ἑκατόμβοια: ἑκατὸν βοῶν ἄξια· οὐ γὰρ νομίσμασιν ἐχρῶντο· ὅθεν καὶ „ἀλφεσίβοιαι". | οἱ δὲ παρ' Ἀθηναίοις νόμισμα ἔχον βοῦν. A

*D* *b.* ἐννεαβοίων: ἐννέα βοῶν. A κεκώλυται δὲ ὑπὸ τοῦ μέτρου εἰπεῖν δεκαβοίων. AT

*ex.* 237 *a.* ⟨Ἕκτωρ δ' ὡς:⟩ εὐκαίρως μεταβαίνει τὸ διάκενον τῆς πορείας Ἕκτορος ἀναπληρώσας τοῖς διὰ Γλαύκου καὶ Διομήδους. b(BCE$^3$) T$^{il}$

*Ariston.* *b.* Σκαιάς τε ⟨πύλας καὶ φηγὸν ἵκανεν⟩: ὅτι τὰς Σκαιὰς

(unde Eust. 638, 52), 1, 97, 16 **235** cf. Valk I 525 τοῦ (vel τὴν) Νέστορος (14. 19) cf. Θ 191—3 *a*$^2$ ἂν προὔκρινε (18) cf. H 305 et Θ 191—3 **236** *a*$^1$ cf. D ad B 449. Φ 79; aliter Ecl. (An. Ox. 2, 438, 11, Et. Gud. 441, 14 Stef.) οἱ γὰρ (20) sq. cf. Eust. 639, 8 *a*$^2$/*a*$^3$ οὐ γὰρ νομίσμασι ἐχρῶντο (22. 25) cf. Poll. 9, 60. 73; vide ad H 473 **237** *a* ad Z 116 *b* *b* ad E 789 (Ariston.)

---

scholio *a* (v. φιλότητι, vide ad l. 1 sq.) coni. b **8** καθ' ἑαυτοῦ E$^4$ **10** le. T supplevi **11** τῶν τρώων (cf. sch. *b*$^2$) Ma. **13** ἡ χάρις Ma., vix χαῖρις (hoc Valk), fort. χάριν vel χάριτι (tum οὐδεὶς pro οὐ) **14** ἂν Ma. τοῦ T, τῆς Valk, fort. recte **14** et **19** νέστορος] ζωστῆρος Schrader (perperam) **16** παρασπονδισάντων CE$^3$E$^4$ **20** le. add. Ddf. **22** ἐκ] fort. ἐπὶ (cf. Eust. 639,7) **24** νόμισμα scripsi (cl. sch. *a*$^3$), ν ss. ὁ T **25** ἑκατὸν D, ἑκατῶν A **26** sq. οἱ δὲ παρ'] οἱ δὲ ὡς μεταφορὰν ἀπεδέξαντο, ὅτι παρ' Roe. (Ar. 181), audacius quam rectius **27** ἔχων A em. Ddf., ἦν ἔχον Roe. **28** βοῶν ἄξια D **28** sq. κεκώλυται sq. pone sch. *a*$^2$ (coni. cum v. βοῦν) T **30** le. add. V$^c$, ἕκτωρ δ' ὡς σκαιάς add. Li **33** le. A suppl. Frdl., om. A$^{int}$ ὅτι A, ἡ διπλῆ, ὅτι Vill.

ὀνοματικῶς Δαρδανίας λέγει (sc. Ε 789. Χ 194. 413). AA$^{int}$

238. ἀμφ' ἄρα μιν Τρώων ἄλοχοι ⟨θέον ἠδὲ θύγατρες⟩: *ex.* ἤδη ἐπὶ τὸ περιπαθὲς ἔρχεται· διὸ οὐδὲ τῶν γερόντων ἐμνήσθη, ἀλλὰ τῶν γυναικῶν. οἰκεῖον δὲ ἐπ' αὐτῶν τὸ θέειν. b(BCE$^3$) T

239 *a*. εἰρόμεναι ⟨παῖδάς τε κασιγνήτους τε ἔτας τε⟩: *Ariston.* πρὸς τὸ σχῆμα, ἀντὶ τοῦ περὶ παίδων καὶ κασιγνήτων ἐρωτῶσαι. A

*b*. ⟨παῖδας:⟩ ἀντὶ τοῦ ὑπὲρ παίδων. b(BCE$^3$E$^4$) T$^{il}$ *D*

*c*. ἔτας {τε}: ὁ Ἀσκαλωνίτης (p. 47 B.) ψιλοῖ, ἐφ' οὗ ἂν *Hrd.* τάσσηται, φησί, σημαινομένου· πολλὰ γὰρ ἡ λέξις σημαίνει. εἰ δὲ καὶ ἐπὶ τῶν ἑταίρων, φησί, πάλιν ψιλωτέον, ἐπεὶ συγκοπὴ ἐγένετο ὡς ἀπὸ τοῦ ἥλατο „ἆλτο" (Α 532 al.). πιθανώτερον δέ ἐστι, φησίν, ἐνθάδε ἀκούειν ἐπὶ τῶν συγγενῶν. Ἀλεξίων (fr. 30 B.) δὲ δασύνει. ὁ δὲ Ἀρίσταρχος οὐδὲν ἄντικρυς περὶ τοῦ πνεύματος ἀπεφήνατο. ἡμῖν δὲ δοκεῖ ἀφορμῇ ἐκείνῃ χρήσασθαι· εἰ ἄδηλόν ἐστι τὸ πνεῦμα, τὰ δὲ τοιαῦτα πολλάκις ἐκ συναλιφῶν κρίνεται, εὑρέθη δὲ διὰ ψιλοῦ ἡ συναλιφή, οὐδέποτε δὲ διὰ δασέος, δῆλον ὅτι διὰ τοῦτο συγκαταθετέον τῷ Ἀσκαλωνίτῃ ψιλοῦντι. παρὰ γοῦν Αἰσχύλῳ (fr. 377 N.$^2$ = 530, 28 M.) οὕτως εὕρομεν· „οὔτε δῆμος οὔτ' ἔτης ἀνήρ", καὶ παρ' Εὐριπίδῃ (fr. 1014 N.$^2$) τὸ „†πόλει μὲν ἄρχων†, φωτὶ δ' οὐκ ἔτῃ πρέπον". A

239 *a* ad Ρ 35 (Ariston.), cf. sch. δ 836. κ 15; sch. Ar. av. 167 *c* brevius Eust. 641, 56: ἰστέον δὲ ὅτι τὸ ἔτης πολλὰ μὲν σημαίνει κατὰ τοὺς παλαιούς, ἐφ' οὗ δ' ἂν τάσσηται σημαινομένου, ψιλοῦται· εἰ γὰρ καὶ ὁ Ἀλεξίων, φασί, δασύνει αὐτὸ ὡς ἀπὸ τοῦ ἑταῖρος συγκοπέν, ἀλλ' ἐκ τῆς συναλοιφῆς κρινόμενον, ὡς Ἀπίων φησὶ καὶ Ἡρόδωρος, τὸ ψιλὸν πνεῦμα κεκλήρωται· Αἰσχύλος γάρ φησιν· „οὔτε δῆμος οὔτ' ἔτης ἀνήρ" καὶ Εὐριπίδης· „πόλει μὲν ἄρχων, φωτὶ δ' οὐκ ἔτῃ πρέπων". συγκαταθητέον οὖν, φησί, τῷ Ἀσκαλωνίτῃ ψιλοῦντι τὸ ἔτης, fort. ex hyp. Iliad.; cf. sch. δ 3. 16 ἑταίρων (43) . . . συγγενῶν (45) ad Η 295 (ex.), cf. D, Porph. 1, 77, 10. 2, 10, 17; Bechtel, Lex. 142; Latte, Herm. 66, 1931, 34, 3 (= Kleine Schr., Monaci 1968, 256, 10) ἐπεὶ (43) — ἆλτο (44) ad Α 532 (Hrd.), cf. Wackernagel I 766, 1 Αἰσχύλῳ (50) . . . οὔτε (51) — ἀνήρ Pap. Ox. 2256 fr. 9a, 28; cf. S. L. Radt, Pindars zweiter und sechster Paian,

---

35 le. T supplevi (auctore Vill.), om. b 36 sq. τῶν utroque loco om. b 37 θέειν b θεῖον T, θεῖν Ma. 38 le. A suppl. Vill. 39 πρὸς A, ἡ διπλῆ πρὸς Vill. ἀντὶ A, ὅτι ἀντὶ Ddf. (vide sch. Z 510 *a*) fort. κασιγν. καὶ ἐτῶν ἐρ. 40 le. add. Ma. (Vill.) 41 (le.) τε delevi 43 ἑτέρων A em. Bk. 51 οὔτ' ἔτης Eust., οὐτέτις A 52 οὐκ ἔτῃ Eust., οὐκέτι A 53 πρέπων Eust.

*ex.(Hrd.?)* *d.* ἔτας: ψιλωτέον τὸ ἔτας. **b**(BCE$^3$) **T** ἔται δὲ λέγονται καὶ οἱ πολῖται καὶ οἱ συγγενεῖς. **b**(BCE$^3$E$^4$) **T**

*ex.* **240.** θεοῖς εὔχεσθαι ἀνώγει: ὡς πάντων περιόντων χρηστὰς ὑπέδειξεν ἐλπίδας· οὐδεὶς γὰρ ὑπὲρ τεθνεώτων εὔχεται. **b**(BCE$^3$E$^4$) **T**

*Ariston.* **241** *a.* πάσας ἑξείης: ὅτι ἔν τισι γράφεται „πᾶσι μάλ' ἑξείης“ (= λ 134), κατὰ τὸ ἑξῆς λέγων τοῖς θεοῖς εὔχεσθαι, ἀλλὰ μὴ κατὰ τὸ τυχόν. **A**

*ex.* *b.* ⟨πάσας ἑξείης:⟩ πρὸς πάσας ἐφεξῆς τὴν αὐτὴν ἀπόκρισιν ἐποιεῖτο. **b**(BCE$^3$) **T**$^{il}$

*Nic.* **242—51** *a.*[1] ἀλλ' ὅτε δὴ Πριάμοιο δόμον ⟨——— ἤλυθε μήτηρ⟩: τὸ ἑξῆς ἀλλ' ὅτε δὴ Πριάμοιο (242), ἔνθα οἱ ἠπιόδωρος (251). τὰ δὲ λοιπὰ ὡς διὰ μέσου λεγόμενα διορθωτέον. **A**

*a.*[2] τὸ ἑξῆς ἀλλ' ὅτε δὴ Πριάμοιο δόμον, ἔνθα οἱ ἠπιόδωρος. τὰ δὲ †ἑξῆς† διὰ μέσου. **b**(BCE$^3$E$^4$) **T**

*ex.* **243** *a.*[1] ⟨αἰθούσῃσι:⟩ τειχίοις τῆς αὐλῆς. **T**$^{il}$

*a.*[2] αἴθουσαι δὲ τὰ τῆς αὐλῆς τειχία. **b**(BCE$^3$)

*D* αἰθούσῃσι: στοαῖς ταῖς ——— ἡλίου βολήν. **A**

*ex.* **244—6.** πεντήκοντα ἔσαν θάλαμοι ⟨——— ἀλόχοισι⟩: ἴσως οἱ περὶ Ἕκτορα ἀνδρωθέντες καὶ βασιλικοὶ γεγονότες ἀπέστησαν τοῦ πατρός. **b**(BE$^3$E$^4$) **T**

Amstelodami 1958, 198 *d* πολῖται (55) ad Z 262 *b* (ex.), cf. sch. Aesch. Suppl. 247; Syll.$^3$ 9 not. 7 et 141 not. 19 συγγενεῖς (55) cf. sch. *c*; Choer. O. 215, 3 **240** fort. exstabat sch. Nicanoris, cf. test. ad Z 265 **241** cf. pap. V, fr. 'a, col. I 9 **243** *a* cf. sch. Theocr. (?) 7, 26 d

---

**54** le. scripsi, ἔτας τε T, om. **b** ψιλωτέον δὲ sq. pone sch. *b* (coni. cum v. παίδων) **b** **55** πολῖται — συγγ.] συγγενεῖς καὶ οἱ πολῖται (πολίται C) **b** **57** ἐπέδειξεν C ὑπὲρ **b** περὶ T **58** ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **59** λέγων „sc. Hector vel Homerus“ Frdl. **61** le. add. Li V$^c$ ὅτι πρὸς **b** **61** sq. ἐπ. ἀπόκρισιν **b** **63** sq. le. A suppl. Frdl. **64** πριάμ.] fort. πριάμοιο δόμον περικαλλέ' ἵκανε / ξεστῇς αἰθούσῃσι τετυγμένον (242—3) **66—7** sch. ad. v. 242 rettulerunt **bT** **66** τὸ ἑξῆς BCE$^3$ ἀλλ' ὅτε δὴ πριάμοιο: τὸ ἑξῆς T οὕτως συντακτέον E$^4$ δόμ.] δόμον ἵκανε T **67** τὰ δὲ ἑξ.] τὸ δὲ λοιπὸν E$^4$, voluit τὰ δὲ λοιπὰ **68** le. add. Ma. **69** αἴθουσαι sq. cum scholio Z 242—51 *a*$^2$ coni. BCE$^3$, distinxi αἴθ. — τείχ.] τοῖς ὑπὸ ἡλίου αἰθομένοις λαμπομένοις τειχίοις τῆς αὐλῆς E$^{4il}$ (cf. D) **70** αἰθούσῃσι sq. pone sch. Z 244 in A, trps. Vill. **71** le. T supplevi, om. **b** (ubi sch. ad Z 245 revocatum fuisse vid.), παῖδες: Bk. **72** sq. ἀπέστησαν sq. h. e. ut Hector e domo patris emigraverunt

**244.** {πεντήκοντ'} ἔνεσαν {θάλαμοι}: ἔνεσαν ὡς ἔλεξαν. οὕτως καὶ Ἀρίσταρχος· ἀληθὲς γάρ ἐστιν ὡς πᾶς παρῳχημένος δισύλλαβος, παθὼν κατὰ τὴν ἀρχὴν καὶ βραχεῖαν ἀναδεξάμενος, ἀναδίδωσι τὸν τόνον, κατεῖχε „κάτεχε" (Γ 243. ν 269). οὕτως οὖν ἀνέγνωμεν „ἧμενον εἰσεῖδε" (Ξ 158) προπερισπωμένως, τὸ δὲ ἕτερον „τὰ φρονέων μνηστῆρσι μεθήμενος εἴσιδ' Ἀθήνην" (α 118) προπαροξυτόνως. **A** *Hrd.*

**246.** ⟨παρὰ μνηστῇς ἀλόχοισι:⟩ ἐν ἄλλῳ „παρ' αἰδοίῃς ἀλόχοισι". $\mathbf{A}^{im}$ *Did. (?)*

**248** *a.* τέγεοι: ὡς τέλεοι· τέγος γὰρ ὡς „τέλος" (Γ 291 al.) καὶ τέγειος ὡς τέλειος. $\mathbf{A}^{im}$ *Hrd.*

*b.* {δώδεκ' ἔσαν} τέγεοι θάλαμοι: ὅτι ὑπερῷοι ἦσαν· διὸ τέγεοι, ἵνα μὴ διοδεύωνται. ἐπιμελῶς δὲ Ὅμηρος καὶ διὰ τῆς Ἰλιάδος καὶ διὰ τῆς Ὀδυσσείας τοὺς γυναικείους θαλάμους συνίστησιν. **A** *Ariston.*

*c.* τέγεοι ⟨θάλαμοι⟩: ὑπερῷοι ἐπὶ τοῦ τέγους ᾠκοδομημένοι· **b**(BCE$^3$) **T** τοιοῦτοι γὰρ κατεσκευάζοντο ταῖς γυναιξὶ πρὸς τὸ μὴ ὁρᾶσθαι συνεχῶς ἀνδράσιν. **b**(BCE$^3$E$^4$) **T**

**249—50.** ἔνθα δὲ γαμβροὶ / κοιμῶντο Πριάμοιο παρ' αἰδοίῃς ἀλόχοισιν: εἰς τὸ φιλότεκνον Πριάμου· φησὶ γὰρ „πλησίοι ἀλλήλων δεδμημένοι" (Z 245. 249). **T** *ex.*

**250** *a.*$^1$ ⟨παρ' αἰδοίῃς ἀλόχοισιν:⟩ οὕτως Ἀρίσταρχος παρ' αἰδοίῃς ⟨ἀλόχοισιν⟩. $\mathbf{A}^{int}$ *Did.*

*a.*$^2$ ἐν ἄλλῳ „παρὰ μνηστῇς ἀλόχοισι". $\mathbf{A}^{im}$

**251.** ἠπιόδωρος: δῶρον παρὰ τῆς φύσεως ἔχουσα τὸ εἶναι ἠπία, **A b**(BCE$^3$E$^4$) **T** ὅτι κλαυθμυριζομένοις τοῖς παισὶ τὸν μαστὸν προτείνουσι τὸν „λαθικηδέα" (X 83). **A b**(BCE$^3$) **T** *ex.*

**244** ad A 611. Vide ad A 565. Γ 426 (Hrd.); — κάτεχε(ν) (77) Et. Gen. (AB) ἔνεσαν, fort. ex hyp. Iliad.; cf. Beiträge 142 **246** ad Z 250 (Did.) **248** *b/c* ὑπερῷοι (84. 87) cf. D; Synag. (Ba. 382, 25, Ph., Su. τ 216 c. test.) *b* ad Π 184 *a* (Ariston.), cf. Eust. 639, 61; Lehrs Ar.$^3$ 195 **249—50** aliter Eust. 640, 12 **250** ad Z 246 (Did.) **251** cf. D; — ἠπία (1) cf. Eust. 640, 15

**74** (le.) πεντ. et θάλ. del. Bk. ἔλ. A (cf. Ξ 252), ἔρεξαν Et. Gen. **80** le. add. Vill. **82** τέγεοι ὡς τέλ. A em. Lehrs **84** (le.) δώδ. ἔσαν del. Frdl. ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **85** διοπτεύωνται Lehrs, vix recte (cf. Eust.) **87** le. T suppl. Li, om. **b** **87** sq. στέγους ᾠκοδόμηντο **b** **89** πρὸ [. . . . .] et συν[. . . . . .]δρασιν T, suppl. m. sec. **93** le. add. Bk. **93** sq. παρ' αἰδ. ἀλόχ. = vulg. **94** ἀλ. add. Ldw. **1** le. AT, om. **b** δῶρον] ἢ καὶ πολλὰ δῶρα ἔχουσα ἢ καὶ δῶρον E$^4$ **2** παισὶ τὸν] παισὶν ἑὸν T μαζὸν Ab **3** προτείνει A τὸν λαθικ. om. A λαθικ. **b**, λαθ[.]κηδέα T suppl. m. sec.

*Ariston.* 252 *a*. ⟨Λαοδίκην ἐς ἄγουσα:⟩ ὅτι πρὸς Λαοδίκην πορευομένη, „εἰς 'Αγαμέμνονα" (Η 312). $A^{im}$

*ex.* *b*. Λαοδίκην ἐσάγουσα: εἰσιοῦσα, b(BCE³E⁴) $TT^{il}$ ὥς φαμεν 'ποῖ εἰσάγεις' ἀντὶ τοῦ εἰσέρχῃ. τινὲς δὲ τὴν ἐς ἀντὶ τῆς πρός, πρὸς Λαοδίκην. εἴσεισι δὲ πρὸς Λαοδίκην πευσομένη τὴν αἰτίαν, δι' ἣν ἐξήγαγεν 'Ελένην· αὐτῇ γὰρ ἡ Ἶρις εἰκασθεῖσα ἐξήγαγεν εἰς τὸ τεῖχος τὴν 'Ελένην (sc. Γ 121—4). b(BCE³E⁴) T

*ex.* 255. δυσώνυμοι υἷες 'Αχαιῶν: οὐδὲ γὰρ ὄνομα αὐτῶν ὀνομάζειν ἐθέλει. καὶ ἡ Πηνελόπη „Κακοΐλιον οὐκ ὀνομαστήν" φησιν (τ 260). A b(BCE³) T

*ex.* 256—7 $a.^1$ σὲ δ' ἐνθάδε θυμὸς ἀνῆκεν ⟨/———⟩ Διῒ χεῖρας ἀνασχεῖν: εἰκότως διὰ τὴν ἀρετὴν τούτου οὐχ ὑπώπτευσε φυγήν. T

$a.^2$ δεόντως τὴν τοῦ παιδὸς ἀρετὴν ἐξειδυῖα φυγὴν οὐχ ὑπώπτευσεν. b(BCE³)

*Ariston.* 257. ⟨ἄκρης πόλιος:⟩ ὅτι διαλελυμένως ἄκρην πόλιν εἶπε τὴν ἀκρόπολιν. $A^{im}$

*Hrd.* 260 $a.^1$ {πρῶτον ἔπειτα} ΔΕ ΚΑΥΤΟΣ: τοῦτο διχῶς ἀναγινώσκεται· ὅσοι γὰρ ἡγοῦνται τὸν κέ ἐγκλιτικόν, ῥωννύουσι τοῦ δέ τὴν

252 *a*/*b* cf. Valk II 225 *a* ad Η 312. Χ 492. Ψ 36. Ω 338, cf. sch. γ 317. 337, sch. Hsd. opp. 84 b, Tz. ex. 124, 4, Tz. Ar. Plut. 404; Lehrs, Quaest. ep. 87; pars scholii excidisse vid., in qua Aristonicus docebat, cur nunc Laodicen, alibi Cassandram pulcherrimam Priami filiarum poeta dixerit, ad Γ 124. Ν 365 *a* (Ariston.), cf. Eust. 620, 24: ὅτι ἡ Λαοδίκη . . . εἶδος ἀρίστη τῶν Πριάμου θυγατέρων ἦν, αἳ δηλονότι ἄνδρας εἶχον. ἐν ἄλλοις δὲ τὴν Κασάνδραν οὕτω καλεῖ ταῖς ἔτι παρθένοις ἐκείνην συγκρίνων, Porph. 2, 104, 1. Fort. Aristonicus etiam de usu intransitivo vocis ἄγουσα egit ὅτι (4) — πορευομένη cf. D, He. λ 290 (πρὸς Λαοδίκην πορευομένη. Λαοδίκην δὲ οἱ νεώτεροι 'Ηλέκτραν λέγουσιν. Verba Λαοδ. δὲ sq. ab hoc loco aliena sunt) *b* cf. pap. V; Porph. 1, 98, 16. 99, 8 εἰσιοῦσα (6) cf. D, Eust. 640, 26; Ap. S. 7, 7 (plura He. α 854) αὐτῇ γὰρ (9) sq. sc. Γ 121—45 255 cf. Eust. 640, 31 256—7 cf. Eust. 640, 36 257 ad Ζ 317. Η 345 *b*, cf. pap. V, D ad Ζ 88. 257. 317, Ap. S. 18, 22, Su. σ 81. Vide ad Δ 105—6. Ξ 307 *a* (ex.); suspicari licet Aristonicum etiam de v. χεῖρας ἀνασχεῖν egisse, cf. pap. V 260 *a* cf. sch. γ 255 (Hrd.). Vide sch. *b* (test.)

---

4 le. add. Lehrs ὅτι A, fort. ἡ διπλῆ, ὅτι 6—8 τὸ δὲ ἐσάγουσα ἀντὶ τοῦ εἰσιοῦσα — πρὸς λαοδίκην¹ in fine scholii (coni. cum v. τεῖχος) in b 7 τοῦ ποῖ (ποῦ E⁴) εἰσέρχῃ b 7 sq. πρός, ἵν' ᾖ πρὸς λ. b 8 εἴσεισι — λαοδ. T πρὸς λαοδίκην εἴσεισι b 9 sq. εἰς τὸ — ἐλ. T αὐτὴν εἰς τὸ τεῖχος b 11 le. T, δυσώνυμοι: A, om. b ὄνομα] οὐδὲ τὸ ὄνομα b 12 θέλει A καὶ] ὡς καὶ b ἡ πην.] ἡ (ss. π) νελόπη A φησιν om. A 14 sq. le. T suppl. Ma. 15 ἀρ[. . . . . . . . . . . . . .] ὑπωπτ[. . .]ε φυγὴν T suppl. m. sec., fort. ἀρετὴν τοῦ υἱοῦ οὐχ ὑπ. φ. 16—7 sch. ad Ζ 256 rettulit b 18 le. add. Bk. ὅτι A, fort. ἡ διπλῆ, ὅτι 20 (le.) πρ. ἔπειτα del. Bk. (le.) δέ κ' αὐτός A 21 κέ Bk., καὶ A

ὀξεῖαν, ὡς καὶ ⟨ὁ⟩ Ἀσκαλωνίτης (p. 48 B.)· οὕτως γὰρ καὶ τὸ ἐν τῇ Ὀδυσσείᾳ (γ 255) ἀναγινώσκει· „ἤτοι μὲν τόδε κ' αὐτὸς ὀΐεαι". ὅσοι δὲ τὸν καί κατὰ κρᾶσιν καὶ ἔκθλιψιν, καὶ αὐτός καὐτός, ἐγκλίνουσι τὸν δέ. A

*a.*[2] τὸ ⟨δε⟩ καυτός διχῶς, καὶ βαρέως καὶ ὀξέως. A$^{im}$

*a.*[3] δε καυτός: διχῶς· οἱ μὲν γὰρ τὸν κέ συνειλῆφθαι, οἱ δὲ τὸν καί, ἵν' ᾖ κατὰ ἔλλειψιν ἢ κρᾶσιν. T

*b.* ⟨κ' αὐτός:⟩ ὅτι τὸ πλῆρές ἐστι κὲ αὐτός. Ὁμηρικὸν δὲ *Ariston* τὸ τὸν κέ περιττὸν εἶναι. A$^{int}$

*c.* ἔπειτα δὲ καὐτὸς ὀνήσεαι, ⟨αἴ κε πίῃσθα:⟩ μητρὸς *ex.* ἦθος ἀναφαίνεται· καὶ γὰρ ἀεὶ φαγεῖν καὶ πιεῖν ἀξιοῦσι τὰ τέκνα. πιθανὸν δὲ αὐτὸν νοεῖν διψῆν ἀπὸ τῆς κινήσεως τοῦ πολέμου. ὑφαιρουμένη δὲ αὐτοῦ τὴν αἰδῶ καὶ τὸ „σπείσῃς" (Z 259) εἶπεν. ὀνίνησι δὲ οἶνος μέτριος ποθεὶς δύναμίν τε ἐμποιεῖ, ὡς καὶ τὸ „τὸ γὰρ μένος ἐστὶ καὶ ἀλκή" (I 706). b(BCE$^3$E$^4$) T καὶ Ὀδυσσεὺς „ὃς δέ κ' ἀνὴρ οἴνοιο κορεσσάμενος καὶ ἐδωδῆς / ἀνδράσι δυσμενέεσσι πανημέριος πολεμίζῃ, / θαρσαλέον νύ οἱ ἦτορ ἐνὶ φρεσίν, οὐδέ τι γυῖα / πρὶν κάμνει πρὶν πάντας ἐρωῆσαι πολέμοιο" (T 167—70). T ὁ δέ, ἐπεὶ πραΰνει ὁ οἶνος, b(BCE$^3$E$^4$) T βούλεται δὲ ἄγριος πρὸς τοὺς πολεμίους εἶναι, παραιτεῖται. ἢ ὅτι δίχα τροφῆς βλάπτει τῶν νεύρων καθαπτόμενος, b(BE$^3$E$^4$) T ὥς φησι Λύκος. ἢ ὅτι μετέωρον ἔχει τὸ πνεῦμα ὡς δρομαῖος ἐλθών, σπεύδει δὲ καὶ ἀπελθεῖν δρομαῖος. T

*b* ad A 523 *a* (Ariston.). Vide ad N 734 *b*/*c*. O 403—4. Y 311 *c* ὀνίνησι (34) — πολέμοιο (39) cf. D ad Z 264 (Porph. 1, 100, 14); Eust. 640, 60 ἐπεὶ πραΰνει (40) — εἶναι (41) ad Z 264 *b* (ex.) ἢ ὅτι δίχα τροφῆς (41) — δρομαῖος (43) cf. D ad Z 264 (Porph. 1, 100, 20) Λύκος (42) cf. Erot. p. XXIV 3; 19, 3 al.; Synag. (Ba. 355, 10, Ph., Su. π 3138), Plin. n. h. 20, 220; Kind, R. E. 13, 2

---

**22** ὁ add. Bk. **23** μὲν Lehrs, μέντοι A καυτὸς A em. Bk. **24** καὐτός Bk. (Vill.), κ'αυτὸς A **26** δε add. Cob. διχῶς i. e. δέ κ' αὐτός aut δὲ καὐτός **27** sq. pone sch. *d* in T, transposui **27** le. scripsi, ἔπειτα δέ κ' αὐτός T **28** ἢ scripsi, καὶ T **29** le. addidi (Frdl.) ὅτι A, fort. ἡ διπλῆ, ὅτι **29** sq. κε (utroque loco) Lehrs, καὶ A **31** le. T supplevi (auctore Vill.), om. b **32** ἀναφ. T ἀναφαίνεται διὰ τούτου b ἀεὶ φαγ. b ἐμφαγεῖν T **33** litt. ὑτὸν νοεῖν διψῆν ἀπὸ evanuerunt in T **34** σπείσεις C **35** καὶ τὸ T τὸ καὶ b **36** δέ κ' Ma. (Hom.), δέ κεν T **37** οἴν. κορ. Ma. (Hom.), οἴνου κορεσάμενος T **38** πολεμίζει T em. Ma. (Hom.) **40** sq. εἶναι pone ἄγριος E$^4$ **41** παρ[ ca. 24 litt. ]απτει T novavit m. sec. **42** ὡ[. . . .]σι T novavit m. sec. **43** δρομαῖος[1]] δρομαίως ss. ο T δρομαῖος[2] T m. sec., evanuit m. pr.

ἄλλως τε στρατιώταις μὲν θράσος πορίζεται, στρατηγοὺς δὲ τῆς φρονήσεως ὑπεκλύει. ἢ τοῖς ἀποκαμοῦσιν μόνον ὠφέλιμος, ὁ δὲ ἔτι ἰσχύει. b(BE$^3$E$^4$) T

*ex.* *d.* ἔπειτα δὲ καὐτὸς ὀνήσεαι: καὶ πῶς φησι „μή μ' ἀπογυιώσῃς" (Z 265); T ἀλλ' ἔστιν ἐν ὑπερβατῷ· „χερσὶ δ' ἀνίπτοισιν Διῒ λείβειν / ἅζομαι (Z 266—7), μή μ' ἀπογυιώσῃς" (Z 265). ἄλλως τε ὁ μὲν μετὰ πόνους οἶνος ὠφέλιμος, ὁ δὲ πρὸ πόνου ἐπιβλαβής. b(BE$^3$E$^4$) T

*ex.* 261 *a.* ⟨ἀνδρὶ δὲ κεκμηῶτι μένος μέγα οἶνος ἀέξει:⟩ ὡς γραῦς ἀποδέχεται τὴν πόσιν. T$^{il}$

*ex.* *b.*$^1$ μένος: ἡ προθυμία παρὰ τὸ μένω ῥῆμα, ὃ δηλοῖ τὸ προθυμοῦμαι, ὅθεν παρακείμενος μέμακα, μετοχὴ μεμακώς, ἐνδείᾳ τοῦ κ̄ μεμαώς· „μεμαὼς πόλιν ἐξαλαπάξαι" (Δ 40). μέσος παρακείμενος μέμονα. καὶ ὡς φθείρω φθαρτός, οὕτως μένω ματὸς καὶ αὐτόματος ἐν συνθέσει. A

*b.*$^2$ μένος: ἡ προθυμία παρὰ τὸ μένω ῥῆμα, ὃ δηλοῖ τὸ προθυμοῦμαι, ὅθεν ὁ παρακείμενος γράφεται μέμακα, ὁ μέσος μέμαα, ἐξ οὗ καὶ τὸ „μεμαὼς ἀπὸ θυμὸν ὀλέσσαι" (E 852). ἔστι δὲ καὶ μέμονα ὁ παρακείμενος ἀπὸ τοῦ μένω μενῶ. καὶ ὡς φθείρω φθαρτός, οὕτως μένω ματὸς καὶ αὐτόματος. b(BCE$^3$)

*Ariston.* 262 *a.* ⟨τύνη:⟩ ὅτι ἄκρον Δώριον τὸ τύνη. A$^{im}$

*ex.* *b.* ἔτῃσιν: πολίταις. εὖ δὲ τὸ μὴ φάναι ἑαυτῷ μηδὲ τοῖς οἰκείοις, b(BCE$^3$E$^4$) T ἀλλὰ τῇ πόλει· T ἡγεμόνι γὰρ τοῦτο πρέπον. b(BCE$^3$E$^4$) T

(1927), 2408, 18 s. v. Lykos nr. 51 *d* cf. D ad Z 264 (Porph. 1, 101, 5); Eust. 640, 38. Vide ad Z 265 (Ariston.), 266 (ex.) ἄλλως τε ὁ μὲν (50) sq. vide sch. *c* **261** *a* cf. D ad Z 264 (Porph. 1, 100, 11), aliter sch. Ar. equ. 91 *b* — ῥῆμα (54) cf. Or. 103, 1 (unde Et. Gen. = EM. 579, 50) **262** *a* ad T 10 (Ariston.), cf. Eust. 641, 52; Ahrens, G. L. D. 2, 248, 6; vide ad Θ 378 *a*$^1$ *b* πολίταις (65) = D, cf. D ad I 464, aliter sch. Ap. Rh. 1, 305. Vide ad Z 239 *d*

---

**45** ἢ — ὠφέλ. Ma. (e. g.), ἢ τοῖς ἀποκαμοῦσιν T μόνους δὲ τοὺς ἀποκαμόντας ὠφελεῖ b **47** le. et sch. cum scholio praecedenti coni. T **47** sq. φησί[ 10 litt. ]σῃς T, novavit m. sec. **48** ἀλλ' — ὑπ. T, ἢ ἐν ὑπερβατῷ ἐστιν pone sch. *c* (coni. cum v. ἰσχύει) b **49** λείβειν αἴθοπα οἶνον Hom. ἀπογ.] ἀπογυιώσῃς μένεος ἀλκῆς τε λάθωμαι b, fort. rectius **50** πόνους] πόνον T m. sec. οἶνος evanuit in T, novavit m. sec. **52** le. addidi (ἀνδρὶ δὲ iam Li) **59—63** sch. ad Z 265 (v. μένεος) rettulit b **62** οὕτω BE$^3$ **64** le. addidi (auctore Vill.) ὅτι A, ἡ διπλῆ, ὅτι Vill. ἄκρως Vill. **65** πολ. εὖ δὲ τὸ T m. rec. πολίταις om. E$^4$ **66** sq. ἡγεμ. sq. Ma., [. . . . . . .] γὰρ τοῦτο πρέπον T suppl. m. rec., τοῦτο γὰρ ἡγεμόνι πρέπον b

264 *a*. ⟨ἄειρε:⟩ ἀντὶ τοῦ πρόσφερε, δίδου. $A^{im}$ *Ariston.*

*b*. μελίφρονα: τὸν ἀναγκάζοντα ἡδέα διανοεῖσθαι· ἱλαρωτέρους γὰρ ποιεῖ ὡς τὰ πολλὰ τοὺς πίνοντας. ὁ δὲ βούλεται εἶναι ἄγριος πρὸς τοὺς πολεμίους. b(BC$E^3E^4$) T *ex.*

265. μή μ' ἀπογυιώσῃς ⟨μένεος, ἀλκῆς τε λάθωμαι⟩: ἡ διπλῆ πρὸς τὸ δοκοῦν μάχεσθαι· ἡ γὰρ Ἑκάβη λέγει· „μένος μέγα οἶνος ἀέξει" (Z 261), ὁ δὲ Ἕκτωρ μή μ' ἀπογυιώσῃς μένεος. ἔστι δὲ διάφορα τὰ λέγοντα πρόσωπα, καὶ ἑκάτερον πρός τι εἴρηται. A *Ariston.*

266 *a*. ⟨ἀνίπτοισιν:⟩ οὕτως Ἀρίσταρχος. ὁ δὲ †ἡρωδιανὸς† διὰ τοῦ η „ἀνίπτῃσιν". $A^{im}$ *Did.*

*b*. ⟨ἀνίπτοισιν:⟩ ὅτι Ζηνόδοτος γράφει „ἀνίπτῃσιν". οὐκ ἔστι δὲ ἡ εὐθεῖα ἀνίπτη. $A^{int}$ *Ariston.*

*c*. χερσὶ δ' ἀνίπτοισιν: ἄμφω τὰς προτάσεις αὐτῆς παραιτεῖται ὁ Ἕκτωρ. b(BC$E^3E^4$) T *ex.*

**264** diple ante versum in A. Fort. exstabat sch. Herodiani de vocibus μή μοι, ad I 614 (Hrd.) *a* — πρόσφερε cf. Ap. S. 10, 22, Eust. 641, 18, sch. Ar. pac. 1 (= Euphron. fr. 5 Strecker) *b* ad Z 260 *c* (ex.); — πίνοντας (70) cf. Ap. S. 110, 24 **265** fort. exstabat sch. Nicanoris, cf. Eust. 641, 28: τὸ δὲ „μένεος" ἐκτείνει μετρικῶς ἐνταῦθα τὴν λήγουσαν διὰ τὴν ἀρέσκουσαν Ἀριστάρχῳ τελείαν στιγμὴν καὶ τὸ ἐν αὐτῇ οὕτω χρονίζον καὶ στάσιμον τῆς φωνῆς λόγῳ κοινῆς συλλαβῆς, sch. D. Thr. ($\Sigma^d$) 54, 27: πέμπτος τρόπος (sc. breves syllabas producendi) ὁ διὰ τῆς στιγμῆς. αὕτη τοίνυν ἡ στιγμὴ ⟨ * * * ⟩ (lac. indicavit Bk., verba τὴν πρὸ αὐτῆς βραχεῖαν μηκύνει add. Lehrs). καὶ ἡ τυχοῦσα μὲν ὡς ἐπὶ τοῦ „μή μ' ἀπογυιώσῃς μένεος, ἀλκῆς τε λάθωμαι"· ἐνταῦθα γὰρ τὸ ος ἐμήκυνεν ἡ πασῶν τῶν στιγμῶν ἐλάττων, ἡ ὑποδιαστολή. μάλιστα δὲ ἡ τελεία καὶ ἡ ὑποτελεία τῇ πρὸ αὐτῆς βραχείᾳ δύναμιν χαρίζεται, καὶ ἀντὶ μακρᾶς αὐτὴν παραλαμβάνομεν παρὰ τῷ ποιητῇ. καὶ οὐκ ἀκαίρως· τῇ γὰρ σιωπῇ τῆς στιγμῆς χρόνον ἡμῖν ἐνδιδούσης δοκεῖ μηκύνεσθαι ἡ βραχεῖα, ὡς ἐπὶ τοῦ „καὶ πόσιας· ὁ δ' ἔπειτα θεοῖς εὔχεσθαι ἀνώγει" (Z 240)· τοῦ γὰρ „πόσιας" ἡ ας βραχεία οὖσα διὰ τῆς ὑποτελείας στιγμῆς μηκύνεται· ὡς ἐμάθομεν γὰρ ἐπὶ τῆς στιγμῆς, τοῦ δὲ ἐπιφερομένου καὶ μὴ προκειμένου τοῦ μὲν ἡ ὑποτελεία τίθεται ἡ διπλῆ πρὸς (72) sq. cf. D ad Z 264 (Porph. 1, 100, 2); Roemer, Ar. 223. Vide ad Z 260 *d*, aliter Plut.

**68** le. add. Bk. ἀντὶ A, ἡ διπλῆ, ὅτι ἀντὶ Vill. **69** le. Bk., μελίφρονα δὲ οἶνον T (ubi le. et sch. adhaerent scholio Z 266 *d*, coni. cum v. γίνεται), om. b **70** sq. ὁ δὲ — πολεμ. T ὁ δὲ ἐν πολέμῳ οὐ βούλεται πρᾶος (θυμὸν [θῦ] add. $E^4$) εἶναι b **72** le. A suppl. Frdl. **75** τι] τί ἔχοντα A (ἔχ. ipse expunxit) **76** le. add. Bk. ἡρωδ. A, ζηνόδοτος Schm. (recte) **77** ἀνίπτῃσιν Dtz. **78** le. add. Frdl. ὅτι A, ἡ διπλῆ (sc. περιεστιγμένη), ὅτι Vill. γράφει cp. (γρ) A ἀν. Vill., ἀνίπτῃσιν A (et Dtz.) **79** ἀνίπτη A, ἀνίπτης Vill., Dtz. **80** le. hab. $E^4$T, om. BC$E^3$ ἄμφω τὰς προτ. cf. Z 259—60 αὐτῆς T ἑκάβης b

*ex.* *d.*[1] χερσὶ δ' ἀνίπτοισιν: ἐδύνατο ὑπὸ τῆς Ἑκάβης ῥᾳδίως λυθῆναι ἡ πρόφασις Ἕκτορος ὕδωρ αὐτῷ κομισθῆναι κελευούσης, ἵνα πρότερον νίψηται. ἢ οὐ τοῦτο ἦν ἀρχαῖον ἔθος τὸ τὰς χεῖρας ἀποπλύνασθαι μόνας, ἀλλὰ †τῶι ὅλωι σώματι† ἀπολούεσθαι, ὅπερ οὐκ εὔκαιρόν ἐστιν Ἕκτορι ἐπειγομένῳ. ἀλλὰ πῶς ἐν τοῖς ἑξῆς ἀνίπτοις χερσὶν εὔχεται· „Ζεῦ ἄλλοι τε θεοί, δότε δὴ καὶ τόνδε γενέσθαι / παῖδ' ἐμὸν ὡς καὶ ἐγώ περ" (Z 476—7); ἢ οὐδὲ τοῦτο ἐναντίον· οὐ γὰρ ταὐτόν ἐστιν ἐπισπένδειν καὶ ἁπλῶς διὰ λόγων εὔχεσθαι· τὸ μὲν γὰρ διὰ σώματος, τὸ δὲ διὰ ψιλῶν λόγων γίνεται. T

*d.*[2] ἠδύνατο μὲν οὖν ῥᾳδίως κομισθῆναι ὕδωρ κελευσάσης, ἵνα πρότερον νίψηται καὶ λυθῇ αὐτοῦ ἡ πρόφασις. ἀλλ' οὐ τοῦτο ἦν ἔθος ἀρχαῖον τὸ τὰς χεῖρας ἀπονίπτεσθαι μόνον, ἀλλὰ τὸ ὅλον ἀπολούεσθαι σῶμα, ὅπερ †εὐχερὲς Ἕκτορι ἐπειγομένῳ. καὶ πῶς ἐν τοῖς ἑξῆς ἀνίπτοις χερσὶν εὔχεται· „Ζεῦ ἄλλοι τε θεοί, δότε δὴ καὶ τόνδε γενέσθαι / παῖδ' ἐμὸν ὡς καὶ ἐγώ περ"; οὐκ ἔστιν τοίνυν ἐναντίον· οὐ γὰρ ταὐτόν ἐστιν ἐπισπένδειν καὶ ἁπλῶς διὰ λόγων εὔχεσθαι· τὸ μὲν γὰρ διὰ σώματος, τὸ δὲ διὰ ψιλῶν ῥημάτων γίνεται. b(BE[3]E[4])

*ex.* | *ex.* 267—8. ⟨οὐδέ πῃ ἔστι ——— εὐχετάασθαι:⟩ αἵματι (268) τῷ ἐκ πολέμου. | φεύγων δὲ τὴν καταφρόνησιν τῶν θεῶν ἐπέτεινε τὴν εὐσέβειαν. T[il]

*ex.* 268 *a.* ⟨αἵματι καὶ λύθρῳ:⟩ αἵματι τῷ ἐκ πολέμου, ὁμοίως καὶ λύθρῳ τῷ τῇ κόνει ἐπιμίκτῳ. b(BCE[3]E[4])

*Hrd.* *b.*[1] εὐχετάασθαι: Ἀρίσταρχος τὸ δεύτερον ἄλφα συστέλλει καὶ ὁ Ἀσκαλωνίτης (p. 48 B.). ἄλλοι δὲ ἐκτείνουσιν, οὐχ ὑγιῶς· ὅσα γὰρ εἰς θαι λήγει ἀπαρέμφατα μὴ κατ' Αἰολίδα διάλεκτον, τρίτην ἀπὸ τέλους ἔχοντα τὴν ὀξεῖαν, φιλεῖ πρὸ τέλους βραχύνεσθαι,

mor. 625 a **266** *d* ad Z 260 *d* ἢ οὐ (84) — ἐπειγομένῳ (86) cf. sch. Hsd. opp. 724—6 (Procl.) **267—8** — πολέμου (6) ad Z 268 *a* **268** *a* — πολέμου (8) ad Z 267—8 καὶ λύθρῳ (9) sq. cf. Eust. 641, 46; Comment. in Antim. fr. 179 (p. 83, 23 W.), D ad Y 503, Or. 91, 11, Cyr. (An. Par. 4, 171, 22) *b* τὸ δεύτερον (10) — συστέλλει cf. sch. γ 35 (Hrd.); diverse censet Hrd. de activi formis distractis verborum in -άω exeuntium, ad E 256 (Hrd.); vide ad Φ 467

---

**85** τὸ ὅλον σῶμα Ma., cl. sch. d[2] **91—03** sq. ἠδύνατο μὲν sq. pone sch. *c* (coni. cum v. ἕκτωρ) in **b** **94** ὅπερ οὐκ εὐχερὲς Vill., ὅπερ οὐκ ἦν εὐχερὲς Ddf., fort. voluit ὅπερ δυσχερὲς **2** sq. ἁπλῶς post εὔχεσθαι E[4] **5** le. addidi **5—7** sch. in T supra v. 268 exaratum cl. Li ad versus 267—8 revocavi **8** le. add. Li **11** ὑγειῶς A em. Vill.

„λέγεσθαι" (N 275), τίθεσθαι, „ἵστασθαι" (τ 201), κίχρασθαι, πίμπρασθαι. ὅσα δὲ πρὸ τέλους ἔχει φύσει μακράν, προπερισπᾶσθαι θέλει, νικᾶσθαι φιλεῖσθαι· τὰ γὰρ τοιαῦτα δίζησθαι φίλησθαι ὑποφαίνει Αἰολικὸν χαρακτῆρα· ὅθεν οἱ ἀξιοῦντες ἐκτείνειν τὸ δεύτερον ᾱ ἐν τῷ εὐχετάασθαι πάντως καὶ προπερισπῶσιν· εἰ δὲ δεδώκασι τρίτην ἀπὸ τέλους τὴν ὀξεῖαν, δώσουσι καὶ τὴν παραλήγουσαν βραχυνομένην. οὕτως οὖν πάντα τὰ τοιαῦτα ἀναγνωστέον· „ἀλλ' ἤτοι σε γυναῖκας ἐγὼ δεδάασθαι ἄνωγα" (π 316), „ἐν μεγάροισι δ' ἕκητι σέθεν κακὰ μηχανάασθαι" (γ 213), „ἄλλοτε μέν σε καὶ αἰτιάασθαι ἄνωγα" (K 120), „καὶ ἑδριάασθαι ἄνωγον" (γ 35), „μήτε μνάασθαι ἄκοιτιν" (α 39). **A**

*b.*$^2$ εὐχετάασθαι: τὸ δεύτερον ᾰ συσταλτέον· τὰ γὰρ εἰς θαι ἀπαρέμφατα προπαροξυνόμενα βραχυπαράληκτά εἰσι, τὰ δὲ παροξυνόμενα μακροπαράληκτα. **b**(BCE$^3$) **T**

**270** *a.*$^1$ {ἔρχεο σὺν} θυέεσσι⟨ν⟩: ἡμεῖς θυμιάματα, Ἀττικοὶ †θηλύματα†· τὸ δὲ ἔμψυχον ἱερεῦσαι, σφάξαι, ῥέξαι. **T** *ex.*

*a.*$^2$ ἃ ἡμεῖς θυμιάματά φαμεν, οἱ δὲ Ἀττικοὶ †θηλύματα† ἀπὸ τοῦ ἐκθηλύνειν. ἐπὶ δὲ τῶν ἐμψύχων κυρίως τὸ ἱερεῦσαι λέγεται, ὅ ἐστι σφάξαι. **b**(BCE$^3$E$^4$)

*a.*$^3$ τοῖς θυλήμασιν, ὅ ἐστι θυμιάμασιν. **T**$^{il}$

*b.* ⟨γεραιάς:⟩ γράφεται καὶ „γεραιράς". **A**$^{int}$ *Did.(?)*

**272.** ⟨καί τοι πολὺ φίλτατος αὐτῇ:⟩ ἵνα ἐκ προθυμίας ᾖ τὸ δῶρον. **b**(BCE$^3$E$^4$) **T**$^{il}$ *ex.*

**273.** ⟨ἐπὶ γούνασιν:⟩ ὅτι πάλιν ἀντὶ τοῦ παρὰ γούνασιν. **A**$^{im}$ *Ariston.*

**277.** ⟨Ἰλίου ἱρῆς:⟩ ὅτι θηλυκῶς τὴν Ἴλιον. **A**$^{im}$ *Ariston.*

**278.** ⟨φόβοιο:⟩ ὅτι πάλιν φόβον τὴν φυγήν. **A**$^{im}$ *Ariston.*

(Hrd.) **270** *a* θυμιάματα (28 et 30) cf. D, Eust. 641, 61; sch. Ap. Rh. 4, 1217—19 c *b* ad Z 87 *b* (ex.) **272** δῶρον (36) cf. sch. Aesch. Sept. 101 **273** ad Z 15 *c* (Ariston.) πάλιν ad Z 92 *a* **277** fort. exstabat sch. Didymi de lectione Aristarchi (sc. ὥς κεν pro αἴ κεν), ad Z 96 *a* ὅτι sq. cf. pap. V, ad Γ 305 *b* (Ariston.) **278** cf. pap. V, ad B 767 (Ariston.)

**21** sq. ἐν μεγάροισ' ἀέκητι Hom. (et fort. Hrd.) **23** καὶ] καὶ ἑδριάασθαι ἄνωγα καὶ A **25** le. T, τοῦ εὐχετάασθαιο δὲ pone sch. *a* (coni. cum. v. ἐπιμίκτῳ) b **25** sq. εἰσσθαι B **28** (le.) ἔρχ. σὺν delevi, θυέεσσι suppl. Li **29** et **30** θυλήματα Wil. (cf. sch. *a*$^3$) **31** θηλύνειν E$^4$ **33** θυλήμ. T m. pr. (casu ut vid.), θηλύμασιν m. sec. **34** le. add. Vill. γράφ. cp. (γρ) A **35** le. add. Bk. **37** le. add. Ddf. ὅτι A, fort. ἡ διπλῆ, ὅτι παρὰ γούν. Ddf., παραγεγόνασιν A **38** et **39** le. add. Bk. ὅτι A, ἡ διπλῆ, ὅτι Vill.

*ex.* 280. Πάριν μετελεύσομαι: ἵνα μὴ δι' Ἀνδρομάχην δοκῇ τῆς μητρὸς ὑπεξίστασθαι. καλῶς δὲ τὰ ἀναγκαῖα προκρίνει τῶν ἡδέων· **A** **b**(BC$E^3$, $E^4$[bis]) **T** τοῦτο γάρ ἐστι φρονήσεως τὸ πάντα εἰδέναι, τὰ δὲ ὠφέλιμα αἱρετώτερα ἡγεῖσθαι. **b**(BC$E^3E^4$)

281—2 *a.*¹ ⟨αἴ κ' ἐθέλῃσ' εἰπόντος ἀκουέμεν —— Ὀλύμπιος ἔτρεφε πῆμα:⟩ ἐνδείκνυται διὰ τούτου τὸ ἀπειθές, μᾶλλον δὲ ἐμπαθὲς Ἀλεξάνδρου. οὐκ εἶπε δὲ ὅτι σὺ αὐτὸν ἔτρεφες, ἵνα ⟨μὴ⟩ μᾶλλον λυπήσῃ αὐτὴν ὡς κακοῦ θρέπτριαν, ἀλλ' ὁ Ὀλύμπιος. **b**(BC $E^3E^4$)

*a.*² εἰς τὸ ἀπειθὲς Ἀλεξάνδρου. $T^{il}$

*a.*³ Ὀλύμπιος (282), ἵνα μὴ εἴπῃ σύ. $T^{il}$

*D* 282. γαῖα χάνοι: διασταίη ἡ γῆ —— καταπίοι ἡ γῆ. **A**

*ex.* 283 *a.*¹ ⟨Τρωσί τε καὶ Πριάμῳ μεγαλήτορι τοῖό τε παισίν:⟩ οὐ προσέθηκεν οὐδὲ ἐνταῦθα τὸ σοί, ἵνα ἔτι ἔχῃ ἐλπίδας ὡς ἡ πόλις οὐχ ἁλωθήσεται. **b**(BC$E^3E^4$)

*a.*² οὐκ εἶπε σοί. $T^{il}$

*Ariston.* 285 *a.* φαίην κε φρέν' ἄτερ που οἰζύος ἐκλελαθέσθαι: ὅτι τὸ σημαινόμενον, εἰ ἐκεῖνον ἴδοιμι τετελευτηκότα, δόξαιμι ἂν ἐκλελῆσθαι τῆς κακοπαθείας καὶ χωρὶς αὐτῆς γεγονέναι. ἔνιοι δὲ ἀγνοήσαντες γράφουσιν „ἀτέρπου". **A**

*Did.* *b.*¹ φαίην κε φρέν' ἀτέρπου: Ζηνόδοτος „φαίην κεν φίλον ἦτορ". ἔστι δὲ καὶ ἄλλη γραφὴ „†φαίνῃ περ". **T**

*b.*² Ζηνόδοτος „⟨φαίην κεν⟩ φίλον ἦτορ". $A^{im}$

280 cf. pap. V τοῦτο γὰρ (42) sq. fort. sch. rec. 285 *a* cf. D. Vide pap. V ἀτέρπου (59) cf. Naber 110; Latte, Glotta 35, 1956, 297; Valk II 203 *b* cf. Duentzer, Zen. 119

---

40—1 pone sch. Z 282 (A = D, coni. cum v. γῇ) in A, trps. Bk.; supra l. et in mg. hab. $E^4$ 40 le. T, om. Ab δοκῇ] δοκεῖ A 41 ἐξίστασθαι $E^4$ (supra l.) et T, δέξασθαι A τῶν ἡδ. προκρ. BC, $E^4$ (supra l.) 44 sq. le. addidi (sch. ad v. 282 rettulit b) 46 μὴ add. B (ante l.), om. C$E^3E^4$ 49 supra v. Z 281, et 50 supra v. Z 282 in T 52 le. add. Vill. 53 οὐ — σοί] οὐδὲ ἐνταῦθα προσέθηκε τὸ σοί $E^4$ 56 le. Frdl. (Vill.), φαίη κεν φρένατέρπου: A ὅτι A, ἡ διπλῆ, ὅτι Vill. 57 sq. δόξαιμι — γεγον.] „accuratius δόξαιμι ἂν χωρὶς τῆς κακοπαθείας γενόμενος ἐκλελῆσθαι αὐτῆς" Lehrs 61 fort. φαίην περ (Heyne) φίλον ἦτορ 62 φ. κ. add. Ldw.

$c.^1$ ἄτερ που οἰζύος: ἄτερ †που ἀπολόμενον, ἵνα μὴ ἐπὶ ἐμοῦ διὰ τὸ φιλάδελφον. ἀλλ' εἶπεν „ἴδοιμι" (Z 284). οἱ δὲ τὸ γενομένην ἀκούουσιν. T *ex.*

$c.^2$ εἰ εἶδον, φησίν, αὐτὸν ὀλεσθέντα, ὑπέλαβον ἂν κατὰ φρένα χωρὶς ταλαιπωρίας καὶ θλίψεως ἐπιλαθέσθαι αὐτοῦ καίπερ μὴ οὕτως διὰ τὸ φιλάδελφον ἐπιλαθόμενος. b(BC$E^3E^4$)

286. ὣς ἔφαθ', ἡ δὲ μολοῦσα: εὔκαιρος ἡ ἀποσιώπησις· οὔτε γὰρ συναινεῖν τῇ Ἀλεξάνδρου ἀρᾷ δύναται ὡς μήτηρ, οὔτε ἀπολογεῖσθαι, ἵνα μὴ παροξύνῃ Ἕκτορα. b(BC$E^3E^4$) T *ex.*

288. ⟨αὐτὴ δ' ἐς θάλαμον κατεβήσετο κηώεντα:⟩ ἐν ταῖς Ἀριστάρχου φέρεται καὶ ἑτέρως „ἡ δ' εἰς οἶκον ἰοῦσα παρίστατο φωριαμοῖσιν". $A^{im}$ *Did.*

289 $a.^1$ ἔσάν οἱ: ὅτι ἐγκεκλιμένως ἀναγνωστέον οὕτως δύο τόνοις, καίτοι πυρριχιακῆς οὔσης τῆς λέξεως, ἵνα μὴ ἄρθρον νοηθῇ τὸ οἱ, ἀλλ' ἀντωνυμία. A *Hrd.*

$a.^2$ ἔσάν οἱ: δύο παράλληλοι ὀξεῖαι ὑπὲρ τοῦ ⟨μὴ⟩ συνεμπίπτειν τὴν οἱ ἄρθρῳ πληθυντικῷ. T

291 *a.* ἤγαγε Σιδονίηθεν: δεδιὼς γὰρ τὸν διωγμὸν διὰ Φοινίκης καὶ Αἰγύπτου ἦλθεν, A b(BC$E^3$) T ὡς καὶ οἱ Ἀργοναῦται διὰ τοῦ Ἴστρου. AT τῆς περιεργίας δὲ Ἀλεξάνδρου τὸ μὴ† ὠνήσασθαι πέπλους, ἀλλὰ καὶ πρίασθαι τὰς ἐργαζομένας. A b(BC $E^3E^4$) T *ex.*

*c* cf. Eust. 642, 16: ἰστέον δὲ ὅτι τε οἱ γράφοντες „ἄτερ που οἰζύος" ἤγουν δίχα κακοπαθείας ἐννοίας οὐκ ἀστείας προΐστανται καὶ ὅτι κτλ. $c^1$ ἄτερ (63) — φιλάδελφον (64) cf. D 288 παρίστατο φωριαμοῖσιν (73) = ο 104 289 diple ante versum in A, fort. error scribae, cf. in universum Mnemos. 1953, 28 ἐγκεκλιμένως (75) sq. sch. Herodiani, ad B 255, cf. sch. ο 105 (Hrd.); Arcad. 166, 15; Ludwich, Mus. Rhen. 32, 1877, 194; Wackernagel II 1106; M. L. West, Hesiod: Theogony (Oxon. 1966) p. 442. Vide ad H 199, sch. η 200 291 *a*

---

63 (le.) ἄτερ που Ma., ἀτέρπου T ἄτερ — ἀπολ. T, fort. ἄτερ (an ἄνευ?) μόχθου (πόνου?) τοῦ ἀπολομένου (sc. ἀδελφοῦ ἐπιλαθέσθαι), quod tamen non satisfacit. Locus desperatus 64 sq. γενομένην sc. φρέν' ἄτερ που οἰζύος γενομένην 65 fort. ὑπακούουσιν 66—8 auctor fontem male vid. intellexisse 70 αἰνεῖν τὴν ἀλεξάνδρου ἀρὰν C δύν. T βούλεται b 72 le. add. Vill. 73 φέρ. καὶ Bk., φέρε καὶ A, φέρεται Vill. (proll. XXVI) 75 le. Bk., ἔθεσανοὶ πέπλοι: A ὅτι A, ἡ διπλῆ, ὅτι Vill. post ὅτι fort. lac. statuenda, quae sch. Aristonici hausisse potest (at cf. test.) 78 μὴ addidi 79 ἄρθρον πληθυντικῶς T em. Ma. 80 le. T, σιδονίηθεν A, om. b δεδηὼς A 82 τῆς περ. Ma., τῆς περιεργείας T τῆς περιεργασίας A περιεργασία b μὴ] μὴ μόνους b, μὴ μόνον Vill. 83 πέπλ. ὠνήσ. b τὰς ἐργ. πρίασθ. b

*Ariston.* *b.* ⟨Σιδονίηθεν:⟩ ὅτι ἀπὸ μιᾶς πόλεως τῆς Σιδῶνος τὴν Φοινίκην σημαίνει. A[int]

*ex.* *c.* ἐπιπλώς: ἀποκοπή, οὐ συγκοπή. T

*Ariston.* 292 *a.* ἀνήγαγεν: ὅτι τὸν ἐκ Πελοποννήσου ἐπ' Ἴλιον πλοῦν ἀναγωγὴν λέγει. A

*ex.* *b.* ἀνήγαγεν: καλῶς τὸ ἀνήγαγε· b(BE$^3$E$^4$) βορειοτέρα γὰρ τῆς Ἑλλάδος ἐστὶν ἡ Ἰλιάς. b(BE$^3$E$^4$) T

*ex.* 293 *a.* τῶν ἕν' ἀειραμένη: οὐ πρεπόντως, φασίν, ἐκ τῆς Ἀλεξάνδρου ἀδικίας δίδοται τῇ θεῷ τὸ δῶρον. ἀλλ' οὔτε Ἑλένης ὁ πέπλος ἐστὶν οὔτε ἐκ Λακεδαίμονος αἱ γυναῖκες. T

*ex.* *b.* τῶν ἕν' ἀειραμένη ⟨Ἑκάβη φέρε⟩: τὰ σπουδαῖα δι' ἑαυτῶν αἱ ἐλεύθεραι οἰκονομοῦσι παρ' Ὁμήρῳ. καὶ νῦν μὲν ἡ Ἑκάβη τὸν πέπλον ἐκφέρει, ἑτέρωθι (sc. ο 123—8) δὲ ἡ Ἑλένη Τηλεμάχῳ τὸν πέπλον καὶ ἡ Πηνελόπη τοῖς μνηστῆρσι τὸ τόξον (cf. φ 59—60). b(BCE$^3$E$^4$) T

*ex.* 295. ἔκειτο δὲ νείατος ἄλλων: ὧν γὰρ ἡ χρῆσις συνεχής, ταῦτα καὶ πρόχειρα· b(BCE$^3$E$^4$) T οἷς δὲ μὴ χρῷτό τις, ταῦτα καὶ νείατα. b(BCE$^3$E$^4$)

*Nic.* 299. ⟨Κισσηΐς, ἄλοχος Ἀντήνορος ἱπποδάμοιο:⟩ βραχὺ διασταλτέον ἐπὶ τὸ Κισσηΐς. A[int]

*ex.* 300. τὴν γὰρ Τρῶες ἔθηκαν: οὔτε κληρωτοὺς οὔτε ἐκ γένους βούλεται τοὺς ἱερεῖς εἶναι οὔτε ἑνὸς ψήφῳ, ἀλλ' ὃν πλῆθος ἕλοιτο, b(BCE$^3$E$^4$) T διὰ τὸ πολλὰς δημοτικὰς τοῖς προχειριζομένοις καὶ προχειρίζουσι τὰς αἰτίας ἀνακύπτειν. b(BCE$^3$E$^4$)

cf. D, Eust. 642, 62 *c* cf. Ep. Hom. (An. Ox. 1, 142, 7) ἀποκοπή (87) cf. Eust. 643, 15 συγκοπή (87) cf. D **292** *a* ad Γ 48 (Ariston.), cf. D, Eust. 643, 10 **293** *b* vide ad H 435 (ex.) **300** — ἕλοιτο (11) sim. Ge (e T), cf.

---

**85** le. addidi (Frdl.) ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **88** le. Bk., τὴν ὁδόν: A ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **90** le. scripsi, ἐπιπλὼς εὐρέα πόντον ἐκείνην τὴν ὁδὸν ἣν ἑλένην περ ἀνήγαγεν T (qui sch. cum scholio Z 291 *c*, v. συγκοπή, coni.), om. b **91** ἐστὶν om. b **95—03** sch. cum scholio praecedenti coni. T **95** le. T supplevi (auctore Bk.), om. b **2** sq. τῷ τηλεμάχῳ πάλιν δίδωσι πέπλον b **3** καὶ T ἀλλὰ καὶ b **6** καὶ[1] (ante πρόχειρα) om. T, fort. recte **8** le. add. Frdl. **10** οὔτε[1]] οὔτε γὰρ E$^4$ **11** βούλονται εἶναι τοὺς ἱερεῖς E$^4$ εἶναι om. T ψήφῳ ἑνός BCE$^3$ ὃν] οὓς Ge ὃν — ἕλ. T, οὓς πλῆθος ψηφιζόμενον ἕλοιτο BCE$^3$, ὃν ψῆφος ἕλοιτο πλήθους ψηφιζομένου E$^4$ **12** sq. διὰ τὸ — ἀνακ. fort. sch. rec. **13** τὰς abesse malim

*Ariston.* **303.** ⟨ἐπὶ γούνασιν:⟩ ὅτι πάλιν παρὰ γούνασιν. $A^{im}$

*ex.* **304.** εὐχομένη δ' ἠρᾶτο: ὅτι τὸν ἱερέα περὶ τῶν κοινῶν εὔχεσθαι δεῖ, οὐκ ἰδίᾳ ἕκαστον. ἑκάστου δὲ τὸ ἀξίωμα οἶδεν ὁ ποιητής· τὴν Θεανὼ γοῦν Ἑκάβης παρισταμένης ποιεῖ εὐχομένην, καὶ τὸν Χρύσην τῷ Ἀπόλλωνι ὑπὲρ τῶν Ἑλλήνων παρόντος τοῦ Ὀδυσσέως (cf. A 446—56). b($BCE^3E^4$) T

*ex.* **305.** ἐρυσίπτολι: πλεονασμὸς τοῦ ε̅. παρὰ Καλλιμάχῳ (fr. 626)· „†οἱ δὲ τῶν οὐκ ἀγαθῶν ἐρυσίπτολιν". παρά τισι δὲ ἡ ποιοῦσα ἐριπεῖν τὰς πόλεις. ἄμεινον δὲ „ῥυσίπτολι". AT καὶ οἰκεῖον ταῖς περὶ σωτηρίας εὐχομέναις τῆς πόλεως, ὡς καὶ ἐκεῖ „Ἀθηναίῃ ληΐτιδι" (K 460). A b($BCE^3E^4$) T

*ex.* **307** *a.* πρηνέα δὸς πεσέειν: ἕτερα παρὰ τὴν πρόσταξιν (sc. Z 96—7. 277—8) εὔχεται· διὸ ἀνανεύει ἡ Ἀθηνᾶ. T

*ex.* *b.* Σκαιῶν προπάροιθε πυλάων: ὡς μέχρι τούτων ἐλάσαντος αὐτοῦ τοὺς Τρῶας. ἔμφασιν δὲ ἔχει βιαζομένου ἐμπεσεῖσθαι εἰς τὴν πόλιν. b($BCE^3E^4$) T

*Ariston.* **311** *a.* ὣς ἔφατ' εὐχομένη, ⟨ἀνένευε δὲ Παλλὰς Ἀθήνη⟩: ἀθετεῖται, ὅτι πρὸς οὐδὲν τὸ ἐπιφώνημα καὶ οὐκ ἠθισμένον· κατὰ μὲν γὰρ τὸ ἐναντίον ὁ Ζεὺς ἐπιβεβαιοῖ κατανεύων (sc. A 528). καὶ ἑξῆς δὲ ἐπιλεγομένου „ὣς αἱ μέν ῥ' εὔχοντο" (Z 312) σαφῶς γίνεται περισσὸς ὁ στίχος. γελοία δὲ καὶ ἡ ἀνανεύουσα Ἀθηνᾶ. A

*ex.* *b.* ἀνένευε δέ: τῇ γνώμῃ ἀνένευεν ἐπὶ τῇ ἀναιρέσει, ἐπεί τοι

Eust. 643, 26 **303** ad Z 15 *c* (Ariston.) **305** — ῥυσίπτολι (22) cf. Et. Gen. (= EM. 378, 35, Et. Gud. 532, 4 Stef.); — ἐρυσίπτολιν (21) et ἄμεινον δὲ (22) cf. D: ὦ φυλάσσουσα τὴν πόλιν· ἐρύειν γὰρ τὸ φυλάσσειν καὶ οἰκεῖον (22) sq. cf. Eust. 643, 45: ὅτι ὥσπερ ὁ ἐφιέμενος λείας ἀγελείαν Ἀθηνᾶν (cf. Z 269) ἐπεκαλεῖτο, οὕτως οἱ περὶ σωτηρίας πόλεως χεῖρας αὐτῇ ἀνέχοντες, ὡς νῦν οἱ Τρῶες, ἐρυσίπτολιν Ἀθηνᾶν ἐπεβοῶντο, ἤγουν φύλακα πόλεως, ἀπὸ τοῦ ἐρύω τὸ φυλάσσω **306** fort. exstabat sch. Herodiani de accentu v. ἄξον, cf. Hrd. διχρ. 2, 14, 18: τὸ α̅ ἔχον ἐν τῇ δευτέρᾳ συλλαβῇ τὸ ξ̅ ἢ τὸ ψ̅ μὴ ἐν ῥηματικῇ κλίσει φιλεῖ συστέλλεσθαι, ἄξων ἄξιος ἀξίνη ἀψὶς ἄψεα Ἄψυρτος ἀψευδής. τὸ δὲ „ἆξον δὴ ἔγχος Διομήδεος" καὶ τὸ κρᾶξον ἐκτεταμένον ἔχουσι τὸ α̅· διὸ ἔφην μὴ ἐν ῥηματικῇ κλίσει. Vide ad Σ 521 (Hrd.) **307** *a* cf. Eust. 644, 2 *b* — Τρῶας (28) cf. Serv. Verg. A. 11, 485 **311** *a* at vide U. Hoelscher, Hermes-Einzelschrifen 6, Berol. 1939, 35 et 41 *b* aliter Serv. (auct.) Verg.

---

**14** le. add. Bk. ὅτι A, ἡ διπλῆ, ὅτι Vill. πάλιν A, πάλιν ἀντὶ τοῦ mavult Nickau **18** τῶν om. b τοῦ om. b **20** sq. παρὰ — ἀγαθῶν T οἱ δὲ παρὰ καλλιμάχῳ τὸν οὐκ ἀγαθὸν A **21** παρά τισι δὲ T ἄλλως A **22** ῥυσίπτολιν T καὶ οἰκ. AT οἰκεῖον καὶ μάλα ἁρμόδιον b **23** σωτηρίαν A τῆς om. b ὡς κ. ἐκεῖ] καὶ ἀλλαχοῦ A **25** πρόστ. T ss. τοῦ ἑλένου m. sec. **27** τούτων T τούτου b **30** le. A suppl. Vill. **31** εἰθισμένον Bk. **31** sq. κατὰ — κατανεύων del. Bolling (A. L. 99), at hoc vult 'quia contrarium tantum apud poetam inveniri videtur, hic versus spurius est; nam Π 250 et 252 ἀνανεύειν non proprie adhibetur, sed translative (sc. ut idem valeat quod denegare)' **35** ἐπὶ T ἀλλ' ἐπὶ μόνῃ b τοι T καὶ b

παύει Διομήδεα διὰ τῆς Αἴαντος πρὸς Ἕκτορα μονομαχίας. b(BCE³E⁴) T

*ex.* 313—4. πρὸς δώματ' Ἀλεξάνδροιο βεβήκει ⟨/ —— αὐτὸς ἔτευξε⟩: ὡς περὶ ἁβροδιαίτου καὶ τοῦτό φησιν· οὐκ ἐβουλήθη γὰρ σὺν τοῖς ἀδελφοῖς καὶ κηδεσταῖς κατοικεῖν, ἀλλ' ἑαυτῷ ἐδείματο οἴκησιν κατ' ἰδίαν. b(BCE³E⁴) T

*ex.* 315. τέκτονες: τέκτονες οἱ λαοξόοι, b(BCE³E⁴) T ὅθεν καὶ ἀρχιτέκτων. T τὸ δὲ „ἔτευξεν" (Z 314) ἐπεστάτησε (καλλωπιστὴς γάρ) καὶ ἴσως πρὸς ζῆλον τῆς Μενελάου οἰκίας, ὥστε, εἰ δυνατὸν ἦν, ἥρπασεν ἂν καὶ αὐτήν. b(BCE³E⁴) T

*ex.* 316 *a.*¹ οἵ οἱ ἐποίησαν θάλαμον καὶ δῶμα καὶ αὐλήν: δῶμα ἐποίησαν, ἐν ᾧ ἦν θάλαμος καὶ αὐλή. ἢ δῶμα τὸν ἀνδρῶνά φησιν. T

*a.*² οἴκημα αὐτῷ ἐποίησαν, ἐν ᾧ ἦν θάλαμος, ὅ ἐστι νυμφικὸς κοιτωνίσκος, καὶ δῶμα, τουτέστιν ἀνδρών, καὶ αὐλή, ὅ ἐστι τὸ ἐξώτερον. b(BCE³E⁴)

*Ariston.* 317 *a.* ⟨πόλει ἄκρῃ:⟩ ὅτι πάλιν διῃρημένως εἴρηκεν. A^im

*ex.* *b.* ἐν πόλει ἄκρῃ: μέχρι νῦν ἴχνη αὐτῶν ἐστιν. τὰ δὲ Ἕκτορος πρυτανεῖά ἐστι νῦν τῇ πόλει. T

*ex.* 319—20. ἔγχος ἔχ' ⟨ἑνδεκάπηχυ· πάροιθε δὲ λάμπετο δουρός / αἰχμὴ χαλκείη⟩: πρὸς ὑπογραμμὸν καὶ προτροπὴν Ἀλε-

A. 1, 479 **316** *a*¹ ἢ δῶμα (47) sq. et *a*² cf. Eust. 644, 29 *a*² θάλαμος (48) — κοιτωνίσκος (49) cf. Ep. Hom. (An. Ox. 1, 199, 3, Et. Gud. 253, 23, EM. 441, 13); vide ad Δ 143 (ex.) **317** *a* ad Z 257 (Ariston.), cf. Eust. 644, 12 **318—20** nulla signa (praeter diplen iuxta 319 positam) ante versus in A, sed exstabat fort. sch. Aristonici referentis Aristarchum (contra ac Zenodotum) versus hoc loco damnavisse, infra (Θ 493—5) probavisse, ad Θ 493 *a* (Ari-

36 μον. πρὸς ἕκτορα b 38 sq. le. T supplevi (auctore Vill., Bk.), om. b (qui sch. ad Z 314 relegavit) 39 ἠβουλήθη CE⁴ 40 sq. ἐδείμ. sq. T, ἰδίᾳ (BE³, ἰδία C ἰδίαν E⁴) οἴκησιν ἐδείματο b 42 τέκτονες²] τέκτονες δὲ pone sch. Z 316*a*² (coni. cum v. ἐξώτερον) E⁴ οἱ T κυρίως οἱ b 43—5 τὸ δὲ ἔτευξεν — αὐτήν cum scholio praecedenti coni. Bk., fort. recte 43 ἔτευξε T (= Hom.) ἐπεστ. T ἀντὶ τοῦ εὖ ἐπεστάτησε b γὰρ ἦν b 44 οἰκίας ποιεῖ, ὥστε b εἰ ἦν αὐτῷ δυνατὸν b 48—50 οἴκημα δὲ αὐτῷ sq. pone sch. Z 313—4 (coni. cum v. ἐδείματο) E⁴ 49 αὐλὴν E⁴ 51 le. add. Dtz. ὅτι A, ἡ διπλῆ, ὅτι Vill. διειρημένως A em. Vill. 52 μέχρι V, //// χρι T, possis ἄχρι 53 ἐστι νῦν Wil., ἐστιν ἐν T 54 sq. le. ἔγχος ἔχε T emendavi et supplevi (auctore Vill.; ἔγχος ἔχ' ἑνδεκ. iam Li), om. b (ubi sch. ad v. 319 relatum est) 55—7 πρὸς

ξάνδρου θρασὺς φαίνεται Ἕκτωρ διὰ τοῦ δόρατος προμηνύων τὴν ἄφιξιν. ἐνδεκάπηχυ (319) δὲ ἕνδεκα πηχῶν, ἐπεὶ τὸ κολλητὸν δύο καὶ εἰκοσίπηχυ (cf. O 678). b(BC$E^3E^4$) T

319 *a.* ⟨ἐνδεκάπηχυ:⟩ ὅτι ὑφ' ἓν ἐνδεκάπηχυ ἀναγνωστέον· τὸ γὰρ διπλάσιον δύο καὶ εἰκοσίπηχυ (cf. O 678). $A^{im}$ *Ariston.*

*b.* ⟨ἔχ'⟩ ἐνδεκάπηχυ: οἱ μὲν διαιροῦσιν, „ἔχεν", εἶτα „δεκάπηχυ", οἱ δὲ ἐνδεκάπηχυ. ὁ μὲν οὖν Ἀσκαλωνίτης (p. 48 B.) οὐδεμίαν προκρίνει· οἱ δὲ περὶ Ἡρακλέωνα (fr. 4 B.) καὶ Ἀλεξίωνα (fr. 31 B.) πιθανωτέραν ἡγοῦνται τὴν τοῦ ἕνδεκα ἀριθμοῦ διαστολήν, ἐπειδήπερ τὰ ναύμαχα, τὰ ἐκ δύο συμβληθέντα καὶ κολληθέντα, λέγεται „δύο καὶ εἰκοσίπηχυ" (O 678). A *Hrd.*

320 *a.*[1] πόρκης: ὁ τῆς ἐπιδορατίδος δακτύλιος. b(BC$E^3$) T πόρκης δὲ διὰ τὸ πείρειν τὸ δόρυ δι' αὐτοῦ. T *ex.*

*a.*[2] πόρκης: ὁ κρίκος ὁ συνέχων τὸν σίδηρον πρὸς τὸ ξύλον τοῦ δόρατος, | διὰ τὸ πείρειν τὸ δόρυ δι' αὐτοῦ. A *D | ex.*

321. τὸν δ' εὗρ' ἐν μεγάροις περικαλλέα τεύχε' ἕποντα: τὸν καλλωπιστὴν δηλοῖ καὶ ἐναβρυνόμενον τῇ γυναικὶ καὶ μόνον οὐχὶ πομπῆς χάριν κεκτημένον τὴν σκευήν. b(BC$E^3E^4$) T ἄλλως τε οὐδὲ ἐν τῇ αὐλῇ ἐστιν, ἀλλ' ἐν μέσαις ταῖς ἐρίθοις. T *ex.*

322 *a.* ἀσπίδα καὶ θώρηκα, ⟨καὶ ἀγκύλα τόξ' ἀφόωντα⟩: βραχὺ διασταλτέον ἐπὶ τὸ θώρηκα· πρεπωδέστερον γὰρ ἐπὶ τοῦ τόξου τὸ ἀφόωντα. A *Nic.*

*b.*[1] ἀσπίδα καὶ θώρηκα, ⟨καὶ ἀγκύλα ΤΟΞΑΦΟΩΝΤΑ⟩: βραχὺ διασταλτέον εἰς τὸ θώρηκα. | τὸ δὲ „φόωντα" τινὲς λαμπρύνοντα παρὰ τὸ φῶς. ἢ „ἀφόωντα" ἀντὶ τοῦ ἐρευνῶντα, ψηλαφῶντα. T *Nic. | ex.*

ston.) **319—20** ἐνδεκάπηχυ (57) sq. ad Z 319 *a* et *b* **319** *a* ad Z 319—20, cf. sch. *b* *b* cf. sch. *a*, Eust. 644, 37 (οἱ παλαιοί). Vide ad Z 319—20; — οἱ δὲ ἐνδεκάπηχυ (62) cf. sch. γ 391 (Hrd.). Vide ad O 678 (Hrd.) **320** *a* διὸ τὸ πείρειν (68 et 70) cf. Or. 125, 31: πόρκης· ὁ δακτύλιος (Larcher, δάκτυλος cod.), παρὰ τὸ πείρειν (scripsi cl. EM. 683, 35, περιέχειν cod.), in sede scholiorum, aliter D, Ap. S. 133, 27, Eust. 644, 45 (qui vocem πόρκης derivant ἀπὸ τοῦ περιέχειν) $a^1$ — δακτύλιος (67) cf. D, Schem. Hom. 92 **322** *a* cf. Classen, Beob. 133 $b^1$ τὸ δὲ (79) sq. cf. D, Theogn. can. 81, 21 Alp., Et. Gen. (B,

---

ὑπογραμμὸν δὲ — ἄφιξιν in fine scholii (coni. cum v. εἰκοσίπηχυ) in b **56** προμην. T ἅμα δὲ καὶ προμηνύει b **57** ἐνδεκ. — πηχῶν om. $E^4$, ἐνδεκάπ. δὲ (sc. initio scholii) om. BC$E^3$ **59** le. addidi ὅτι A, fort. ἡ διπλῆ, ὅτι **60** fort. δυωκαιεικοσίπηχυ (Bk., ut Hom.) **61** le. A supplevi **66** fort. δυωκαιεικοσίπηχυ (Bk., ut Hom.) **67** πόρκης: ὁ T, πόρκης καλεῖται ὁ b **71** (le.) τεύχεα T em. Ma. **72** καλλωπισμὸν $E^3$ **73** πομπῆς — σκευήν T δι' αὐτὴν τὰ ὅπλα μεταχειριζόμενον b **75** le. A suppl. Frdl. **78** sq. le. T supplevi **80** ἀφ. scripsi, ἀφόωντα T

*Nic.* *b.*$^2$ βραχὺ διασταλτέον εἰς τὸ θώρηκα, ἵν' ᾖ πρὸς τὸ „ἕποντα" (Ζ 321). b(BCE$^3$E$^4$)

*ex.* 324. καὶ ἀμφιπόλοισι ⟨περικλυτὰ ἔργα⟩ κέλευε: ἐμπρακτοτέρα αὕτη 'Αλεξάνδρου. περικλυτὰ δὲ ἔργα κέλευεν ἀντὶ τοῦ περὶ τῶν ἔργων. b(BCE$^3$E$^4$) T

*Ariston.* 325 *a.* τὸν δ' Ἕκτωρ νείκεσσεν ⟨ἰδὼν αἰσχροῖς ἐπέεσσιν⟩: ὅτι κυκλικῶς κατακέχρηται· οὐδὲν γὰρ λέγεται ἐπιπληκτικόν. A

*ex.* *b.* αἰσχροῖς: λοιδόροις. b(BCE$^3$E$^4$) T παρ' ἑαυτοῦ δὲ ἐξήνεγκεν ὁ ποιητὴς τὸν στίχον. b(BCE$^3$) T

*Ariston.* 326 *a.* δαιμόνι', ⟨οὐ μὲν καλὰ χόλον τόνδ' ἔνθεο θυμῷ⟩: ὅτι ἄπορον, ποῖον χόλον. λύοιτο δ' ἂν ἐξ ὑποθέσεως. μήποτ' οὖν ἀκούων τοὺς Τρῶας καταρᾶσθαι αὐτῷ ἐχολοῦτο. ἀμείβεται γοῦν „οὔτοι ἐγὼ ⟨Τρώων⟩ τόσσον χόλῳ οὐδὲ νεμέσσει" (Ζ 335). A

*ex.* *b.*$^1$ οὐ μὲν καλὰ χόλον: ἀφορμὴν αὐτῷ δίδωσι τῆς ἀργίας· οὐ γὰρ ὡς ἀσθενοῦς, ἀλλ' ὡς ῥᾳθύμου κατηγορεῖ· οὐχ ὑγιῶς, φησίν, ἐν νῷ ἔχεις τὴν μῆνιν, ἥν σοι οἱ Τρῶες μηνίουσιν (ὡς θελήσαντες αὐτὸν ἐκδοῦναι Μενελάῳ). ἄλλως τε οὐκ ἔδει ἐπὶ Ἑλένης αὐτὸν λοιδορεῖσθαι. T

*b*$^2$. ἀφορμὴν λαμβάνει διὰ τῆς αὐτοῦ ἀργίας· οὐ γὰρ ὡς ἀσθενοῦς, ἀλλ' ὡς ῥᾳθύμου αὐτοῦ κατηγορεῖ. καί φησιν· οὐχ ὑγιῶς ἐν ἑαυτῷ τὴν μῆνιν ἔχεις· σοὶ γὰρ οἱ Τρῶες μηνίουσιν (ὡς θελησάντων αὐτὸν ἐκδοῦναι Μενελάῳ). ἢ χόλον τὴν ῥᾳθυμίαν λέγει. ἐβούλετο μὲν οὖν αὐτοῦ πλειόνως καθάψασθαι, ἀλλ' οὐκ ἔδει αὐτὸν ἐπὶ Ἑλένης λοιδορεῖσθαι. b(BCE$^3$E$^4$)

deest A) φόωντα ψηλαφῶντα (80) Eust. 644, 54. 58, cf. sch. Θ 196, Ap. S. 26, 5. 49, 11, Et. Gen. (AB) ἀφόωντα **324** cf. Eust. 644, 56 **325** *a* fort. excidit pars scholii Aristonici; nam similia censeo de v. αἰσχροῖς ἐπέεσσιν eum dixisse laudavisseque versum Γ 38, ubi poeta eadem verba proprie usurpavit κυκλικῶς (88) ad Ι 222 *a*. Ο 610—4 *a*; cf. Merkel XXXI; Friedl., Ariston. 253; Lotz 20; Pfeiffer 230; vide ad Λ 805 *a*$^1$. Ω 628 **326** *a* ad Ζ 335 *a* (Ariston.) *b* cf. D; — Μενελάῳ (4 et 9) cf. Eust. 644, 63; Plut. mor. 73 e

---

**84** le. T suppl. Ma., om. b (sch. ad Ζ 323 referens) **85** αὕτη T λίαν ἐστὶν αὕτη τοῦ b περικλυτὰ — κέλ. T τὸ δὲ ἔργα b ἀντὶ τοῦ om. E$^4$ **87** sq. le. A suppl. Frdl. **88** ὅτι A, ἡ διπλῆ, ὅτι Vill. κυκλικῶς i. e. neglegenter **92** le. A suppl. Vill. **93** ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **94** αὐτῷ Frdl., non urguet **95** τρώων (= Hom.) addidi **9** αὐτὸν BE$^3$E$^4$ αὐτῶν C

327—8. λαοὶ μὲν φθινύθουσι ⟨——— / μαρνάμενοι⟩: περικέκοπται ὁ λόγος· ἐφυλάξατο γὰρ εἰπεῖν· σὺ δὲ καθέζῃ ἀκίνδυνος. b(BCE³E⁴) T *ex.*

327. περὶ π⟨τ⟩όλιν: περὶ πόλιν εἶπε διαφθείρεσθαι τὸν λαόν, ὡς ἐγγὺς ὄντος τοῦ δεινοῦ. T *ex.*

328. σέο δ' εἵνεκ' ἀϋτή: Μενέλαος δὲ πολεμεῖ πρὸς Ἀλεξάνδρου †ἀδίκως†, πρὸς Ἕκτορα ὑπὲρ ἑαυτόν· νυκτὶ γὰρ ἔτι ὑπερασπίζει Πατρόκλου (cf. P 563 sq., imprimis 581. 717). T *ex.*

330 *a.*¹ ⟨εἴ τινά που:⟩ Ἀρίσταρχος „ὅν τινά που". A^im^ *Did.*

*a.*² εἴ τινά που {μεθιέντα}: „ὅντινά που". οὕτως αἱ Ἀριστάρχου. T

331 *a.* ἀλλ' ἄνα: ἐφυλάξατο ἐπαγαγεῖν τῷ „λαοὶ μὲν" (Z 327) 'σὺ δὲ καθέζῃ'. T *ex.*

*b.* ⟨πυρὸς δηΐοιο θέρηται:⟩ ὅτι ἐλλείπει ἡ ὑπό πρόθεσις, ὑπὸ πυρός. A^int^ *Ariston.*

*c.* ⟨θέρηται:⟩ καυθῇ. T^il^ *ex.(?)*

335 *a.* οὔτοι ἐγὼ Τρώων ⟨τόσσον χόλῳ⟩: ὅτι σαφὲς γέγονε τὸ ἐν τοῖς ἐπάνω ἄδηλον διὰ τοῦ „δαιμόνι', οὐ μὲν καλὰ χόλον τόνδ' ἔνθεο θυμῷ" (Z 326). A *Ariston.*

*b.* {οὔτε} νεμέσ⟨σ⟩ι: διὰ τοῦ ῑ μακροῦ τὸ νεμέσ⟨σ⟩ι ὡς Θέτι. T *ex.*

336 *a.*¹ ἧμην {ἐν θαλάμῳ}: προσπνευστέον τὸ ἧ· ἐνδιατρίβειν γὰρ σημαίνει καὶ τὸ καθῆσθαι. ὅσοι δὲ ἠθέλησαν σημαντικὸν εἶναι τοῦ ὑπάρχειν, ἐψίλωσαν· ὃ σπανίως εὑρίσκεται κατὰ τὴν χρῆσιν τῶν Ἑλλήνων, οὗ τὰ ὑποδείγματα δίδομεν ἐν τῷ Περὶ τῶν εἰς μι (fr. 12, Hrd. 2, 840, 9). ὁ μέντοι ποιητὴς οὐκ ἐχρήσατο. A *Hrd.*

327—8 vide ad Z 331 *a* (ex.) 327 ad Z 434 *b* (test.) 329 nescio an sch. fuerit de v. ἀμφιδέδηε, cf. Et. Gen. (AB) ἀμφιδέδηε· περιειλεῖται, περιορίζει ἤγουν (ἤγ. om. B) ἀμφοτέρωθεν περιεκύκλωσεν. ἀπὸ τοῦ δαίω μέσος παρακείμενος· „ἄστυ τόδ' ἀμφιδέδηε" (Z 329), originis incertae; cf. Reitzenstein, Gesch. 35, 25 331 de v. ἄνα vide ad I 247 (test.) *a* vide ad Z 327—8 (ex.) *b* ad I 242 *a*. Λ 667 *b*. Π 81 *a* (Ariston.); cf. Friedl., Ariston. 21 *c* idem Eust. 645, 39; cf. D (ἀντὶ τοῦ καίηται) 335 *a* ad Z 326 *a* (Ariston.) *b* cf. Et. Gen. (= EM. 600, 29); Ahrens, Philol. 4, 1849, 604; Schulze, Quaest. ep. 434 336 *a* ad O 10 (Hrd.) *a*¹ — καθῆσθαι (34) ad Δ 412 *c*. O 245 (Hrd.), cf. Lex. spir. 224 σπανίως εὑρίσκεται (35) cf. Choer. Th. 2, 352, 14; Uhlig ad Ap. Dysc. synt. 452, 8

---

12 le. T supplevi, om. b (qui sch. ad Z 327 revocavit) 13 εἰπεῖν T ἐπαγαγεῖν b 15 (le.) πόλιν T suppl. V 17 ante μενέλ. lac. stat. Ma. 18 fort. ἀδικούμενος vel ἠδικημένος νυκτὶ cf. P 644 sq. 20 le. add. Vill. 21 (le.) μεθιέντα delevi 23 τῷ Ma., τὸ T 25 le. add. Bk. ὅτι A, ἡ διπλῆ, ὅτι Vill. 27 le. add. Ma. 28 le. A supplevi (Bk.) ὅτι A, ἡ διπλῆ, ὅτι Vill. 31 (le.) οὔτε delevi; νεμέσι T suppl. Ma. (νεμέσσει Ba.) νεμέσι² T suppl. Bk. 33 (le.) ἐν θαλάμῳ del. Bk. 34 τοῦ Bk., τὸ A

*a.*² δασυντέον τὸ ἧμην, ἀντὶ τοῦ ἐκαθήμην. τινὲς δὲ ψιλοῦσιν ἀντὶ τοῦ ὑπῆρχον, κακῶς. b(BCE³) T

*ex.* *b.* ἄχεϊ προτραπέσθαι: εἶξαι τῇ συμφορᾷ καὶ ἀφησυχάσαι. δέον δὲ ἔργοις ἀνανεοῦσθαι τὸ πταῖσμα διὰ ἡσυχίας φησὶν ἀνακτᾶσθαι ἑαυτόν. b(BCE³E⁴) T

*ex.* *c.* ⟨ἄχεϊ προτραπέσθαι:⟩ οἱονεὶ εἶξαι τῇ συμφορᾷ καὶ σχολάσαι τῇ μάχῃ. A$^{int}$

*D* {ἔθελον δ'} ἄχεϊ προτραπέσθαι: διὰ τὴν λύπην τοῦ δυσημερήματος ——— δὲ εἶξαι. A

*Ariston.* **337** *a.* νῦν δέ με ⟨παρειποῦσ' ἄλοχος μαλακοῖς ἐπέεσσιν⟩: ὅτι οὐ κατὰ τὸ ῥητὸν παραγείοχε τὴν παραμυθίαν, δεῖ δὲ κατὰ τὸ σιωπώμενον νοῆσαι· διὸ καὶ εὑρίσκεται περὶ τὰ ὅπλα ἀσχολούμενος. A

*ex.* *b.* νῦν δέ με παρειποῦσ' ἄλοχος: ὡς ἐρῶν κηδεμόνα τῆς πόλεως αὐτὴν θέλει δεῖξαι· ἅμα δὲ μειοῖ τὴν παραίνεσιν τοῦ ἀδελφοῦ. T

*ex.* | *Ariston.* (?) **339.** νίκη δ' ἐπαμείβεται ἄνδρας: ὡς τὸ „κεῖνον δ' αὖθις ἐγώ" (Γ 440). b(BCE³) T τῇ δὲ τύχῃ, οὐ τῷ πολεμίῳ περιάπτει τὸ κατόρθωμα. b(BCE³E⁴) T | ὁ δὲ δέ ἀντὶ τοῦ γάρ. T

*ex.* **340—1.** ἀλλ' ἄγε νῦν ἐπίμεινον ⟨———/⟩ ἢ ἴθ' ⟨ἐγὼ δὲ μέτειμι,⟩ κιχήσεσθαι δέ σ' ὀΐω: πρὸς ἀναβολὴν καὶ εὐκαιρίαν Ἕκτορος. T

*ex.* **342.** τὸν δ' οὔτι προσέφη: καλῶς οὐδὲ ἀποκρίσεως αὐτὸν ἠξίωσεν εἰπόντα „νῦν δέ με παρειποῦσ' ἄλοχος" (Ζ 337), ἀλλὰ τῇ Ἑλένῃ αὐτὸν παρορμᾶν παραινεῖ· b(BCE³E⁴) T „ἀλλὰ σύ ⟨γ'⟩ ὄρνυθι τοῦτον" (Ζ 363). T

*Did.* **343** *a.* ⟨προσηύδα μειλιχίοισι:⟩ ἐν ἄλλῳ „προσηύδα δῖα γυναικῶν". A$^{int}$

*b* — ἀφησυχάσαι (40) cf. D, Eust. 645, 6 *c* cf. sch. *b* et D **337** *a* κατὰ τὸ σιωπώμενον (49) ad E 231 *b*; cf. Meinel 10 **339** ὁ δὲ δέ (56) sq. ad Z 360 *b* (Ariston.); ceterum nullum signum ante versum in A **342** cf. Eust. 645, 49

---

**38** δασυντ. b, ἧμην ἐν θαλάμῳ: δασυντέον T τινὲς T ἄμεινον γάρ. τινὲς b ψιλοῦσι E³ **39** ὑπ. κακῶς T ἧμην, ὃ δηλοῖ τὸ ὑπῆρχον b **40** καὶ εἶξαι E⁴ (pone D) **40 sq.** ἡσυχάσαι b **41** δὲ — διὰ T μὲν οὖν ἦν τὸ πταῖσμα ἔργοις ἀνανεοῦσθαι. οὗτος δὲ διὰ b **43** le. addidi συμφᾷ ss. ο A **44** τῆς μάχης Ddf., vix recte **45** (le.) ἔθελον δ' del. Bk. **47 sq.** le. A suppl. Frdl. (le.) δέ με Vill. (cf. Bk., H. Bl. 1, 84), δ' ἐμε A **48** ὅτι A, ἡ διπλῆ, ὅτι Vill. παραγήοχε Bk., fort. rectius **54** δ'² b δὲ T **55** οὐ τῷ] αὐτῶι E³, quod ipse correxit **57** le. T supplevi; ἴθ' scripsi pro ἴθι; le. solum ἐπίμεινον Bk. **58** καὶ T, fort. ἤ **60** οὐδὲ] οὐδ' E⁴ **60 sq.** ἠξ. αὐτὸν E³ **62** παρορμᾶν παρ.] παρορμᾷ E⁴ γ' addidi cl. Hom. **64** le. addidi (auctore Vill.)

*b*. προσηύδα μειλιχίοισι: προσάγεται αὐτόν· ξυνίησι γὰρ ὡς διὰ τὴν πρὸς αὐτὴν αἰδῶ τὰς ἐπιπλήξεις παρῆκεν. **b**(BCE³E⁴) T *ex.*

344. δᾶερ ⟨ἐμεῖο κυνὸς κακομηχάνου ὀκρυοέσσης⟩: τῷ συγγενικῷ ὀνόματι προσάγεται τὸν Ἕκτορα. ἐπεὶ δὲ δι' αὐτὴν ἀτυχοῦσι Τρῶες, προαναστέλλει τὴν κατηγορίαν καὶ τὴν εὔνοιαν αὐτῶν ἐπισπᾶται. **b**(BCE³E⁴) T *ex.*

345. ὅτε με πρῶτον τέκε μήτηρ: ὡς παρ' αὐτὸ ⟨τὸ⟩ τῆς γενέσεως εἱμαρμένων τούτων, ἅπερ αὐτῆς ἐδόκει εἶναι πλημμελήματα. **b**(BCE³E⁴) T *ex.*

348 *a*. ἀπόερσε: ψιλωτέον· τὰ γὰρ φωνήεντα καταλήγοντα εἰς τὸ ρ̄, ἐπιφερομένου τοῦ σ̄, ψιλοῦσθαι φιλεῖ, „ἄρσαντες" — οὕτως γὰρ ἐλέγομεν περὶ τούτου καὶ ἐν τῇ Α ῥαψῳδίᾳ (136) —, Ἀρσινόη, „ἐν δὲ σταθμοὺς ἄρσε" (φ 45), „ὄρσας" (Χ 190 al.), „ὄρσεο, κυλλοπόδιον" (Φ 331). ταύτῃ ἀναλογώτερον τὸ ἔερσα τρισύλλαβον. **A** *Hrd.*

*b*. ἀπόερσε: ψιλωτέον τὸ ἔρσε· πᾶν γὰρ φωνῆεν λῆγον εἰς ρ̄, ἐπιφερομένου τοῦ σ̄, ψιλοῦσθαι θέλει. **b**(BCE³) T | γίνεται δὲ ἀπὸ τοῦ ἔρρω, „ἔναυλος ἀποέρσει" (Φ 283). T *Hrd.* | *ex.*

*c*. πάρος τάδε ἔργα γενέσθαι: πιθανῶς παρέδραμε τὴν αἰσχύνην τῶν εἰργασμένων. **b**(BCE³E⁴) T *ex.*

349. ⟨τεκμήραντο:⟩ εἰς τέλος ἤγαγον, | διὰ τὸ τέκμωρ. **b**(BCE³E⁴) T^il *D* | *ex.*

350. ἀνδρὸς ἔπειτ' ὤφελλον ἀμείνονος: διδάσκει ὁ ποιητὴς τὰς ἐπιγαμίας πρὸς συνετοὺς ποιεῖσθαι. ἡ γοῦν Ἑλένη πλούσιον ἄνδρα ἔχουσα τὸν Ἀλέξανδρον καὶ υἱὸν βασιλέως εὔχεται συνετοῦ γεγενῆσθαι γυνή. **b**(BCE³E⁴) T *ex.*

---

**347** Ep. Hom. (An. Ox. 1, 172, 3): ἐς·... παρὰ δὲ τῷ ποιητῇ συμφώνου μὲν ἐπιφερομένου ἐκβάλλειν τὸ ῑ λέγεται, φωνήεντος δὲ ἐπιφερομένου φυλάττει :.. ἀμφίβολον τὸ „εἰς ὄρος ἢ εἰς κῦμα"· ἀναγινώσκεται γὰρ καὶ „ἐς κῦμα", (sim. ib. 1, 179, 23), fort. e scholio deperdito **348** *a* — ῥαψῳδίᾳ (78) ad A 136 (Hrd.); cf. Lehrs Ar.³ 308; La Roche, H. T. 419 ψιλωτέον (76) ad Φ 282 (pap. XII) ταύτῃ (80) sq. ad Ξ 351 (Hrd.) *b* γίνεται δὲ (82) sq. cf. Eust. 646, 21; vide ad Φ 283. 329 (ex.); Bechtel, Lex. 50 **349** — ἤγαγον (86) cf. D ad H 70 τέκμωρ (86) ad

---

**69** le. T supplevi (auctore Vill.; δ. ἐμ. κυνὸς iam Li), om. **b** **70** προσοικειοῦται **b** **71** προαναγγέλλει τε τὴν ἑαυτῆς κατηγορίαν **b** (perperam) **73** sq. παρ' αὐτὸ τὸ (τὸ add. Wil.) τῆς γ. T καὶ παρ' αὐτὴν τὴν γένεσιν **b** **80** ἔερσα Bk., ἐέρσα A (ἔερσα Pind. N. 3, 78) **81—3** pone sch. *c* in T **84** sq. πιθανῶς δὲ sq. pone sch. *b* (coni. cum v. θέλει) BCE³ τὴν τῶν αὐτῇ εἰργ. αἰσχύνην BCE³ **86** le. add. V^c διὰ τὸ τέκμωρ T ἀπὸ τοῦ τέκμαρ **b** (cf. test.)

*ex.* 351. ἤδη νέμεσίν τε ⟨καὶ αἴσχεα⟩: ᾔδει πρὸς τὸ φυλάσσεσθαι μὴ ἐμπίπτειν εἰς αὐτά· b(BC$E^3E^4$) T „οἶδεν τό γ' αἰσχρὸν κανόνι τοῦ καλοῦ μαθών" (Eur. Hec. 602). T

*ex.* 352—3. οὔτ' ἄρ ⟨νῦν⟩ φρένες ⟨ἔμπεδοι⟩ οὔτ' ἄρ' ὀπίσ⟨σ⟩ω / ⟨ἔσσονται⟩: οὐδὲ ἐλπίδα ὑποδείκνυσι σωτηρίας. T

*Did.(?)* 353 *a.* ⟨κέν μιν:⟩ γράφεται „καί μιν". $A^{int}$

*ex.(?)* *b.* ⟨ἐπαυρήσεσθαι:⟩ τῆς ἰδίας ἀνοίας δηλονότι. $A^{int}$

*Did.* 354 *a.* ⟨ἀλλ' ἄγε νῦν:⟩ οὕτω νῦν αἱ Ἀριστάρχου. $A^{int}$

*ex.* *b.* ἕζεο: τὸ μὲν παθητικὸν διὰ τοῦ ε̄, τὸ δὲ ἐνεργητικὸν διὰ τοῦ ῑ. T

*ex.* 354—5 *a.* ἀλλ' ἄγε νῦν εἴσελθε ⟨———, /⟩ δᾶερ: τὸ συνεχὲς τοῦ λόγου ἐκεῖνο ἦν „δᾶερ ἐμεῖο κυνὸς" (Z 344) εἴσελθε καὶ ἕζεο (354). μέσα δὲ παρενθεῖσα πλείονα ἀπ' ἄλλης ἀρχῆς ἤρξατο, ἀλλ' ἄγε νῦν εἴσελθε καὶ ἕζεο (354). b(BC$E^3E^4$) T τὸ δὲ δᾶερ (355) ἕνεκα φιλοφροσύνης ἐπαναλαμβάνει. b(B$E^3E^4$) T

*ex.* *b.* ἀλλ' ἄγε νῦν εἴσελθε ⟨———, / δᾶερ⟩: μέχρι γὰρ τῆς αὐλῆς προεληλύθει, φιλοφρονητικὸν δὲ τοῦτο. b(BC$E^3E^4$) T

*Hrd.* 355 *a.*[1] δᾶερ, ἐπεί σε μάλιστα: τὸ δᾶερ ὡς „ἄνερ" (Ω 725)· τοιαῦται γὰρ αἱ εἰς ε̄ρ̄ κλητικαί. τὴν δὲ σέ ἀντωνυμίαν ὀξυτονοῦσι, τουτέστιν ὀρθοτονοῦσιν, ἐπεὶ πρός τί ἐστιν. ἔστι μὲν οὖν ἀληθὲς ὅτι ἀντιδιασταλτική ἐστιν νῦν ἡ ἀντωνυμία· ἡ μέντοι κοινὴ ἀνάγνωσις ἀνέγνω ἐγκλιτικῶς ἀεὶ τὴν τοιαύτην σύνταξιν. ὃ δὲ λέγω, τοιοῦτόν ἐστι· τὸ ἐπεί σε εὑρέθη συνεχῶς οὕτως ἀνεγνωσμένον, ἐγκλιτικῶς ἀεί, μὴ ἐπιφερομένου συνδέσμου, „ἐπεί σ' εἴασεν Ἀχιλλεύς" (Ω 684) „ἐπεί σε πρῶτα κιχάνω" (ν 228), „ἐπεί σε φυγὼν ἱκέτευσα" (ο 277)·

H 70 (A); cf. Bechtel, Lex. 310 **353** *a* cf. Valk II 109 **354** *a* νῦν „cuius loco quid alii dederint, difficile est affirmare, nisi putaveris ἀλλ' ἄγε δή olim obtinuisse" (Spitzner); sch. Herodiano dub. attr. Ludwich, A. H. T. 1, 270, 22 (cl. ad A 421—2), frustra opinor **354—5** *a* τὸ δὲ δᾶερ (7) sq. cf. Eust. 647, 7 **355** $a^1$ τὴν δὲ σέ (12) sq. ad B 190 *a* (Hrd., test.); cf. Lehrs, Quaest. ep. 121 τὴν δὲ σέ (12) — ἀντωνυμία (14) ad H 198 (Hrd.)

---

**92** le. T suppl. Bk., om. b ᾔδει] εἰ ᾔδει T, an ὃς ᾔδει? **93** μὴ — αὐτά T καὶ μὴ εἰς αὐτὰ ἐμπίπτειν b **95** sq. le. T suppl. Ma. (ἔσσ. addidi) **97** le. addidi (= vulg., καί μιν $A^{cont}$) γράφ.] γρ (cp.) A **98** le. add. Bk. **1** le. add. Bk., fort. rectius νῦν solum **2** le. scripsi, τὸ δὲ ἕζεο pone sch. Z 356 (coni. cum v. ἕκτορος) T, trps. Bk. **4** le. T suppl. Ma., om. b (scholio ad Z 354 relato) **5** λόγου b δᾶερ T κυνὸς T κυνώπιδος b **8** λαμβάνει b **9** le. T dub. supplevi, om. b μέχρι γὰρ T εἴσελθε δέ, ὅτι μέχρι (coni. cum scholio praecedenti) b **10** τοῦτο T καὶ τοῦτο b **11** ἄνερ A em. Bk. **12** κλητικαί Bk., ἐγκλιτικαί A **15** ἐγκλητικῶς A em. Vill.

„ἐπεί σε λέοντα“ (Φ 483). οὕτως δὲ καὶ ἐπεί σε μάλιστα πόνος φρένας. καί μοι δοκοῦσι τῷ πρώτῳ προσώπῳ ἀκολουθεῖν οἱ οὕτως ἀνεγνωκότες, πιθανῶς πάνυ· διὰ γὰρ τῆς φωνῆς τὸ πρῶτον πρόσωπον ἐπιδείκνυται τό τε ὀρθοτονούμενον καὶ τὸ ἐγκλιτικόν, εἴ γε ἡ ἐμέ αἰτιατική, ὅτε φυλάσσει τὸ ε̅, ὀρθοτονεῖται, εἰ δὲ ἀποβάλοι, ἐγκλιτική ἐστιν. εὑρέθη τοίνυν μετὰ τοῦ ἐπεί συνδέσμου παρὰ τῷ ποιητῇ κατὰ ταύτην τὴν σύνταξιν ἀποβάλλουσα τὸ ε̅· „Ἕκτορ, ἐπεί με κατ’ αἶσαν“ (Γ 59), „ἐπεί μ’ ἀφέλεσθέ γε δόντες“ (Α 299). τούτῳ τοίνυν τῷ λόγῳ πιθανὸν ἂν εἴη κατακολουθήσαντας ἡμᾶς ἀναγινώσκειν ἐγκλιτικῶς ἐπεί σε μάλιστα. **A**

$a.^2$ ἐπεί σε μάλιστα: ἔστι μὲν νῦν ἀντιδιασταλτικὴ ἡ σέ ἀντωνυμία, καὶ ἐχρῆν αὐτὴν ὀρθοτονεῖσθαι. ἡ δὲ συνήθεια ἐγκλιτικῶς ἀνέγνω. **b**(BCE$^3$) **T**

**356.** εἵνεκ’ ἐμεῖο κυνός: Ἕκτωρ μὲν οὐ συμπαραλαμβάνει αὐτὴν Ἀλεξάνδρῳ· „σέο“ γάρ φησιν „εἵνεκ’ αὐτή τε †πόλεμός† τε“ (Z 328). ἡ δὲ τὴν αἰτίαν τοῦ πολέμου καὶ εἰς ἑαυτὴν φέρει προκαταλαμβάνουσα τὴν αἰτίαν Ἕκτορος. **b**(BCE$^3$E$^4$) **T** *ex.*

**357** $a.^1$ οἷσιν ἐπὶ Ζεὺς θῆκε: ὁ Ἀσκαλωνίτης (p. 48 B.) ἀναστρέφει, ἵν’ ᾖ ἐφ’ οἷς. δύναται δὲ τὸ ἑξῆς εἶναι ἐπέθηκε⟨ν⟩· οὕτως γὰρ βούλονται καὶ οἱ περὶ Ἡρακλέωνα (fr. 5 B.)· ἢ περισσὴν λαμβάνειν τὴν ἐπί, ἥτις πάλιν οὐκ ἀναστραφήσεται, δι’ ὃν εἴπομεν λόγον (sc. ad Δ 423)· τοῦτο γὰρ βούλεται καὶ ὁ Ἀλεξίων (fr. 32 B.). οὐδὲν μέντοι κεκώλυκε καὶ τὸ τοῦ Ἀσκαλωνίτου, ἐπεὶ οὐχ ὁρῶ τινα λόγον ἀναγκαστικόν. **A** *Hrd.*

$a.^2$ Πτολεμαῖος ἀναστρέφει τὴν ἐπί πρόθεσιν, **b**(BCE$^3$) **T**$^{il}$ Ἡρακλέων δὲ οὔ. **b**(BE$^3$) **T**

*b.* ⟨Ζεύς:⟩ ἰᾶται τὰ πταίσματα, **b**(BE$^3$) **T**$^t$ εἰς τὸν Δία ἀνάγουσα τὴν αἰτίαν. **T**$^t$ *ex.*

ἡ ἐμέ αἰτ. (22) ad E 117. Vide ad K 242 $b^1$ (Hrd.) εἰ δὲ ἀποβάλοι, ἐγκλιτική ἐστιν (23) ad Γ 400 (test.), cf. Ap. Dysc. pron. 36, 20 **356** nullum signum ante versum in A; fort. exstabat sch. Aristonici, qui notavisse vid. poetam voce ἄτης hic, ubi Helena culpam ad se refert, suo iure usum esse; tamen quosdam legisse ἀρχῆς (e. g. Ap. Dysc. synt. 185, 9). Vide ad Γ 100 *b* (Ariston.), cf. Ludwich, A. H. T. 1, 270, 26 **357** *a* ἀναστρέφει (36) ad B 699 (test.) δύναται (37) sq. ad A 67 *b* (test.) ἢ περισσὴν (38) — ἀναστραφήσεται (39) ad E 178, cf. sch. δ 386. ε 40. Vide ad Δ 423

---

**21** sq. πρώσωπον A em. Vill. **22** εἴ γε Bk., εἰ γὰρ A **29** διασταλτικὴ C σέ **b** ἐ T **33** σέο **b** σεῖο T, σέο δ’ Hom. εἵνεκ’ om. T πτόλεμός (τε) Hom. **34** τοῦ πολ. om. **b** **35** τὴν αἰτ. ἕκτ. T αὐτόν **b** **36** (le.) ζ. θῆκε del. Bk. **37** ἐπέθηκε A suppl. Bk. **41** τὸ Lehrs, ὁ A **43** πρόθεσιν om. **b** **45** le. add. Ma. **45** sq. ἰᾶται δὲ τὰ ἑαυτῆς πταίσματα cum scholio praecedenti coni. **b**

*ex.* **358.** πελώμεθ' ἀοίδιμοι: λεληθότως αὔξει τὴν ποίησιν. b(BE$^3$) T

*ex.* **360** *a.* φιλέουσά περ: πιθανῶς προσέθηκε τὸ φιλέουσα, ἵνα μὴ ὑπ' ἀπεχθείας δοκῇ μὴ καθέζεσθαι. b(BCE$^3$E$^4$) T

*Ariston.* *b.* ⟨οὐ δέ με πείσεις:⟩ ὅτι ὁ δέ ἀντὶ τοῦ γάρ· οὐ γάρ με πείσεις. A$^{im}$

*Hrd.* **362** *a.* ⟨Τρώεσσ':⟩ τὸ τέλειον Τρώεσσι· διὸ προπαροξύνεται. A$^{im}$

*ex.* *b.* οἵ μέγ' ἐμεῖο ποθὴν ⟨ἀπεόντος⟩ ἔχουσιν: στρατιωτικὸν τὸ τῆς ἀλαζονείας καὶ κατὰ τὸν Ἕκτορα. b(BCE$^3$E$^4$) T

*Hrd.* *c.* ⟨ποθήν:⟩ τὸ ποθήν ὡς κριθήν. A$^{int}$

*ex.* **363.** ἀλλὰ σύ γ' ὄρνυθι τοῦτον: οὐκ ἠξίωσεν αὐτῷ διαλέξασθαι τὸ πᾶν ἐπιτρέποντι τῇ γυναικί. b(BCE$^3$E$^4$) T

*ex.* **364** *a.*[1] ὥς κεν ἔμ' ἔντοσθεν πόλιος: ὡς τάχιστα διαλεξόμενος τῇ γυναικί. T

*a.*[2] ἐδήλωσεν ὅτι οὐ χρονίσει ἐν τῷ τῇ γυναικὶ ὁμιλεῖν. b(BCE$^3$E$^4$)

*ex.* **365—6.** ὄφρα ἴδωμαι / οἰκῆας: τοὺς ἐν τῷ οἴκῳ· ἀσυμπαθοῦς γὰρ ἐλθόντα μὴ ἰδεῖν. προὔκρινε δὲ τῶν ἡδέων τὰ ἀναγκαῖα. b(BCE$^3$E$^4$) T

*ex.(?)* **366.** ⟨οἰκῆας:⟩ οἰκέτας. A$^{im}$

*ex.* **367** *a.* οὐ γάρ τ' οἶδ', εἰ ἔτι σφιν ὑπότροπος ἵξομαι: τὸ τέλειον 'οὐ γάρ τε οἶδα'. A$^{im}$ b(BCE$^3$E$^4$) T πολεμικὸς δὲ ὢν †ὁ μὲν† τὸ τῶν πολεμικῶν κινδύνων ἄδηλον. b(BCE$^3$E$^4$) T

**360** *b* ad H 401 *b*. Θ 85. 344. O 261. Π 116 (Ariston.), cf. sch. β 6. θ 363. λ 501. ρ 261. σ 229. 234. τ 46. φ 1. 29; Polyb. barb. 289, 9. Vide ad Z 339. I 640 *b*. N 70. 163. 191 *g*. 429 *a*. 481 *b*. Π 90. 107—11. 255. 336 *a*$^2$ **365—6** — οἴκῳ (64) cf. Eust. 647, 25 (σημειοῦνται οἱ παλαιοί). Vide ad E 413 (ex.), sch. ξ 4, Amm. 343 **366** οἰκέτας = D ad E 413, cf. sch. ξ 4, Amm. 343, aliter D (νῦν ἀντὶ τοῦ οἰκείους,

---

**47** καὶ λεληθ. (coni. cum scholio praecedenti, v. πταίσματα) b **51** le. addidi (auctore Frdl.) ὅτι A, fort. ἡ διπλῆ, ὅτι δέ Bk., $\overline{\mu\varepsilon}$ A **53** le. add. Vill. **55** le. T supplevi (auctore Vill.), om. b **56** κατὰ τ. ἕκτ. T οἰκεῖον ἕκτορος b **57** le. addidi κριθήν cf. Λ 69 al. **58** sq. οὐκ ἠξίωσε δὲ sq. pone sch. Z 362 *b* (coni. cum v. ἕκτορος) b αὐτῷ διαλ. T διαλέξασθαι ἀλεξάνδρῳ b **59** τῇ γυν. ἐπιτρέπων b **60** (le.) ἔντοσθε πόλησς T em. Ma. ὡς T, fort. τοῦτο προφέρει ὡς sim. **64—5** sch. ad v. 366 revocavit b **65** τὸ ἐλθόντα b **67** le. add. Ddf. **68** le. T, om. Ab **68** sq. τὸ τέλ. om. b **69** τε οἶδα A τεοῖσ T τέως b δὲ om. T (fort. recte) **69** sq. ὁ μὲν T ὑποπτεύει b (e coniectura ?), οἶδεν Wil. **70** τὸ ante ἄδηλον trps. b

*b.* {οὐ γάρ τ' οἶδ' εἰ} ἔτι σφιν {ὑπότροπος ἵξομαι αὖτις}: οὕτως {εἰ} ἔτι σφιν, εἷς τόνος. καίτοι ἐχρῆν δύο διὰ τὸ ἐπιφέρεσθαι ἀντωνυμίαν ἀπὸ τοῦ σφ ἀρχομένην, ὁμοίως τῷ „ὅθί σφισι πέφραδ' Ἀχιλλεύς" (Ψ 138), „ἦρχε δ' ἄρά σφιν ἄναξ ἀνδρῶν Ἀγαμέμνων" (Ξ 134). | σεσημείωται οὖν αὕτη ἡ ἀνάγνωσις μόνη, ὡς ἐν ἄλλοις (sc. ad B 255) ὁ Ἡρωδιανὸς λέγει (2, 57, 18). A *Hrd.* | *Ap. H.* (?)

**370** *a.* ⟨εὖ ναιετάοντας:⟩ ὅτι ἀντὶ τοῦ εὖ ναιομένους. A$^{im}$ *Ariston.*

*b.* δόμους εὖ ναιετάοντας: διὰ τὴν τῶν δεσποτῶν πρόνοιαν· ἐπὶ δὲ Ἀλεξάνδρου (sc. Z 314) „καλά". b(BCE$^3$E$^4$) T *ex.*

**371.** οὐδ' εὗρ' Ἀνδρομάχην: ἐκκλίνων τὸ ὁμοειδὲς πιθανῶς ἐποίησε τὴν Ἀνδρομάχην μὴ εὑρισκομένην ἔνδον, ἅμα δὲ καὶ κρίνειν τὸν ἀκροατὴν †εἶγε Ἑκάβην μὲν εὗρε καὶ Ἑλένην†. ἀπῄει δὲ κατηφὴς τῶν φιλτάτων †οὐκ ἀπολλυμένων†. ἐν δὲ τῷ τείχει παραδόξως συντυγχάνει αὐτοῖς. b(BCE$^3$E$^4$) T *ex.*

**373** *a.* ⟨ἐφειστήκει:⟩ Ἀρίσταρχος χωρὶς τοῦ ῑ „ἐφεστήκει". A$^{im}$ *Did.*

*b.* ⟨γοόωσά τε μυρομένη τε:⟩ ἐκ παραλλήλου τὸ αὐτό. A$^{int}$ *Ariston.* (?)

*c.* πύργῳ ἐφεστήκει ⟨γοόωσά τε μυρομένη τε⟩: τὴν αἰτίαν τῆς ἐξόδου φησί, παραμυθούμενος ἡμᾶς συναχθομένους τῷ Ἕκτορι. βούλεται δὲ ὥσπερ ἱκετήριον τῷ πατρὶ προτεῖναι τὸν παῖδα διὰ τὸ ῥιψοκίνδυνον. b(BCE$^3$) T *ex.*

**377.** πῇ ἔβη Ἀνδρομάχη λευκώλενος: τοῦ ποιητοῦ τὸ ἐπίθετον, οὐ τοῦ προσώπου. b(BCE$^3$E$^4$) T *ex.*

τοὺς κατὰ τὴν οἰκίαν) **367** *b* ad B 255, cf. sch. μ 40 (Hrd.); Arcad. 161, 13; Lehrs, Quaest. ep. 106; Wackernagel II 1096 **370** *a* ad B 626 (Ariston.); cf. Polyb. barb. 288, 11; Classen, Beob. 68 **371** cf. Eust. 647, 49: τοῦτο δὲ πάνυ ἐπιστρέφει τὸν ἀκροατήν, τάχα που καὶ ἀχθόμενον, εἴπερ ὁ καλὸς Ἕκτωρ ἃ μὲν οὐ πάνυ ἔστεργεν εὗρε, τὰ δὲ φίλτατα οὐχ εὑρίσκει **373** *a* ad Δ 329 (Did.) *b* vide ad A 99—100 *a* (Ariston.) **376** fort. exstabat sch. Nicanoris de vi cohortativa vocis εἰ, ad I 46—7 *a*$^1$. Vide ad Θ 18 **377** v. λευκώλενος redundare docet Ap. Dysc. de coni. 249, 25, vide ad K 220 *b*. O 171 *b*; incertum, an huc

---

71 (le.) οὐ — εἰ et ὑπ. ἵξ. αὖτις del. Bk. 72 εἰ del. Bk. 77 le. add. Ddf. (Vill.) ὅτι A, ἡ διπλῆ, ὅτι Vill. 78 sq. πρόν. καὶ φρόνησιν b 79 μόνον καλά b 81 καὶ om. C 82 εἶγε — ἑλένην T ἀξιοῖ ὅσης ἐπληρώθη μὲν λύπης εὑρὼν ἑλένην, ἀνδρομάχην δὲ οὔ b, fort. ἀξιοῖ ὅσης ἐπληρώθη λύπης, εἴ γε ἑκ. μὲν εὗρε καὶ ἑλ., ἀνδρομάχην δὲ οὔ (nisi forte κρίνειν [l. 81] corruptum) 83 οὐκ ἀπ. T, μὴ θεαθέντων b (e coni. ut vid.), οὐ κατειλημμένων Wil. (recte) δὲ T γοῦν b 83 sq. ἐντυγχάνει C 85 le. add. Bk. 87 le. addidi 89 le. T supplevi (auctore Vill.), om. b 91 τῷ πατρὶ T τὸν πατέρα (cp.) τῷ διῒ b 92 τὸ T τὸ τοῦ πολέμου b 93 le. λευκώλενος solum Bk., fort. rectius 94 προσώπου T ἕκτορος b

*ex.* 378 *a*. ἠέ πῃ ἐς γαλόων: τὰς αἰτίας φησί, δι' ἃς προϊέναι τὰς σώφρονας δεῖ. b(BCE³E⁴) T

*D* *b*. ⟨εἰνατέρων:⟩ εἰνάτερες αἱ τῶν ἀδελφῶν γυναῖκες. T^il

*ex.* 383. οὔτε πῃ ἐς γαλόων: ὀργιζομένῳ τῷ Ἕκτορι ἀπολογεῖται ὑπὲρ αὐτῆς ἡ θεράπαινα ὡς οὐ χαιρούσης προόδοις, ἠναγκασμένης δὲ νῦν διὰ φιλανδρίαν, ἵνα οἰκτίσῃ μᾶλλον αὐτὴν ὁ Ἕκτωρ. b(BCE³ E⁴) T

*ex.* 389 *a*. μαινομένῃ εἰκυῖα: ἵνα ἀπροαιρέτως δοκῇ ἐκβεβακχεῦσθαι τῇ προόδῳ. b(BCE³E⁴) T

*ex.* *b*. φέρει δ' ἅμα παῖδα τιθήνη: ἢ ὅτι ὑποτίτθιος ὁ παῖς ἦν, ἢ ἐπεὶ ἐν τοῖς δεινοῖς οὐκ ἐῶσι μόνους τοὺς παῖδας. b(BCE³E⁴) T

*ex.* 390. ὁ δ' ἀπέσσυτο δώματος Ἕκτωρ: οὐκ ἀποκρίνεται ὑπὸ θυμοῦ. εὖ δὲ τὸ μὴ περιμεῖναι τὴν γυναῖκα. καὶ ἔστιν ἰδεῖν ἀντικείμενα τὰ πρόσωπα, Ἕκτορος μὲν προτιμήσαντος τῶν ἡδέων τὴν βοήθειαν τῶν πολιτῶν, Ἀλεξάνδρου δὲ τῇ Ἑλένῃ παρακαθημένου. b(BCE³ E⁴) T

*ex.* 392. ⟨εὖτε πύλας ἵκανε διερχόμενος μέγα ἄστυ:⟩ μετὰ τὸ διελθεῖν τὰς λεωφόρους πρὸς τέλει ἐλθών. b(BCE³E⁴) T^il τοῦτο δέ φησιν, b(BCE³) ἵνα ἀγωνιώτερος ὁ ἀκροατὴς γένηται. b(BCE³) T^il

*ex.* 393. τῇ ἄρ' ἔμελλε διεξίμεναι: ἐῴκει αὐτῷ, καὶ ἐδόκει ἡ γυνὴ προεληλυθέναι. T

spectet Demetr. Ix. fr. 26 (= Ap. S. 131, 8): πῆ· εἰς τίνα τόπον· „πῆ ἔβη Ἀνδρομάχη;" καὶ „πῆ δὴ τόνδε μολοβρὸν ἄγεις;" (ρ 219). ὁ δὲ Δημήτριος ὁ Ἰξίων τοῦ ποῖ τῶν Ἀττικῶν ὄντος ἰδίου τὸ {δὲ} (del. Staesche) πῆ Ἰακὸν καὶ Ὁμήρῳ σύνηθες (λέγει add. Vill.), cf. Staesche p. 47 **380** incertum, an sch. fuerit de v. l. εὐπλόκαμον, cf. Eust. 649, 6: „εὐπλόκαμον" δὲ „δεινὴν θεόν" τὴν Ἀθηνᾶν λέγει ... τινὲς δέ γε οὐ τὴν Ἀθηνᾶν ἀφιᾶσιν εὐπλόκαμον λέγεσθαι, ἀλλὰ γράφουσι „Τρωαὶ εὐπλόκαμοι" (= vulg.) **389** *a* Ge (e T ut vid.) **390** εὖ δὲ (12) sq. cf. Eust.

---

**95** le. ἢ ἔπη ἐς γ. T em. Ma., om. b τὰς αἰτ. φ. T λέγει δὲ καὶ τὰς αἰτίας (coni. cum scholio praecedenti) b **2** le. add. V^c post γυν. verba ὡς ἑλένη πρὸς ἀνδρομάχην add. T m. sec. (e D ut vid.) **5** διὰ φιλ. T φιλανδρίας χάριν b μᾶλλ. οἰκτίσῃ b **7** δοκῇ ἀπρ. Ge ἀπροαίρετος T **7** sq. ἐκβεβ. Vill., ἐκβεβακχεύσθαι Ge ἐκβεβαχεῦσθαι T ἐκβεβακχεῦθαι BCE³ ἐκβεβαχεῦθαι E⁴ **8** τῇ πρ. om. b **9** ἢ T παῖδα δὲ φέρει τιθήνη ἢ (coni. cum scholio praecedenti) b ὁ παῖς om. b **10** ἐπεὶ T ὅτι b **13** πρόσωπα T ἡδέων T φιλτάτων b **13** sq. τὴν τῶν πολ. βοήθ. E⁴ **16** le. add. Vill. (εἴτε πύλας ἵκανεν iam Li, εὖτε πύλας V) **17** πρὸς T καὶ πρὸς b ἐλθών T ἐλθεῖν b **18** φασιν C ὁ ἀκρ. ἀγων. b **20** (le.) διεξιέμεναι T em. Ma. ἑαυτῷ T em. Bk., sc. per hanc portam exire

**394** *a.* ἔνθ' ἄλοχος πολύδωρος: ἀναβέβηκεν ἐπὶ τὸ τεῖχος ὡς ἐκεῖθεν ὀψομένη τὸν Ἕκτορα, b(BCE³E⁴) T ὡς δῆλον ἐκ τοῦ „πύργῳ ἐφεστήκει" (Z 373). T οὐδαμοῦ δὲ ὁρωμένου οἴκαδε ἐπανέρχεται καὶ ἰδοῦσα ἐξιέναι μέλλοντα προστρέχει, ἵνα αὐτὴν μὴ φθάσῃ παραλλάξαι. b(BCE³E⁴) T *ex.*

⟨πολύδωρος:⟩ πολλὰ ἕδνα παρὰ τοῦ ἀνδρὸς λαβοῦσα. A^im *D*

*b.*¹ ἦλθε θέουσα: μὴ προεξελθεῖν φθάσῃ Ἕκτωρ. δείκνυσι δὲ τὸ φίλανδρον τῆς Ἀνδρομάχης. T *ex.*

*b*² διὰ τοῦτο γὰρ ἔθει πάντως, ἵνα μὴ ἐξελθεῖν φθάσῃ. b (BCE³E⁴)

**395—6** *a.* Ἀνδρομάχη, θυγάτηρ μεγαλήτορος Ἠετίωνος, ⟨/Ἠετίων ὃς ἔναιεν ὑπὸ Πλάκῳ⟩: τὸ Ἠετίων (396) εἰ μὲν τοῖς ἄνω συντάττοιμεν, ἐμφανέστερον ποιεῖ τὸ ἀκατάλληλον τῆς ἐπαναλήψεως, ἥτις ὁμοιόπτωτος ὀφείλει γίνεσθαι· εἰ δὲ τοῖς μετὰ ταῦτα, δύναται εἶναι ὁ λόγος κατὰ τὸ ἑξῆς μεγαλήτορος Ἠετίωνος (395), ὅστις Ἠετίων ᾤκει ὑπὸ Πλάκῳ. A *Nic.*

*b.* μεγαλήτορος Ἠετίωνος, / Ἠετίων: „οἵη περ φύλ⟨λ⟩ων γενεή ⟨——— / ⟩ φύλλα" (Z 146—7). T *ex.*

**396** *a.* Ἠετίων, ὃς ἔναιεν: ἡ διπλῆ πρὸς τὴν ἐπανάληψιν, ὅτι πλεονάζει ἐν Ἰλιάδι, καὶ τὸ τῶν πτώσεων ἀκατάλληλον. A *Ariston.*

*b.* Ἠετίων: ἐνήλλακται ἡ πτῶσις. τινὲς δὲ Ἠετίων⟨α⟩ τὸ τέλειόν φασιν ἀντὶ γενικῆς, ὡς τὸ „ὅσσον ἰόνθ' ὅτε κέν τοι" (A 567). T *ex.*

ὃς ἔναιεν ὑπὸ Πλάκῳ: Γράνικος, οἱ δὲ ——— ἐκάλεσεν. ἡ ἱστορία παρὰ Δικαιάρχῳ (fr. 53 We.). A *D*

650, 4 **394** *b* vide ad I 146 *b* **395—6** *a*/*b* ad Z 396. Vide ad K 437 *c*. Π 56 *a*. Σ 435, cf. Eust. 1586, 44; Carnuth, Nic. p. 52 *a* ἥτις (36) — γίνεσθαι cf. Eust. 649, 34; Macrob. sat. 4, 6, 23 **396** *a*/*b* ad Z 395—6 *a*/*b* *a* — ἐπανάληψιν (41) ad E 734—6. Z 154 ἀκατάλληλον (42) cf. Wackernagel II 1234 *b* — πτῶσις (43) ad A 171 *a* (Ariston.) τινὲς δὲ (43) sq. ad A 567 *a* (Ariston.); vide

**23** ἕκτορα om. T, ss. m. rec. **27** le. add. Bk. λαβ. παρὰ τοῦ μνηστευσαμένου D **31** διὰ τοῦτο sq. coni. cum scholio *a* (v. παραλλάξαι) b **33** sq. le. A suppl. Frdl. **34** ἠετίων² Frdl., ἠετίωνος A **37** κατὰ scripsi, καὶ A **39** sq. φύλων T suppl. Ma. **40** γενεὴ φῦλα T em. Ma., ipse supplevi **43** ἠετίων T supplevi (h. e. quidam ἠετίων' scribi iusserunt); possis et ἠετίωνι, cf.

*ex.* 397 *a*. Θήβῃ Ὑποπλακίῃ: †ἀνδράμυς τις Πελασγὸς ἀφικόμενος εἰς τὴν Ἴδην τὴν ἐν Κιλικίᾳ κτίζει πόλιν †ἀδραμύστειαν† καλουμένην. ἔχων δὲ θυγατέρα Θήβην ἔπαθλον δρόμου αὐτὴν ὥρισε τῷ βουλομένῳ. Ἡρακλῆς δὲ ταύτην λαβὼν ὑπὸ τὸ Πλάκιον τῆς Κιλικίας πόλιν κτίσας Θήβην αὐτὴν ὠνόμασεν. **b**(BCE$^3$) T

*ex.* *b*. ἄλλως· Ἐριθήλας καὶ Λέβης οἱ Ἀστάκου ἀπαρχὰς εἰς Φοινίκην ἀπὸ Θήβης φέροντες ἐξώσθησαν καὶ †οἰκήσαντες ἔκτισαν† αὐτὴν καθ' ὁμωνυμίαν. T ὑπέρκειται δὲ αὐτῆς πλακῶδες ὄρος συνεχεῖς ἔχον πέτρας **b**(BCE$^3$E$^4$) T προσπιπτούσας ἀλλήλαις. ἄλλοι δὲ οὗτοι παρὰ τοὺς Σύρους Κίλικας ὑπὸ τὴν Ἴδην καὶ Πήδασον ὄντες. T

*Ariston.* 398 *a*. ⟨ἔχεθ' Ἕκτορι:⟩ ὅτι ἀντὶ τοῦ εἴχετο ὑφ' Ἕκτορος· ἡ γὰρ γυνὴ ἔχεται, ὁ δὲ ἀνὴρ ἔχει. A$^{int}$

*ex.* *b*. τοῦ περ δὴ θυγάτηρ ἔχεθ' Ἕκτορι: ἐπὶ ἀνδρὸς „θύγατρ' εἶχε ξανθὴν Ἀγαμήδην" (Λ 740), ὡς ἐγάμει καὶ ἐγαμεῖτο. T

*Ariston.* 400 *a*. {παῖδ' ἐπὶ} κόλπῳ: ὅτι κόλπον τὰς ἀγκάλας νῦν εἶπεν. εἴωθε δὲ καὶ τὸ ἄνω τοῦ πέπλου οὕτως καλεῖν· „κόλπον ἀνιεμένη" (Χ 80). A

*D* *b*. ⟨ἀταλάφρονα:⟩ μὴ δυνάμενον τλῆναι κακοπάθειαν. **b**(BE$^3$) T$^{il}$

*D(~)* ⟨ἀταλάφρονα:⟩ ἁπαλὰ φρονοῦντα, μὴ δυνάμενον τλῆναι καὶ κακοπαθεῖν. A$^{int}$

*ex.(?)* *c*. ⟨νήπιον αὔτως:⟩ οὕτως ὡς οἱ παῖδες. A$^{il}$

test. Wackernagel, Vorlesungen über Syntax I, Basileae 1926, 56 **397** *a*/*b* cf. Valk I 344 *a* cf. Eust. 649, 45; Strab. 13, 1, 65 (p. 613—4) Ἀνδράμυς (47) cf. Schulze 281; vide He. α 1188 (Diog.) ὑπὸ τὸ Πλάκιον (50) cf. Eust. 649, 43; at vide Porph. ap. Eust. 322, 30. 649, 50 *b* — ὁμωνυμίαν (54) cf. sch. Eur. Andr. 1; Schwartz 441 et eund., Ges. Schr. II (Berol. 1956), 91; — Ἀστάκου (52) cf. [Apoll.] bibl. 3, 74 **398** *a* — ὑφ' Ἕκτορος (58) ad N 16. Ο 376 *b*. Π 326. Ρ 2. Σ 103. 461. Χ 40. 55. 110, cf. sch. ο 6. σ 100. 406. Vide ad Ε 903. Θ 526 *a*. Ν 474 *a*. Φ 541 (Ariston.); praeterea ad Ν 29 *b* (Hrd.), 603 (ex.) ἡ γὰρ (58) sq. cf. Eust. 650, 2 *b* ὡς (61) sq. cf. D **400** *a* καὶ τὸ ἄνω (63) sq. ad. Ξ 219 *a*

---

**47** ἀδραμύστιος (gen.) Eust. (qui fort. pro ἄδραμυς τις legebat ἀδραμύστις), ἀτράμυς ἤγουν ἀτράμυτος D (ἀτράμους A); de forma nominis cf. Aristot. fr. 484 R., Athen. 12, 515 e; vide test. ὁ πελ. **b** **48** λυκίᾳ Li, Ddf. ἀδραμυστίαν Eust., ἀνδραμυστίαν T ἀτραμύττειον D (ἀδραμύττιον A) **50** sq. ὑπὸ τὸ — αὐτὴν T καὶ τὴν πόλιν ὑπόπλακον θήβην **b** **52—7** ἀλλ(ως) sq. sch. praecedenti adhaeret in T **53** fort. (καὶ) πόλιν κτίσαντες ἐκάλεσαν (ἐκάλ. iam Ma.) **54** κατομωνυμίαν T em. Bk. ὑπερκ. δὲ T ὅτι ὑπέρκειται pone sch. *a* (coni. cum v. ὠνόμασεν) BCE$^3$, ὑπὸ πλάκῳ δὲ ὅτι ὑπέρκειται pone D ad Z 396 (coni. cum v. δικαιάρχῳ) E$^4$ **58** le. add. Bk. ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **60** sq. θύγατρ' Hom., θυγατέρα T **62** (le.) π. ἐπὶ eiecit Bk. ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **63** ἀνειεμένη A em. Vill. **65** le. add. V$^c$ **67** le. add. Bk. (Vill.) φρον. Bk., φρονῶν ἢ A **69** le. addidi (αὔτ. iam Ddf.)

401. Ἑκτορίδην ἀγαπητόν, ἀλίγκιον ἀστέρι καλῷ: προπαραδίδωσιν ἡμῖν τὸ χάριεν τοῦ παιδός, ἵνα προσανέχωμεν αὐτῷ τὸν νοῦν, ὅταν εἴπῃ τὸ „οὗ παιδὸς †ὠρέξατο“ (Ζ 466). πρέπον δὲ παιδίῳ τὸ μὴ ἡλίῳ ἢ σελήνῃ, ἀλλ' ἀστέρι αὐτὸν εἰκάσαι. b(BC$E^3E^4$) T *ex.*

402—3 *a*. τόν ῥ' Ἕκτωρ καλέεσκε Σκαμάνδριον, ⟨αὐτὰρ οἱ ἄλλοι / Ἀστυάνακτα⟩: ἄμφω πρέποντα· ὁ μὲν οὐ βουλόμενος ὀνειδίζειν τοῖς ὑποτεταγμένοις ἣν παρεῖχεν αὐτοῖς σωτηρίαν, ἀπὸ τοῦ ἐγχωρίου Σκαμάνδρου καλεῖ τὸν υἱόν, οἱ δὲ Τρῶες, ἀνθ' ὧν ἐφύλαττεν αὐτοὺς ὁμολογοῦντες χάριν, Ἀστυάνακτα καλοῦσιν αὐτὸν οἰκείαν θέμενοι τὴν προσηγορίαν· καὶ γὰρ ὁ Ἕκτωρ οὕτως ἐκαλεῖτο διὰ τὸ ἔχειν „ἀλόχους κεδνὰς b(BC$E^3E^4$) T καὶ νήπια τέκνα“ (Ω 730). T *ex.*

*b*. αὐτὰρ οἱ ἄλλοι / Ἀστυάνακτα: προτρέπει ἡμᾶς ἐπ' ἀρετήν, δι' ὧν καὶ παισὶν αἴτιοι εὐκλείας οἱ ἀγαθοί. b(BC$E^3E^4$) T *ex.*

402. ⟨καλέεσκε Σκαμάνδριον:⟩ σημείωσαι τὸ μέτρον. $A^{int}$ *ex.*

403. ⟨Ἀστυάνακτ'· οἶος γὰρ ἐρύετο Ἴλιον Ἕκτωρ:⟩ ὅτι παρετυμολογεῖ. $A^{im}$ *Ariston.*

404 *a*. ἤτοι ὁ μὲν μείδησεν: πατρικὸν ἦθος δείκνυσιν ὁ ποιητής· προσαγορεύομεν γὰρ μειδιασμῷ τοὺς παῖδας τοὺς μηδέπω μὲν συνιέντας λόγους, γνωρίζοντας δὲ ἤδη τὴν ὄψιν. b(B$E^3E^4$) T *ex.*

*b*. ἤτοι ὁ μὲν μείδησεν ⟨ἰδὼν⟩ ἐς παῖδα σιωπῇ: ἡρωϊκὸν καὶ μεγαλοφυὲς τὸ μὴ ἀθρόως γελᾶν. χαρίζεσθαι δὲ ταῖς γυναιξὶ δοκοῦσι τοὺς παῖδας φιλοφρονοῦντες· σύνδεσμος γὰρ ἀνδρῶν καὶ γυναικῶν ἡ παιδοποιΐα. b(B$E^3E^4$) T *ex.*

(Ariston.); vide ad Χ 80 (ex.); Lehrs $Ar.^3$ 149 401 πρέπον (72) sq. cf. Eust. 650, 15; Bechtel, Die att. Frauennamen (Gotting. 1902) 112, 2 402—3 *a* ad Ζ 4 *c*; — υἱόν (77) cf. Eust. 650, 29 οἱ δὲ Τρῶες (77) sq. cf. Eust. 650, 32; sch. Eur. Hipp. 88. Vide Plat. Crat. 393 *a*—394 *c*; Schulze 172, 3. 674; aliter Asclep. Myrl. in Et. Gen. (AB) Ἀστυάναξ; cf. Lehrs, Hrd. 443 402 ad Α 1 *i*. Vide ad Ζ 4 *c* 404 *a* cf. Eust. 650, 51

---

71 χαρίεν Bk. 72 τὸ οὗ T τοῦ b ὀρέξατο Hom. 73 αὐτ. εἰκ. T, εἰκασθῆναι b (fort. rectius) 74 sq. le. T suppl. Ma., om. b 75 μὲν T μὲν γὰρ b 78 αὐτὸν om. b 79 ὁ ἕκτ. οὕτ. T καὶ οὗτος ἕκτωρ b 83 παισὶ T (ut vid.) 84 le. add. Bk. 85 le. addidi ὅτι A, fort. ἡ διπλῆ, ὅτι 87—9 πατρικὸν — ὄψιν pone sch. *b* (coni. cum v. παιδοποιΐα) in b 87 sq. πατρ. — ποιητής T πατρικὸν δὲ καὶ τὸ σχῆμα b 89 λόγ. συν. b 90 le. T suppl. Ma. (post Bk., auctore Vill.), om. b 90 sq. ἡρ. T σιωπῇ μείδησε (μείδησεν $E^4$)· τοῦτο γὰρ ἡρωϊκὸν b 91 sq. δοκ. τ. γυναιξὶ b 92 συνδέσιμος b 93 ἡ om. T

*ex.* **405.** δακρυχέουσα: ἤδη προεδίδαξε, τί μέλλει λεχθῆναι. πιθανὸν δὲ ἀπὸ τῆς ἀπροσδοκήτου χαρᾶς κλαίειν τὴν γυναῖκα. γραφικῶς δὲ ὁ μὲν μειδιᾷ ἀφορῶν εἰς τὸ παιδίον, ἡ δὲ δακρύουσα παρέστηκεν αὐτῷ. b(BCE$^3$E$^4$) T

*ex.* **406.** ⟨φῦ χειρί:⟩ τὸ δυσαποσπάστως ἔχεσθαι τοῦ ἀνδρὸς δηλοῖ τὸ φῦ χειρί. b(BCE$^3$E$^4$) T$^{il}$

*ex.* **407** *a.* φθίσει σε τὸ σὸν μένος: διὰ τὴν φιλοστοργίαν πέπεισται αὐτὸν ὑπερέχειν Ἑλλήνων καὶ οὐ τοσοῦτον τοῖς πολεμίοις εὐχείρωτον εἶναι, ὅσον ἑαυτῷ διὰ τὸ ῥιψοκίνδυνον. b(BCE$^3$E$^4$) T

*ex.* *b.* ⟨δαιμόνιε,⟩ φθίσει σε τὸ σὸν μένος: θαυμάζει τὴν ἰσχύν, οὐκ ἐπαινεῖ δὲ τὸ θράσος. οὔτε δὲ „Ἕκτορ" (ut Z 429) οὔτε „ἄνερ" (ut Ω 725) φησίν, ἀλλὰ δαιμόνιε, ᾧ παρεμφαίνει θυμόν τε καὶ εὔνοιαν. b(BCE$^3$E$^4$) T

*ex.* **407—8.** οὐδ' ἐλεαίρεις / παῖδά τε νηπίαχον: τοιαύτη τίς ἐστιν, οἵα ἂν μήτηρ ἐκ πολλῶν παίδων ἐφ' ἑνὶ σαλεύουσα. T

*Ariston.* **408.** ⟨καὶ ἔμ' ἄμμορον:⟩ ὅτι τινὲς γράφουσι „καὶ ἐμὸν μόρον", οὐκ εὖ. A$^{im}$

*ex.* **409.** ⟨σεῦ ἔσομαι:⟩ οὐ τῇ κοινῇ χηρείᾳ ἄχθεται, ἀλλὰ τῇ Ἕκτορος. b(BE$^3$E$^4$) T$^{il}$

*ex.* **410** *a.*$^1$ ⟨πάντες ἐφορμηθέντες:⟩ ἕνα ἕκαστον ἧττω αὐτοῦ ἡγεῖται. T$^{il}$

*a.*$^2$ ἕνα γὰρ ἕκαστον αὐτοῦ ἥττονα ἡγεῖται αὕτη. b(BCE$^3$ E$^4$)

*ex.* **411** *a.*$^1$ ⟨σεῦ ἀφαμαρτούσῃ χθόνα δύμεναι:⟩ φίλανδρον τὸ ἦθος. ἡ δὲ ἀντωνυμία ἦθος κινεῖ παραληφθεῖσα πολλάκις. T$^{il}$

*a.*$^2$ †φιλάδελφον† τὸ ἦθος αὐτῆς. ἡ δὲ ἀντωνυμία πολλάκις παραληφθεῖσα πάθος καὶ ἦθος κινεῖ. b(BCE$^3$E$^4$)

**405** ἡ δὲ δακρύουσα (1) sq. cf. Eust. 650, 53 **406** — ἔχεσθαι (3) ad T 7—8, cf. D ad Ξ 232 **407** *b* cf. Eust. 651, 10 **408** ad Ω 773 (T) τινὲς (14) h. e. fort. Zen., cf. Wecklein, Zen. Ar. 17 οὐκ εὖ (15) cf. Bechtel, Lex. 39 **410** cf. Eust. 651, 4 **411** — ἦθος$^1$ (23 et 24) cf. Eust. 651, 61

---

**94** προυδίδαξε BCE$^3$ **3** le. add. Bk. (ἔν τ' ἄρα οἱ φῦ χειρί add. Li V) **3** sq. τὸ φῦ χειρί δηλοῖ ante τὸ δυσαπ. E$^4$ **8** le. T supplevi, om. b **8—11** θαυμ. μὲν οὖν (οὖν om. E$^3$) τὴν sq. pone sch. *a* (coni. cum v. ῥιψοκίνδυνον) b **9** θράσον ss σ E$^3$ **10** ᾧ T ὃ b **14** le. add. Bk. ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **16 et 18** le. add. Li, V$^c$ **16** sq. ἄχθ. pone ἕκτορος b **22** le. addidi (duce Vill., σεῦ ἀφαμ. iam Li) **24** δὲ] δ' E$^4$

411—2 $a.^1$ οὐ γάρ ἔτ' ἄλλη / ἔσται θαλπωρή: περιπαθῶς συναπολεῖσθαί φησι τῷ Ἕκτορι πάντα αὐτῆς τὰ καλὰ καὶ τὸ κοινότατον ἀνθρώπων ἁπάντων ἀφαιρεθήσεσθαι, τὴν ἐλπίδα. T *ex.*

$a.^2$ περιπαθῶς φησιν ὅτι ἅμα σοὶ πάντα τὰ ἐμοὶ ἀπολοῦνται καλά, ἀλλὰ καὶ τὸ κοινότατον πάντων ἀνθρώπων ἀφαιρεθήσεται, ἡ ἐλπίς. b($BCE^3E^4$)

412. πότμον ἐπίσπῃς: ὑπὸ τοῦ πότμου καταληφθήσῃ. b ($BCE^3E^4$) $T^{il}$ *ex.*

413. ⟨οὐδέ μοι ἔστι πατὴρ καὶ πότνια μήτηρ:⟩ οἶκτον ἐπάγεται ἀντὶ πάντων αὐτὸν λέγουσα ἔχειν· ἐλεοῦμεν γὰρ μᾶλλον τοὺς ἡμῶν μόνον ἠρτημένους. b($BE^3E^4$) $T^{il}$ *ev.*

414 *a.* ἤτοι γὰρ πατέρ' ἁμὸν ἀπέκτανε δῖος Ἀχιλλεύς: διὰ τί διηγεῖται τῷ ἐπισταμένῳ; ὅτι οὐκ ἔστιν ἀναλογισμὸς τοῦ συμφέροντος ταῖς ἀσθενούσαις ψυχαῖς. αὗται δὲ πρὸς τὸ πενθεῖν εἰσι καὶ τὸ δεῖσθαι διὰ τὴν ταραχήν. A *ex.(?)*

*b.* ἤτοι γὰρ πατέρ' ἁμόν: οὐκ ἀγνοοῦντι διαλέγεται, ἀλλ' ἐκ πάντων τῶν οἰκείων αὔξουσα Ἕκτορα· οἱ γὰρ ἀτυχοῦντες φιλοῦσι καὶ πρὸς εἰδότας λέγειν τὸ μῆκος τοῦ λόγου. τὸ δὲ ΑΜΌΝ ἐν μὲν τῇ Ἰλιακῇ προσῳδίᾳ (2, 57, 19) φησὶν ὁ Ἡρωδιανὸς Δωρικώτερον εἶναι ἀπὸ τοῦ ἁμέτερον, ἐν δὲ ἐπιμερισμῷ (fr. 8 L.) φησιν ὅτι ἀπὸ τοῦ ἐμόν ἐκτέταται τὸ ε̄ εἰς ᾱ μακρόν, b($BE^3E^4$) T ὡς τὸ αἴ κα, „αἴ κα τῆνος ἕλῃ" (Theocr. 1, 4). T *ex.*

*c.* ἁμόν: Δημήτριός (fr. 7 = 48 St.) φησιν ἀντὶ τοῦ ἐμόν· διὸ καὶ ἄντικρυς ψιλοῖ. | πιθανώτερον δέ ἐστι Δωρικώτερον εἶναι ἀντὶ τοῦ ἡμέτερον ἀμόν. οὕτως Ἀπολλώνιος (cf. pron. 112, 3). A *Hrd.* | *Ap. Dysc.*

414 *a* cf. Eust. 652, 8 *b* οἱ γὰρ ἀτυχοῦντες (42) — λόγου (43) cf. Eust. 652, 11 τὸ δὲ αμόν (43) sq. cf. Ahrens G. L. D. II 263; Beiträge 347; Valk I 602 αμόν (43) — ἁμέτερον (45) cf. Et. Gen. ὑμόν (p. 292 Mill.), fort. sch. ad Ap. Rh. 2, 1181 Δωρικώτερον (44) ad N 96 *b* (Hrd.), cf. Hrd. παθ. in Et. Gen. (AB) ἁμός (Reitzenstein, Gesch. 28, 17) ἁμέτερον (45) = D ὡς τὸ αἴ κα (46) at cf. sch. Theocr. 1, 3/4 i—k *c* — ψιλοῖ (49) cf. Wackernagel, S. U. 52; erravi Beiträge 342, 3 ἀντὶ τοῦ ἡμέτερον (49) cf. Kuehner-Blass,

---

29—31 sch. ad Z 412 rettulit b 29 τὰ om. $E^3$ ἐμοὶ] ἐμὰ $E^4$ 32 le. Ma., om. T, τὸ δὲ πότμον ἐπίσπῃς ἀντὶ τοῦ pone sch. Z 411—2 $a^2$ (coni. cum v. ἐλπίς) b τοῦ om. b καλυφθήσῃ b 34 le. add. Vill. (οὐδέ μοι iam Li) 35 μᾶλλον om. T, fort. recte 36 μόνων Ddf. 37—40 pone sch. *c* in A, trps. Bk. 41 sq. οὐκ ἀγνοοῦντι μὲν οὖν διαλ. sq. pone sch. Z 413 (coni. cum v. ἠρτημένους) b 41 διαλ.] διηγεῖται Ma. (cf. sch. *a*) 42 αὔξ. T αὔξει τὸν b 43 ἀμόν bT 43 sq. τῇ Ἰλιακῇ om. b 44 δωρικότερον $E^4$ 45 ἀμ. b ἀμέτερον καὶ ἀμᾶν T, ἀμέτερον ἀμόν Valk (I 527 n. 584, fort. recte) ὅτι om. T (fort. recte) 47 κα τῆνος Wil., κἐσ οἶνος T

*Ariston.* **415** *a.* ⟨εὖ ναιετάωσαν:⟩ ὅτι ἀντὶ τοῦ εὖ ναιομένην. $\mathrm{A^{int}}$

*Did.* *b.*[1] ⟨ναιετάωσαν:⟩ Ἀρίσταρχος διὰ τοῦ ο̄ „ναιετόωσαν". $\mathrm{A^{im}}$

*b.*[2] „ναιετόωσαν" διὰ τοῦ ο̄. $\mathrm{T^{il}}$

*Ariston.* **417** *a.* οὐδέ μιν ἐξενάριξε: ὅτι διδάσκει, τί τὸ ἐξενάριξεν· ἐπιφέρει γὰρ „ἀλλ' ἄρα μιν κατέκηε σὺν ἔντεσιν" (Z 418). A

*D* *b.* ⟨ἐξενάριξε:⟩ ἐσκύλευσε. $\mathrm{A^{im}}$

*ex.* *c.* ⟨οὐδέ μιν ἐξενάριξε:⟩ ὡς τίμιον καὶ βασιλικόν. οὐ περιττὰ δὲ ταῦτα· ἀξίωμα γὰρ τοῦ πατρὸς ἐμφαίνει, ὃν ᾐδέσθη καὶ πολέμιος $\mathrm{b(BCE^3E^4)}$ $\mathrm{T^{il}}$ ⟨ὢν⟩ καὶ κτείνας. $\mathrm{T^{il}}$

*D(?)* **419.** ⟨ἠδ' ἐπὶ σῆμ' ἔχεεν:⟩ καὶ τάφον ἔχωσεν. $\mathrm{A^{im}}$

*Hrd.* **422** *a.*[1] {οἱ μὲν πάντες} ἰῷ {κίον}: ἰῷ ὡς σοφῷ Ἀρίσταρχος, καὶ ἐπεκράτησεν αὐτοῦ ἡ ἀνάγνωσις. ἐκεῖνο μέντοι ἀναγκαῖον προσθεῖναι ὅτι τὸ ἴα βαρυτόνως ἀνέγνω ὁ ἀνὴρ καὶ τὸ μία, „οὐδ' ἴα γῆρυς" (Δ 437) καὶ „μία δ' οἴη" (Σ 565). τὰς μέντοι δοτικὰς περιέσπασεν „ἰῇ ἄρα γινόμεθ' αἴσῃ" (X 477) καὶ „ἰῇ δ' ἐν νυκτὶ γένοντο" (Σ 251). καί φασί γε τὸ τοιοῦτο εἶδος Ἰώνων εἶναι. τινὲς δὲ ἐτόλμησαν λέγειν αὐτὸ Ἀττικόν, λέγω δὲ ⟨τὸ⟩ ἐπὶ τῶν τοιούτων θηλυκῶν καταβιβασμὸν γίνεσθαι τόνου. οὕτως οὖν καὶ „μέσην ἐς ἄγυιαν" (Y 254) ἀνέγνω, „ἐϋκτιμένας" δὲ „κατ' ἀγυιάς" (Z 391). μήποτε οὖν, ἐπεὶ καὶ τὸ ἰῇ ἐπὶ τῆς δοτικῆς περιέσπασε, συνεξομοιῶν τῷ τοῦ θηλυκοῦ τόνῳ κατὰ τὴν αὐτὴν πτῶσιν καὶ τὸ οὐδέτερον οὕτως ἀνέγνω ὁμοτόνως. A

*a.*[2] ἰῷ {κίον ἤματι}: τὰς μὲν εὐθείας τούτων βαρέως ἀναγινώσκει ὁ Ἀρίσταρχος, τὰς δὲ δοτικὰς περισπωμένως, ἴα ἰῇ, μία μιᾷ, ἴον ἰῷ. T

Ausf. Gramm. d. griech. Sprache I 602 n. 2 **415** *a* cf. sch. α 404 *b* ad Γ 387 (ex.); cf. Cauer 108 **417** *a* ad Φ 485 (Ariston.), cf. Ap. S. 68, 6; Eust. 652, 26. Vide ad H 146. K 528 *b* (Ariston.); Lehrs Ar.[3] 145 *b* = D ad Λ 246, cf. D ad Π 850 **419** τάφον = D **422** $a^1$ sch. valde decurtatum esse iam Lehrs observavit, vide ad B 592 et Θ 109 (Hrd.); — γένοντο (66) cf. Choer. Th. 1, 376, 32; — ἀνάγνωσις (63) cf. Theogn. 48, 27 Ἀρίσταρχος (62) et τινὲς δὲ ἐτόλμησαν (67) sq. cf. Eust. 652, 50 ἴα[1] (64) — γένοντο (66) ad Π 173 *a* (Hrd.) Ἰώνων (67) cf. Choer. Th. 1, 369, 4, unde Ep. Hom. (An. Ox. 1, 134, 14, Et. Gud.

---

**51** le. add. Ddf. ὅτι A, fort. ἡ διπλῆ, ὅτι **52** le. add. Bk., ναιετάωσαν ante sch. $b^2$ in $\mathrm{V^c}$ **55** (le.) οὐδέ μιν fort. delenda ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **57** le. add. Vill. **58** le. add.Li **60** ὢν add. Ma. **61** le. addidi (duce Ddf.) **62** (le.) οἱ μ. πάντ et κίον eiecit Bk. **68** τὸ add. Bk. **70** μήποτ' Vill. **71** sq. κατὰ τὴν αὐτὴν Bk., κατ' αὐτὴν τὴν A **73** (le.) κίον ἤμ. delevi

**423.** ⟨πάντας γὰρ κατέπεφνε ποδάρκης δῖος Ἀχιλλεύς:⟩ λεληθότως ὑποβάλλει αὐτῷ κἀκ τούτου φοβεῖσθαι τὸν Ἀχιλλέα. **b** (BCE$^3$E$^4$) T$^{il}$ *ex.*

**428** *a.* πατρὸς δ' ἐν μεγάροισι: μητροπάτορος· ἐτεθνήκει γὰρ Ἠετίων. **b**(BCE$^3$E$^4$) T *ex.*

*b.* ⟨βάλ' Ἄρτεμις ἰοχέαιρα:⟩ αἰφνιδίως ἐτελεύτησε· τοὺς γὰρ αἰφνιδίους θανάτους ἀναφέρουσιν εἰς Ἀπόλλωνα καὶ Ἄρτεμιν. A$^{im}$ *ex.(?)*

**429.** Ἕκτορ, ἀτὰρ σύ μοί ἐσσι πατήρ: τὸ σχῆμα καλεῖται σχέσις. ἐμφαίνει δὲ εὔνοιαν καὶ πάθος ψυχῆς. **b**(BCE$^3$E$^4$) T *ex.*

**430.** θαλερός: ἀγαπητός· „τοιόνδε θάλος" (ζ 157), ἀγάπημα. **b**(BCE$^3$E$^4$) T *ex.*

**431.** ἀλλ' ἄγε, νῦν ἐλέαιρε καὶ αὐτοῦ μίμν' ἐπὶ πύργῳ: ἡ μὲν Ἑλένη ὡς αἴτιον τοῦ πολέμου ἐκπέμπει τὸν Πάριν, ἡ δὲ ὡς ῥιψοκίνδυνον κατέχει. καλῶς δὲ οὐ μένειν αὐτὸν οἴκοι ἀξιοῖ (οἶδε γὰρ ὅτι οὐ πείσει), ἀλλ' ἐπὶ τοῦ τείχους μένειν, ὅθεν καὶ ἀμυνεῖται τοὺς πολεμίους, ὅθεν καὶ σωθήσεται. **b**(BCE$^3$E$^4$) T *ex.*

**432.** θήῃς: οὕτως Ἀρίσταρχος διὰ τοῦ η̄, θήῃς. A$^{im}$T *Did.*

**433—9.** λαὸν δὲ στῆσον παρ' ἐρινεόν ⟨——— καὶ ἀνώγει:⟩ ἀθετοῦνται στίχοι ἑπτὰ ἕως τοῦ (439) ἤ νυ καὶ αὐτῶν θυμός, ὅτι ἀνοίκειοι οἱ λόγοι τῇ Ἀνδρομάχῃ· ἀντιστρατηγεῖ γὰρ τῷ Ἕκτορι. καὶ ψεῦδος περιέχουσιν· οὐ γὰρ παρέδωκεν εὐεπίδρομον τὸ τεῖχος κατὰ τοῦτο τὸ μέρος, οὐδ' οὕτως ἐστὶ πλησίον ἡ μάχη τοῦ τείχους. καὶ ὁ Ἕκτωρ πρὸς τὰ πρότερα ἀπαντᾷ λέγων· „ἦ καὶ ἐμοὶ τάδε πάντα" (Z 441). **A** *Ariston.*

432, 10 Stef., EM. 305, 30) **425** incertum an sch. exstiterit de v. βασίλευεν, cf. sch. λ 285 (. . . καὶ ἐπὶ θηλειῶν δὲ τάσσει τὸ βασίλευε, „μητέρα δ', ἣ βασίλευεν"), Eust. 652, 56 **429** cf. Eust. 652, 65 σχέσις (85) h. e. pausa post vocativum postulatur; cf. Classen, Beob. 14 **431**—κατέχει (90) cf. Eust. 653, 13 **432** ad Γ 436 *b* (Did.), cf. Eust. 653, 43 **433—9** obeli ante versus in A ἀθετοῦνται (95) sq. ad Z 441 (Ariston.) καὶ ψεῦδος περιέχουσιν (2) sq. cf. F. Albracht, Kampf und Kampfschilderung bei Homer, Progr. Numburgi 1895, 21

---

**76** le. add. Vill. (πάντας γὰρ κατέπ. iam Li) **77** τὸν ἀχ. φοβεῖσθαι **b** **79** τοῦ μητροπάτ. E$^4$ **79** sq. τεθνήκει et ἠετίων ἤδη **b** **81** le. add. Vill. **86** le. scripsi (duce Bk.), θαλερὸς παρακοίτης T, om. **b** οἷον ἀγάπημα **b** **89** τοῦ om. E$^4$ **91** ἀμ. Le (e coni.) et T, ἀμύνεται BCE$^3$E$^4$ **93** le. Bk., μὴ παῖδ' ὀρφανικὸν θήῃς T, om. A ἀρίστ. om. T θήῃς (alt.) A τὸ θήῃς T **94** sq. le. A suppl. Frdl. **95** αὐτὸν A em. Vill. **2** παρέχουσιν A em. Lehrs

*ex.* **433.** λαὸν δὲ στῆσον παρ' ἐρινεόν: οὐ πρέποντα τὰ τῆς ὑποθήκης γυναικί. ἀλλ' εἰ καὶ γυναικὶ μὴ πρέπει, τῇ γε Ἀνδρομάχῃ πρέπει, ἐπεὶ καὶ οὐχ ἱπποκομεῖν γυναικός, ἡ δὲ Ἀνδρομάχη τοῖς Ἕκτορος καὶ πυρὸν παρατίθησι καὶ κεράσασα οἶνον (cf. Θ 186—90), ὡς φίλανδρος ἐπιμελομένη καὶ τῶν φερόντων αὐτῆς τὸν ἄνδρα. **b**(BC E$^3$E$^4$) T μείνασα δὲ χρόνον ἐπὶ τοῦ τείχους εἶδεν. T

*Did.* **434** *a.* ⟨ἀμβατός:⟩ οὕτως Ἀρίσταρχος ἀμβατός. A$^{im}$T$^{il}$ Καλλίστρατος (p. 316, 26) δὲ διὰ τοῦ η̅ „ἀμβατή." A$^{int}$T$^{il}$

*ex.* *b.*$^1$ ἀμβατός ἐστι πόλις: πέπλασται πρὸς τὸ ἀποστῆσαι τὸν ἄνδρα τοῦ πεδίου· διὸ οὐδὲ ἀποκρίνεται περὶ αὐτῶν ὁ Ἕκτωρ. T

*b.*$^2$ περίπλασμά τι τοῦτό ἐστιν, ὅπως αὐτὸν ἀποστήσῃ τοῦ πεδίου· διὸ οὐδὲ ἀποκρίνεται περὶ τούτου. **b**(BCE$^3$E$^4$)

*Did.* **435** *a.* τῇ γ' ἐλθόντες: γράφεται καὶ διὰ τοῦ δ̅ καὶ διὰ τοῦ γ̅. A$^{im}$

*ex.* *b.*$^1$ τρὶς γὰρ τῇδ' ἐλθόντες: διὰ τί, φασί, τοῦτο οὐ συνεῖδεν ὁ Ἕκτωρ; ἀλλὰ συνεῖδεν· φησὶ γὰρ „ἦ καὶ ἐμοὶ τάδε πάντα †μέλλει†, γύναι" (Z 441). T

*b.*$^2$ διὰ τί δέ, φασίν, οὐ συνεῖδε ταῦτα ὁ Ἕκτωρ; φαμὲν οὖν ὅτι συνεῖδεν· „ἐμοί", γάρ φησι, „τάδε πάντα μέλει, γύναι." **b**(BCE$^3$E$^4$)

**433** cf. Porph. 1, 103 not. ad l. 17—20 (= E$^4$ fol. 57$^v$); vide praeterea Strab. 13, 1, 35 (p. 598) μείνασα δὲ (11) sq. fort. ad Z 435 pertinet **434** *a* cf. Eust. 653, 26; de accentu cf. Ep. Hom. (An. Ox. 1, 214, 23), fort. ex Herodiano (1, 228, 27) *b* plura (an ap. Ap. H. ?) vid. legisse Eust. (653, 15): οἴονται δὲ οἱ παλαιοὶ τὸ τρὶς ἐλθόντας ἐπὶ τὸ τεῖχος πειράσασθαι τοὺς ἀρίστους (cf. Z 435) σχῆμα εἶναι κατὰ τὸ σιωπώμενον, ὡς ἀληθῶς νῦν ἐλθόντων ἐκεῖ τῶν Ἑλλήνων, εἰ καὶ μὴ ἱστόρηκεν Ὅμηρος. ἐμφαίνει δὲ αὐτὸ καὶ ὁ Ἕκτωρ, ἐν οἷς πρὸ μικροῦ εἶπεν ὅτι „λαοὶ ⟨μὲν⟩ (addidi) φθινύθουσι περὶ πτόλιν αἰπύ τε τεῖχος / μαρνάμενοι" (Z 327—8). καὶ οὕτω μέν τινες. οἱ δὲ ἀκριβέστεροι καὶ ἐκεῖνο πλάττεσθαί φασιν ὑπὸ τοῦ Ἕκτορος, ὡς ἂν αἰσχύνῃ τὸν Ἀλέξανδρον, καὶ τοῦτο δὲ πλάσμα εἶναι τῆς γυναικὸς νοοῦσιν, ὡς ἂν ἀποστήσῃ τῆς πεδιάδος τὸν Ἕκτορα . . . τινὲς δὲ τὸ τοὺς Ἀχαιοὺς ἀπὸ τοῦ ἐρινεοῦ ἐπιθέσθαι τῇ Τροίᾳ οὐχ ὡς γενόμενον ἄρτι νοοῦσιν, ἀλλ' ὡς πάλαι ποτὲ ἐπιχειρηθέν, ὥστε οὐ διδάσκει αὐτὸ ἡ γυνὴ τὸν Ἕκτορα, ἀλλ' ἀναμιμνήσκει. οὕτω δὲ καὶ τὸ „περὶ π⟨τ⟩όλιν αἰπύ τε τεῖχος" (Z 327) μάρνασθαι τοὺς Ἀχαιοὺς οὐ νῦν γενέσθαι φασίν, ἀλλ' ἐν ἄλλοις καιροῖς. ἔφη γοῦν πρὸ ὀλίγου ὁ ποιητὴς ὅτι ἔνθα κε Τρῶες ὑπ' Ἀχαιῶν Ἴλιον εἰσανέβησαν, εἰ μὴ ὁ Ἕλενος εἶπεν ἃ εἶπεν (cf. Z 73—101), ὥστε οὔπω σήμερον ἤγγισαν οἱ Ἕλληνες τῷ τείχει. Totum sch. *b* ad Z 433—9 vel 435

---

**6** τὰ T μὲν τὰ **b** **7** τῇ γε T ἀλλά γε τῇ **b** **8** πρέπει om. **b** οὐχ — γυν. T τὸ ἱπποκομεῖν οὐ γυναικός **b** δὲ] δ' E$^4$ **8 sq.** τοῖς ἕκτορος — οἶνον T καὶ τοῦτο ποιεῖ **b** **10** ὡς] ὡς καὶ B post ἐπιμελ. add. δὲ B vel *B **11** εἶδεν sc. τὰ γινόμενα, sed εἶδεν τὴν μάχην propos. Nickau **12** le. add. Ddf., de accentu cf. test. ἀμβατός$^2$ om. T **13** δὲ om. A διὰ τοῦ η̅ om. T ἀμβατή A ἀμβατεῖν T **18** γράφεται cp. (γρ) A δ̅ . . . γ̅] h. e. τῇδ' et τῇ γ' (Ldw.) **22—3** διὰ τί sq. pone sch. Z 436—7 (coni. cum v. γεγονότων) in **b** **22** οὖν C δὲ BE$^3$E$^4$

436—7. ἀμφ' Αἴαντε δύω ⟨——— Τυδέος ἄλκιμον υἱόν⟩: περιειργάσατο τὰ ὀνόματα παρά τινος. ἅμα δὲ θέλει ὁ ποιητὴς καὶ δηλῶσαί τι τῶν μετὰ τὴν Γλαύκου καὶ Διομήδους μάχην γεγονότων. b(BCE$^3$E$^4$) T *ex.*

437 *a.*$^1$ {ἠδ' ἀμφ'} Ἀτρεΐδας: ὁ Ἰξίων (fr. 30 St.) ἐν τῷ Πρὸς τοὺς ἠθετημένους „Ἀτρεΐδα" προφέρεται δυϊκῶς. A *Did.*

*a.*$^2$ Ἰξίων δυϊκῶς „†ἀτρεῖδαι†". T$^{il}$

438. ἥ πού τί⟨ς⟩ σφιν ἔνισπε θεοπροπίων εὖ εἰδώς: ὑποβάλλει ταῦτα προοικονομῶν, ὡς κατὰ τοῦτο τὸ μέρος εἵμαρτο ἁλῶναι τὴν πόλιν. b(BCE$^3$E$^4$) T *ex.*

438—9 *a.*$^1$ ἥ πού / ἥ νυ: διὰ τὸ ποῦ (438) καὶ νύ (439) τὸν ἥ ὀξυτονητέον, ὃς δύναται εἶναι διαζευκτικὸς ἢ καὶ παραδιαζευκτικός. A *Hrd.*

*a.*$^2$ {ἥ νυ καὶ αὐτῶν θυμός:} διὰ τὸ ἥ που καὶ τὸ νύ ὀξυντέον τὸν ῆ, ὃς δύναται διαζευκτικὸς ἢ παραδιαζευκτικὸς εἶναι. T

439 *a.*$^1$ ⟨ἥ νυ καὶ αὐτῶν θυμός:⟩ ἐν ἐνίοις „ἥ νυ καὶ αὐτοὺς θυμός." A$^{int}$ *Did.*

*a.*$^2$ γράφει δὲ καὶ „αὐτούς". T

441 *a.* ἦ καὶ ἐμοὶ τάδε ⟨πάντα μέλει, γύναι⟩: ὅτι πρὸς τὴν λέγουσαν „ἀλλ' ἄγε νῦν ἐλέαιρε" (Z 431) καὶ „μὴ παῖδ' ὀρφανικὸν θείης" (Z 432) οἰκείως ἀπήντηκεν. ὁ δὲ διασκευαστὴς ἐπλανήθη. A *Ariston.*

*b.*$^1$ ⟨τάδε πάντα:⟩ ἡ ὀρφανία τοῦ παιδὸς καὶ ἡ χηρεία. T$^{il}$ *ex.*

*b.*$^2$ ἡ ὀρφανία καὶ ἡ χηρεία καὶ ἡ τῶν πολεμίων σκόπησις. b(BCE$^3$E$^4$)

442 *a.* αἰδέομαι Τρῶας ⟨καὶ Τρῳάδας⟩: νόμος ἄρχουσιν αἰδεῖσθαι τοὺς ὑποτεταγμένους. χεῖρον δὲ παρὰ γυναιξὶν ἀκούειν δειλόν. b(BCE$^3$E$^4$) T *ex.*

referendum. Vide ad Z 327 et 436—7 437 ad A 16 (Did.) 438—9 ad E 885—7 *a*. Θ 290 *a* *a*$^1$ — ὀξυτονητέον (35; cf. *a*$^2$) ad E 812 (Hrd.) 441 deest diple ante versum in A, fort. error scribae *a* ad Z 433—9 (Ariston.) ὁ δὲ διασκευαστὴς (44) sq. cf. Lehrs Ar.$^3$ 330

---

24 le. T supplevi, om. b (qui sch. ad v. 436 revocavit) 25 παρά τινος ante τὰ b καὶ om. b 26 τὴν—μάχην T, γλαῦκον καὶ διομήδην b (fort. rectius; non pugnabant) 28 (le.) ἠδ' ἀμφ' eiecit Bk. 30 debuit ἀτρείδα (itaque Ma.) 31 le. T suppl. Ma., om. b 31 sq. ἀποβάλλει C 32 ταῦτα προοικ. om. T, nescio an recte 33 πόλιν T Ἴλιον b 34 le. scripsi, ἥ που τίς σφιν: ἥ νυ καὶ αὐτῶν: A, ἦ ... ἦ Bk. ποῦ A, πού Bk. (at cf. Ap. Dysc. pron. 39, 19) νύ Bk., νῦ A, fort. recte 37 le. delevi ἥ που T, voluit ποῦ 39 le. add. Ldw. 41 γράφει sq. pone sch. Z 438—9 *a*$^2$ (coni. cum v. εἶναι) T, transposui γράφει T, fort. γράφεται (Ma.) 42 le. A suppl. Vill. ὅτι A, fort. ἡ διπλῆ, ὅτι 43 ἐλέαινε A em. Vill. 45 le. add. V$^c$ 48 le. T supplevi (auctore Bk.) νόμος T νόμος γὰρ b 49 sq. δειλῶν T

ex. *b.*[1] ἑλκεσιπέπλους: αἱ ἐν τῷ βαδίζειν ἐπισύρουσαι τοὺς πέπλους. **A**

*b.*[2] ἑλκεσιπέπλους δὲ τὰς ἐν τῷ βαδίζειν ἑλκούσας τὸν πέπλον. **T**

ex. **444** *a.*[1] ⟨οὐδέ με θυμὸς ἄνωγεν, ἐπεὶ μάθον ἔμμεναι ἐσθλός:⟩ ἐξ ἐπιλογισμοῦ. **T**[il]

*a.*[2] ἐξ ἐπιλογισμοῦ δὲ τοῦτό φησιν. **b**(BCE[3]E[4])

ex. *b.* ἐπεὶ μάθον ἔμμεναι ἐσθλός: διδακταὶ γὰρ αἱ ἀρεταί. ἄμεινον δὲ τὸ μάθον ἀντὶ τοῦ εἴωθα. **A** **b**(BCE[3]E[4]) **T**

Nic. **445** *a.* αἰεὶ καὶ πρώτοισι ⟨μετὰ Τρώεσσι μάχεσθαι⟩: τὸ αἰεὶ τοῖς ἐπάνω προσδοτέον, ἵνα μὴ ὑπερβατὸν γένηται τοῦ καί συνδέσμου, καὶ αἰεὶ πρώτοισι. κοινὸν μέντοι νοεῖται κατ' ἀμφοτέρων τὸ αἰεί ὥσπερ καὶ τὸ „μάθον" (Z 444). **A**

ex. *b.* αἰεὶ καὶ πρώτοισι ⟨μετὰ Τρώεσσι μάχεσθαι⟩: ὁ Νικάνωρ (p. 187 Friedl.) φησὶν ὅτι δεῖ στίζειν εἰς τὸ †ἀεί†, **b**(BCE[3]E[4]) **T** ὅπως μὴ τοῦ συνδέσμου ὑπερβατὸν γένηται. **b**(BCE[3]) **T** κοινὸν δὲ τὸ αἰεί, †μάθον καὶ ἀεὶ μάθον†. **T**

ex. **446** *a.* ⟨ἀρνύμενος πατρός τε μέγα κλέος ἠδ' ἐμὸν αὐτοῦ:⟩ οὐ μόνον ἑαυτῷ δόξαν, ἀλλὰ καὶ τῷ πατρὶ θέλει διασῴζειν. **b**(BCE[3]) **T**[il]

ex. *b.* ⟨ἀρνύμενος:⟩ ἀντὶ τοῦ περικτώμενος. **A**[im]

ex. **448** *a.*[1] ἔσσεται ἦμαρ: οὐκ ἐκφοβεῖ, ἀλλὰ πρὸς τὸ μέλλον εὐπαράμυθον ποιεῖ. **AT** ἢ οὐ τῆς ἁλώσεως μέμνηται, ἀλλὰ τὴν ἑαυτοῦ φιλοστοργίαν ἐμφαίνει πρὸς τὴν γυναῖκα· διὸ **T** οὐδὲ τὸν

**442** *b* cf. D, Synag. (Ba. 216, 17, Su. ε 879), Et. Gen. (= EM. 331, 12); He. ε 2131 **443** Eust. 654, 46: σημείωσαι δὲ ὅτι τε τὸ „κακὸς ὥς" (=vulg.) γράφεται καὶ „κακὸς ᾧ" ἤγουν καθὰ κακός, καὶ ὅτι τὸ „κακός", δι' οὗ λαγαροῦται ὁ στίχος, ἐκτείνει ἐνταῦθα τὴν λήγουσαν λόγῳ κοινῆς συλλαβῆς, διότι τε φύσει ὀξύνεται καὶ διὰ τὸ καταπεραιοῦσθαι καὶ ἔχειν τὴν ἑξῆς συλλαβὴν ἀρχομένην ἀπὸ φωνήεντος καὶ διὰ τὴν ἐπαγομένην δασεῖαν καὶ δι' ἕτερα, incertum an e scholiis deperditis, cf. ib. 1464, 66 **444** *b* — ἀρεταί (58) cf. Eust. 654, 35; Plut. mor. 31 e/f **448** *a* cf. Eust. 654, 63

**53** sq. cum sch. *a* (v. δειλῶν) coni. T, fort. rectius **55** sq. le. addidi, οὐδ' ἐμὲ θυμός add. V[c], θυμός add. Ma. **57** pone sch. *b* (coni. cum v. εἴωθα) in b, transposui **58** le. T, ἐπ. μ. ἔμμ. A, om. b **59** ἔμαθον A **60** le. A suppl. Vill. **61** τοῖς ἐπάνω sc. verbis ἔμμεναι ἐσθλός (Z 444) **64** le. T supplevi (auctore Vill.), om. b **64** sq. ὁ — ἀεί] ὁ δὲ νικάνωρ στίζει εἰς τὸ ἀεί (coni. cum scholio Z 444 $a^2$) E[4] **65** fort. ὑποστίζειν ἀεί] debuit αἰεί **66** ὅπως T ἵνα b **67** „μάθον ἔμμεναι ἐσθλὸς / αἰεί" (444—5) καὶ αἰεὶ μάθον μάχεσθαι (cf. 445) Ma. **68** le. add. Vill. **69** μόνον T μόνον φησὶν b τὴν δόξ. b θέλει διασ. T σῶσαι σπουδάζει b **71** le. add. Ddf. **73** ἢ T, καὶ Ma. (cl. sch. $b^2$) ἀλ. αὐτῆς Ma. **74** sq. οὐδὲ — ὁρίζει T οὐχ ὡρίζει δὲ τὸν χρ. τ. ἁλώσεως A

χρόνον τῆς ἁλώσεως ὁρίζει· ὧν δὲ δεινῶν ὁ χρόνος οὐχ ὁρίζεται, τούτων ἧττον ἐλύπησεν ἡ προσδοκία, ὥσπερ ἔστιν ἰδεῖν καὶ ἐπὶ τοῦ θανάτου· προειδότες γὰρ ὅτι τεθνηξόμεθα διὰ τὸ μὴ εἰδέναι τὸ πότε ἧττον ἀχθόμεθα. **A T**

*$a^2$*. οὐκ ἐκφοβεῖ, εἰ καὶ τῆς ἁλώσεως μέμνηται, ἀλλὰ μᾶλλον εὐπαράμυθον ποιεῖ καὶ τὴν αὐτοῦ φιλοστοργίαν πρὸς τὴν γυναῖκα ἐμφαίνει· διὸ οὐδὲ τὸν τῆς ἁλώσεως ὁρίζει χρόνον. ὧν δὲ δεινῶν χρόνος οὐχ ὁρίζεται, τούτων ἧττον ἡ προσδοκία ἐλύπησεν, ὥσπερ ἔστιν ἰδεῖν καὶ ἐπὶ τοῦ θανάτου· προειδότες γὰρ ὅτι τεθνηξόμεθα διὰ τὸ μὴ εἰδέναι τὸ πότε ἧττον ἀχθόμεθα. **b**(BC$E^3E^4$)

*b*. ⟨ἔσσεται ἦμαρ:⟩ ἐλπίζει τὰ δεινὰ διὰ τὴν παράβασιν καὶ τὴν ἀριστείαν Διομήδους. **b**(B$E^3E^4$) $T^{il}$ *ex.*

*c*. ⟨Ἴλιος ἱρή:⟩ ὅτι θηλυκῶς τὴν Ἴλιον. $A^{im}$ *Ariston.*

**450—4** *a*. ἀλλ' οὔ μοι Τρώων ⟨——— /⟩ οὔτ' αὐτῆς Ἑκάβης οὔτε Πριάμοιο ⟨——— / ὅσσον σεῖ'⟩: ἐπεὶ ἐκεῖνοι ἑκόντες ἐδυστύχουν ἐπιτρέποντες Ἀλεξάνδρῳ ἀδικεῖν. ἡ δὲ Ἀνδρομάχη διὰ τὰς ἐκείνων ἁμαρτίας καὶ προητυχήκει τοσούτων οἰκείων στερηθεῖσα ἐν ἡμέρᾳ μιᾷ. **b**(BC$E^3E^4$) **T** *ex.*

*b*. ἀλλ' οὔ μοι Τρώων τόσ⟨σ⟩ον μέλει ⟨——— / ὅσσον σεῖ'⟩: ὑπερεβάλετο τὴν τῆς γυναικὸς φιλοστοργίαν· ἡ μὲν γὰρ ἀντὶ τῶν οὐκέτι ὄντων οἰκείων ἔθετο αὐτόν, ὁ δὲ καὶ τῶν περιόντων αὐτὴν προτιμᾷ. ἅμα δὲ ἐλεεινὴ καὶ ἡ ἡλικία καὶ ἡ δουλεία. μιμεῖται δὲ καὶ βαρβάρου φιλογύναιον ἦθος, οἳ περὶ πλείστου ποιοῦνται τὰς γυναῖκας. **b**(BC$E^3E^4$) **T** *ex.*

**451.** ⟨οὔτ' αὐτῆς Ἑκάβης:⟩ ηὔξηται διὰ τῆς ἀντωνυμίας ἡ φιλοστοργία. $T^{il}$ *ex.*

ἧττον (76 et 82) cf. Wackernagel II 1050 *b* — παράβασιν (85) Ge (e T ut vid.) *c* Ariston. etiam hic adnotavisse vid. v. ὀλώλῃ pro ὀλεῖται positum et particulam ἄν superfluam esse, ad Δ 164 *d* (test.) ὅτι sq. ad Γ 305 *b* (Ariston.) **449** vide supra pap. IV **450—4** *a* ἐν ἡμέρᾳ μιᾷ (92) cf. Z 422 *b* — ἡ δουλεία (1) cf. Eust. 655, 25; — φιλοστοργίαν (94) ad Z 464 *a*

---

**75** δὲ T γὰρ A ὁ om. A **76** ἧττονα T **80** αὑτοῦ Bk. **81** ὧν] ὃν *B in ras. **82** τούτων] τοῦτ(ον) *B (in ras. ut vid.) **85** le. add. $V^c$ **85** sq. ἐλπ. δὲ τὰ sq. coni. cum scholio praecedenti in **b** τὰ δεινὰ] τὴν ἅλωσιν Ge **86** διομ. ἀριστ. **b** **87** le. add. Frdl. fort. ἡ διπλῆ, ὅτι **88** sq. le. T supplevi, om. **b** (ubi sch. ad v. 450 relatum est) **91** καὶ om. **b** **93** sq. le. T (ἀλλ' οὔ μ. τρ. τόσον μέλλει) emendavi et supplevi, om. **b** **94** ὑπερεβ. Ma., ὑπερεβάλλετο T, ὑπερέβαλε δὲ (coni. cum scholio praecedenti) **b** **95** οὐκ ἔτι B$E^3$ αὐτὸν post ὄντων **b** οἰκεῖον *B (in ras.) **1** sq. βαρβάρου in -ων corr. B **4** le. add. $V^c$

*ex.* 454 *a*.[1] ὅσσον σεῖ', ὅτε κέν τις: δεινὸν γὰρ ἡ τῶν γυναικῶν ὕβρις καὶ αὐτῶν αἰσχύνη· „πρίν τινα πὰρ Τρώων ἀλόχῳ κατακοιμηθῆναι" (B 355). T

*a*.[2] δεινῶν γὰρ πάντων χείρων ἡ τῶν γυναικῶν ὕβρις. b (BCE³)

*ex.* 455. ⟨ἦμαρ:⟩ ἀντὶ τοῦ ἤματος. T^il

*ex.* 456 *a*. πρὸς ἄλλης ἱστὸν ὑφαίνοις: ἀντὶ τοῦ ὑπὲρ ἄλλης, ὡς „πρὸς Τρώων" (Z 57) καὶ „πρὸς ἄνακτος" (Ω 734), ἵνα μὴ κακοπαθῇ. T

*ex.* *b*. ἄλλως· πρὸς ἄλλης: ἀντὶ τοῦ T ὑπὸ ἄλλης κελευομένη·, τοῦτο γὰρ τὴν ὕβριν φέρει, οὐχὶ τὸ ἔργον σύνηθες ὂν ταῖς ἀρχαίαις. b(BCE³E⁴) T

*Ariston.* 457 *a*. καί κεν ὕδωρ φορέοις: ὅτι κατὰ τὸ προστυχὸν οὕτως εἰπόντος Ὁμήρου οἱ νεώτεροι τῷ ὄντι ὑδροφοροῦσαν εἰσάγουσιν αὐτήν. A

*ex.* *b*. καί κεν ὕδωρ φορέοις: τέτακται μὲν ἡ δουλεία εἰς ὑδροφορίαν ἢ εἰς ἱστουργίαν. ὁ δὲ ἄμφω φησὶν (sc. Z 456 et 457) εἰς ἐπίτασιν. θαρρῶν δὲ τῇ σωφροσύνῃ τῆς γυναικὸς ὅτι οὐκ ἂν ὑπομείνειεν οὐδὲ ἀκουσίως προδοῦναι ἑαυτῆς τὸ σῶμα, ἑτέρου ἀνδρὸς οὐ μέμνηται. b(BCE³E⁴) T

*D(?)* *c*. ⟨Μεσσηΐδος ἢ Ὑπερείης:⟩ Μεσ⟨σ⟩ηῒς καὶ Ὑπέρεια κρῆναι Ἄργους. A^im

*ex.* *d*. Ὑπερείης: Ὑπέρεια Θεσσαλίας. Πίνδαρος (P. 4, 125)· „ἐγγὺς μὲν Φέρης κράναν Ὑπερῇδα λιπών". T

454 ad B 355 *b*; cf. Apsin. rhet. 314, 12 Sp.-H. 456 *b* — κελευομένη (15) cf. D, Eust. 654, 5 457 *a* οἱ νεώτεροι (19) = Trag. ad. fr. 40 b N.³ (suppl.). Cf. observationem similem ad Ω 735 (Ariston.); Lehrs Ar.³ 176 *b* — ἱστουργίαν (22) cf. Eust. 654, 16 *c* = Ge, fort. ex h, cf. D: Ὑπερείης· Ὑπέρεια κρήνη Ἄργους. Μεσσηΐδος· Μεσσηῒς καὶ Ὑπέρεια κρῆναι τῆς Πελοποννήσου, κατ' ἄλλους δὲ τῆς Λακωνικῆς,

---

6 (le.) σεῖ' Bk. (= Hom., vulg.), σεῖο T; τις] erat fort. τις ἀχαιῶν (Ma.) 7 ἀλ. scripsi (= Hom.), ἀλόχων T 11 le. add V^c 13 πρὸ ἄν. Hom. 15 ἄλλως· πρὸς ἄλλης T, om. b ὑπὸ] ἀπὸ C 17 ἀρχαίαις T παλαιαῖς b 18 ὅτι A, ἡ διπλῆ, ὅτι Vill. προστυχὼν A em. Vill. 21—5 τέτακται sq. ad Z 458 (πόλλ' ἀεκαζομένη) rettulit b 21 sq. ὑδροφορίαν b ὑπηρεσίαν T 22 ἢ εἰς T καὶ b ὁ — εἰς T ὁ δὲ κατ' ἄμφω τίθησιν b 23 τῆς γυν. T αὐτῆς b 24 οὐδὲ ἀκ. T ἑκουσίως b 26 le. addidi μεσηῒς A suppl. Vill. 28 ὑπ.: ὑπέρεια scripsi, ὑπέρεια: T 29 φερῆς κρανάης ὑπερηΐδα T em. Ma. (cl. Pind.)

**459.** εἴπῃσιν: ὅτι τὸ εἴπῃσιν ἀντὶ τοῦ εἴποι ἄν. ἡ δὲ ἀναφορὰ πρὸς Φιλίταν γράφοντα (fr. 57 K.) „θρώσκων τις κατὰ κῦμα μέλαιναν φρῖχ' ὑπαλύξει" (Φ 126). οὗτος γὰρ μὴ νοήσας ὅτι τὸ „ὑπαΐξει" (Φ 126) ἐστὶ τὸ ἐφορμῆσαι ὑπὸ τὴν φρῖκα, τουτέστι τὸ τοῦ ὕδατος ἐπανάστημα, ὃς φάγοι ἂν Λυκάονος τοῦ δημοῦ (cf. Φ 127), τὴν φρῖκα ἐδέξατο τὴν ὑπὸ τοῦ ψύχους γινομένην φρίκην καί φησι τοὺς πιμελώδεις τῶν ἰχθύων ὑπομένειν τὸ ψῦχος, ὥστε ὃς ἂν τὸ τοῦ Λυκάονος λίπος φάγῃ, ἐκκλινεῖ τὴν φρίκην. **A** *Ariston.*

**460** *a.* Ἕκτορος ἥδε γυνή, ⟨ὃς ἀριστεύεσκε μάχεσθαι⟩: παρέδραμε τὰ ἑαυτοῦ. ἔστι δὲ ἐν τῇ λέξει πάντα ὑπονοεῖν. **b**(BCE³ E⁴) **T** *ex.*

*b.* Ἕκτορος ἥδε γυνή, ⟨ὃς ἀριστεύεσκε μάχεσθαι⟩: ἐπιγραμματικὸν ἔχει τύπον ὁ στίχος. **b**(BCE³) **T** *ex.*

**462—3.** σοὶ δ' αὖ νέον ἔσσεται ἄλγος ⟨/ χήτεϊ τοιοῦδ' ἀνδρός⟩: βεβαιοῖ αὐτῆς τοὺς λόγους. χήτει δὲ ἀπορίᾳ, σπάνει. **T** *ex.*

**464** *a.*¹ ἀλλά με τεθνειῶτα χυτὴ κατὰ γαῖα καλύπτοι: ὑπερβάλλει τῇ φιλοστοργίᾳ τὴν γυναῖκα· ἡ μὲν γὰρ στερηθεῖσα τοῦ Ἕκτορος θανεῖν εὔχεται λέγουσα „ἐμοὶ δέ κε κέρδιον εἴη χθόνα δύμεναι" (cf. Z 410—1), ὁ δὲ αἱρεῖται θανεῖν, ἵνα μηδὲ κλαίουσαν ἴδῃ. **T** *ex.*

*a.*² καὶ πάλιν ἡ Ἕκτορος ὑπερβάλλει φιλία· ἡ μὲν γὰρ Ἀνδρομάχη στερηθεῖσα τοῦ Ἕκτορος θανεῖν εὔχεται, ὁ δὲ μὴ κλαιούσης αὐτῆς ἀκοῦσαι. **b**(BCE³E⁴)

*b.* χυτή: ὅτι οὐ πᾶσα γῆ οὕτως λέγεται παρ' αὐτῷ, ἀλλ' ἡ τοῖς νεκροῖς ἐπιχεομένη. **A** *Ariston.*

sch. Pind. P. 4, 221 c, Paus. 3, 20, 1 (Bacher 81); aliter Eust. 654, 10 **459** ad Δ 191 *b*. Φ 126. 127 (Ariston.), cf. Friedl., Ariston. p. 9; — εἴποι ἄν (30) cf. D **462—3** αὐτῆς τοὺς λόγους (44) sc. Z 407—11 σπάνει (44) = D **464** vide supra pap. IV *a* ad Z 450—4 *b* *b* ad Ξ 114. Ψ 256 (Ariston.), cf. Eust. 655, 35. 971, 21; D ad Z 464. Ξ 114 *a*. Ψ 256; Ap. S. 167, 24; sch. Ap. Rh. 4, 1536; Synag. (Ba. 417, 32, Su. χ 606) οὐ πᾶσα γῆ (52) et ἀλλ' ἡ sq. EM. 816, 7 (e

---

**30** le. Bk., καὶ ποτέ τις ἰατρεῦσαι: A ὅτι A, ἡ διπλῆ, ὅτι Vill. ἄν: — A **31** φιλ. scripsi, φιλητὰ A, φιλήταν Kuchenmueller, fort. rectius; vide ad H 171 *a* γράφοντι A em. Vill. **32** ὑπαΐξει A, fort. ὑπαΐξαι **34** ὃς sc. τοῦτον, ὃς δήμου A em. Bk. τὴν (ante φρῖκα) abesse malim **35** sq. πημελώδεις A em. Vill. **37** φάγῃ Frdl., φάγοι A ἐκκλινεῖ scripsi, ἐκκλίνει A **38** le. T supplevi (auctore Vill.) **41** le. T (coni. cum scholio praecedenti), supplevi **42** ἐπ. δὲ ἔχει coni. cum scholio *a* (v. ὑπονοεῖν) b **42** ὁ στίχος om. T, fort. rectius **43** sq. le. T supplevi **44** σπάνῃ T em. Ma. **46** στερρηθεῖσα A em. Ma. **47** δέ κε et εἴη Ma., δέ κεν et εἰς T χθόνα T σεῦ ἀφαμαρτούσῃ χθόνα Hom. **52** le. Bk., ἀλλά με τεθνειῶτα: A ὅτι A, ἡ διπλῆ, ὅτι Vill.

*Hrd.* **465.** πρίν γέ τι {σῆς τε βοῆς}: Διονύσιος ὁ Σιδώνιος τὸν γέ ἐκ πλήρους ποιεῖ. οὕτως καὶ Ἀλεξίων (fr. 33 B.) καὶ οἱ περὶ Ἡρακλέωνα (fr. 6 B.)· οὐ γὰρ πιθανὸν ἐγκεῖσθαι τὸ ἔτι· οὐ γὰρ δή γε καὶ πρότερον συνέβη ταῦτα τῇ Ἀνδρομάχῃ. ἔστιν οὖν τὸ τί καθ' ὕπαρξίν τινα λεγόμενον ἢ καὶ παρελκόμενον ὁμοίως τῷ „ἦ νύ τοι οὔ τι μέλει Τρώων πόνος" (X 11) καὶ „μή τι φόβον δ' ἀγόρευε" (E 252) καὶ „μή τί μευ ἠΰτε παιδός" (H 235). οὐχ ὑγιῶς οὖν ὁ Πτολεμαῖος (p. 48 B.) οἴεται συναλιφὴν εἶναι. **A**

*ex.* **466.** οὐ παιδὸς ὀρέξατο: πρῶτος παῖδας εἰσάγει τῇ τραγῳδίᾳ. **b**(BCE³E⁴) **T**

*D* ὀρέξατο: ἀντὶ τοῦ ἐλάβετο. **A**^im

*ex.* **467.** ἂψ δ' ὁ πάϊς πρὸς κόλπον: δυσαποσπάστως μὲν ἔχουσι τῶν τροφῶν. τοῦτον δὲ καὶ ἡ ὄψις φοβεῖ. ταῦτα δὲ τὰ ἔπη οὕτως ἐστὶν ἐναργείας μεστά, ὅτι οὐ μόνον ἀκούεται τὰ πράγματα, ἀλλὰ καὶ ὁρᾶται. λαβὼν δὲ τοῦτο ἐκ τοῦ βίου ὁ ποιητὴς ἄκρως περιεγένετο τῇ μιμήσει. **b**(BCE³E⁴) **T**

*ex.* **468.** πατρὸς ⟨φίλου⟩ ὄψιν ἀτυχθείς: ἐπὶ τῇ τοῦ πατρὸς ὄψει **b**(BCE³E⁴) ταραχθείς. ἠθικὸν δὲ ὅτι οὐκ ἄλλον, ἀλλὰ τὸν πατέρα φοβηθείς. **b**(BCE³E⁴) **T**

*Nic.* **469** *a.*¹ ταρβήσας χαλκόν τε: διασταλτέον χαλκόν τε· μέρος γάρ ἐστι περιόδου ἐπανειλημμένον μετοχικόν. ἀτυχθεὶς ὄψιν (cf. Z 468) καὶ ταρβήσας χαλκὸν καὶ λόφον νοήσας (cf. Z 469—70). **A**

*a.*² ταρβήσας χαλκόν τε: διασταλτέον εἰς τὸ τέλος τῶν τριῶν ἐπῶν. ἔστι γάρ· ἀτυχθεὶς ὄψιν καὶ ταρβήσας χαλκὸν καὶ λόφον δεινὸν νεύοντα νοήσας. **b**(BCE³) **T**

*ex.* *b.* ταρβήσας χαλκόν τε: τὰ γὰρ ἀνόμοια φόβον κινεῖ. **T**

Ven. A ut vid., cf. Beiträge 165) **465** aliter Eust. 655, 37; vide ad K 246 (Hrd.): γ' ἑσπομένοιο aut γε σπομένοιο **467** ταῦτα δὲ τὰ ἔπη (66) sq. cf. Eust. 655, 52 **468** ταραχθείς (71) = D; vide ad Z 38 *b* (test.) **469** *a* cf. Friedl., Nic. 187, qui verba genuina Nicanoris restituere conatus est

---

**54** (le.) σῆς τε βοῆς del. Bk. **56** πειθανὸν A em. Vill. **58** τῷ Vill., τὸ A **60** ὑγειῶς A em. Vill. **62** πρῶτος δὲ sq. pone sch. Z 467 (coni. cum v. μιμήσεως) in **b** ἐν τραγ. εἰσάγει **b** **65—9** pone sch. Z 468 in BE³E⁴, pone sch. Z 474 in C **65** δυσαπ. μὲν T καὶ χωρὶς μέν τινος μορμολύττοντος δυσαποσπάστως **b**, fort. vere **66** sq. ταῦτα — μεστά T οὕτως δὲ ἐστιν ἐναργείας μεστὰ τὰ ἔπη **b** **67** ὅτι οὐ **b** οὔτε T, ὥστε οὐ Wil. **68** λαβὼν] λαβ(ὴν) E⁴ **69** τῆς μιμήσεως **b** **70** le. T suppl. Ma., om. **b** **71** δὲ T δὲ καὶ τοῦτο **b** **72** φοβ. T φοβεῖται **b** **73—8** intellege 'non modo post ἀτυχθείς interpungendum, sed etiam post ταρβήσας χαλκόν τε, quod haec verba soluta sunt.' Sequitur, ut voces λόφον . . . νεύοντα e participio νοήσας pendeant, cf. test. **76—8** pone sch. *b* in T **76** le. scripsi, χαλκόν τ' ἠδὲ λόφον T, om. **b** τὰ τέλη **b** **76** sq. τῶν τρ. ἐπῶν om. T **77** τριῶν] λοιπῶν E³ καὶ¹ om. **b** **77** sq. λόφον — νοήσας T λόφον νοήσας ἀπονεύοντα **b**

471 *a*.$^1$ ἐκ δ' ἐγέλασ⟨σ⟩ε: ἀπὸ τῆς πολλῆς λύπης ἐκ μικρᾶς αἰτίας γέλωτα κινεῖ. T *ex.*

*a*.$^2$ ἀπὸ τῆς πολλῆς αὐτῶν λύπης ἡ μικρὰ τοῦ παιδὸς αἰτία φυσικόν τινα κινεῖ καὶ μέτριον γέλωτα. b(BCE$^3$E$^4$)

472 *a*. αὐτίκ' ἀπὸ κρατὸς κόρυθ' εἵλετο φαίδιμος ⟨Ἕκτωρ⟩: σημειοῦνταί τινες τοῦτον διὰ τὸ τὸν τραγικὸν Ἀστυδάμαντα παράγειν τὸν Ἕκτορα λέγοντα (fr. 2, p. 778 N$^2$.)· „δέξαι †κοινήν μοι πρὸς πόλεμον δὲ καὶ φοβηθῇ παῖς". A *Ariston.*

*b*. αὐτίκ' ἀπὸ κρατὸς κόρυθ' εἵλετο: μιμητικῶς· εὐάλωτος γὰρ καὶ ὁ τραχὺς τέκνου φιλοστοργίᾳ. b(BCE$^3$E$^4$) T *ex.*

474. ἐπεὶ κύσε πῆλέ τε χερσίν: τοῦτο γὰρ ποιοῦμεν πρὸς διάχυσιν αὐτῶν. ἄκρως δὲ περιεγένετο τῇ μιμήσει οὐδέν τι λυπήσας τὴν ἡρωϊκὴν σεμνότητα. ταῖς δὲ χερσὶ τὴν ἐπιθυμίαν πληροῖ, ἐπειδὴ μὴ δύναται περιπλέξασθαι αὐτόν. b(BCE$^3$E$^4$) T  τὸ δὲ πῆλε ἀντὶ τοῦ †ἐκλήρωσεν. T *ex.*

475 *a*.$^1$ ⟨εἶπεν ἐπευξάμενος:⟩ Ἀρίσταρχος διὰ τοῦ δ̅, „εἶπε δ' ἐπευξάμενος". A$^{im}$ *Did.*

*a*.$^2$ εἶπεν ἐπευξάμενος: „εἶπε δ' ἐπευξάμενος"· Ἀρίσταρχος γὰρ σὺν τῷ „δέ" γράφει. T

476 *a*.$^1$ δότε δὴ καὶ τόνδε γενέσθαι: φιλότιμος ἡ εὐχή. διαχυθεὶς δὲ ἐπιλέλησται τῶν πρώην. ἢ ὅτι δυνατὸν θεοῖς καὶ παρ' ἐλπίδα τι ποιῆσαι. οὐ πλούσιον δὲ ὡς νῦν †εὔχονται τὸν υἱόν, ἀλλ' ἀγαθὸν βίην, θαρσύνων τὴν μητέρα, ἵνα ἔχῃ ἐπίκουρον. T *ex.*

*a*.$^2$ φιλότιμος ἡ εὐχή. διαχυθεὶς δὲ ἐπιλέλησται τῶν πρώην. ἢ ὅτι δυνατὸν θεοῖς καὶ παρ' ἐλπίδα τι ποιῆσαι. ὡς νῦν δέ ἐστι πλούσιος, οὐκ εὔχεται τὸν υἱὸν γενέσθαι, ἀλλ' ἢ μόνον ἄρχοντα καὶ ἀνδρεῖον, τὴν μητέρα θρασύνων, ἵν' ἔχῃ ἐπίκουρον. b(BCE$^3$E$^4$)

478 *a*.$^1$ ⟨ὧδε βίην τ' ἀγαθόν:⟩ ἄλλοι „ὧδε βίην ἀγαθόν τε". A$^{im}$ *Did.*

*a*.$^2$ οὕτως „ἀγαθόν τε." T$^{il}$

478 cf. pap. IV; Valk II 620

---

80 le. T suppl. Ma. (ἐκ γ' ἐγέλασσε iam Li ante sch. $a^2$) 84 sq. le. A suppl. Vill. 88 μιμ. T μιμητικῶς καὶ τοῦτο b 89 φιλ. τέκνου b 91 τῇ μιμ. T τοῦ ἤθους b 92 σεμνότ. T συμμετρίαν b χερσὶ T χερσὶ λαβόμενος αὐτοῦ b ἐπεὶ b 93 περιπλ. αὐτόν T περιπλακῆναι αὐτοῦ (αὐτῷ E$^4$) b 94 ἐκλήρωσεν def. Valk I 415, tamen vix sanum, ἐκίνησεν Ma. (cf. Eust. 656, 52 διεκίνησεν), possis ἐξιλάρωσεν vel ἐφαίδρωσεν 95 le. add. Vill. 6 εὐχ. T εὔχεται Ma. (cf. sch. $a^2$) 12 le. (= A$^{cont}$, vulg.) add. Bk.

*Did.* 479 *a.* ⟨πατρὸς δ' ὅγε:⟩ Ἀρίσταρχος „πατρός γ' ὅδε“. $A^{im}T$

*ex.* *b.* πατρὸς δ' ὅ γε πολλὸν ἀμείνω: φυσικῶς ἐκ τοῦ βίου τοῦτο ἔλαβεν· ἐν ἅπασι γὰρ τῶν ἄλλων ἀμείνονες εἶναι θέλοντες μόνοις ἡττᾶσθαι παισὶν εὐχόμεθα. b($BCE^3E^4$) T

*Nic.* | *Ariston.* 479—80 *a.*¹ καί ποτέ τις εἴποι ⟨——— ἀνιόντα⟩: τὸ ἑξῆς· καί ποτέ τις εἴποι ἐκ πολέμου ἀνιόντα. καὶ οὐ λείπει τὸ ἰδών, ἀλλ' ἔστι συνήθης Ἀττικοῖς ἡ φράσις. Εὐριπίδης Ῥήσῳ (390—1)· „χαίρω δέ σ' εὐτυχοῦντα καὶ προσήμενον / πύργοισιν ἐχθρῶν“, καὶ αὐτὸς Ὅμηρος ἀλλαχοῦ „ἤχθετο γάρ ῥα / Τρωσί⟨ν⟩ δαμναμένους“ (N 352—3). | ἤλ⟨λ⟩ακται δὲ πτῶσις, ἀντὶ τοῦ ἐκ πολέμου ἀνιόντος. A

*Ariston.* *a.*² ἀνιόντα: ἀνιόντος, ὡς τὸ „γυναῖκά τε θήσατο μαζόν“ (Ω 58). T

*Nic.* *a.*³ ἄλλως· στικτέον εἰς τὸ ἀνιόντα (480), καὶ †λείπει τὸ ἰδών· ἤδη γὰρ σύνηθές ἐστι τοῖς Ἀττικοῖς· „χαίρω δέ σ' εὐτυχοῦντα καὶ προσήμενον“. καὶ ἀλλαχοῦ ὁ ποιητής· „ἤχθετο γάρ ῥα / Τρωσὶν δαμναμένους“. T

*ex.* 480 *a.*¹ ἄλλως· ἐκ πολέμου ἀνιόντα: οὐκ ἀεὶ εὔχεται πολεμεῖσθαι τὴν πόλιν, ἀλλ' ἐν ταῖς χρείαις ἄριστον εἶναι. T

*a.*² οὐκ ἀεὶ πολεμεῖσθαι καὶ πολεμεῖν εὔχεται, ἀλλ' ἐν μόναις ἄριστον εἶναι ταῖς χρείαις. b($BCE^3E^4$)

*D* ἔναρα βροτόεντα: τὰ ἀπὸ πολέμου ——— νεκροὶ ἔναροι. A

*D* βροτόεντα: ἡμαγμένα· βρότος ——— ἢ ἡματωμένα. A

*ex.* 482. ⟨ἀλόχοιο φίλης ἐν χερσὶν ἔθηκε:⟩ ἵνα καὶ αὐτὴ διαχυθῇ. $T^{il}$

479 Ge (fort. ex h): ⟨εἴποι⟩ (add. Nicole)· γράφεται καὶ „εἴπῃσι“ (εἴπῃσι = vulg.) *a* et *b* (Did.) cf. pap. IV *b* ἐν ἅπασι γὰρ (17) sq. cf. Eust. 656, 48 **479—80** nullum signum ante versus in A (exspectes diplen ante v. 480) *a*¹ — δαμναμένους (23) ad N 351—3 (Nic.), vide Wackernagel, Vorl. über Syntax I (Basil. 1926) 264; — ἰδών (20) aliter Eust. 657, 3 ἤλλακται (24) sq. vide ad A 567 *a*. N 477 *a* (Ariston.), cf. Anon. fig. 154, 26; Su. χ 174 (Eur. fr.

---

**15** le. add. Ddf. ἀρίστ. δὲ sq. post sch. *b* (coni. cum v. εὐχόμεθα) in T ὅδε A ὅδε γράφει T **17** ἐν om. b **17** sq. μόν. εὐχόμεθα παισὶν ἡττᾶσθαι b **19** le. A supplevi **22** ἐχθρῶν Eur., ἐχθρόν A **23** τρωσὶ A suppl. Ddf. **24** ἤλακται A suppl. Vill. **28** καὶ οὐ λείπει Ma. **30** προσήμ. Ma., προσσημαίνων T **31** δυναμένους T em. Ma. **33** ἄριστον αὐτὸν εἶναι Ma. **36** sq. ἔνεροι D, cf. Blomfield ad Aesch. Pers. (Lond. 1780) 635 (hodie 629) **39** le. addidi

483. κηώδεϊ: ἐν ᾧ τὰ βρέφη κοιμίζεται. A T$^{il}$ *ex.*

484. δακρυόεν γελάσασα: δυνατῶς ῥηθὲν ἀνερμήνευτόν ἐστιν· οὐ γὰρ ἁπλοῦν τὸ πάθος, ἀλλὰ σύνθετον ἐξ ἐναντίων παθῶν, ἡδονῆς καὶ λύπης· εἰς γέλωτα μὲν γὰρ αὐτὴν προήγαγε τὸ βρέφος, εἰς δάκρυον δὲ ἡ περὶ τοῦ Ἕκτορος ἀγωνία. A b(BCE$^3$E$^4$) T   οὐκ ἐνόησεν οὖν Καλλίμαχος τὸν στίχον εἰπών· „ἐπεὶ θεὸς οὐδὲ †γέλασεν† / ἀκλαυτί" (fr. 298 Pf.)· ᾠήθη γὰρ ὑπὸ τῆς διαχύσεως τοῦ γέλωτος τὰ δάκρυα γενέσθαι. T *ex.*

487. ⟨οὐ γάρ τίς μ' ὑπὲρ αἶσαν ἀνὴρ Ἄϊδι προϊάψει:⟩ ὑποθεὶς αὐτὸν τῇ εἱμαρμένῃ ἴσον ἐποίησε τό τε κινδυνεύειν καὶ τὸ ἀσφαλῶς ζῆν. b(BCE$^3$E$^4$) T$^{il}$ *ex.*

489. ἐπὴν τὰ πρῶτα γένηται: τινὲς „πρωτά" ὡς γνωστά, ἵν' ᾖ τὰ πεπρωμένα, οὐχ ὑγιῶς. T | φαίνεται δὲ καὶ τὴν μαθηματικὴν πρῶτος εἰδὼς Ὅμηρος, ἐν οἷς τὴν ἐπὶ γενέσεως ὥραν περιέχειν τὰ ἀποτελέσματα λέγει. A b(BCE$^3$E$^4$) T *ex.* | *ex.*

490—3. ἀλλ' εἰς οἶκον ἰοῦσα ⟨—— ἐγγεγάασιν⟩: τέσσαρσι στίχοις ἑξῆς ἀστερίσκοι παράκεινται, ὅτι νῦν μὲν ὀρθῶς κεῖνται καὶ πρὸ τῆς μνηστηροφονίας (sc. φ 350—3), ἐν δὲ τῇ α̅ ῥαψῳδίᾳ τῆς Ὀδυσσείας (sc. 356—9) οὐκέτι. A *Ariston.*

673); Friedl., Ariston. p. 20   483 cf. Philox. in Or. 85, 35 (. . . παρὰ τὸ κέω τὸ κοιμῶμαι . . .), aliter D ad Z 288, Ap. S. 99, 21; vide Bechtel, Lex. 195   484 — ἀγωνία (45) cf. Eust. 657, 17; breviter D; — λύπης (44) cf. sch. Pind. N. 1, 85 b   488 nescio an sch. de significatione v. μοῖρα hic non exstiterit; cf. Porph. 1, 104, 3: ἐζήτησάν τινες (an Aristoteles?), πῶς ἐνταῦθα ἀπαράβατον λέγει τὴν μοῖραν ὁ ποιητής. ἐν δὲ τῇ Ὀδυσσείᾳ παραβατὸν ὑφίσταται, ὅταν λέγῃ· „ὡς καὶ νῦν Αἴγισθος ὑπὲρ μόρον Ἀτρείδαο / γῆμ' ἄλοχον" (α 35—6). λύεται δὲ τοῦτο ἐκ τοῦ δείκνυσθαι ὅτι τριχῶς ἡ μοῖρα παρὰ τῷ ποιητῇ λέγεται· ἡ εἱμαρμένη, ἡ μερὶς καὶ τὸ καθῆκον (sequuntur exempla, tum altera solutio, quae dicitur ἐκ προσώπων), Ap. S. 113, 11: μοῖραι· ἐπὶ τῶν μερίδων, „οἱ †δὴ μοίρας † (lege οἱ δ' ἤδη μοίρας τ') ἔνεμον" (θ 470), | ἐπὶ δὲ τῆς εἱμαρμένης, „μοῖραν δ' οὔ τινά φημι †πεφευγμένον† (lg. πεφυγμένον) ἔμμεναι ἀνδρῶν" (cf. D ad Δ 170), | ἐπὶ δὲ τοῦ καθήκοντος καὶ ἁρμόζοντος, „ταῦτά γε πάντα, †γέρων† (lg. γέρον), κατὰ μοῖραν ἔειπες" (A 286 al., cf. D ad A 286. T 186). Ergo explanationes et Apollonii Sophistae et Pophyrii videntur pendere e scholiis, quae Didymi vocantur. Vide ad A 3 *c* (ex.)   489 — οὐχ ὑγιῶς (53) sim. Ep. Hom. (An. Ox. 1, 340, 9), cf. Hrd. μον. 38 (2, 943, 30 L.); Ep. Hom. l. c. 340, 2   490—3 asterisci ante versus Z 490—3 in A, ante versus Z 490—2 in pap. IV, cuius scriba vid. erravisse   τέσσαρσι (56) sq. cf. sch. α

---

41 le. AV$^c$, om. T   42 le. AT, om. b   δυν. καὶ σοφῶς ῥηθ. b   ἀν. ἐστιν] ὡς ἀνερμήνευτον πεφώραται. ἔστι δὲ εὐπρεπὲς b   43 γὰρ] γὰρ ὡς BE$^4$   43 sq. ἡδοναὶ καὶ λῦπαι A   44 προσήγαγε T   45 τοῦ om. E$^4$   46 γελάσσαι Call. 49 le. add. Vill. (οὐ γὰρ — αἶσαν iam Li)   50 αὐτὸν Ma., αὑτὸν T ἑαυτὸν b   52 le. T, οὐ κακὸν οὐδὲ μὲν ἐσθλόν: A, om. b   53 δὲ om. Ab   54 εἰδὼς b, εἶδος A εἰδέναι T   οἷς τὴν ἐπὶ AT ᾗ τὴν τῆς b   περ. τὰ T περιέχοντα A, om. b 55 λέγει] περιέχει b   56 le. A suppl. Frdl.

*ex.* **491.** ἱστόν τ' ἠλακάτην τε: διὰ βραχέων βίον καὶ οἰκονομίαν ὑπογράφει σώφρονος γυναικός. οἰκονομικῶς δὲ ἐποίησε τὸν Ἕκτορα ἐπιτρέποντα αὐτῇ οἰκουρεῖν, ἵνα μὴ κατὰ τὴν πρὸς τὸν Ἀχιλλέα μάχην ὀφθεῖσα ἐπὶ τοῦ τείχους πείσῃ αὐτὸν μὴ πολεμεῖν Ἀχιλλεῖ. **b** (BCE$^3$E$^4$) **T**

*D* ἠλακάτην: τὸ τῶν γυναικῶν ——— ἔχουσαν Ἄρτεμιν. **A**

*ex.* **492** *a.* πόλεμος δ' ἄνδρεσ⟨σ⟩ι μελήσει: ἄνδρεσ⟨σ⟩ι διὰ τὰς παραινέσεις αὐτῆς. ἔστι δὲ ἤθη σκοπεῖν διάφορα Ἀλεξάνδρου καὶ Ἕκτορος· ὁ μὲν γάρ φησι πόλεμος δ' ἄνδρεσσι μελήσει, ὁ δὲ Ἀλέξανδρος „νῦν δέ με παρειποῦσ' ἄλοχος" (Z 337). **b**(BCE$^3$E$^4$) **T**

*ex.* *b.* πόλεμος ⟨δ'⟩ ἄνδρεσσι μέλησει: ἐνθάδε πόλεμος, ἐπὶ δὲ Τηλεμάχου „μῦθος" (α 358), ἐπὶ δὲ τῆς θέσεως τοῦ τόξου „τόξον δ' ἄνδρεσσι μελήσει" (φ 352). **A**

*ex.* **493.** ⟨πᾶσιν, ἐμοὶ δὲ μάλιστα:⟩ ἀντὶ τοῦ πλέω πάντων τῶν ἐν Ἰλίῳ. **A**$^{int}$

*ex.* **495—6.** οἶκον δὲ βεβήκει / ἐντροπαλιζομένη: ἀπῆγε μὲν ἡ ἐπίπληξις, ἐπέστρεφε δὲ ἡ εὔνοια· ποία γὰρ ἂν ἦν, τοιοῦτον ἄνδρα τοιούτῳ κινδύνῳ προπέμπουσα; **b**(BCE$^3$E$^4$) **T** τὸ δὲ ἐντροπαλιζομένη (496) ἀντὶ τοῦ μεταστρεφομένη. **T**

*ex.* **499.** γόον πάσῃσιν ἐνῶρσεν: ἢ διηγησαμένη, ἢ ἀπὸ τῶν ἰδίων δακρύων. ηὔξησε δὲ τὸ συμπαθὲς διὰ τοῦ παρανόμου θρήνου· θρηνοῦσι γὰρ ζῶντα. ἅμα δὲ καὶ ἐνδείκνυται ὡς δεῖ οὕτω δεσπόζειν, ἵνα καὶ εὐνοῶνται. **b**(BCE$^3$E$^4$) **T**

*ex.* **500** *a.*$^1$ γόον {ἕκτορα}: γόαον καὶ κατὰ συγκοπήν· ἢ ἀπὸ βαρυτόνου. **T**

*a.*$^2$ ἀντὶ τοῦ ἐγόων συνεστάλη. **A**$^{int}$

356—9 **492** *a* ἔστι δὲ ἤθη (67) sq. cf. Eust. 657, 48 *b* cf. Eust. 657, 46 **493** fort. exstabat sch. de exitu, quem hic versus in Od. (α 359. φ 353) praebet (τοῦ γὰρ κράτος ἔστ' ἐνὶ οἴκῳ) **494** cf. pap. IV **495—6** — εὔνοια (76) cf. Eust. 657, 58 τὸ δὲ ἐντροπαλιζομένη (77) sq. cf. D, Eust. 657, 57 **500** ἐγόων (85) = D; v. γόον sec. commentarium Zenobii grammatici (Et. Gen. [B, deest A] γόον) Hrd. (2, 802, 19) aoristum esse censuit, Ap. Dysc. (Frg. p. 111, 17)

---

**60** βίον T τῶν ῥημάτων βίον **b** **61** σώφρονος ante ὑπογράφει **b** **63** μὴ om. E$^4$ ἀχιλλεῖ om. **b** **66** le. T suppl. V (ἄνδρεσσι μελήσει Li), om. **b** ἀνδρ.$^2$ Ma., ἄνδρεσι T ταῦτά φησι **b** **70** le. A supplevi **73** le. add. Ddf. **75—8** sch. ad Z 496 revocavit **b** **75** ἀπῆγε BE$^3$E$^4$ ἐπῆγε C ἀπήγαγε T **76** ἂν ἦν BCE$^3$ ἦν ἂν E$^4$ εἴη T **80** θρήνου om. T **81** θρηνοῦσι T κλαίουσι **b** ἔτι ζῶντα **b**, fort. rectius **83** (le.) ἕκτορα del. Bk. **83** sq. βαρυτ. sc. γόων

**503.** οὐδὲ Πάρις δήθυνε: δῆλον οὖν ὡς διὰ τοῦτον ἐνδιέτριβεν *ex.*
ὁμιλῶν τῇ γυναικὶ ὁ Ἕκτωρ καὶ οὐ ταχέως διῆλθεν, ἵνα μετ' αὐτοῦ
προελθὼν παραθαρσύνῃ τοὺς Τρῶας ἰδόντας αὐτὸν παραδόξως σε-
σωσμένον, ὡς τῶν θεῶν εὐνοϊκῶς ἐχόντων πρὸς αὐτούς. b(BCE³E⁴) T

**505.** σεύατ' ἔπειτ' ἀνὰ ἄστυ ⟨ποσὶ κραιπνοῖσι πεποι- *ex.*
θώς⟩: ἑαυτῷ πρόεισι ἀρέσκων, τὴν ἧτταν οὐδ' ὅλως ἐνθυμούμενος.
b(BCE³E⁴) T

**506—11** *a.*[1] ὡς δ' ὅτε τις στατὸς ⟨——— καὶ νομὸν ἵπ- *Ariston.*
πων⟩: καὶ τούτοις ὁμοίως ἀστερίσκοι παράκεινται, ὅτι τὴν παρα-
βολὴν ὅλην ἐπὶ Ἕκτορος βληθέντος λίθῳ ὑπ' Αἴαντος (sc. O 263—8)
μετήνεγκεν ἐντεῦθεν. ἡ δὲ διπλῆ πρὸς τὸ ἀκοστήσας (506), ὅτι ἄλ-
λοι ἄλλως ἀπέδωκαν. ἔστι δὲ ἤτοι ἐν ἄχει γενόμενος διὰ τὴν στάσιν ἢ
ἄκος τι καὶ βοήθημα τῆς στάσεως ζητῶν. A

*a.*[2] ὅτι εἰς O κεῖται. A^ext

imperfectum **506—11** asterisci ante versus 506—9 in A, fort. error scribae; diplae ante versus 506. 507. 510, diple periestigm. ante 511 in A  καὶ τούτοις (94) — ἐντεῦθεν (1) ad O 265 *a* (Ariston.)  ἡ δὲ διπλῆ (1) sq. plura vid. legisse Ap. S. ap. He. α 2503: ἀκοστήσας· κριθιάσας, ἀδδηφαγήσας κατὰ τοὺς Γλωσσογράφους (cf. D) ἀπὸ τοῦ ἄκος λαμβάνειν. τίθησι δὲ τὸ ἄκος ἐπὶ τῆς ἀποπαύσεως τοῦ τε λιμοῦ καὶ τῆς δίψης, „πίον τ' ἀκέοντό τε δίψαν" (X 2). ὁ δὲ Ἀριστόνικος ἐν ἄχει γενόμενος· διὸ ἐπιφέρει· „δεσμὸν ἀπορρήξας θείει πεδίοιο κροαίνων" (Z 507), ὃ καὶ βέλτιον εἴρηται. τινὲς δὲ ἄδην πληρωθείς, brevius Ap. S. 20, 14: ἀκοστήσας· οἱ μὲν κριθιάσας· ἀκοστὰς γὰρ τὰς κριθὰς λέγουσιν, ὅπερ ἐξ Ὁμήρου †δυνήσονται (οὐ δυνήσονται παραστῆσαι ci. Vill.). οἱ δὲ †ὅτι στάσεως ἐπιζητήσας· διόπερ εἶπεν „δεσμὸν ἀπορρήξας"· ὃ καὶ βέλτιον, cf. Leyde 21; Beiträge 413; vide ad Z 506 *b*. Sch. uberius Aristonici etiam Meth. legisse videatur, cf. Et. Gen. (B, Sym., deest A) ἀκοστήσας· κριθιάσας. Ὅμηρος· „ὡς δ' ὅτε τις στατὸς ἵππος ἀκοστήσας ἐπὶ φάτνης" (ὡς — φάτνης om. B). οἱονεὶ ἀχοστήσας, τουτέστιν ἐπὶ τῇ στάσει δυσχεράνας, ὅθεν ἐπιφέρει· „δεσμὰ διαρρήξας θείῃ πεδίοιο κροαίνων" (Z 507). ἢ ἀκοσταὶ αἱ κριθαί, ἵν' ᾖ κριθιάσας καὶ ὑπὸ τῆς τροφῆς ἀκρατὴς ὤν. ἢ ὑψαυχενήσας καὶ ἀτιμαγέλης γεγονώς. παρὰ τὸ ἄγω ἀγὸς καὶ ἀκοστὴς κατὰ τροπὴν τοῦ γ̄ εἰς κ̄, ὁ ἔμπροσθεν θέλων εἶναι καὶ προηγεῖσθαι, An. Ox. 1, 75, 15: ἀκοστήσας· ἀκοσταὶ αἱ κριθαί, ἵν' ᾖ κριθιάσας καὶ ὑπὸ τρυφῆς ἀκρατής τις ὢν ἢ ὑψαυχενήσας καὶ ἀτιμαγέλης γεγονώς. ἢ παρὰ τὸ ἀγόν, ἀγὸς θέλων εἶναι καὶ ἡγεῖσθαι, καὶ ἀκρατής, τοῦ γ̄ εἰς τὸ κ̄ μεταπεσόντος. εἰ δὲ ἀχθεσθείς, ἵν' ᾖ ἀχθεστήσας, ἄρσει τοῦ θ̄ καὶ τροπῇ τοῦ ε̄ εἰς ō, †ἄχοστος (lg. ἀχοστήσας), Beiträge 272; sim. Lex. rhet. in B. A. 1, 213, 4; Bowra, Journ. Hell. Stud. 54, 1934, 67; vide Buttmann II 152  ὅτι ἄλλοι ἄλλως (1) sq. Su. α 934: ἀκοστήσας·. . . | κριθιάσας ἢ ἀκολαστήσας κατὰ συγκοπήν, ἢ ἐν ἄχει — ζητῶν, fort. ex exemplo Ven. A, cf. Beiträge 177;

---

**86** τοῦτο C  ἐνέτριβεν ss. δι T (m. pr.)  **87** ὁμιλῶν — διῆλθεν T δηθύνων ὁ ἕκτωρ b  **90** le. T supplevi (auctore Vill.; κραιπν. πεπ. Li), om. b  **93** sq. le. A suppl. Frdl.  **94** ὁμοίως Bk. (sc. aeque ac v. Z 490—3), ὁμοίοις A  **95** αἴαντός τις W. Ribbeck (Mus. Rhen. 35, 1880, 470)  **1** ἐντεῦθεν A, fort. ἐνθένδε  διπλῆ sc. ante v. Z 506  **4** sch. a m. pr. scriptum

*ex.* **506** *a*. στατὸς ἵππος: ὁ τῆς ἀγέλης ἀποσπασθεὶς καὶ ἐπὶ φάτνης ἑστώς· οὕτω γὰρ ποθεῖ τὴν συνήθη δίαιταν. **b**(BCE$^3$E$^4$) **T**

*D | ex. | D | ex.* *b*. ἀκοστήσας: ἄκος τῆς στάσεως λαβών, τουτέστιν ἴαμα, καὶ κριθιάσας. κυρίως δὲ {αἱ} πᾶσαι αἱ τροφαὶ ἀκοσταὶ καλοῦνται | παρὰ Θεσσαλοῖς, ὡς καὶ Νίκανδρος (cf. al. 106), | παρὰ τὸ ἵστασθαι τὰ σώματα τρεφόμενα. ἐν ἄλλῳ· καιρῷ παραλαβών. βέλτιον δὲ δυσχεράνας ἐπὶ τῇ τῆς φάτνης στάσει. | οἱ δὲ „ἀγοστήσας". ἀγοστὸς γὰρ ὁ ῥύπος. ἢ ἡσυχάσας παρὰ τὴν ἀκήν. **A**

*ex.* **506—8.** ἀκοστήσας ἐπὶ φάτνῃ ⟨/———/⟩ εἰωθὼς λούεσθαι ⟨ἐϋρρεῖος ποταμοῖο⟩: οὐ πονεῖν ἐθελήσας, ἀλλὰ μεταβολὴν τῆς στάσεως εὑρεῖν. ἀκοστήσας (506) δὲ ἡσυχάσας παρὰ τὴν ἀκήν. οἱ δὲ παρὰ Θεσσαλοῖς ἀκοστὰς τὰς κριθάς, **b**(BCE$^3$E$^4$) **T** ὡς καὶ Νίκανδρος (cf. al. 106). οἱ δὲ „ἀγοστήσας". ἀγοστὸς γὰρ ὁ ῥύπος. εὐρρεῖος (508) δὲ ἀπὸ τοῦ εὐρρεής. **T**

vide Eust. 658, 48 (exscriptum infra ad Z 506) **506** *a* — ἑστώς (6) cf. Eust. 658, 41 *b* cf. Eust. 658, 45: ἀκοστῆσαι δὲ τὸ πολυκριθῆσαι κατὰ τοὺς παλαιούς, ἤγουν τὸ κριθιάσαι· ἀκοσταὶ γὰρ αἱ κριθαί, ὅπερ, φασίν, ἐξ Ὁμήρου μὲν οὐ δείκνυται (vide test. ad Z 506—11), παρὰ δέ γε Νικάνδρῳ καὶ ἄλλοις κεῖται. οἱ δὲ παλαιοί φασι καὶ πάσας τὰς τροφὰς παρὰ Θεσσαλοῖς ἀκοστὰς λέγεσθαι. ἄλλοι δὲ ἀκοστῆσαί φασι τὸ σχεῖν ἄχος ἐν τῷ ἵστασθαι, ἔνιοι δὲ τὸ λαβεῖν ἄχθος ἢ μᾶλλον κατ' αὐτοὺς καὶ τοῦτο εἰπεῖν, ἄκος τῇ στάσει καὶ τῇ τῆς τροφῆς ἀπολαύσει, ὡς τὸ „πίον τ' ἀκέοντό τε δίψαν" (X 2, vide test. ad Z 506—11). ἕτεροι τὸ ἀκολάστως διατεθῆναι, ἵνα ᾖ ἀκολαστῆσαι καὶ ἐν συγκοπῇ ἀκοστῆσαι. ἄλλοι δὲ τὸ ἡσυχάσαι παρὰ τὸ ἀκὴν ἤγουν ἡσύχως στῆναι. τινὲς δὲ γράφουσιν „ἀγοστήσας", ὅ ἐστι ῥυπανθεὶς καὶ διὰ τοῦτο φαντασάμενος τὰς συνήθεις νομὰς καὶ τὰ πρώην λουτρά, καί φασιν ὅτι γοῖτος λέγεται ὁ ῥύπος, ὅθεν καὶ τὸ ἀγοστήσας γίνεται, vide de sch. ex. ad Z 506—8. O 263 παρὰ Θεσσαλοῖς (9) ad N 314. 466 οἱ δὲ ἀγοστήσας (11) cf. EM. 51, 20 (sec. A. Adler fort. e Diogeniano): ἢ ὁ ἀγοστήσας, ῥυπανθείς· γοῖτος γὰρ ὁ ῥύπος, Eust. 648, 48 (supra exscriptum), Theogn. 74, 9: γοῖτος ὁ ῥύπος, Beiträge 160 fort. exstabat sch. de v. φάτνη, cf. **h**(Ag = An. Par. 3, 170, 31, pone D): φάτνη· ὁ τόπος, ὅπου ἐσθίει τὰ κτήνη. ἐν ἄλλῳ ἡ τῶν τετραπόδων, ὥσπερ ἡ τράπεζα **506—8** ad Z 506 *b* οἱ δὲ παρὰ (15) — τὰς κριθάς

**5** le. scripsi (duce Bk.), ὡς δ' ὅτε τις στατὸς ἵππος T, om. **b** **8** αἱ del. Ddf. **10** καιρῷ παραλαβών h. e. 'facultate arrepta', cf. Holwerda, Mnemos. 1966, 287; fort. pot. καιρὸν παραλαβών **11** ἀγοστήσας ὁ ῥυπανθείς· ἀγοστὸς γὰρ Bk. (cf. test. ad Z 506—8) ἀγοστὸς sic A **12** ἀχήν A em. Bk. **13** sq. le. T supplevi, om. **b** **14—5** οὐ πονεῖν δὲ — εὑρεῖν pone sch. Z 508 (coni. cum v. ὕδασιν) **b** **14** ἀλλὰ T, τοῦτο ποιεῖ, ἀλλὰ **b** (fort. rectius) μεταβ. **b**, ////βολὴν T **15—6** ἀκοστήσας — κριθάς pone sch. Z 506 *a* (coni. cum v. δίαιταν) in **b** δὲ[1] T δὲ τὸ **b** παρὰ — κριθάς T τὰς κριθάς φασι παρὰ θεσσαλοῖς ἀκοστὰς εἶναι (καλεῖσθαι C) BCE$^3$, om. E$^4$ τὴν] τὸ C ἀκοήν BE$^4$ **17** ἀγοστήσας Ma. (qui add. ὁ ῥυπανθείς, cf. sch. Z 506 *b*), ἀγοστή //// T ἀγοστὸς Ma., ἀγοιστὸς T (γοιστος V)

507 *a*. ⟨δεσμόν:⟩ δεσμὸς Ἀλεξάνδρου ἡ Ἑλένη. b(BCE$^3$E$^4$) T$^{il}$ *ex.*

*b.*$^1$ πεδίοιο κροαίνων: ἡ διπλῆ, ὅτι ἐλλείπει ἡ διά, καὶ τὸ κροαίνων οὐκ ἔστιν ἐπιθυμῶν, ὡς Ἀρχίλοχος ἐξέλαβεν (fr. 176 Bgk.$^4$ = 252 T.), ἀλλ' ἐπικροτῶν τοῖς ποσὶ διὰ τοῦ πεδίου. A *Ariston.*

*b.*$^2$ ἄλλως· οἱ νεώτεροι ἐπιθυμεῖν τὸ κροαίνειν, καὶ Ἀρχίλοχος. A

*c.*$^1$ κροαίνων: κυμβαλίζων. καὶ „ἐρίγδουποι" (Λ 152) καὶ „ὑψηχέες ἵπποι" (Ε 772, cf. Ψ 27). Στησίχορος κοιλωνύχων ἵππων πρύτανιν τὸν Ποσειδῶνά φησιν (fr. 58 P. = P. M. G. 235). T *ex.*

*c.*$^2$ ὑψηχῶν, ἐριγδουπῶν, κυμβαλίζων· ἀρίστῳ γὰρ ἵππῳ χηλὴ ἡ κοίλη, ᾗ καὶ κυμβαλίζει. b(BCE$^3$E$^4$)

508. ⟨εἰωθὼς λούεσθαι:⟩ φιλόλουτρον γὰρ τὸ ζῷον· ἐν ποταμῷ δέ, ἐπεὶ τοῖς θολεροῖς ὕδασιν ἥδεται b(BCE$^3$E$^4$) T$^{il}$ ὁ ἵππος. τὰ δὲ στάδια διαυγῆ. T$^{il}$ *ex.*

εἰωθὼς λούεσθαι ἐϋρρεῖος ποταμοῖο: λείπει ——— ὕδωρ. A *D*

509. ἀμφὶ δὲ χαῖται: δοκεῖ ἡ κόμη μεγαλοπρεπείας αἰτία εἶναι τοῖς ἵπποις. A b(BCE$^3$E$^4$) T καὶ Πάρις δὲ εὔκομος. b(BCE$^3$E$^4$)T *ex.*

510 *a*. ⟨ὁ δ' ἀγλαΐηφι πεποιθώς:⟩ πρὸς τὸ σχῆμα, A$^{im}$ ἀντὶ τοῦ ἀγλαΐηφι πεποιθότα. A$^{int}$ *Ariston.*

*b.*$^1$ ὁ δ' ἀγλαΐηφι πεποιθώς: πρεπόντως ἐπὶ τοῦ καλλωπιστοῦ. ὡσαύτως καὶ τὸ „ἀμφὶ δὲ χαῖται / ὤμοις ἀΐσσονται" (Ζ 509—10). T *ex.*

*b.*$^2$ πρεπόντως δὲ τοῦτο ἐπὶ τοῦ καλλωπιστοῦ. καὶ τὸ παράδειγμα ἀπὸ γαυρικοῦ ἵππου καὶ ἀλογίστου. b(BCE$^3$E$^4$)

(16) cf. Fellner 64 **507** ante versum diple in pap. IV, diple et asteriscus in A (vide ad Z 506—11) *b*$^1$ — ἡ διά (20) ad B 801 (Ariston.); cf. D ἐπιθυμῶν (21) et ἐπικροτῶν (22) cf. D, Ap. S. 104, 13, Synag. (Ba. 283, 25, Ph., Su. κ 2457) ἐπιθυμῶν (21) ad O 264 (T), cf. Theogn. 21, 14; Alpers, Diss. p. 57 ἀλλ' ἐπικροτῶν (22) sq. cf. sch. Greg. Naz. or. 44, 11 (p. 241 nr. 197 Punt.); Theogn. 21, 6; Bechtel, Lex. 205 τοῖς ποσί (22) sq. cf. Ar. Byz. p. 234 **508** — ζῷον (30) cf. Aristot. an. h. 605 a 12 ἐπεὶ τοῖς θολ. ὕδ. ἥδεται (31) cf. Aristot. h. an. 605 a 10 **510** diple ante v. in pap. IV et in A *a* ad B 353 *a* (Ariston.); vide

**19** le. add. Li V δεσμὸς οὖν **b** ἐλ. νοηθήσεται **b** **20** le. scripsi (Vill.), δεσμὸν ἀπορρήξας: A **23** sq. in exemplo codicis A erat fort. sch. intermarginale **25** ἐρίγδουποι πόδες ἵππων Hom. **27** πρύτανιν sic T **29** χηλὴ ἡ κ.] ἡ χηλὴ κοίλη E$^4$ ᾗ] ἡ C **30** le. add. Li γὰρ om. **b** **31** θολ. ὕδ. ἥδεται scripsi (cf. Valk. I 189), θολ. ἥδ. ὕδ. **b** καθαροῖς ἥδεται T **33—4** pone sch. Z 509 in A, trps. Vill. **35** le. T, ὑψοῦ δὲ κάρη ἔχει: A, om. **b** **35** sq. τοῖς ἵπποις post κόμη **b** εἶναι αἰτία **b** **37** le. add. Bk. πρὸς A, ἡ διπλῆ πρὸς Vill. **38** ἀντὶ A, ὅτι ἀντὶ Bk. (at cf. sch. Z 239 *a*) τὸν δὲ post τοῦ add. Bk. (improbabiliter) **42—3** pone sch. Z 509 (coni. cum v. εὔκομος) in **b**

*Ariston.* **511** *a.* ῥίμφα ⟨ἑ γοῦνα φέρει⟩: Ζηνόδοτος „ῥίμφ' ἑὰ γοῦνα φέρει". Ποσειδώνιος δὲ ὁ ἀναγνώστης 'Αριστάρχου ⟨ἄνευ⟩ διαιρέσεως τὸ ε̄ ψιλῶς προφέρεται, παρέλκειν αὐτὸ λέγων ὡς ἐν τῷ „ἠὲ σὺ τόνδε δέδεξο" (E 228), καὶ λύεται τὸ σολοικοφανές. ὁ δὲ Ὅμηρος ὑπὸ τῶν γονάτων καὶ ποδῶν φέρεσθαι λέγει· „τὸν μὲν ἄρ' ὣς εἰπόντα πόδες φέρον" (O 405). **A**

*ex.(?)* *b.* ⟨ῥίμφα ἑ γοῦνα φέρει:⟩ μετέβη τὴν πτῶσιν· τὸ γὰρ ἓ αὐτόν σημαίνει. $A^{im}$

*Ariston.* | *ex.* | *Ariston.* **510—1** $a.^1$ ὁ δ' ἀγλαΐηφι ⟨πεποιθώς / ῥίμφα ἑ γοῦνα φέρει⟩: ἀντὶ τοῦ τοῦτον. | καὶ τὸ ἓ ἀντὶ τοῦ αὐτόν, φημὶ τὸ ῥίμφα †ī. | Ποσειδώνιος δὲ ψιλῶς τὸ ἓ προφέρεταί καί φησιν αὐτὸ πλεονάζειν ὡς ἐν τῷ „ἠὲ σύ" (E 228). **T**

*Ariston.* | *ex.* $a.^2$ ἀντὶ τοῦ τὸν δὲ πεποιθότα. | καὶ τὸ ῥίμφα ἑ ἀντὶ τοῦ αὐτόν. **b**($BCE^3E^4$)

*Nic.* **513** *a.* ⟨τεύχεσι παμφαίνων ὥς τ' ἠλέκτωρ:⟩ διασταλτέον ἐπὶ τὸ ἠλέκτωρ· λάμπειν γὰρ αὐτόν φησιν ὡς ἥλιον. $A^{im}$

*Nic.* | *ex.* *b.* ὥς τ' ἠλέκτωρ: διαστολὴ εἰς τὸ ἠλέκτωρ. **b**($BCE^3$) **T** | δύο δὲ παραβολὰς ἔμιξεν. **b**($BCE^3E^4$) **T**

ad Z 511 *a*; — σχῆμα (37) cf. Eust. 659, 3 **511** diple periestigm. ante versum in A, vide ad Z 506—11. Anon. fig. 153, 29: „ὁ δὲ ἀγλαΐηφι πεποιθώς", ἀντὶ τοῦ τοῦ δὲ ἀγλαΐηφι πεποιθότος, „ῥίμφα ἑ γοῦνα φέρει" . . . συντακτέον οὖν οὕτως· ὁ δὲ τῇ ἀγλαΐᾳ θαρρῶν ταχέως φέρει τὰ κατ' αὐτὸν γόνατα, ἵνα τὰ γοῦνα εἴη πτῶσις αἰτιατικὴ καὶ μὴ εὐθεῖα. | τινὲς δὲ τῶν ἀρχαίων κτλ. (sequitur interpretatio volgaris), Eust. 659, 8: τινὲς δὲ ὑπερπαθοῦντες οἷον 'Ομήρου, εἰ σόλοικα φθέγγεται, θεραπεύουσι διὰ προθέσεως τὸ σολοικοφανὲς φάμενοι ὅτι ὁ ἵππος ῥίμφα ἑ κατὰ γοῦνα φέρει, ἵνα λέγῃ ὅτι ὁ ἵππος τῇ ἀγλαΐᾳ θαρρῶν εὐκόλως ἑαυτὸν φέρει τοῖς γόνασι (καὶ ἴσως, ὥσπερ ἐν τῷ „πεδίοιο κροαίνων" [Z 507] λείπει πρόθεσις . . . καὶ ἐν τῷ „λούεσθαι ποταμοῖο" [cf. Z 508], οὕτω καὶ ἐν τῷ γοῦνα ἐνόμισαν ἐνδεῖν τὴν κατά πρόθεσιν). | ἕτεροι δὲ μεταγράφουσιν „ῥίμφ' ἑὰ γοῦνα φέρει" κτλ., originis incertae, fort. pars scholii perditi *a* Ζηνόδοτος (44) sq. cf. Eust. 659, 12; — φέρει (45) et ὁ δὲ Ὅμηρος (47) sq. ad Z 514 *b*. O 405. P 700. Σ 148 (Ariston.) Ποσειδώνιος (45) cf. Ap. Dysc. synt. 488, 4; vide ad Z 510—1 $a^1$ ἀναγνώστης (45) cf. Degenhardt 8; Usener, Kl. Schr. II (Lips. 1913) 266; vide ad P 75 (Nic.) παρέλκειν αὐτὸ λέγων (46) ad Z 510—1 $a^1$ (Ariston.); vide O 241 *b* (ex.) ὁ δὲ Ὅμηρος (47) sq. vide ad N 514—5 (ex.) *b* ad Z 510—1 *a* **510—1** $a^1$ — τοῦτον (53) ad Z 510 *a* (Ariston.) καὶ τὸ (53) — ῥίμφα ἓ ad Z 511 *b* (ex.) Ποσειδώνιος δὲ (54) sq. ad Z 511 *a* (Ariston.) **512** diple ante versum in A, fort. exstabat sch. Aristonici de genere feminino vocis Περγάμου, cf. Wismeyer 19; vide ad E 446. 460 **513** *b* δύο δὲ (61) sq. cf. Eust. 659, 30

---

**44** le. A suppl. Bk. ζην. A, fort. ἡ διπλῆ περιεστιγμένη, ὅτι ζην. **45** ποσειδόνιος A em. Vill. ἄνευ add. Vill. **48** εἰπόντασ (σ expuncto) A **50** le. addidi **52** sq. le. T supplevi (auctore Vill.) **53** ι T, debuit ἑ **55** ἠὲ σύ Ma. (= Hom.), ἱῆς T **56** sq. fort. ῥίμφα αὐτόν **58** le. add. Vill. **61** δὲ om. $E^4$ ἔμιξεν T ἐνταῦθα ἔμιξεν **b**

*c*. ἠλέκτωρ: ὁ ἥλιος παρὰ τὸ λέχους μὴ μεταλαμβάνειν. A *ex.*

514 *a*. καγχαλόων: ὡς ἠγαπημένος τῇ Ἀφροδίτῃ γαυριᾷ ἐν μέσαις ταῖς Τρῳάσιν. ὁ δὲ Ἀχιλλεὺς Κυνὶ εἴκασται (cf. X 26—31), ἅμα τῷ λαμπρῷ καὶ τὸ φθοροποιὸν ἔχων. b(BC$E^3E^4$) T *ex.*

*b*. πόδες φέρον: ὅτι ὑπὸ τῶν ποδῶν φέρεται, οὐκ αὐτὸς τοὺς πόδας φέρει. πρὸς ἔλεγχον Ζηνοδότου. A *Ariston.*

515—6. εὖτ' ἄρ' ἔμελλε / στρέψασθ' ⟨ἐκ χώρης, ὅθι ᾗ ὀάριζε γυναικί⟩: οἰκονομικῶς· τί γὰρ ἂν ἔδρασεν ὁ γυναικώδης ἀκούσας Ἕκτορος „ἀλλ' οὔ μοι Τρώων τόσσον μέλει" (Z 450)· καταλιπὼν γὰρ ἂν τὴν μάχην πάλιν οἴκοι ἐκαθέζετο παρὰ τῇ Ἑλένῃ. b (BC$E^3E^4$) T *ex.*

516. ⟨ὀάριζε:⟩ διελέγετο. $T^{il}$ *ex.(?)*

517. πρότερος: ὡς τὸ πταῖσμα θεραπεύων ἑαυτοῦ. b(B$E^3E^4$) *ex.*

518 *a*. ἠθεῖε: ταῦτά τινες προσαγορευτικά. οὐδέποτε δὲ περί τινος αὐτά φησιν· „τέττα" (Δ 412) φίλου, „ἄττα" (I 607 al.) τροφέως, „πάπ⟨π⟩α" (ζ 57) πατρός, ἠθεῖε ἀδελφοῦ. | γέγονε δὲ τὸ ἠθεῖος ἢ παρὰ τὸ θεῖος κατὰ πλεονασμὸν τοῦ η̄ ἠθεῖος — πλεονάζει γὰρ τὸ η̄ ἐν πολλαῖς λέξεσι⟨ν⟩, ὡς μύει ἠμύει, „τῶ κε τάχ' ἠμύσειε πόλις" (B 373), πεδανός „ἠπεδανός" (Θ 104. θ 311), εὐγενής εὐηγενής, „τείχει ὕπο Τρώων εὐηγενέων ἀπολέσθαι" (Ψ 81), βαιός ἠβαιός (cf. B 380 al.) — ἢ παρὰ τὸ ἔθος ἔθειος, ὡς τέλος τέλειος (cf. A 66, Ω 34), ὄρος ὄρειος, ὄνειδος ὀνείδ⟨ε⟩ιος (cf. A 519 al.), καὶ τροπῇ τοῦ ε̄ εἰς τὸ η̄ καὶ κατα- *ex.(D)* | *Choer.*

*c* Eust. 659, 28: ἠλέκτωρ δὲ ἀντὶ τοῦ ἥλιος, ὡς δὲ Ἀπίων φησίν, ὁ λάμπων ὡς ἤλεκτρον, cf. D, Ap. S. 83, 20; explicationem, quae inter glossas Apionis non invenitur, Eust. fort. e commentario Ap. H. hausit ὁ ἥλιος (62) sq. ad T 398 (ex.), cf. Ap. S. 83, 21 **514** *b* ad Z 511 *a* (Ariston.) **516** aliter D, at cf. D ad X 127 **518** diple ante versum in A et pap. IV, fort. erat sch. Aristonici de v. ἠθεῖε, ad K 37. X 229; cf. Wismeyer 20 *a* — ἀδελφοῦ (77) ad Δ 412 (Ariston.), cf. Eust. 659, 53; He. η 220. Vide sch. $b^2$; ad I 607 (Ariston.), sch. ζ 57 γέγονε (77) — εἰς τὸ η̄ (83) cf. Choer. O. in An. Ox. 2, 216, 29 et in Et. Gen. (AB) ἠθεῖος (Beiträge 107). Vide Or. 68, 19 γέγονε (77) — ἀπολέσθαι (81) eadem fere *B, $E^4$ (fol. $58^v$) παρὰ τὸ θεῖος (78) sq. Et. Gud. 238, 31 (e Ven. A ut vid., cf. Beiträge 167) παρὰ τὸ θεῖος (78) — ἠμύει (79) cf. sch. Ap. Rh. 2, 1219—21 a μύει ἠμύει (79) ad

**64** κυνὶ T κυνάστρῳ b **65** ἔχων T ἐπιφερόμενος b **66** le. Bk., καγχαλόων ταχέες δὲ πόδες: A ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **68** sq. le. εὖτ' ἄρ' ἔμ. στρέψασθαι T emendavi et supplevi om. b (ubi sch. ad Z 516 revocatum est) **69** οἰκ. οὐ παρατυγχάνει ταῖς ὁμιλίαις· τί b **70** ἕκτ. T εἰπόντος ἕκτορος b τόσσ. μέλ. b τόσον μέλλει T **71** τὴν ἑλένην C **73** le. add. Ma. **77** πάπα A suppl. Vill. **79** λέξεσι A suppl. Bk. **81** ἀπολέσθαι: — A **83** ὀνείδιος A suppl. Bk.

βιβασμῷ τοῦ τόνου γίνεται ἠθεῖος. ἀναλογώτερον δέ ἐστιν ἐκ τοῦ θεῖος αὐτὸ κανονίζειν ἤπερ ἐκ τοῦ ἔθος· ἐκ γὰρ τοῦ θεῖος καὶ ἡ αὐτὴ τάσις σώζεται καὶ ὀλίγα πάθη δίδονται, ἐκ δὲ τοῦ ἔθος καὶ ἀλλότριος ὁ τόνος καὶ πολλὰ τὰ πάθη δίδονται. **A**

*Hrd.* *b.*$^1$ ἠθεῖε: Ἀρίσταρχος προπερισπᾷ ὡς οἰκεῖε. καὶ ἴσως ⟨παρὰ⟩ τὸ θεῖος, λέγω δὲ τὸ σημαντικὸν τοῦ ἐπαίνου, κατὰ πλεονασμὸν τοῦ η̅ ἐγένετο, εἰ καὶ νεωτέρου ἐστὶ πρὸς πρεσβύτερον ἀδελφὸν ἔχουσα σεβασμὸν προσφώνησις. οὐκ ἀγνοῶ δὲ ὅτι συγχεῖται ἐν τοῖς μεθ' Ὅμηρον. **A**

*Hrd.* | *D* *b.*$^2$ ἠθεῖε: παρὰ τὸ θεῖος τὸ σημαντικὸν τοῦ θαυμασίου κατὰ πλεονασμὸν τοῦ η̅ ἠθεῖε· διὸ καὶ προπερισπαστέον. | ταῦτα δέ τινες προσαγορευτικά. οὐδέποτε δὲ περί τινος αὐτά φησιν, ἀλλὰ πρός τινα· „τέττα“ φίλου, „ἄττα“ τροφέως, „πάππα“ πατρός, ἠθεῖε ἀδελφοῦ. **b**(BCE$^3$) **T**

*ex.* *c.*$^1$ ⟨ἦ:⟩ τὸ ἦ ἐνταῦθα πευστικὸν καὶ ἠθικόν. **b**(BCE$^3$) **T**$^{il}$

*c.*$^2$ τὸ ἦ πευστικῶς καὶ ἠθικῶς. **A**$^{im}$

*ex.* **519.** ⟨οὐδ' . . . ἐναίσιμον:⟩ ἀσυντάκτως. **T**$^{il}$

*ex.* **521.** δαιμόνι', οὐκ ἄν τίς τοι ἀνήρ: ὁμοίως τοῖς πρόσθεν ἀμελείας αὐτὸν κρίνει, οὐ βουλόμενος αὐτοῦ θραύειν τὴν ὁρμήν. **b**(BCE$^3$ E$^4$) **T**

*ex.(?)* **522—3.** ⟨ἐπεὶ ἄλκιμός ἐσσι, / ἀλλὰ ἑκὼν μεθιεῖς:⟩ ἀλλ' ἐπεὶ ἄλκιμός ἐσσι, ἑκὼν μεθιεῖς. **A**$^{im}$

*ex.* **523—4.** τὸ δ' ἐμὸν κῆρ / ἄχνυται ἐν θυμῷ, ⟨ὅθ' ὑπὲρ σέθεν αἴσχε' ἀκούω⟩: φιλαδέλφως ἀπολογεῖται ὑπὲρ τῶν ὕβρεων. θυμῷ (524) δὲ τῷ λογισμῷ, καὶ „ἕτερος δέ με θυμὸς ἔρυκε“ (ι 302). λυποῦμαι

Β 373 (ex.) ἀναλογώτερον (84) sq. EM. 422, 22 (ex. Et. Gud. aut e Ven. A, cf. Beiträge 165, 3) *b* παρὰ τὸ θεῖος (88) sq. cf. Eust. 659, 50 (ἐν δὲ τοῖς Ἀπίωνος καὶ Ἡροδώρου κεῖται ὅτι) νεωτέρου (90) — ἀδελφὸν (90) ad Κ 37. Χ 229. Ψ 94 (Ariston.), cf. sch. ξ 147, sch. Ap. Rh. 3, 52 ἐν τοῖς μεθ' Ὅμηρον (91) cf. Antim. fr. 52 W. *b*$^2$ — ἠθεῖε (94) cf. Eust. 659, 45 **521** — κρίνει (7) cf. Porph. (?) 1, 106, 24

---

**86** τάσις Bk., στάσις A **88** sq. παρὰ add. Bk. (cf. sch. *c*) **90** η̅ Lehrs, θ̅ A νεοτέρου A em. Vill. **94** ἠθεῖε om. **b** τινες] τισι D **95** προσαγ. λέγουσιν **b** φησιν T φησιν ὁ ποιητής **b**, κατηγορεῖται D **1** τέττα T ἔστιν οὖν τὸ μὲν τέττα **b** πρὸς φίλον et πρὸς τροφέα et πρὸς πατέρα et πρὸς ἀδελφόν D, τὸ ἄττα et τὸ πάππα et τὸ ἠθεῖε **b** **3** le. addidi τὸ ἦ ἐνταῦθα T, τὸ δὲ ἦ μάλα coni. cum scholio *b*$^2$ (v. ἀδελφοῦ) **b** πνευστικὸν T **5** le. addidi **6** (le.) δαιμόνιε em. Ma. (le. om. **b**) πρόσθεν T προτέροις **b** **7** [.]ρίνει T suppl. m. sec., κατακρίνει BCE$^3$ κατακρίνει καὶ E$^4$ θρ. τὴν ὁρμήν T κἂν τὴν μικρὰν ταύτην θραύειν ὁρμήν **b** **9** le. addidi **11** sq. le. T supplevi, om. **b** (ubi sch. ad Ζ 524 revocatum est) **13** ἔρυκε **b** (ἔρυκεν Hom.), [.] ρ[. . .] T, ε et ύκει suppl. m. sec.

δέ, φησί, λογιζόμενος, b($BCE^3E^4$) T ὅταν κατὰ σοῦ b($BCE^3E^4$) $T^{il}$ ὕβρεις ἀκούω. τοῦτο δὲ λέγει b($BCE^3E^4$) διὰ τὸν τοῦ Σαρπηδόνος λόγον (cf. E 472—92). b($BCE^3E^4$) $T^{il}$

525. ⟨πρὸς Τρώων, οἳ ἔχουσι πολὺν πόνον εἵνεκα σεῖο:⟩ *ex.* ἀπολογεῖται ὑπὲρ αὐτῶν. $T^{il}$

*Ariston.* 86 *a.* σῆμά τέ οἱ χεύωσι⟨ν ἐπὶ πλατεῖ Ἑλλησπόντῳ⟩: ὅτι οὐ κατεκομίζετο τὰ ὀστᾶ εἰς τὰς πατρίδας. πλατεῖ δὲ καθ' ὃ μέρος ἐ⟨σ⟩τὶ πλατύς, καὶ ἀντὶ τοῦ παρὰ πλατεῖ. **A**

*ex.* *b.* σῆμά τέ οἱ χεύωσι: λεληθότως ἀποτρέπει τῆς μονομαχίας τοὺς Ἕλληνας· αὐτὸς γὰρ ἂν ἔμελλεν ἀναιρούμενος θάπτεσθαι ἐν Ἰλίῳ πόρρω τῆς θαλάττης ὥστε μηδεμίαν γίνεσθαι μνήμην τῷ φο-

*b* ad Η 333. 334—5. 410. 429. Ι 546. Χ 342. Ω 38 (Ariston.), cf. Lehrs Ar.$^{3}$ 195. Vide pap. VI (l. 65 sq.), ad Θ 70 *b* (ex.); D ad Α 52 **80** ad Ο 350. Χ 343 (Ariston.), cf. D et D ad Ψ 76; vide ad Ε 37 (Ariston.); pap. VI (l. 85 sq.) ἀναδιπλασιασμὸς (56) ad Ε 228. Ζ 50 (Ariston.), cf. sch. ζ 303; **h**(M$^{1}$ P$^{11}$ V$^{3}$ V$^{15}$): ὁ τρόπος ἀναδίπλωσις κτλ., vix e scholiis **82** ad Γ 305 *b* (Ariston.) **83** de accentu vocis κρεμόω cf. pap. VI (l. 98 sq.) **85—7** cf. Friedl., Nic. 83 **85** cf. M. Andronikos, Totenkult (Archaeologia Homerica III W, Gottingae 1968) p. 6 *a*$^{1}$ ἀπὸ τῆς ταραχῆς (65, = D) susp. **86** *a* — πατρίδας (71) ad Δ 174 (Ariston.) πλατεῖ (71) ad Ρ 432, aliter Athen. 2, 41 *b* καὶ ἀντὶ τοῦ (72) sq. ad Ζ 15 (Ariston.), cf. sch. ξ 294; vide ad Γ 460 (Ariston.)

---

**54** le. Bk., σῶμα δὲ οἴκαδ' ἐμόν: A ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **56** le. add. Bk. (Vill.) ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **58** le. addidi ὅτι A, fort. ἡ διπλῆ, ὅτι **59** sq. le. A supplevi **63** ἀπὸ κοινοῦ T ἐπὶ πάντων δὲ κοινὸν pone sch. Η 86 *c* (coni. cum v. σκαμάνδρου) **b** **68** τάρχαι δὲ τὰ ἀπονενομισμένα D **69** ἀπὸ A πρὸς κηδείαν ἀπὸ D **70** le. A suppl. Vill. **71** ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **72** ἐτὶ A suppl. Vill. **74** ἂν Wil., ἐν T, om. **b**

νεύσαντι. τοῦ δὲ ἀντιπάλου ἐπὶ τοῦ Ἑλλησπόντου ταφέντος ἀείμνηστον κλέος ἔχειν ἔμελλε παρὰ τοῖς πλέουσιν· διὸ καὶ ἐγκολάπτει δυοῖν ἐποῖν ἐπιγραφὴν τῷ τάφῳ· „ἀνδρὸς μὲν τόδε σῆμα, / ὅν ποτ' ἀριστεύοντα" (H 89—90). **b**(BCE$^3$E$^4$) T

*c.* ἐπὶ πλατεῖ Ἑλλησπόντῳ: καθ' ὃ μέρος ἐστὶ †πλατύτερος† ἑαυτοῦ περὶ τὰς ἐκροὰς τοῦ Σκαμάνδρου. **b**(BCE$^3$E$^4$) T *ex.*

Ἀθάμας ὁ Αἰόλου μὲν παῖς, βασιλεὺς δὲ ——— ἡ ἱστορία παρὰ Φιλοστεφάνῳ (F.H.G. 3, 34, fr. 37). A *D*

89 *a.* ἀνδρὸς μὲν τόδε σῆμα: ὡς ἤδη νενικηκὼς ἐπιγράφει τῷ τάφῳ †τὸν† ἐπινίκιον, οὐκ ἐπὶ τεθνηκότι, ἀλλ' οὐδὲ γιγνωσκομένῳ τῷ μέλλοντι μονομαχεῖν τὸ ἐπικήδειον πρὸ τοῦ θανάτου διατιθείς. **b**(BCE$^3$E$^4$) T *ex.*

*b.* ἀνδρὸς μὲν τόδε σῆμα: πρὸς τὴν τῶν γραμμάτων εὕρεσιν. T *ex.(?)*

*c.* ⟨μέν:⟩ ὅτι ὁ μὲν ἀντὶ τοῦ δέ, ὅ ἐστιν ἀντὶ τοῦ δή. A$^{int}$ *Ariston.*

*d.* ⟨μέν:⟩ τὸ μὲν ἀντὶ τοῦ μήν. T$^{il}$ *ex.*

*e.* ⟨κατατεθνειῶτος:⟩ Ἀρίσταρχος διὰ τοῦ $\overline{\eta}$ „κατατεθνηῶτος". A$^{im}$ *Did.*

90. *a.* ⟨ὅν ποτε:⟩ γράφεται καὶ „ὅν τινα". A$^{il}$T$^{il}$ *Did.(?)*

*b.*$^1$ ὅν ποτ' ἀριστεύοντα: πρὸς ἰδίαν ἐπίτασιν, εἰ τοῦ ἀρίστου φανεῖται κρείττων. φιλότιμος δὲ ὁ Ἕκτωρ χαρακτηρίζεται, ὡς καὶ ἐκεῖ „ἀλλὰ μέγα ῥέξας τι" (X 305). T *ex.*

*b.*$^2$ ἀριστεύοντα δὲ προστίθησι πρὸς ἰδίαν ἐπίτασιν, εἰ καὶ τοῦ ἀρίστου φανεῖται κρείττων. φιλότιμος δὲ καὶ ἀλαζὼν καὶ βαρβαροήθης ἀεὶ ὁ Ἕκτωρ χαρακτηρίζεται. **b**(BCE$^3$E$^4$)

*c* cf. D; Eust. 666, 65 89 *a* sim. Eust. 666, 40 *b* an sch. Aristonici? Ad Z 169 (Ariston.) *d* ad N 622 *b*. Ψ 311. Ω 488 (ex.), cf. sch. ε 478 *e* ad Z 71 (Did.)

---

**77** fort. παρὰ τοῖς παραπλέουσιν **77 sq.** ἐγκολ. — ἐπιγρ. Ma., ἐγκολάπτειν δ. ἐποῖν ἐπιγράφει T ἐγκαλλωπιζόμενος δ. ἐποῖν οἷον ἐπεγκολάπτει καὶ ἐπιγράφει **b** **78** μὲν **b** δὲ T **78 sq.** ὅν π. ἀριστ. om. T **80** le. T, τὸ δὲ πλατεῖ ἑλλησπόντῳ (coni. cum scholio praecedenti) **b** **80 sq.** πλατύτατος Bk., recte **85** τὸ Bk. γινωσκομένῳ **b**, fort. rectius **90** le. add. Ddf. ὅτι A, fort. ἡ διπλῆ, ὅτι **91** le. addidi (auctore Bk.) **92** le. add. Ldw. **92 sq.** κατατεθνηιῶτος A em. Ddf. **94** le. add. Ddf. γράφ. cp. (γρ) A τινα T τιν' ἄριστον A **2** ἐκνεῖ T em. Bk. **3—5** ἀριστεύοντα δὲ sq. pone sch. H 89 *a* (coni. cum v. διατιθείς) **b** **4 sq.** καὶ ἀλ. καὶ βαρβαροήθης om. E$^4$

D **93** *a*. αἴδεσθεν μὲν ἀνήνασθαι, ⟨δεῖσαν δ' ὑποδέχθαι⟩: ἰσόκωλον τὸ ἔπος, ὅπερ ἐστὶ φράσις δύο ἢ καὶ πλειόνων κώλων ἀπηκριβωμένων ἀλλήλοις πρὸς ἀντιστρόφου ἐμφέρειαν· „χρὴ ξεῖνον παρεόντα φιλεῖν, ἐθέλοντα δὲ πέμπειν" (ο 74). ἢ ὁμοιόπτωτον καὶ ὁμότροπον· „Ὕλλῳ ἐπ' ἰχθυόεντι ⟨καὶ Ἕρμῳ δινήεντι⟩" (Υ 392). **T**

D *b*. αἴδεσθεν μέν: δειλῶν γάρ· †καλεῖ δὲ διὰ τὸν παρασπονδησμόν†· ἢ περιμένοντες κέλευσιν, **b**(BCE[3]E[4]) **T** ὡς δῆλον ἐπὶ τῶν ἑξῆς· ἢ ὑπὸ θεοῦ ὡρμῆσθαι αὐτὸν ὑπονοοῦντες πρὸ ὀλίγου ἡττώμενον· καὶ γὰρ τοῦ Διομήδους ἀκηκόασι· „καὶ †γάρ† οἱ πάρα κεῖνος Ἄρης" (Ε 604). **b**(BCE[3]) **T** τινὲς δέ· δείσαντες τὸν Ἀγαμέμνονα, ὡς καὶ „σιγῇ δειδιότες" (Δ 431). **T**

D αἴδεσθεν μὲν ἀνήνασθαι: αἴδεσθεν μέν· δειλῶν γάρ. δεῖσαν δὲ διὰ τὰς ——— ὡς καὶ „σιγῇ δεδιότες". **A**

*ex.* **94** *a*.[1] ὀψὲ δὲ δὴ Μενέλαος: ὡς αἰτίαν ἔχων τοῦ παντός. καὶ τῇ πρὸς Ἀλέξανδρον δὲ ἐπήρτηται μονομαχίᾳ. διὰ δὲ τοῦ ὀψέ διδάσκει μὴ παραχρῆμα ποιεῖσθαι τὰς ἀποκρίσεις. **T**

**93** fort. aderat sch. ex., cf. Porph. 1, 107, 27: διὰ τί προκαλουμένου Ἕκτορος εἰς μονομαχίαν οἱ μὲν ἄλλοι ἄριστοι „αἴδεσθεν μὲν ἀνήνασθαι, δεῖσαν δ' ὑποδέχθαι", Μενέλαος δὲ πρῶτος ἀνίσταται καὶ μεμψάμενος τοὺς ἄλλους „κατεδύσατο τεύχεα καλά" (Η 103) μάχεσθαι προθυμούμενος, ὅτε δὲ προτραπέντες οἱ ἐννέα ἀνίσταντο, οὐδαμοῦ οὗτος ἐν τούτοις εὑρίσκεται, ἀλλ' Ἀγαμέμνων καὶ Διομήδης καὶ οἱ Αἴαντες καὶ Ἰδομενεὺς καὶ Μηριόνης καὶ Εὐρύπυλος καὶ Θόας καὶ Ὀδυσσεύς (cf. Η 161—8); φησὶ δὲ ὁ Ἀριστοτέλης (fr. 156 R.) ὅτι ἅπαξ ἀκούσας „μηδ' ἔθελ' ἐξ ἔριδος σεῦ ἀμείνονι φωτὶ μάχεσθαι / Ἕκτορι" (Η 111—2) οὐκ ἔμελλεν αὖθις ἀνίστασθαι, καὶ ὅτι τὸ πρότερον ἐκ φιλονεικίας ἡ ἀνάστασις, καὶ ὅτι ἤδη μονομαχήσας ἐτύγχανεν Ἀλεξάνδρῳ καὶ οὐ καλῶς ἀπαλλάξας, καὶ νεωστὶ ἐτέτρωτο ὑπὸ Πανδάρου, καὶ ὅτι ἀποκινδυνεύειν τοῦτον οὐκ ἐχρῆν, ἐν ᾧ τὸ τέλος ἤρτητο τοῦ πολέμου· ἐπὶ γὰρ Ἀλεξάνδρου ἴσον ἦν τὸ τοῦ κινδύνου de interpunctione versus cf. sch. D. Thr. ($\Sigma^d$) 27, 1: . . . ὡς ἐπὶ τοῦ „αἴδεσθεν μὲν ἀνήνασθαι, ⟨δεῖσαν δ' ὑποδέχθαι⟩" (add. Hilgard) εἰς τὸ τελευταῖον ῑ τοῦ „ἀνήνασθαι" ἡ πρώτη ἄνω τίθεται διὰ τὸ ἐπιφέρεσθαι τὸν δέ τοῦ μὲν προκειμένου, non e scholiis, sed e libro Nicanoris, qui Π. στιγμῆς τῆς καθόλου inscribebatur; cf. Beiträge 218 *a* cf. Anon. fig. 155, 2 **94** *a*[1] διὰ δὲ τοῦ ὀψέ (20) sq. cf. Eust. 667, 51

---

**6** le. T supplevi **7** ἰσόκ. τὸ ἔπος T ἔστι δὲ τὸ ἔπος ἰσόκωλον D καὶ om. D **7** sq. ἀποκρινομένων D **8** exspectes ἀλλήλων ἀντίστροφον D χρὴ T δεύτερον· χρὴ D **9** παρεόντα (= D, Hom.) scripsi, περ ἐόντα T ἢ T τρίτον D **10** ὁμότρ. T ὁμοιότονον D καὶ ἕρμῳ διν. e D inserui **11** le. (et sch.) cum scholio praecedenti coni. T, dist. Bk., om. **b** **11** sq. καλεῖ — παρασπ. (παρασπ. v. aliunde ignota) T, καὶ ἀσθενῶν τὸ ἔργον **b** (δεῖσαν δὲ διὰ τὰς σπονδὰς D), fort. καλεῖ δὲ μετὰ τὸ παρασπόνδημα **12** ἢ T (= D), δεδίασι δὲ τὴν ἐκ τῶν βασιλέων **b** ἐπὶ] ἀπὸ D **13—5** πρὸ ὀλίγου ἡττώμενον· καὶ γὰρ (κ. γ. T καὶ γὰρ καὶ **b**) τοῦ — ἄρης deest in editionibus sch. D **14** καὶ γάρ οἱ πάρα T τὸ πάρα γάρ οἱ **b**, καὶ νῦν οἱ πάρα Hom. **17—8** pone sch. Η 95 *a*[1] in A, ad versum Η 93 traxit Vill. **17** αἴδ. μέν· (pone le.) scripsi, αἰδεσμ̆ A

*a*². ὡς αἴτιος ὢν τοῦ παντὸς καὶ πλέον ὀδυνώμενος. καὶ ἐν τῇ πρὸς Ἀλέξανδρον δὲ μονομαχίᾳ οὕτως προπετεύεται. διὰ δὲ τοῦ ὀψέ διδάσκει μὴ παραχρῆμα ποιεῖσθαι τὰς ἀποκρίσεις. **b**(BCE³E⁴)

**95** *a*.¹ νείκει ὀνειδίζων: ἔν τισι τῶν ὑπομνημάτων „νείκε' ὀνειδίζων" ἔξω τοῦ ῑ ὥστε κατὰ συναλιφὴν νοεῖσθαι τὸ ὑγιὲς „νείκεε". **A** *Did.*

*a*.² ἔν τισι „νείκε' ὀνειδίζων". **A**^im

*b*. ⟨νείκει:⟩ τῷ ἐλέγχῳ. **T**^il *ex.(?)*

**96.** ἀπειλητῆρες: καυχηταί ——— καυχηματίας λέγουσιν. | ἐν ἄλλῳ· ὑβρισταί. **A** *D* | *ex.(?)*

**97.** ἦ μὲν δὴ λώβη τάδε γ' ἔσσεται αἰνόθεν αἰνῶς: ἐκ δεινοῦ δεινὰ ἢ καὶ τῶν δεινῶν δεινότερα. **A** | ἐκ τῶν δεινοτάτων ὑμῶν πράξεων δεινή ἐστιν ἡ λώβη. **A**^im **b**(BCE³E⁴) **T** | ἔν τισι δὲ „λώβη γε τάδ' ἔσσεται". **T** *D* | *ex.(?)* | *Did.(?)*

**99.** ὕδωρ καὶ γαῖα γένοισθε: τῶν στοιχείων ὕδωρ καὶ γῆ κατὰ φύσιν ἀκίνητα, τὰ δὲ ἄλλα κινητὰ δι' ἑαυτῶν. ταῦτα οὖν φησι τὴν ἀκινησίαν ὀνειδίζων· ἢ ἐξ ὧν συνεστήκασιν, εἰς ταῦτα αὐτοὺς ἀναλυθῆναι εὔχεται. **b**(BCE³E⁴) **T** καὶ Ξενοφάνης (Vors.⁶ 21 B 33 + 27)· „πάντες γὰρ γαίης τε καὶ ὕδατος ἐκγενόμε⟨σ⟩θα· / ἐκ †γῆς† γὰρ πάντα καὶ εἰς γῆν πάντα τελευτᾷ." **b**(BCE³) **T** ἢ ὅτι τὸ ὕδωρ τὰς ψυχὰς διαφθείρει. **T** *D*

ὕδωρ καὶ γαῖα γένοισθε: ἀναλυθείητε εἰς ὕδωρ ——— ψυχὰς διαφθείρει. **A** *D*

**97** δεινοτάτων (33) ... δεινή (34) cf. D, D ad Θ 476; Meth. (An. Ox. 1, 72, 14), sim. Or. in Et. Gen. (B, deest A) αἰνός (Et. Gud. 48, 9 Stef., cf. Or. 46, 12); Choer. O. 194, 23; aliter Orus a Meth. l. c. laudatus; cf. Reitzenstein, Philol. 49, 1890, 418 **99** cf. Eust. 668, 57; [Her.] Qu. Hom. 22 (p. 34, 4); Aristid. or. 46, 6 (II p. 364, 10 K.) καὶ Ξενοφάνης (39) sq. cf. Porph. ap. Philopon. in Aristot. phys. I 5, p. 125, 27, Simplic. in Aristot. l. c., p. 188, 32, Sext. Emp. adv. math. 9, 361. 10, 314, [Plut.] v. p. Hom. 93, Prob. Verg. B. 6, 31 (p. 343, 22 H.); H. Diels, Doxographi Graeci 91, 2. 92, 2; H. Schrader, Porph. Quaest. Hom. I 406; P. Steinmetz, Mus. Rhen. 109, 1966, 41 **100** fort. exstabat sch. de v. ἀκλεές cf. Eust. 669, 1: τὸ δὲ „ἀκλεές" εὐθεῖά ἐστι πληθυντικὴ ἀντὶ τοῦ ἀκλεεῖς, ἀπελθόντος τοῦ ῑ, ὡς καὶ ἐν τῷ „ἐρέτας ἐπιτηδές" (A 142). κεῖται δὲ καὶ ἐν Ὀδυσσείᾳ χρῆσις τοιαύτης λέξεως (cf. o 28). τινὲς μέντοι ἐπίρρημα τοῦτό φασιν εἶναι. ἄλλοι δὲ παροξύνουσιν· ὡς γὰρ ἀγακλέες (cf. Π 738. Ψ 529) κατὰ ἔλλειψιν τοῦ ἑνὸς ε̄, οὕτω φασὶ καὶ ἀκλέες, sim. Ap. Dysc. pron. 93, 7: οὐκ ἐπίληπτος ἡ τάσις (sc. vocis ἀμές), καθὸ τὰ πτωτικὰ ἀπέστραπται τὴν

---

**29** le. add. Ma. **32** le. T, om. A **b** **33** δεινὰ ... δεινότερα] δεινῶς ... δεινοτέρως D ἐκ (ante τῶν) om. A ὑμῶν πράξεων om. A **34** δεινή — λώβη] δεινοτέρα καὶ ἡ λώβη γενήσεται **b** ἐστι T τάδε T em. Ma. **37** δ' ἄλλα BCE³ **40** ἐκγενόμεθα T suppl. Ma., om. **b** **41** γῆς] γαίης Xenoph. πάντα² om. **b**

*ex.* **101.** ⟨αὐτὸς θωρήξομαι:⟩ ὡς ἀνάγκῃ δεχόμενος τὸ μονομάχιον. $T^{il}$

*Ariston.* **102** *a.* νίκης πείρατ' ἔχοντα⟨ι⟩: ὅτι τῷ ἀπηρτισμένῳ κέχρηται, νίκης πείρατ' ἔχονται, οὐκ ἔχεται. A

*ex.* *b.* ⟨νίκης πείρατα:⟩ τὸ ἄνισον οἶδεν, ὡς καὶ Πρίαμος· „Ζεὺς μέν που τόδε οἶδε" (Γ 308). b(BE$^3$E$^4$) $T^{il}$

*ex.* **103** $a.^1$ ὣς ἄρα φωνήσας κατεδύσετο τεύχεα καλά: ἀλλά, φασίν, ὥπλισται. ἴστωσαν δὲ ὅτι ἀσφαλέστερα ὅπλα ἀναλαβεῖν θέλει ὡς ἂν μέλλων μονομαχεῖν. T

$a.^2$ πῶς ἐν πολέμῳ ὢν οὐκ ἦν ὡπλισμένος; φαμὲν ὅτι ἀσφαλέστερα ὅπλα ἀναλαβεῖν θέλει μέλλων εἰσιέναι εἰς μονομάχιον. b(BC E$^3$E$^4$)

*ex.* **104—8.** ἔνθα κέ τοι, Μενέλαε, φάνη βιότοιο τελευτή ⟨——— ἔκ τ' ὀνόμαζεν⟩: εἰς κίνδυνον προαγαγὼν τὴν ὑπόθεσιν καὶ λύσιν τοῦ παντὸς πιθανῶς ἀνίστησι τὸν ἀδελφόν. φιλοστόργως δὲ πρὸς αὐτὸν ποιεῖται τὸν λόγον ὁ ποιητὴς καὶ συμπαθῶς προανεφώνησεν αὐτοῦ τὸν κίνδυνον. καὶ τὸ βασιλῆες (106) δὲ χαρίεν καὶ εὐνοϊκὸν διὰ τὸ προλαβεῖν τοὺς φίλους τὴν σπουδὴν Ἀγαμέμνονος. b (BE$^3$E$^4$) T

*Did.* **104** $a.^1$ {ἔνθα κέ τοι μενέλαε φάνη} βιότοιο τελευτή: γράφεται καὶ „θανάτοιο τελευτή", οἷον θανάσιμον τέλος. A$A^{im}$

$a.^2$ γράφεται καὶ „θανάτοιο". $T^{il}$

*ex.* **107.** αὐτός τ' Ἀτρείδης: διὰ τί τὸν μὲν Ἀλέξανδρον κελεύει μονομαχεῖν Ἕκτωρ, τὸν δὲ Μενέλαον κωλύει κινδυνεύειν Ἀγαμέμνων καὶ οἱ ἄλλοι τῶν Ἀχαιῶν βασιλεῖς; ὅτι τοῦ μὲν Ἀλεξάνδρου ἀδικοῦντος ἡδέως οἱ Τρῶες ἀπηλλάττοντο, τὸν δὲ ὡς ἀδικούμενον ἠλέουν. b (BCE$^3$E$^4$) T

ἐπὶ τὸ ε̅ς̅ ὀξεῖαν (καὶ διὰ τοῦτο ἔνιοι τὸ βιόπλανες βαρύνουσιν ἀπὸ τοῦ βιοπλανής, καὶ ἐπίτηδες καὶ „ἀκλεες αὔτως" ἀπὸ τοῦ ἀκλεής). Aliter He. ε 5331. Vide ad A 142 *c* (ex.); Buttmann I 39 **101** cf. Meinel 14 **102** cf. sch. (min. ?) ap. De Marco II 131: νίκης πείρατ' ἔχονται· τά (fort. ἅ) ἐστιν ὑπεράνω πάντων παρὰ τοῖς θεοῖς, τουτέστιν ἐν τῇ ἐξουσίᾳ αὐτῶν, κείμενα· ἢ ὅτι ἡ νίκη ἐπὶ τοῖς θεοῖς ἐστιν τοῖς οὖσιν ὕπερθεν ἡμῶν. πληθυντικῶς δὲ εἶπεν „ἔχονται" ἀντὶ τοῦ ἔχεται. πολλάκις δὲ καὶ τούτῳ χρῆται τῷ σχήματι ὥ⟨σπερ⟩ (suppl. De Marco) „σπάρτα λέλυνται" (B 135) *a* ad A 291 *b* (Ariston.), vide ad B 397 (Did.) τῷ ἀπηρτισμένῳ (47) cf. Friedl., Ariston. p. 15 **104—8** φιλοστόργως δὲ (59) — κίνδυνον (61) cf. Eust. 668, 2 **107** ὅτι τοῦ (69) sq. cf. Eust. 668, 12

---

**45** le. add. Ma. **47** le. A suppl. Vill. ὅτι A, ἡ διπλῆ, ὅτι Vill. τῷ Vill., τὸ A **49** le. add. V$^c$ **50** που om. b τό γ' b οἶδεν E$^4$ **54—5** sch. relatum ad H 101 in b (αὐτὸς θωρήξομαι le. add. Li) **55** μονομαχίαν C, fort. rectius **57** sq. le. T supplevi, om. b (scholio ad H 104 relato) **58** προαναγαγὼν b **61** δὲ om. T χάριεν b, fort. rectius **62** λαβεῖν BE$^4$ **64** (le.) ἔνθα — φάνη eiecit Vill.; τελευτῆι A em. Vill.; le. om. $A^{im}$ **67** διὰ] καὶ διὰ E$^4$ **68** κωλ.] κελεύει C **69** τῶν ἀχαιῶν om. b **70** ἀπηλλάττοντο T εἶχον b ἐλεοῦσιν b, fort. rectius

**109.** ἀφραίνεις, Μενέλαε: παραφρονεῖς, μωραίνεις, ἀσυνετεῖς. A | φιλοδόξως γάρ, οὐ φρονίμως ἐσπούδακεν ἐπὶ τὴν μάχην. δεῖ οὖν τὸ κατὰ δύναμιν, οὐ τὸ κατὰ προθυμίαν σκοπεῖν. **A** b(BCE$^3$E$^4$) **T** ἄλλως τε πρώην μαχεσάμενος τοῦ μὲν ἄθλου ἀφῄρηται, τὸν δὲ κίνδυνον ἥρηται. **T** *D* | *ex.*

**110** *a.*$^1$ ⟨ἀνὰ δὲ σχέο:⟩ Ἀρίσταρχος „ἀνὰ †δ᾽ ἄνσχεο†“, ἀνάσχου δέ. A$^{int}$ *Did.*

*a.*$^2$ Ἀρίσταρχος καὶ Ἡρωδιανὸς „†ἀναδίσχεο†“. T$^{il}$

*b.* ἀνὰ δὲ σχέο: τὸ σχέο τὴν ὀξεῖαν ἴσχει ἐφ᾽ ἑαυτοῦ νῦν. ὅταν μέντοι ἀπολάβῃ τὴν πρόθεσιν, τὸ τηνικαῦτα ἀναπέμπει τὸν τόνον, ἀνάσχεο. **A** *Hrd.*

**111** *a.* ⟨μηδ᾽ ἔθελ:⟩ ὅτι τὸ ἐθέλω ἀεὶ ἀπὸ τοῦ ε̄ ἄρχεται. A$^{int}$ *Ariston.*

*b.* μηδ᾽ ἔθελ᾽ ἐξ ἔριδος: τῆς πρὸς Ἀχαιοὺς ἔριδος. ἔστι δὲ τοῦτο τὸ γνῶθι σαυτόν. b(BCE$^3$E$^4$) **T** *ex.*

*c.* τεῦ ἀμείνονι φωτί: τεχνικῶς ἥττονα πολύ φησιν αὐτὸν Ἕκτορος, ὅπως μὴ τῶν ἄλλων Ἑλλήνων †καταφρονήσειν δοκοίη†, τὸν μὲν τοῦ κινδύνου ῥυόμενος, τοὺς δὲ κινδυνεύειν προτρέπομενος. b(BCE$^3$E$^4$) **T** *ex.*

**109** h(P$^{11}$ V$^{15}$): ἀφραίνεις (P$^{11}$, om. V$^{15}$)· οὐ κατὰ προθυμίαν οὐδὲ κατὰ φιλοδοξίαν· πῶς γὰρ κατὰ φιλοδοξίαν, ὅς γε κατὰ ἀπορίαν τοῦ ἀντιταξομένου τῷ Ἕκτορι ἑαυτὸν ἐπιδέδωκεν, οὐ διὰ τὴν ἑαυτοῦ δύναμιν λέγων, ἀλλὰ διὰ τὸ μὴ αἰσχυνθῆναι τοὺς Ἕλληνας, δηλῶν δὲ καὶ τὴν ἑαυτοῦ πρὸς Ἕκτορα ἀσθένειαν ἐκ τοῦ λέγειν ὅτι ἐκ τῶν θεῶν ἡ νίκη; ἴσως, φησίν, ὁ ἀσθενὴς ἐγὼ τὸν ἰσχυρὸν Ἕκτορα διὰ θεῶν νικήσω (cf. H 101—2). οὔτοι νῦν φιλοδόξου ταῦτα, ἵνα (οἷα V$^{15}$) ἄφρων ἀκούσῃ. ἀλλ᾽ οὐδὲ προθύμου· πῶς γὰρ ὅς γε πολὺ τὸ τῆς ἀντιτάξεως ἀκούσιον ἐνέφηνεν ἐκ τοῦ δυσανασχετεῖν ⟨καὶ⟩ (addidi) ἐπαρᾶσθαι τοὺς Ἕλληνας, ὅτι μηδεὶς ἀνέστη; ἢ τοίνυν ἐξ ὀργῆς καὶ θυμοῦ ἀνέστη καὶ ἀπὸ (an ὑπὸ?) λύπης, ὁρῶν εἰς αὐτὸν (fort. αὑτὸν) ἥκοντα τὸν κίνδυνον τὸν ὑπὲρ τῆς γυναικός· οἱ γὰρ Ἕλληνες οὐκ ἂν ἐπιδοῖεν ἑαυτοὺς ὑπὲρ ἑτέρου γυναικὸς (οἱ γὰρ — γυναικὸς om. V$^{15}$) μονομαχεῖν. λύπη δὲ καὶ θυμὸς ἐκστατικὰ (ἐκστ. P$^{11}$ ὄντα τινὰ V$^{15}$) φρενῶν. διὰ τοῦτο καὶ ἀφραίνει καὶ ἀκούει ὡς ἐξ ἔριδος καὶ θυμοῦ κρείττονι πολεμῶν, fort. sch. vetus **110** *a* cf. Eust. 668, 7: ... οὐδέ τί σε χρὴ ταύτης ἀφροσύνης· ἀνὰ δ᾽ ἴσχεο (τουτέστιν ἀνέχου) ἢ ἀνὰ δὲ σχέο (τουτέστιν ἀνάσχου), κηδόμενός περ, fort. sec. scholia *a*$^1$ et *a*$^2$; vide ad E 104 *a*. K 321 *b*. Ω 518; Ludwich, A. H. T. 1, 274, 15; Valk II 203 *a*$^1$ ἀνάσχου δέ (77) = D *a*$^2$ cf. Beccard 87 **111** *a* ad A 277 *a* (Ariston.) *b* ἔστι δὲ (84) sq. Ge (e T): ὡς τὸ γνῶθι σαυτόν, cf. sch. Eur. Or. 1552 *c* Ge (e T)

---

72—4 σκοπεῖν pone sch. H 110 *b* in A **72** le. AT, om. b **73** γὰρ οὐ] οὐ BCE$^3$ γὰρ καὶ οὐ E$^4$ ἐπὶ τ. μ. ἐσπουδ. E$^4$ ἐπὶ τῇ μάχῃ ἐσπουδ. A **74** οὐ τὸ] οὐ T **75** ἄθλου Wil., ἄλλου T **77** le. (= A$^{cont}$) add. Bk. (Vill.), iam V$^c$ ante sch. *a*$^2$ δὲ σχέο Heyne **79** καὶ ἡρωδ. additamentum rec., ut vid., cf. sch. *b* ἀναδίσχεο cf. sch. *a*$^1$, ἀνὰ δ᾽ ἴσχεο Vict. **81** ἀναπέμπειν A em. Bk. **83** le. add. Bk. (Vill.) ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **85** τοῦτο om. T **86** (le.) σεῦ Hom. αὐτὸν om. b **87** κατ. δοκ. T (καταφρονεῖν δοκοίη Ge), καταφρονεῖν ὑποπτευθῇ b, fort. recte, καταφρονῆσαι δοκῇ Ma. (cf. Mayser Gramm. 2, 1, 1926, 252—3)

*ex.* **112.** ⟨στυγέουσι:⟩ καταπλήττονται. $T^{il}$

*ex.* **113—4.** καὶ δ' Ἀχιλλεὺς τούτῳ γε ⟨——— / ⟩ ἔρριγ' ἀντιβολῆσαι: τοῦτον παρέλαβεν, οὗ καὶ Μενέλαος οὐκ αἰδεῖται ἥττων εἶναι ὁμολογεῖν, οὐκ ἄλλον τινὰ τῶν ὀλίγῳ τοῦ Μενελάου κρειττόνων. ἀναπολεῖ δὲ πανταχοῦ τὸ ὄνομα Ἀχιλλέως ὑπὲρ τοῦ μὴ λήθῃ δοθῆναι. **b**(BCE³E⁴) T

*Did.* **113.** ⟨τούτῳ γε:⟩ †ὅτι† τούτῳ γε, τῷ Ἕκτορι. γράφεται καὶ „τοῦτόν γε". $A^{int}$

*Did.* **114** *a.*¹ ἔρριγ' ἀντιβολῆσαι, ⟨ὅ περ σέο πολλὸν ἀμείνων⟩: γράφεται καὶ διὰ τοῦ μ̄, „ἀντιμολῆσαι". βέλτιον δ' ἄν, φασίν, εἴρητο Ὁμήρῳ „ὅ περ μέγα φέρτατός ἐστιν" (cf. A 581)· ἐπ' αὐτοῦ γὰρ ψιλῶς λεγόμενον τοῦ Μενελάου ἔχει τι ὀνειδιστικόν. A

*Ariston.* *b*¹ ⟨ἀμείνων:⟩ Ζηνόδοτος χωρὶς τοῦ ν̄ „ἀμείνω" γράφει. $A^{im}$

*Ariston.* | *Did.* *b*²/*a.*² ὅπερ σέο πολλὸν ἀμείνων: γράφεται καὶ „†ἀμείνων†". | ἄμεινον δέ φασιν „ὅπερ μέγα φέρτατός ἐστιν", ἵνα ψιλότερος εἴη ὁ ὀνειδισμὸς Μενελάου. T

*ex.* **116** *a.* τούτῳ δὲ πρόμον ἄλλον ⟨ἀναστήσουσιν Ἀχαιοί⟩: ἐντέχνως παρυπέμνησεν ὅτι πάντως δεῖ τινα αὐτῶν ἀναστῆναι. **b**(BCE³E⁴) T

*Ariston.* *b.* ⟨πρόμον:⟩ ὅτι πρόμον τὸν πρόμαχον κοινῶς λέγει. $A^{im}$

**112** cf. D **113** γράφεται καὶ (1) sq. cf. Lesbon. 38, 16: τῶν δὲ τῆς Ἀσιάδος Ἑλλήνων ἐστὶ τὸ τὰ ῥήματα τὰ συντασσόμενα δοτικαῖς πτώσεσιν αἰτιατικαῖς συντάττειν· φασὶ γὰρ 'συνήντησέ με' ἀντὶ τοῦ ἐμοί. καὶ Ὅμηρος· „καὶ δ' Ἀχιλεὺς τοῦτόν γε μάχῃ ἐνὶ κυδιανείρῃ / ἔρριγ' ἀντιβολῆσαι", ἀντὶ τοῦ τούτῳ **114** diple periestigm. ante versum in A fort. exstabat sch. ex. de verbis ἔρριγ' ἀντιβολῆσαι, cf. sch. (min. ?) ap. De Marco II 132: ἔρριγ' ἀντιβολῆσαι· ἐφοβήθη ἀπαντῆσαι. τοῦτο δὲ ἐψεύσατο· ἵνα δὲ ἀποστρέψῃ τὸν Μενέλαον εἶπεν αὐτῷ *a*¹ — ἀντιμολῆσαι (4) cf. Ap. S. 31, 31, Or. 7, 21 (Et. Gud. 151, 21 Stef., EM. 112, 47) βέλτιον (4) sq. ad B 665 *b*¹ ad A 80 (Ariston.); cf. Ludwich, A. H. T. 1, 275, 18 **115** fort. exstabat nota Aristonici vel Didymi de v. ἵζευ, ad Ω 522; vide ad Γ 162 **116** *b* ad Γ 44 *b* (Ariston.) κοινῶς „sc. ἐπὶ πάντων, non ἐπὶ μόνων βασιλέων" (Friedl., Ariston. p. 129)

---

**90** le. add. $V^c$ **91** sq. le. T suppl. Ma., om. **b** (ubi sch. ad v. 113 revocatum est) **93** ὀλίγῳ BT ὀλίγον CE³ ὀλίγων E⁴ **94** ἀναπαλεῖ (ο ss. m. rec.) T **1** le. add. Bk. ὅτι A, οὕτως Ldw., del. Bk. Ddf. **3—6** pone sch. H 118 (A = D) in A, trps. Ddf. (Vill.) **3** le. A suppl. Vill. **4** ἄν Bk., αρ' A **7** le. addidi (auctore Frdl.) fort. ὅτι ζην. vel ἡ διπλῆ περιεστιγμένη, ὅτι ζην. **9** sq. ἀμείνων² cf. sch. *b*¹ **10** sq. scholiasta verba Didymi (cf. l. 5 sq.) egregie depravavit **11** εἴη] exspectes ᾖ (sic Ma.), at cf. Schwyzer-Debrunner II 338; ad H 164 al. **12** le. T supplevi (auctore Vill.), om. **b** **15** le. addidi (Vill.) ὅτι A, ἡ διπλῆ, ὅτι Vill.

117—8. εἴπερ ἀδειής τ' ἐστὶ ⟨καὶ εἰ μόθου ἔστ' ἀκόρητος,/ ——— φύγῃσι⟩: γράφεται καὶ διὰ τοῦ γέ, „ἀδειής γε" (117). A $A^{int}$ | ἀφ' ἑτέρας δὲ ἀρχῆς ταῦτα· διόπερ ὑποστικτέον ἀκόρητος (117)· ὁ γὰρ λόγος· εἰ καὶ πάνυ ἄφοβος καὶ ἀπλήρωτος πολέμου ἐστίν, ἀγαπητῶς ὑπολαμβάνω αὐτὸν φεύξεσθαι. A *Did.* | *Nic.*

117. μόθου ⟨ἀκόρητος⟩: †μότος† παρὰ τὸ τάχιστα πληροῦσθαι τὴν ἐπιθυμίαν. T *D*

118 *a*. φημί μιν ἀσπασίως: ταῦτα εἰς προτροπὴν τῶν Ἀχαιῶν. T *ex.*

*b*. γόνυ κάμψειν: ἀντὶ τοῦ φυγεῖν. $A^{int}$ *ex.(?)*

γόνυ κάμψειν: ἀναπαύσεσθαι, ἢ ——— διώκεσθαι. A *D*

122 $a.^1$ γηθόσυνοι θεράποντες: παρὸν αὐτῷ καὶ 'ὀτρηροὶ θεράποντες' (cf. A 321) εἰπεῖν καὶ 'καρπαλίμως θεράποντες' γηθόσυνοι φησί, τὴν τῶν θεραπόντων πρὸς τὸν βασιλέα ἐμφαίνων κηδεμονίαν. T *ex.*

$a.^2$ τὴν πρὸς αὐτὸν ἁπάντων κηδεμονίαν δηλοῖ. b(BC$E^3E^4$)

123. Νέστωρ δ' Ἀργείοισιν: πιθανῶς τοῦτον ἐπιπλήσσοντα παρεισάγει, ὃς διὰ τὴν ἡλικίαν οὐχ ὑποφέρει τὸ ὅμοιον ἔγκλημα. b (BC$E^3E^4$) T καὶ μετὰ Ἀγαμέμνονα δὲ ὅμως ἀσφαλεῖς πάλιν οἱ Ἕλληνες. T *ex.*

124. ὢ πόποι, ⟨ἦ μέγα πένθος Ἀχαιΐδα γαῖαν ἱκάνει⟩: λειπόμενοι γὰρ οἱ γέροντες δυνάμει τῷ σχετλιάζειν ἐμφαίνουσι τὴν οἰκείαν προθυμίαν. μόνον οὐχὶ δὲ τὴν Ἑλλάδα πᾶσαν ἐν αὐτοῖς ἐλεεῖν φησιν. εὖ δὲ καὶ τὸ μὴ λύπην εἰπεῖν, ἀλλὰ πένθος καὶ μέγα. b (BC$E^3$ $E^4$) T *ex.*

125. ἦ κε μέγ' οἰμώξειε γέρων ἱππηλάτα ⟨Πηλεύς⟩: διδάσκει ὅτι καὶ ἀπόντας δεῖ τοὺς πρεσβυτέρους τιμᾶν, λέγων ὡς δεῖ τοὺς *ex.*

117 de v. μόθος cf. Apion. fr. 71 B. (Ap. S. 113, 16) 118 *b* ad T 72 (ex.), at cf. D, Porph. 1, 232, 15; Call. fr. 311 122 $a^1$ καρπαλίμως θεράποντες (28) exemplum fictum 123 καὶ μετὰ Ἀγαμ. (34) sq. cf. app. crit. 124 excidit nota fort. Herodiani de ind. praes. ἱκάνει pro ind. fut. usurpato, ad Π 129 *d* 125 ad H 131 *c*; cf. sch. min. (?) ap. De Marco II 132 sq.: ἱππηλάτα Πηλεύς: ἀντὶ τοῦ

16 sq. le. A suppl. Frdl., om. $A^{int}$ 21 le. T suppl. Valk μότος aut delendum aut in οἱονεὶ μότου (cf. D) ἀπλήρωτος mutandum 25 le. γόνυ κάμψειν textui explicationis attribuit A 33 οὐχ ὑποφ. T οὐκ ἐπισπᾶται b ὅμ.] ἴδιον C 34 ἀγαμέμνονος Bk., sed auctorem hoc velle suspicor 'tamen postea Agamemnonem imitati denuo fidos se praebent' 36 le. T supplevi (auctore Vill.), om. b 37 δυνάμεως b 38 μονονουχὶ C$E^3E^4$ ἐν αὐτοῖς T αὐτοὺς b 41 le. T supplevi (auctore Vill.), om. b 42 καὶ ἀπόντας — πρεσβ. T τοὺς γέροντας δεῖ καὶ ἀπόντας b 42 sq. λέγων (Bk., λέγειν T) ὡς — πηλεῖ T ὡς πηλεῖ μέλλει (μέλει Bk.) ἑλλήνων b

῞Ελληνας ἀρέσκειν Πηλεῖ καὶ μὴ παρόντι. ἀνόητον δέ φασι τὸ μὴ τοὺς γονεῖς αὐτῶν παραλαβεῖν ἀχθομένους, ἀλλὰ τὸν Πηλέα, ὃν ἔδει χαίρειν δυστυχούντων ῾Ελλήνων διὰ τὴν ᾿Αχιλλέως ὕβριν. τοῦτο δέ ἐστιν ἔντεχνον· εἰ γὰρ ὁ τοῦ πολεμίου πατὴρ ἀθυμεῖ, πόσῳ μᾶλλον οἱ ἡμῶν· ἅμα δὲ καὶ ὑπομιμνήσκει ᾿Αγαμέμνονα ᾿Αχιλλέως ὅτι ὁ νῦν προκαλούμενος πάντας, ὄφρ᾿ ᾿Αχιλλεὺς μετ᾿᾿Αχαιοῖσι πολέμιζεν (cf. Ι 352), „οὐκ ἐθέλεσκε μάχην ἀπὸ τείχεος ὀρνύμεν ῞Εκτωρ“ (Ι 353)· ἐπαχθὲς γὰρ ἦν τὸ σαφῶς ὀνειδίσαι. προμνηστεύει οὖν τὰς λιτάς, καὶ τοῖς βαρβάροις δὲ ἐμφαίνει ὅτι οὐκ ἔσται ἡ ᾿Αχιλλέως ὀργὴ πολυχρόνιος τοῦ Πηλέως οὕτω πρὸς τοὺς ῞Ελληνας διακειμένου· καὶ τὸν ᾿Αχιλλέα ὑποθωπεύει λεληθότως. b(BCE³E⁴) T

*ex.* 126. βουληφόρος: ὁ φέρων εἰς πέρας, ἃ βούλεται. συνίστησι δὲ τὸ πρόσωπον, ὅπως ὁ τούτου σχετλιασμὸς δεινότατος ἐγείρῃ τοὺς ῞Ελληνας. b(BCE³E⁴) T

*Ariston.* | *Did.* 127 *a*.¹ ὅς ποτέ μ᾿ εἰρόμενος ⟨μέγ᾿ ἐγήθεεν⟩: ὅτι Ζηνόδοτος γράφει „μέγα δ᾿ ἔστενεν“, ἐξ οὗ φανερός ἐστιν ἀνεγνωκὼς „μειρόμενος“, οἷον στερόμενος. ὁ δὲ ῞Ομηρος τὸ μείρεσθαι οὐκ ἐπὶ τοῦ στέρεσθαι τίθησιν, ἀλλ᾿ ἐπὶ τοῦ μερίζεσθαι· „καὶ ἥμισυ μείρεο τιμῆς“ (Ι 616). δέον οὖν εἰρόμενος, ἐρωτῶν. | προκρίνει δὲ ὁ ᾿Αρίσταρχος τὴν μέγ᾿ ἐγήθεεν γραφήν. A

*Ariston.* *a*.² Ζηνόδοτος „μειρόμενος“ γράφει, κακῶς. T^il

*ex.(?)* *b*. ὅς ποτέ μ᾿ εἰρόμενος: τὸ πλῆρες· ἐμὲ εἰρόμενός †τε. A

ἱππηλάτης, μεταπλασμός, ὡς „μητίετα Ζεύς“ (Α 175 al., cf. D ad Α 175; vide Ariston. ad Β 107). | διὰ τί τοῦ Πηλέως ἐμνημόνευσεν πατρὸς ὄντος τοῦ ἐχθροῦ, ὃν εἰκὸς ἦν καὶ μισεῖν αὐτοὺς ὑπὲρ τοῦ παιδὸς ἀγανακτοῦντα; καὶ ῥητέον ὅτι ἢ βουλόμενος ἐκ τούτου θεραπεῦσαι τὸν ᾿Αχιλλέα μνημονεύων τοῦ πατρὸς αὐτοῦ, ἢ καθ᾿ ὑπερβολὴν τῇ διανοίᾳ χρησάμενος καὶ βουλόμενος δεῖξαι τὸ μέγεθος τοῦ ἀτυχήματος ὅτι καὶ παρὰ τοῖς ἐχθροῖς ἐλέου φανεῖεν ἄξιοι   127 *a* ad Ι 616 (Ariston.)   μειρόμενος (58) cf. Roemer, Zen. 709   ἐρωτῶν (61) = Eust. 670, 52   προκρίνει (61) sq. Didymo attr. Lehrs   *b* cf. Ludwich, Mus. Rhen. 32, 1877, 209

44 παραβάλλειν C   45 δυστ. b ἀξιούντων T, ἀτυχούντων Ma. (fort. rectius), δυστυχούντων τῶν Nickau   τοῦτο δέ ἐστιν T ἔστι δὲ b   46 οἱ] ὁ C   47 ὑμῶν b   48 ἀχιλεὺς b   50 τὸ T οὕτω b   51 ἡ ὀργὴ ἀχιλλέως E⁴   52 οὕτως b   52 sq. καὶ — λελ. T ὑποθωπεύει δὲ λεληθότως τὸν ἀχιλλέα b   55 τὸ om. E⁴   55 sq. δεινότατος (ὢν add. Ma., fort. recte) — ἕλληνας T δεινὸς γένηται b   57 le. A suppl. Vill.   ὅτι A, ἡ διπλῆ (malim δ. περιεστιγμένη), ὅτι Vill.   58 μέγα δ᾿ A, μεγάλ᾿ Spitz.   62 μέγ᾿ ἐγ. Vill., μέγ᾿ γήθησεν (sic) A, possis et μέγα γήθεεν (Ddf.)   64 ἐμὲ A, fort. ὅς ἐμὲ   τε A, ποτε Ldw.

128 *a*.[1] ἐρέων γενεήν τε τόκον τε: θαυμασίως τῆς εὐγενείας αὐτοὺς ὑπέμνησεν οὐκ ἐπαινῶν τοὺς γονεῖς αὐτῶν, ἀλλὰ Πηλέα τὸν ἄκρον ἐπ' εὐγενείᾳ χαίρειν ἐπὶ τῇ γονῇ αὐτῶν λέγων. ἀλλ' οὐδέ φησιν ὅτι ἐμαρτύρησα τῷ Πηλεῖ περὶ ὑμῶν· τὸ μὲν γὰρ κολακικόν, τὸ δὲ λέγειν ὅτι μεμαρτύρηκα ὑμῖν εὐγένειαν ἐπίφθονον. b(BCE[3]E[4]) T *ex.*

*a*.[2] γενεήν τε τόκον τε: πατέρα καὶ παῖδα· | τὸ μὲν γὰρ ἐπαινεῖν τοὺς προγόνους κολακικόν, τὸ δὲ λέγειν ὅτι μεμαρτύρηκα ὑμῖν εὐγένειαν ἐπίφθονον. A *D.* | *ex.*

129—130. ἀκούσαι . . . ἀείραι: παροξυτονητέον ἀμφότερα· ἔφαμεν γὰρ (sc. ad A 255) τὴν αι δίφθογγον ἐν εὐκτικοῖς μακρὰν εἶναι. A *Hrd.*

130 *a*.[1] ⟨φίλας⟩ ἀνὰ χεῖρας {ἀείρας} : ἐν ταῖς ἐξητασμέναις 'Αριστάρχου „βαρείας χεῖρας", τὰς βεβαρημένας ὑπὸ γήρως νῦν καὶ δυσκινήτους. ἀλλαχοῦ δὲ τὰς ἐρρωμένας· „βαρείας χεῖρας ἐποίσειν" (A 89). A *Did.*

*a*.[2] φίλας ἀνὰ χεῖρας {ἀείραι} : 'Αρίσταρχος „βαρείας χεῖρας", τὰς ὑπὸ τοῦ γήρως δυσκινήτους. T

131 *a*. θυμὸν ἀπὸ μελέων: δηλοῖ ὅτι παρέσπαρται ἡ ψυχὴ παντὶ τῷ τοῦ σώματος μέρει. b(BCE[3]E[4]) T *ex.*

*b*.[1] ἄλλως· θυμὸν ἀπὸ μελέων δῦναι: ὅτι τοιούτοις πεπίστευκε τὸν ἴδιον υἱόν. T *ex.*

*b*.[2] τοῦτο δὲ πάσχει, φησίν, ὅτι τοιούτοις ἀγενέσι καὶ δειλοῖς τὸν ἴδιον υἱὸν πεπίστευκεν. b(BCE[3]E[4])

**129—30** ad A 255—8 (Hrd.) **130** *a*[1] ἐν ταῖς ἐξητασμέναις (76) cf. Lehrs Ar.[3] 23; vide ad B 111; Pfeiffer 217; etiam Herm. 87, 1959, 293 ἀλλαχοῦ δὲ (78) sq. ad A 89 (ex.) **131** *a* ad M 386 *d* (ex.), cf. Zenon. fr. 145 (St. V. Fr. I 40, 1), Chrys.

---

**66** οὐκ T οὐκ αὐτὸς b αὐτῶν om. T, fort. recte **67** ἄκρως E[4] (ut vid.) ἐπ' (ante εὐγεν.) del. Ma. (fort. τὴν εὐγένειαν) αὐτὸν T **68** sq. τὸ μὲν — εὐγέν. T τὸ γὰρ λέγειν ὅτι ἐπ' εὐγενείᾳ ὑμῖν ἐμαρτύρησα b **69** σφόδρα ἐπίφθ. b, πολὺ ante ἐπίφθ. ipse del. T **73** le. Bk., ἀκούσαι: ἀείρας (sic) A **76** (le.) φίλας add. et ἀείρας del. Bk. τοῖς ἐξητασμένοις propos. Lehrs, probavit Pfeiffer **77** et **78** χεῖρας A em. Bk. **78** ἐποίσει Hom. **80** (le.) ἀείραι delevi **82** δηλοῖ ὅτι b δηλονότι T **83** τοῦ σ. μέρει T σώματι b **84** sq. ἄλλως sq. cum scholio praecedenti coni. T, dist. Ma. **86** sq. τοῦτο (ταῦτα BE[4]) sq. cum scholio *a* (v. σώματι) coni. b **86** ἀγεν. BE[4] ἀγενέσι ss. ν C, ἀγεννέσι E[3]

*ex.* *c.*[1] δῦναι δόμον Ἄιδος ⟨εἴσω⟩: μέτριος μὲν ὁ λόγος τῇ φαντασίᾳ, πικρὸς δὲ τῇ δυνάμει· εἰ γὰρ ἐκεῖνος ἀκούων ἀβίωτα σπεύδει, πόσῳ μᾶλλον ἐγὼ ὁρῶν †ἢ ὑμεῖς ἀσχημονοῦντες†; πραγματικῶς καὶ πρὸς Ἀχιλλέα ἀποτείνεται· εἰ γὰρ οὕτω βαρέως οἴσει ὁ Πηλεὺς τὴν τῶν ἀλλοτρίων ἀνανδρίαν, πῶς οὐκ ἂν μᾶλλον ἐπὶ τῷ υἱῷ ἄχθοιτο; **T**

*c.*[2] μέτριος μὲν οὖν ὁ λόγος τῇ φαντασίᾳ, πικρὸς δὲ τῇ δυνάμει· εἰ γὰρ ὁ Πηλεὺς τὰ ὑμῶν ἀκούων δεινὰ θανεῖν εὔχεται, πόσῳ μᾶλλον ἐγὼ ὁ τοσαῦτα ποιήσας ἐν νεότητι καὶ νῦν ὁρῶν ὑμᾶς· πραγματικῶς δὲ καὶ πρὸς Ἀχιλλέα ἀποτείνεται· εἰ γὰρ οὕτως βαρέως οἴσει ὁ Πηλεὺς τὴν τῶν ἀλλοτρίων ἀνανδρίαν, πῶς οὐκ ἂν μᾶλλον ἐπὶ τῷ υἱῷ ἄχθοιτο; **b**(BE³E⁴)

*ex.* **132.** αἲ γάρ, Ζεῦ τε πάτερ: οὐκ ἄκαιρος ὁ λόγος· ἐπιτιμήσας γὰρ τοῖς ἀρίστοις ὤφειλεν ἀποδεῖξαι διὰ τῆς παραθέσεως τῶν πεπραγμένων αὐτῷ ὅτι δεόντως ἄγει ταύτην τὴν παρρησίαν, ἵνα πρὸς ζῆλον αὐτοὺς τῶν ὁμοίων κινήσῃ. **b**(BE³E⁴) **T** τοιοῦτος καὶ Φοῖνιξ καὶ Λαέρτης. **T**

*Ariston.* **133—5** *a.* ἐπ' ὠκυρόῳ κελάδοντι . . . , Ἰαρδάνου ἀμφὶ ῥέεθρα: ὅτι ἰδίως τὰ ἐπίθετα προτάξας τὸ κύριον ἐπήγαγεν, Ἰαρδάνου ἀμφὶ ῥέεθρα (135). **A**

*ex.* | *ex.* (*Ariston.*) *b.* Κελάδοντι (133): τῷ νῦν Ἀκίδωνι. | τινὲς δὲ ἄμφω ἐπίθετα τοῦ Ἰαρδάνου καὶ τὴν φράσιν σημειοῦνται· προτάξας γὰρ δοτικὰς ἐπιφέρει γενικὴν Ἰαρδάνου (135). **T**

fr. 471 (St. V. Fr. II 153, 10); Valk I 480 *c* ad H 125 (ex.) **132** — λόγος (5) cf. sch. Ar. Ach. 211 **133—5** diplae ante versus 133 et 135 in A (vide ad H 135 *a*); certe auctor archetypi sch. *a* ad solum versum 133 rettulit (cf. app. crit.); fort. erat sch. Didymi de v. l. in H 133 et 135, cf. Strab. 8, 3, 21 (p. 348): περὶ ταύτης δὲ τῆς Χάας (cf. sch. min. ap. De Marco II 133) γενέσθαι φασὶν ἔνιοι τὸν πόλεμον τοῖς Ἀρκάσι πρὸς τοὺς Πυλίους, ὃν ἔφρασεν Ὅμηρος, καὶ δεῖν οἴονται γράφειν· „ἡβῷμ', ὡς ὅτ' ἐπ' ὠκυρόῳ †κελάδοντι† (Ἀκίδωνι Corais) μάχοντο / ἀγρόμενοι Πύλιοί τε καὶ Ἀρκάδες / Χάας πὰρ τείχεσσιν", οὐ Κελάδοντι, οὐδὲ Φειᾶς· τῷ γὰρ τάφῳ τοῦ Ἰαρδάνου τοῦτον πλησιάζειν καὶ τοῖς Ἀρκάσι τὸν τόπον μᾶλλον ἢ ἐκεῖνον, cf. Lehrs Ar.³ 238 n. 151; Bidder 23; W. Aly, Strabonis Geographica IV (1957), 362 *a*/*b* cf. D; Eust. 671, 11 *b* — Ἀκίδωνι (13) cf. Strab. 8, 3, 21

---

**88** le. T supplevi **89** sq. ἀβ. σπεύδει fort. mutilum, cf. sch. *c*², ἀβ. ⟨ἀποθανεῖν⟩ σπεύδει Nickau **90** cf. sch. *c*² (ὁρῶν ὑμᾶς ἀσχημονοῦντας Ma., fort. bene) **94—04** μέτριος μὲν οὖν sq. pone sch. H 132 (coni. cum v. κινήσῃ) in **b** **5** ὁ λόγος T ἡ πρότασις **b** **7** αὑτῷ Bk., fort. rectius **10** sq. le. perspicuitatis causa scripsi (auctore Frdl.), ἡβῷμ' A (vide test.) **11** ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **11** sq. ἰορδάνου A em. Vill.

**135** *a*. Φειᾶς {πὰρ τείχεσσιν}: ὅτι ἐν Ὀδυσσείᾳ (ο 297) πληθυντικῶς· „ἡ δὲ Φεαῖς ἐπέβαλλεν ἐπειγομένη Διὸς οὔρῳ", ὡς Μυκήνην καὶ Μυκήνας. A *Ariston.*

*b*. Φειᾶς ⟨πὰρ τείχεσσιν: Φειᾶς⟩ περισπαστέον· ἑνικὴ γάρ ἐστι γενική. πρόδηλον κἀκ τῆς συντάξεως τοῦ τείχεσ⟨σ⟩ι, παρὰ τοῖς τῆς Φειᾶς τείχεσι. | Φεὰ δὲ πόλις ——— παρ' ἣν ὁ †Ἰορδάνης† ῥεῖ. A *Hrd.* | *D*

*c*. Φειᾶς πὰρ τείχεσσιν: καὶ ἡ Φειὰ παραθαλάσσιός ἐστι, καὶ Ἰάρδανος οὐχ ὁρᾶται ποταμὸς αὐτόθι. ἄμεινον οὖν ὡς Δίδυμος (p. 114 Schm.) „Φηρᾶς" γράφειν καὶ „Δαρδάνου ἀμφὶ ῥέεθρα". οὕτω γὰρ καὶ Φερεκύδης ἱστορεῖ (FGrHist 3, 159). AT *ex.*

**136** *a*. ⟨πρόμος:⟩ ὅτι ἀντὶ τοῦ πρόμαχος κοινῶς. $A^{im}$ *Ariston.*

*b*. ⟨ἰσόθεος φώς:⟩ ἐπαίρει τὸν πολέμιον Ἐρευθαλίωνα. $T^{il}$ *ex.*

**138** *a*. δίου Ἀρηϊθόου: ὅτι πυκναὶ ἐν Ἰλιάδι αἱ ἐπαναλήψεις, ἅπαξ δὲ ἐν Ὀδυσσείᾳ (sc. α 23). καὶ ὅτι οὗτος ὁ Ἀρηΐθοος Ἀρκὰς ὢν ὁμώνυμός ἐστι τῷ Βοιωτῷ. A *Ariston.*

*b*.[1] δίου Ἀρηϊθόου: εὐκαίρως ἐρευνᾷ, πρώην (sc. H 9—10) ἁπλῶς παρελθών. | οὗτος δὲ ὁ Ἀρηΐθους Βοιωτὸς μὲν ἦν τῷ γένει, συνεμάχει δὲ Ἀρκάσιν. τούτῳ φθονέσας Λυκοῦργος ἀναιρεῖ. T *ex.* | *ex.*

*b*.[2] οὗτος †ὁ μὲν† Ἀρηΐθους Βοιωτὸς ἦν τὸ γένος, Ἀρκάσι δὲ συνεμάχει. τοῦτον δὲ Λυκοῦργος ὁ Ἀρκὰς φθόνῳ ἀναιρεῖ. b($BCE^3E^4$) | εὐκαίρως δὲ ἐνταῦθα ἐρευνᾷ, πρώην ἁπλῶς παρελθών. b($BE^3E^4$)

(p. 348) **135** *a* cf. sch. min. ap. De Marco II 133: Φειᾶς· ἀντὶ τοῦ Φεῶν. ἔστι δὲ πολίχνιον τῆς Πελοποννήσου, Strab. 8, 3, 27 (p. 351), Steph. B. 661, 11. 664, 6; sch. γ 488 ἡ δὲ Φεαῖς (17) sq. cf. Valk II 243 Μυκήνην (17) ad H 180 (Ariston.), cf. Serv. Verg. A. 5, 52; Muehmelt 113 *b* περισπαστέον (19) cf. Theogn. 103, 25 ἑνικὴ (19) — γενική (20) cf. sch. *c* ἑνικὴ (19) cf. Choer. O. 274, 19 *c* — παραθαλάσσιός ἐστι (23) cf. Strab. 8, 3, 12 (p. 342/3) καὶ Ἰάρδανος (24) — αὐτόθι at cf. D, Strab. l. c. ἄμεινον οὖν (24) sq. Et. Gen. (AB) Φειά (Φεά A)· „Φειᾶς πὰρ τείχεσσιν (cp. A)". ὁ δὲ Δίδυμος „Φηρᾶς" (φηρὰς B, φειρᾶς A) λέγει, παρὰ τὸ Φηράς (an Φηρά?)· †γενικὴ γάρ (γὰρ γενικὴ A, fort. ἑνικὴ γὰρ γενική) ἐστιν, fort. ex hyp. Iliad. (vide sch. *b*), cf. Lehrs Ar.[3] 238 n. 151; Ludwich, A. H. T. 1, 276, 21; Valk II 240 Φηρᾶς (25) cf. Choer. O. 274, 25 **136** *a* ad Γ 44 *b* (Ariston.) κοινῶς ad H 116 (Ariston.) **138** *a* — Ὀδυσσείᾳ (30) ad M 96. Y 372 (Ariston.); — ἐπαναλήψεις (29) ad E 734—6 (test.), Z 154. 396 (Ariston.), cf. Eust. 672, 5. Vide ad Δ 448 (Ariston.) καὶ ὅτι οὗτος (30) sq. ad

---

**16** (le.) πὰρ τείχ. del. Bk. ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **17** φεαῖς Vill., θεαῖς A, φερὰς Hom. codd. **19** πὰρ τ.: φειᾶς addidi **20** τείχεσι A suppl. Vill. **23** le. Ma., φ. πὰρ τ. ἰαρδάνου V, φειὰς παρ τείχεσι T, om. A ἀλλὰ καὶ ἡ φειᾶ sq. (coni. cum scholio praecedenti) A **24** ἰορδάνης A **25** φηρᾶς γράφ. T φηρᾶ σπάρτη A δαρδ.] ἰαρδάνου propos. Lehrs (cf. test.) **27** le. add. Ddf. (Vill.) ὅτι A, ἡ διπλῆ, ὅτι πρόμος Vill. **28** le. add. Nickau **29** ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **30** οὗτος Vill., οὕτως A **34** τούτῳ T, τοῦτον Ma. **35** ὁ μὲν $CE^3$ μὲν ὁ $BE^4$

*ex.* 139. ⟨ἄνδρες κίκλησκον καλλίζωνοί τε γυναῖκες:⟩ ἔμφασις τοῦ κλέους, ὅπου καὶ γυναιξὶν ἐγνώσθη. b(BCE$^{3}$E$^{4}$) T$^{il}$

*Nic.* 140. οὕνεκ' ἄρ' οὐ τόξοισι μαχέσκετο ⟨δουρί τε μακρῷ⟩: τοῖς ἐπάνω συναπτέον· αἰτία γὰρ τῆς τοῦ κορυνήτου (cf. H 138) ὀνομασίας αὕτη. καὶ τὸν ἑξῆς δὲ ὁμοίως συνάπτειν δεῖ „ἀλλὰ σιδηρείῃ κορύνῃ" (H 141), βραχὺ μόνον διαστέλλοντα. A

*ex.* 142. ⟨δόλῳ, οὔτι κράτεΐ γε:⟩ εἰς σύστασιν αὐτοῦ. T$^{il}$

*ex.* 143—4. ⟨στεινωπῷ ἐν ὁδῷ, ὅθ' ἄρ' οὐ κορύνη οἱ ὄλεθρον / χραῖσμε:⟩ οὐ διὰ τὸ στενόν, ἀλλὰ διὰ τὴν πρόληψιν. b(BCE$^{3}$E$^{4}$) T$^{il}$

*Ariston.* | *Did.* 144 *a.* {χραῖσμε σιδηρεῖν: πρὶν γὰρ λυκόοργος} ὑποφθάς: ὅτι ἀντὶ τοῦ ὑποφθάσας Ἰακῶς. | Ἀρίσταρχος δέ φησι καὶ „ἀναστάς", οἷον ἐκ λόχου ἀναστάς. A

*Did.* *b.*$^{1}$ ⟨ὑποφθάς:⟩ Ἀρίσταρχος „ἀναστάς", ἐκ τοῦ λόχου δηλονότι. T$^{il}$

*b.*$^{2}$ γράφεται καὶ „ἀναστάς". A$^{int}$(A$^{il}$)

*Did.* 146 *a.*$^{1}$ ⟨τεύχεα δ' ἐξενάριξε:⟩ οὕτως Ἀρίσταρχος. ἄλλοι δὲ διὰ τοῦ τέ, „τεύχεά τ' ἐξενάριξε". A$^{im}$

*a.*$^{2}$ Ἀρίσταρχος διὰ τοῦ δέ. T$^{il}$

*Ariston.* *b.* τεύχεά τ' ἐξενάριξε: ὅτι κυρίως τὸ ἐξενάριξεν νῦν, τὰ ἔναρα περιεῖλεν. A

*ex.* *c.* τά οἱ πόρε χάλκεος Ἄρης: λεληθότως τὸν ἴδιον ἔπαινον αὔξει ὁ Νέστωρ, εἰ περιεγένετο ἀνδρὸς ὅπλα φοροῦντος θεῖα. b (BCE$^{3}$E$^{4}$) T

*ex.* *d.* ἄλλως· τά οἱ πόρε χάλκεος Ἄρης: τινὲς ʽἃ ἦν σκυ-

H 10 *a* 141 fort. exstabat sch. de v. σιδηρείῃ, cf. sch. Ap. Rh. 2, 115: ἀζαλέῃ (sc. κορύνῃ)'· τῇ ξηρᾷ, ἐπεί ἐστι ξυλίνη. Ὅμηρος δὲ καὶ σιδηρᾶν οἶδεν· „ἀλλὰ σιδηρείῃ κορύνῃ". τινὲς δὲ ἀποδεδώκασι „σιδηρείῃ" τῇ εὐτόνῳ, ὥσπερ καὶ „σιδήρειος δ' ὀρυμαγδὸς ὀρώρει" (P 424), vide ad P 424 142 αὐτοῦ sc. Areithoi; cf. Eust. 672, 21 144 nullum signum ante versum in A, fort. error scribae *a*/*b* ἀναστάς (48 et 50) cf. Paus. 8, 4, 10; Bacher 24 *a* — Ἰακῶς (48) ad P 197 (Ariston.) φησί (48) cf. Ludwich, A. H. T. 1, 277, 4 146 *a* ad H 336. Σ 538, cf. sch. γ 289 (Did.) *b* ad Z 417 *a* (Ariston.) *c* ad H 155 (ex.) *d* τινὲς (61)

38 le. add. Vill. (καλλίζωνοί τε iam Li) 39 κλέους b κάλλους T ὅπου T ὅτι b 40 le. A suppl. Vill. 42 καὶ τῶν A em. Bk. 44 le. add. Bk. 45 sq. sch. ad H 143—4 revocavi et le. addidi (auctore Vill.; κορύνη οἱ ὄλ. Li), sch. supra v. 143 exaravit T, ad eundem versum rettulit b 46 στενὸν οὐκ ἐχραίσμησεν b, fort. recte 47 (le.) χραῖσμε — λυκ. del. Bk. ὅτι A, fort. ἡ διπλῆ, ὅτι 50 le. addidi 53 le. add. Vill. 55 sch. supra v. 147 habet T, trps. Ma. 56 ὅτι A, ἡ διπλῆ, ὅτι Vill. 61 ἄλλως: τά οἱ sq. cum scholio praecedenti coni. T, dist.

λεύσας ἐκ τοῦ πολέμου'. T

147. μετὰ μῶλον Ἄρηος: τὸν ἐγχρονισμὸν καὶ μώλυνσιν τῆς μάχης. T *ex.*

148. ⟨ἐγήρα:⟩ ὅτι ἀντὶ τοῦ ἐγήρασεν τὸν παρατατικὸν ἔταξεν. $A^{int}$ *Ariston.*

149. δῶκε δ' Ἐρευθαλίωνι: ὅτι οὕτως εἴωθε φράζειν, καὶ ὅτι περιττὸς ὁ δέ. τινὲς δὲ γράφουσι „δῶκεν Ἐρευθαλίωνι". A *Ariston.*

152—3. ⟨πολεμίζειν/⟩ θάρσει ᾧ: τῷ ἑαυτοῦ· „βουλὴ γὰρ ἄρχει, χεὶρ δ' ἐπεξεργάζεται" (Io fr. 63, 3 N.$^{2}$). b(BCE$^{3}$E$^{4}$)T τινὲς δὲ ἀντὶ τοῦ τῷ ἀπλήστῳ θάρσει αὐτοῦ τοῦ Ἐρευθαλίωνος μάχεσθαι. T *ex.*

153 *a.*$^{1}$ θάρσει ᾧ: ὅτι Ζηνόδοτος „θάρσει ἐμῷ". ἀδιανόητον δὲ γίνεται, ἡ ψυχή με ἀνέπεισε τῷ θάρσει τῷ ἐμῷ. A *Ariston.*

*a.*$^{2}$ γράφεται δὲ καὶ „θάρσει ἐμῷ". ἀμείνων δὲ ἡ ἄλλη. T *Ariston. (Did.?)*

*b.* γενεῇ δὲ νεώτατος ⟨ἔσκον ἁπάντων⟩: διὸ ἐθάρσουν. ἐντέχνως δὲ τοὺς μὲν πρεσβυτέρους ἀπολύει τοῦ κινδύνου, τοὺς δὲ νεωτέρους ἀνίστησιν. b(BCE$^{3}$E$^{4}$) T *ex.*

154. δῶκεν δέ μοι εὖχος Ἀθήνη: ὅτι δεῖ τὰ ἴδια θεοῖς ἀναφέρειν· καὶ γὰρ συνεργοῦσι τοῖς προθύμοις. b(BCE$^{3}$E$^{4}$) T *ex.*

155. τὸν δὴ μήκιστον καὶ κάρτιστον: †καὶ ὥς† οὐχ ἑαυτὸν μήκιστον εἶπε καὶ κάρτιστον, ἀλλὰ τῷ μὲν Ἐρευθαλίωνι ταῦτα ἐμαρτύρησεν, ἐκείνου δὲ περιγεγενῆσθαι λέγων λεληθότως καὶ ἀνεπιφθόνως ἑαυτὸν ηὔξησεν. ζηλωτὸν δὲ ἑαυτὸν καθιστὰς προτρέπει αὐτοὺς εἰς *ex.*

sq. h. e. interpretatio a scholio *c* diversa **147** cf. Ap. S. 114, 19: μῶλος· ὁ ἐγχρονισμὸς τῆς μάχης ἢ οἷον μώλυσις, Ep. Hom. (An. Ox. 1, 271, 27, Et. Gen. = EM. 592, 32, Et. Gud. 401, 9); sch. Ap. Rh. 1, 164. Aliter Or. 106, 21. Vide Valk I 509 μώλυνσιν (63) aliter D ad Β 401. Σ 134 **148** ad Α 163 *a* (Ariston.); de v. ἐγήρα cf. Meister, H. K. 100 **149** ad Α 41 *c* (Ariston.) **152—3** cf. Ap. Dysc. pron. 48, 11, synt. 212, 3; Beiträge 334; — ἐπεξεργάζεται (70) ad Β 273 *a*; — ἑαυτοῦ (69) cf. Eust. 672, 49 **153** *a* cf. Duentzer, Zen. 93 sq.; verba θάρσει ἐμῷ interpretationem, non variam lectionem Zenodoti esse suspicatur Brugman, Probl. 110 **155** ad Η 146 *c* προτρέπει (83) cf. Aristid. or.

Ma. **63** τὸν . . . καὶ T, fort. μετὰ τὸν . . . καὶ τὴν μώλυσιν Valk (haud urguet), μόλυνσιν Ma. **65** le. add. Bk. **65** et **67** ὅτι A, fort. ἡ διπλῆ, ὅτι **69** le. T suppl. Ma., om. b (ubi sch. ad v. 153 revocatum est) **71** ἀπλείστῳ T (V) em. Bk. **72** ὅτι A, ἡ διπλῆ (sc. περιεστιγμένη), ὅτι Vill. **73** με ἀνέπεισε Bk., νέαν ἔπεισε A **74** γράφεται δὲ sq. post sch. Η 152—3 (coni. cum v. μάχεσθαι) in T, distinxi et transposui **75** le. T supplevi, om. b διὸ T, νεώτερος δὲ ἤμην φησὶ διὸ καὶ (coni. cum scholio Η 152—3 v. ἐπεξεργάζεται) b **80** καὶ ὥς T, om. b, εἶθ' ὥς ci. et lemmati attr. Ma., malim καλῶς **81** sq. ἐμαρτ.] ηὔξησε E$^{3}$ **83** ἑαυτὸν$^{1}$] αὐτὸν B, ἑ ss. *B ηὔξησε b

ἔννοιαν ἀγωνίας. b(BCE$^3$E$^4$) T

*ex.* | *ex.* (*Ariston.?*) 156 *a.* πολλὸς γάρ τις ἔκειτο παρήορος ἔνθα καὶ ἔνθα: ἀπὸ τῶν ἀριθμουμένων ἐπὶ τὰ μετρούμενα μεγέθη, A b(BCE$^3$E$^4$) T ὡς τὸ „τύμβον †δὲ οὐ† μάλα πολλὸν ἐγὼ πονέεσθαι ἄνωγα" (Ψ 245). A T | παρήορος δὲ εἰς μῆκος καὶ πλάτος παρηρτημένος. b(BCE$^3$) T

*Ariston.* *b.* πολλὸς γάρ τις ἔκειτο παρήορος: σημειοῦνταί τινες διὰ τὸ παρήορος, ὅτι παρηρτημένος καὶ κεχυμένος. A

*D* παρήορος: παρῃωρημένος τῷ σώματι ——— καὶ τὸν ἄφρονα. A

*ex.* (*?*) 158. ⟨ἀντήσειε:⟩ ἤντησεν ἄν. T$^{il}$

*ex.* 159. ⟨ὑμέων δ' οἵπερ ἔασιν:⟩ σχῆμα περὶ πρόσωπον. b (BCE$^3$ E$^4$) T$^{il}$

*ex.* 160. ⟨οὐδ' οἱ προφρονέως μέματε:⟩ σχῆμα περὶ πρόσωπον. T$^{il}$

*Ariston.* 161 *a.* ὣς νείκεσσ' ὁ γέρων, ⟨οἱ δ' ἐννέα πάντες ἀνέσταν⟩: πρὸς τὸ νείκεσσεν, ὅτι ἀντὶ τοῦ ἐπέπληξεν, οὐδέποτε δὲ ἐπὶ τοῦ ἔκρινεν, ὡς ἐν τῷ „ὃς †νείκεσσεν τε† θεάς" (Ω 29). καὶ ὅτι παρέλκει συνήθως αὐτῷ τὸ πάντες. A

*ex.* *b.* οἱ δ' ἐννέα πάντες ἀνέσταν: πλεονάζει τὸ πάντες· οὐ γάρ, ὥς τινες, οἱ ἅπαντες ἐννέα· τί γὰρ ἐπὶ τοῦ „δέκα πάντα τάλαντα" (Τ 247. Ω 232); ἴσχυσε δὲ καὶ τοὺς ὁμογέροντας ἐγεῖραι. T

*ex.* 162. ὦρτο πολὺ πρῶτος ⟨———⟩ Ἀγαμέμνων: ὡς βασιλεὺς προτρέπων καὶ ὡς ἀχθόμενος τῇ †μελήσει† αὐτῶν. καὶ τὸν ἀδελφὸν ἐπισχὼν ἐνδείκνυται †οὐχ ὡς δεδιὼς Ἕκτορα ἀπέτρεπε τὸν Μενέλαον. b(BCE$^3$E$^4$) T

28 (49), 35 (II p. 153, 6 K.) **156** *a* — ἄνωγα (87) ad Λ 307 *b*. Ψ 245 (ex.); — μεγέθη (86) cf. D, sch. Eur. Hipp. 1 *b* ad Ψ 603 (Ariston.), cf. Eust. 672, 58; Lehrs Ar.$^3$ 146; Leumann, H. W. 226 **157** Ge: ἐπανάληψις, fort. sch. rec. **159—60** cf. Eust. 673, 10 **161** *a* — θεάς (5) ad Ω 25—30 (Ariston.), cf. Lehrs Ar.$^3$ 152; — ἔκρινεν (4) cf. Su. ν 283: νεικέσαι· παρ' Ὁμήρῳ τὸ λοιδορῆσαι, ἀλλ' οὐ τὸ κρῖναι καὶ ὅτι παρέλκει (5) sq. ad Ο 189 *a*. Σ 373. 470. Ψ 882. Ω 232 (Ariston.), cf. Eust. 673, 43; sch. ε 244. θ 258 **162** cf. Eust. 673, 56

---

**85** le. Vill., πολλὸς ἔκειτο T, πολλὸς: A, om. b **86** τὰ μετρ.] αμετρούμενα A μεγ. AT μεταβαίνει μεγέθη b **87** δ' οὐ Hom. ἐγὼ T ἔσω A **88** εἰς T ἤτοι εἰς b ἀπηρτημένος C **93** et **94** le: add. V$^c$ **94** σχῆμα T τὸ σχῆμα τοῦτό ἐστιν, ὃ καλεῖται b **1** le. add. Ma. **3** le. A (> ante ὡς), suppl. Vill. **4** πρὸς A, ἡ διπλῆ πρὸς Vill. **5** νείκεσσε (sine τε) Hom. **10** le. T suppl. Ma., om. b ὡς T καὶ ὡς b **11** μελλήσει Bk. **12** ἐπισχὼν T δὲ ἐπισχὼν b οὐχ ὡς δεδ. T ὅτι καὶ αὐτὸς οὐ δέδιεν b, fort. ὡς οὐ δεδιὼς **12 sq.** ἀπέτρεπε sq. T εἰ καὶ ἐκεῖνον ἐκώλυσεν b

**163** *a*. τῷ δ' ἐπί {τυδείδης}: οὐκ ἀναστρεπτέον τὴν πρόθεσιν· μεταξὺ γὰρ πέπτωκεν ὁ δέ σύνδεσμος. **A** *Hrd.*

*b*. τῷ δ' ἐπὶ Τυδείδης: φιλοτιμεῖται γὰρ ἐπὶ τοῖς πεπραγμένοις καὶ θερμότερός ἐστι τῶν Αἰάντων. **b**(BCE$^3$E$^4$) **T** *ex.*

**164**. τοῖσι δ' ἐπ' Αἴαντες: δευτερεύει γὰρ Αἴας Ἀχιλλέως. συνανέστησε δὲ αὐτῷ καὶ τὸν Λοκρόν· „ἶσον" γὰρ „θυμὸν †ἔχοντες†" (N 704). πολεμεῖ δὲ νῦν καὶ κρατεῖ, ἵνα, ὅταν ἡττᾶται Ἕκτορι (cf. Π 114—24), τὸν Δία νοοῖμεν. **b**(BCE$^3$E$^4$) **T** *ex.*

**165—6**. τοῖσι δ' ἐπ' Ἰδομενεὺς (——— / Μηριόνης): ἐκείνων μὲν λείπονται, Εὐρυπύλου δὲ καὶ Θόαντος ὑπερέχουσιν. συνεργεῖ δὲ ἀεὶ Μηριόνης τῷ Ἰδομενεῖ. **b**(BCE$^3$E$^4$) **T** *ex.*

**167** *a*. τοῖσι δ' ἐπ' Εὐρύπυλος: οὐδὲ ἐνθάδε ἀναστρεπτέον, καὶ ὅτι συνήλειπται. **A** *Hrd.*

*b*. τοῖσι δ' ἐπ' Εὐρύπυλος: κρείττων καὶ οὗτος τὰ πολεμικὰ Θόαντος· περὶ λόγους γὰρ μᾶλλον δεινὸς ὁ Θόας· „ἀγορῇ δέ ἑ παῦροι Ἀχαιῶν / νίκων, **b**(BCE$^3$E$^4$) **T** ὁπ⟨π⟩ότε κοῦροι ἐρίσ⟨σ⟩ειαν" (O 283—4). **T** *ex.*

*c*. ⟨Εὐαίμονος:⟩ ψιλωτέον τὸ Εὐαίμονος εἰς ἰδιότητα. προείρηται δέ (sc. ad E 76). **A**$^{int}$ *Hrd.*

**168** *a*.$^1$ δῖος Ὀδυσσεύς: οὐχ ὡς δειλός, ἀλλ' ὡς σοφὸς εἰς πάντα μέλλει. ἄλλως τε περὶ πάντων ἀπελογίσατο· „πάντες ἄρ' οἵ γ' ἔθελον" (H 169). **T** *ex.*

*a*.$^2$ ἔσχατος τέθειται οὐχ ὡς δειλός, ἀλλ' ὡς σοφός· πάντα γὰρ λογισμῷ πράττων εἰς πάντα μέλλει. **b**(BCE$^3$E$^4$)

**170**. τοῖς δ' αὖτις μετέειπε Γερήνιος ⟨ἱππότα Νέστωρ⟩: ὁ καὶ ἀναστῆναι προτρέψας, οὐχ ὁ βασιλεύς, ὃς πονεῖν ἐθέλει. **b**(BCE$^3$E$^4$) **T** | ὅτι τοὺς μὲν καθίστησι, τοὺς δὲ ἀνίστησι Νέστωρ. **T** *ex.* | *ex.*

**163** *a* ad E 283 $a^1$ (Hrd.). Vide ad H 167 (Hrd.) **167** *a* ad E 283 $a^1$ (Hrd.). Vide ad H 163 *a* (Hrd.) ὅτι συνήλειπται (26) ad B 6 *a* περὶ λόγους (28) sq. ad O 281—4 (ex.) *c* ad E 76 (Hrd.), cf. Lehrs Ar.$^3$ 313. 314 **168** — δειλός (33)

**14** (le.) τυδ. eieci **18** αἴας om. T **19** γὰρ T γάρ φησι b ἔχοντε Hom. **21** exspectes νοῶμεν (sic Ma.), at vide ad H 114 $b^2/a^2$ **22** le. T supplevi, om. b (ubi sch. ad H 165 revocatum est) **23** θόαντος] αἴαντος C ὑπερέχουσι b **26** συνείληπται A em. Bk. **27** sq. κρείττων — θόας iterantur in C post sch. H 177 **28** ἑ om. T **29** ἀχ. νίκων b ἐνίκων ἀχαιῶν T **29** sq. ὁπότε et ἐρίσειαν T suppl. Ma. **31** le. (= A$^{cont}$) addidi **34** ἀπελογήσατο Bk., at cf. Valk I 521 **38** le. T supplevi (auctore Vill.; ἱππ. νέστ. le. in Li), om. b **39** ἐθέλει ἀεί b

*Ariston.* **171** *a.* κλήρῳ νῦν πεπάλασθε ⟨διαμπερές, ὅς κε λάχησιν⟩: ὅτι τηρεῖ τὴν διαφορὰν τοῦ κληρώσασθαι καὶ λαχεῖν. καὶ πρὸς τὸ λάχῃσιν, ὅτι ὃς ἂν λάχοι. ἡ δὲ ἀναφορὰ πρὸς τὸ „ἰχθύς, ὅς κε φάγῃσι" (Φ 127) πρὸς Φιλίταν. **A**

*Did. + Hrd.* *b.* ⟨πεπάλασθε:⟩ οὕτως Ἀρίσταρχος καὶ Ἡρωδιανὸς διὰ τοῦ σ̄, πεπάλασθε, οὐ διὰ τοῦ χ̄. **A**[im]

*ex.* *c.*[1] πεπάλαχθε: αἱ πᾶσαι „πεπάλασθε" παρὰ τὸν Πάλλαντα ἢ ἀπὸ τοῦ ἀναπάλλεσθαι τοὺς κλήρους. πεπάλαχθε δὲ μολύνθητε. **T**

*c.*[2] αἱ πᾶσαι „πεπάλασθε", ὅ ἐστι τῷ κλήρῳ ἤτοι τῷ λαχμῷ κινήθητε. ἕκαστος, φησί, τῷ ἑαυτοῦ κλήρῳ ἐν λαχήσει κινήθητε. ἀπὸ τοῦ πάλλω παλάσσω. τὸ δὲ πεπάλαχθε τὸ μολύνθητε δηλοῖ. **b**(BCE[3]E[4])

*ex.* | *Did.(?)* *d.* πεπάλασθε: οἷον κλήρῳ διακληρώσασθε. ἀπὸ τοῦ ἀναπάλλεσθαι τοὺς κλήρους πεπάλασθε λέγει. | τὸ δὲ ὅς κε λάχῃσι τινὲς γράφουσι διὰ τοῦ ω̄, ἵνα λείπῃ τὸ τίς, ὡς πολλαχοῦ παρ' αὐτῷ. **A**

*ex.* *e.* ἄλλως· κλήρῳ νῦν πεπάλαχθε: ἀνοήτως, φασίν, ἐπὶ κλῆρον ἔρχεται, δέον ἑλέσθαι τὸν ἄριστον, ὅπου κίνδυνος ἦν καὶ τὸν

ad Θ 97 *b*. K 149 **171** — λαχεῖν (42) cf. Amm. 292: λαχεῖν καὶ κληρώσασθαι διαφέρει· λαγχάνει μὲν εἷς, οὗ ἂν ὁ κλῆρος ἔλθῃ (Ὅμηρος· „κλήρῳ νῦν πεπάλαχθε διαμπερές, ὅς κε λάχῃσι"), κληροῦνται δὲ πάντες οἱ καθιέντες εἰς τὸν κλῆρον. καὶ λαχεῖν μέν ἐστι τὸ ἐκ τῶν κληρουμένων τοῦ προκειμένου τυχεῖν, κληρώσασθαι δὲ τὸ κλήρῳ χρήσασθαι, incertum, an e scholio uberiore, cf. Beiträge 302, 2 τὴν διαφορὰν (42) cf. Eust. 674, 20 καὶ πρὸς τὸ (42) sq. ad Z 459 (Ariston.). Vide ad Δ 191 *b* Φιλίταν (44) cf. fr. 57 K. *b* cf. sch. ι 331; Ludwich, A. H. T. 1, 277, 16. 575, 14; Bechtel, Lex. 266; Valk II 205; vide Beiträge 91 *c* cf. Eust. 674, 11 *c*[1] cf. Ap. S. 126, 19: πάλος· κλῆρος, ἀπὸ τοῦ πάλλεσθαι πρὸς τὴν ἄρσιν τοῦ λαγχάνοντος ἢ ἀπὸ τοῦ πάλλεσθαι τὴν καρδίαν τῶν κληρουμένων· ὅθεν ἁμαρτάνουσιν οἱ γράφοντες (sc. in ι 331) πεπαλάχθαι (Lehrs, πεπαλᾶσθαι cod.)· τοῦτο γάρ ἐστι τὸ μεμολύσθαι, καθά φησιν· „αἵματι καὶ λύθρῳ πεπαλαγμένον" (Z 268), vide ad sch. *b*; — τοὺς κλήρους (48) ad H 181 (ex.), cf. D ad H 171 ἀπὸ τοῦ ἀναπάλλεσθαι τοὺς κλήρους (48) cf. D; Et. Gen. (= EM. 661, 3) *d* ἀπὸ

**41** sq. le. A suppl. Frdl. **42** ὅτι A, fort. ἡ διπλῆ, ὅτι **43** λάχοι Frdl., λάχηι A ἰχθῦς A em. Bk. **44** φιλ. scripsi, φιλιτᾶν A, φιλήταν Kuchenmueller; vide ad Z 459 **45** le. add. Ddf. (Vill.) οὕτως Vill., ουτος (sine accentu) A **52** δὲ] γὰρ E[4] **54** le. A, fort. πεπάλασθε . . . ὅς κε λάχῃσιν: πεπάλασθε **55** ὅς κε Bk., καὶ ὥς κε A **56** τινὲς Ddf., τινὲς δὲ A **58** ἄλλως et le. (coni. cum scholio *c*[1], v. μολύνθητε) T, om. **b** ἀνοήτως δέ φασιν sq. pone sch. H 171—3 (coni. cum v. ὠφ. τοὺς ἕλληνας) **b** **59** δέον γὰρ **b** τὸν ἄρ. πάντων **b** **59** sq. ὅπου — λαχεῖν T ὅπου τοιοῦτος ὁ κίνδυνος ἦν, τὸν δὲ φαυλότατον ἐᾶσαι **b**

φαυλότατον λαχεῖν. τοῦτο δὲ ποιεῖ ὁ Νέστωρ, ἵνα †μηδενὸς† προκριθέντος ὑβρισθῶσιν οἱ λοιποί, πρός τε τὸν πολέμιον ἵνα ἐνδείξηται ὅτι οὐχ ἕνα μόνον οἴεται ἀξιόχρεων εἶναι πρὸς αὐτὸν μάχεσθαι, καὶ ἵνα μήτε νικήσας τὸν ἄριστον δοκῇ νενικηκέναι, ἀλλὰ τὸν ὑπὸ τοῦ κλήρου δεδομένον, μήτε ληφθεὶς ὑπὸ τοῦ ἀρίστου λελῆφθαι, ἀλλ' ὑπὸ τοῦ λαχόντος. ἅμα δὲ καὶ ἀγωνιᾷ ἐπὶ τῷ κλήρῳ ὁ ἀκροατής. **b**(BE$^3$ E$^4$) **T**

**171—4** *a.*$^1$ κλήρῳ νῦν πεπάλασθε ⟨——— δηϊοτῆτος⟩: στικτέον κατὰ τὸ τέλος τοῦ στίχου (sc. 171). τὸ δὲ ἑξῆς λεγόμενον οὗτος γὰρ δὴ ὀνήσει (172) ἤτοι περὶ τοῦ κλήρου ἐστὶν ἢ τοῦ λαχόντος, ὃ καὶ βέλτιον· ἐπιφέρει γὰρ καὶ δ' αὐτὸς ὃν θυμὸν ὀνήσεται (173). ἄλλως μέντοι γε ὕποπτος οὗτος ὁ στίχος ἦν· δυσέλπιδας γὰρ †τούτους† ποιεῖ. τὸ δὲ ἐν τῷ πρώτῳ στίχῳ δοκοῦν ἀκατάλληλον εἶναι 'κληρώθητε ὅς ἂν λάχῃσι' (cf. 171) σύνηθες Ὁμήρῳ ἐστίν, οἷον κληρώθητε· λάχοι γὰρ ἄν τις. τὸ δὲ διαμπερές πρόσκειται ἀντὶ τοῦ διηνεκῶς, οἷον πάντες. ταῦτα δέ τινες ὑπιδόμενοι ἀφ' ἑτέρας ἀρχῆς ποιοῦσιν ἀναγινώσκειν, διαμπερές, ὅς κε λάχῃσιν, / οὗτος γὰρ δὴ ὀνήσει (171—2), ἵν' ᾖ τὸ ἑξῆς οὗτος γὰρ δὴ διαμπερὲς ὀνήσει, ὅς κε λάχῃσι. οἱ δὲ καὶ οὕτως· ὅς κε λάχῃσιν, / οὗτος γὰρ δὴ ὀνήσει (171—2), δῆλον ὅτι μετὰ τὸ διαμπερές (171) στίζοντες. ταῦτα ὁ Νικάνωρ (p. 191 Friedl.). **A** *Nic.*

*a.*$^2$ οὕτως συνάπτειν δεῖ ὅς κε λάχῃσιν, οὗτος γὰρ δὴ ὀνήσει. **A**$^{int}$

**171—3.** διαμπερὲς ⟨——— ὀνήσεται⟩: διηνεκῶς ἀπὸ πέρατος εἰς πέρας ἐλθόντος τοῦ κλήρου, ὅ ἐστι διὰ πάντων. εἶτα ἀπὸ ἄλλης *ex.(Nic.)*

τοῦ (54) — κλήρους (55) cf. sch. *c*$^1$ *e* — μάχεσθαι (62) cf. Eust. 674, 5 τοῦτο δὲ (60) — δεδομένον (64) sim. Ge (e T): κλῆρον ποιῆσαι λέγεται ὁ Νέστωρ, ἵνα μηδενὸς — οἱ λοιποί, καὶ ἵνα δείξῃ ὅτι οὐχ ἕνα μόνον ἔχουσιν ἀξιόχρεων πρὸς αὐτὸν μάχεσθαι, καὶ ἵνα μὴ νικήσας δοκῇ τὸν ἄριστον νενικηκέναι, ἀλλὰ — δεδομένον **171—4** ὕποπτος (71) cf. Friedl., Nic. 119: „Apparet versum suspectum fuisse propter verba αἴ κε φύγῃσιν. Quem qui rejiculum putaret, ei etiam sequens expungendus erat" **171—3** — ὠφελήσει (85) cf. D; — πάντων (84) cf.

---

**60** fort. μὴ ἑνός **61** πρός τε — ἐνδ. T τῷ τε πολεμίῳ ἐνδείκνυται **b** **62** οἴεται om. T (de Ge cf. test.) εἶναι om. **b** εἰς τὴν πρὸς αὐτὸν μάχην **b** **63** τοῦ (ante κλήρου) om. **b** **64** λειφθεὶς . . . λελεῖφθαι **b** **65** λαχ. τὸν κλῆρον. ἅμα δὲ **b** **67** le. A suppl. Frdl. **71** γε Bk., τε A **72** τούτοις (sc. verbis αἴ κε φύγῃσι sq.) Lehrs, fort. recte **73** ἂν Frdl., ἐὰν A **75** ὑπειδόμενοι A em. Vill. **81** sq. δὴ ὀνήσει Vill., διονήσει A **83** le. T supplevi, om. **b** διην. ἀπὸ T τὸ δὲ διαμπερὲς τὸ διηνεκῶς ἀπὸ coni. cum scholio Η 171 *c*$^2$ (v. δηλοῖ) in **b**, fort. τὸ διαμπερές διηνεκῶς ἀπὸ **84** τοῦ om. E$^3$

ἀρχῆς· ὃς γὰρ ἂν λάχῃ, καὶ Ἕλληνας καὶ ἑαυτὸν ὠφελήσει. τινὲς τελείαν εἰς τὸ λάχῃσιν (171). λέγει δὲ κληρώθητε· λάχοι γὰρ ἄν τις, b(BCE$^3$E$^4$) T ὡς καὶ τὸ „μάρνασθ', ὀπ⟨π⟩οτέροισι πατὴρ Ζεὺς κῦδος ὀρέξει" (E 33). T οἱ δὲ στίζουσιν εἰς τὸ „πεπάλασθε" (171), εἶτα, ὃς γὰρ ἂν λάχῃ, διηνεκῶς καὶ εἰς πάντα τὸν βίον ὠφελήσει τοὺς Ἀχαιούς. b(BCE$^3$E$^4$) T

*ex.* 172. ⟨Ἀχαιούς:⟩ ὡς ἔχοντας ἀξιόμαχον Ἕκτορι. T$^{il}$

*Ariston.* 175 *a.* ⟨ἐσημήναντο:⟩ ὅτι σημείοις χρῶνται, οὐ γράμμασιν. A$^{im}$A$^{int}$

*ex.* *b.*$^1$ ἐσημήναντο: γράμμασιν. T καὶ πῶς οὐ γινώσκει ὁ κῆρυξ; ἐθνικὰ γὰρ ἦν. T

*b.*$^2$ γράμμασιν ἐσημήναντο. b(BCE$^3$E$^4$) καὶ πῶς ὁ κῆρυξ οὐδὲ οἱ ἄλλοι γνωρίζουσιν; ὅτι ἐθνικὰ ἦν. b(BCE$^3$)

*Hrd.* 177 *a.*$^1$ ⟨λαοὶ δ' ἠρήσαντο⟩ θεοῖς ἰδὲ χεῖρας ἀνέσχον: ὁ Ἀσκαλωνίτης (p. 48 B.) διαστέλλει ἰδὲ χεῖρας ἀνέσχον, ὡς „ἰδὲ κλέος ἐσθλὸν ἄροιτο" (E 3), ἵνα γένηται καὶ χεῖρας ἀνέσχον. Ἀλεξίων (fr. 34 B.) δὲ τὴν κατειθισμένην παραλαμβάνει, „λαοὶ δ' ἠρήσαντο, θεοῖσι δὲ χεῖρας ἀνέσχον". οὕτως καὶ οἱ περὶ Ἡρακλέωνα (fr. 7 B.). οὐκ ἀποδοκιμάζει μέντοι τὴν ἑτέραν ὁ Ἀλεξίων· καὶ ἡμῖν οὕτως δοκεῖ. A

*a.*$^2$ διχῶς, καὶ „θεοῖσι δέ" καὶ θεοῖς ἰδέ. A$^{im}$

*a.*$^3$ διχῶς δὲ θεοῖς ⟨ἰδὲ χεῖρας⟩ καὶ „θεοῖσι δὲ χεῖρας". T

*ex.* *b.* λαοὶ δ' ἠρήσαντο ⟨θεοῖς ἰδὲ χεῖρας ἀνέσχον⟩: ἡδέα καὶ Ἑλληνικὰ ἀγωνιᾶν τοὺς Ἕλληνας περὶ εὐδοξίας. b(BCE$^3$E$^4$) T

*ex.* 179—80. ἢ Αἴαντα λαχεῖν ⟨——— Μυκήνης⟩: τάξιν ἡ εὐχὴ ἔχει, τὸν πρῶτον κατ' ἀλκὴν καὶ τὸν δεύτερον καὶ τὸν τρίτον καταλέγουσα. b(BCE$^3$E$^4$) T

Eust. 674, 32 175 *a* ad H 187 (Ariston.), cf. D, D ad H 187; Eust. 674, 35 *b* ad Z 168 (ex.); vide ad H 185 *a* γράμμασιν (94 et 01) cf. Ep. Hom. (An. Ox. 1, 239, 27, Et. Gen. = EM. 519, 7, Et. Gud. 327, 36) *b*$^1$ verba καὶ πῶς (94) — γὰρ ἦν (95) in mg. E$^4$, fort. ex h 176 cf. sch. min. (?) de v. κυνέη ap. De Marco II 136; vide He. κ 4569 177 *a* cf. sch. D. Thr. ($\Sigma^v$) 150, 24, ibid. ($\Sigma^l$) 444, 34, Eust. 674, 46. Vide ad Γ 318 (Nic.) 179—80 cf. Max. Tyr. 10, 7 f—h

85 τινὲς δὲ b 86 δὲ T δὲ ὅτι BE$^3$E$^4$ γὰρ ὅτι C 87 μάρνασθαι T em. Bk. ὁποτέροισι T suppl. Bk. 90 ἀχ. T ἕλληνας b 91 le. add. Ma. 92 le. add. Bk., om. A (utroque loco) ὅτι A (utroque loco), ἡ διπλῆ, ὅτι Bk. 94 sq. ἀπορία ante καί, et λύσις ante ἐθνικὰ add. m. sec. 3 le. A suppl. Vill. (pro θ. ἰδὲ fort. scribendum θεοῖσι δὲ) 5 et 7 χεῖρας A em. Bk. 11 διχῶς δὲ θεοῖς sq. post sch. *b* (coni. cum v. εὐδοξίας) in T, transposui 12 le. T supplevi (auctore Vill.), om. b 13 καὶ T ταῦτα καὶ b ἀγων. T τῶι (τὸ Bk.) ἀγωνιᾶν b περὶ T περὶ τῆς b 14 le. T supplevi, om. b (qui sch. ad v. 179 rettulit) 15 sq. καταλέγ. om. T

179. ⟨λαχεῖν:⟩ λείπει τὸ δός. $T^{il}$ *ex.*

180. ⟨Μυκήνης:⟩ ὅτι ἀλλαχοῦ (sc. Β 569. Δ 376) πληθυντικῶς Μυκήνας. $A^{int}$ *Ariston.*

181. πάλλεν δὲ Γερήνιος: ὡς μὴ κακουργηθῆναί τι περὶ τὸν κλῆρον· πιστότατος γάρ. b(BCE$^3$E$^4$) T | τὸ δὲ πάλλεν ἀντὶ τοῦ ἐκλήρου. T *ex.* | *D*

182 *a.* ⟨ἐκ δ' ἔθορε κλῆρος κυνέης:⟩ ὅτι ἀνέσειον τοὺς κλήρους, οὐκ ἐξῃροῦντο, ὡς ἡμεῖς νῦν. $A^{im}$ *Ariston.*

*b.* ⟨ὃν ἄρ' ἤθελον αὐτοί:⟩ πιθανῶς εἴρηται τοῦτο, εὐχῆς γὰρ τὸ ἔργον ἦν, καὶ κεχαρισμένως τῷ ἀκροατῇ. b(BCE$^3$E$^4$) *ex.*

184 *a.*$^1$ ἐνδέξια: ὅταν ἀντὶ ἐπιρρήματος ᾖ, ἀντὶ τοῦ ἐπιδεξίως ἐνδέξια, τρίτη ἀπὸ τέλους ἡ ὀξεῖα. A *Hrd.*

*a.*$^2$ βαρυντέον τὸ ἐνδέξια· ἐπίρρημα γάρ ἐστιν ἀντὶ τοῦ ἐνδεξίως. b(BCE$^3$) T

185 *a.* οἱ δ' οὐ γιγνώσκοντες: οὐχ οἱ αὐτοὶ γὰρ ἦσαν παρὰ πᾶσι τοῖς Ἕλλησι χαρακτῆρες. διάφορα δὲ καὶ τὰ τῶν στοιχείων ὀνόματα, ὡς τὸ σάν. Καλλίστρατος δὲ Σάμιος ἐπὶ τῶν Πελοποννησιακῶν μετήνεγκε τὴν γραμματικὴν καὶ παρέδωκεν Ἀθηναίοις ἐπὶ ἄρχοντος Εὐκλείδου, ὥς φησιν Ἔφορος (FGrHist 70, 106). b(BCE$^3$E$^4$) T τινὲς δὲ τὸ οὗ περισπωμένως καὶ δασέως, ἵν' ᾖ αὐτοῦ τοῦ Αἴαντος αὐτὸν εἰδότες, κακῶς. T *ex.*

*b.* ⟨ἀπηνήναντο ἕκαστος:⟩ ἐναρτᾷ τέως ἡμῶν τὸν νοῦν, οὐκ εὐθὺς ἐπὶ τὸν Αἴαντα τὸν κλῆρον φέρων. b(BCE$^3$E$^4$) T *ex.*

179 cf. Eust. 674, 49 180 ad Η 135. Λ 46 (Ariston.). Vide ad Δ 52 181 cf. Eust. 675, 9 πιστότατος γάρ (21) cf. sch. min. ap. De Marco II 136 τὸ δὲ πάλλεν (21) sq. cf. sch. min. ap. De Marco II 136. Vide ad Η 171 *c*$^1$ 184 cf. sch. ρ 365, Ep. Hom. (An. Ox. 1, 169, 23. 176, 3), Et. Gen. (AB) ἐνδεξιᾷ (e Choer. O. ?); He. ε 2764; vide ad Ι 236 *b* (Hrd.); Buttmann I 165 ἐπιδεξίως (27) = D 185 *a* vide ad Η 175 *b* Καλλίστρατος (33) — Ἔφορος (35) cf. Paus. att. σ 3 (test.) ἐπὶ ἄρχ. Εὐκλείδου (34) h. e. anno 403/2; FGrHist = Artium scriptores ed. Radermacher (1951) B 33, 8 (p. 197) τινὲς δὲ (36) sq. cf. Aristot. soph. el. 166 b 3 (vide ad Ψ 328) *b* ἐναρτᾷ (38) cf. Valk I 514

---

17 le. add. Ma. 18 le. add. Bk. ὅτι A, ἡ διπλῆ, ὅτι Vill. 21 γάρ T γὰρ οὗτος ἦν (ἦν περὶ BE$^4$) τῶν ἄλλων (τ. ἑτέρων C) b 23 le. add. Vill. ὅτι A, ἡ διπλῆ, ὅτι Vill. 25 le. add. Li 27 ᾖ Bk., ἡ A 27 sq. ἀντὶ τοῦ ἐπιδ. (ἐπιδεξιῶς A) ἐνδ. A, τοῦ ἐπιδεξίως τὸ ἐνδέξια Bk. 29 ἐπίρημα T ἀντὶ] ἀπὸ BE$^3$ 33 ὡς τὸ ἐὰν T em. Bk., om. b δὲ T δὲ ὁ b 33 sq. πελλοποvησιακῶν C 34 ταύτην μετήν. τὴν b 34 sq. ἐπὶ ἄρχ. εὐκλ. om. b 35 εὐκλήτου T em. Ma. 36 τὸ οὗ scripsi, τὸ οἱ T αἴαντες T em. Bk. 38 le. add. Ma. ἐναρτᾷ — νοῦν T τέως δὲ ἡμῶν ἐξαρτᾷ τὸν νοῦν (coni. cum scholio praecedenti, v. ἔφορος) b ἐξαρτᾷ Ma., olim fuisse credo ἀναρτᾷ 39 ἐπὶ τὸν κλῆρον ss. τὸν αἴαντα T (τὸν αἴαντα ante τὸν κλ. add. $T^{rec}$) φέρων τὸν κλ. b

*Did.* 186 *a.*[1] ⟨ἀλλ' ὅτε δή ῥ' ἵκανε:⟩ διχῶς· ἀλλ' ὅτε δή ῥ' ἵκανε καὶ „ἀλλ' ὅτε δὴ τὸν ἵκανε". A$^{im}$

*a.*[2] διχῶς ἡ γραφή. T$^{il}$

*Ariston.* 187. ὅς μιν ἐπιγράψας: ὅτι οὐ γράμμασι τῆς λέξεως, ἀλλ' ἐγχαράξας σημεῖα· εἰ γὰρ κοινῶς ᾔδεσαν γράμματα, ἔδει τὸν κήρυκα ἀναγνῶναι καὶ τοὺς ἄλλους, οἷς ἐπεδείκνυτο ὁ κλῆρος. A

*ex.* 189—90 *a.*[1] γήθησε δὲ θυμῷ. ⟨/ τὸν μὲν πὰρ πόδ' ἑὸν χαμάδις βάλε⟩: ἀλλαχοῦ τὸ σῶμα, νῦν δὲ τὴν γνώμην αὐτοῦ ἐπαινεῖ. καλῶς δὲ οὐκ εἶπεν ἐμειδίασεν· τοῦτο γὰρ εἰρωνικὸν ἐπὶ τῶν φίλων ἦν, ἑξῆς δὲ καταπλῆσσον τὸν πολέμιον. T

*a.*[2] καλῶς οὐκ εἶπεν ἐμειδίασε· τοῦτο γὰρ εἰρωνικὸν ἐπὶ τῶν φίλων ἦν. βάλλει δὲ χαμαὶ τὸν κλῆρον τύπον τῆς ἥττης Ἕκτορος παρεντιθείς. b(BCE$^3$E$^4$)

*ex.* 192. δοκέω νικησέμεν: μέτριον καὶ Ἑλληνικὸν τὸ ἦθος· οὐχ ὡς ὁ Ἕκτωρ γὰρ περὶ τῶν ἀδήλων ὑπισχνούμενος b(BCE$^3$E$^4$) T „ὡς πυρὶ νῆας ἐνιπρήσω, κτείνω δὲ καὶ αὐτούς" (Θ 182). T

*ex.* 193 *a.* ⟨ὄφρ' ——— δύω:⟩ ἐπασφαλίζεται ὡς διακινδυνεύων. T$^{il}$

*Did.* *b.* ⟨δύω:⟩ Ἀρίσταρχος „δύνω", ἄλλοι δὲ δύω. A$^{int}$

*ex.* | *ex.* 194. τόφρ' ὑμεῖς εὔχεσθε: Ἑλληνικὸν τὸ πρὸ τῶν κινδύνων εὔχεσθαι. ἅμα καὶ τὸ διάκενον πληροῖ. ἡ δὲ τῶν πολλῶν εὐχὴ εἰσακούεται. | ὅτι καὶ τὸν κράτιστον ἐπὶ θεοὺς δεῖ καταφεύγειν. b(BCE$^3$ E$^4$) T

*Ariston.* 195—9. σιγῇ ἐφ' ὑμείων (195) ἕως τοῦ ἔλπομαι ἐν Σαλαμῖνι (199): στίχοι πέντε ἀθετοῦνται, ὅτι οὐ κατὰ τὸν Αἴαντα οἱ λόγοι καὶ ἑαυτῷ ἀνθυποφέρει γελοίως. A

**186** A m. rec. in mg. exteriore verba ἀλλ' ὅτε δὴ τὸν ἵκανε adscripsit **187** ad H 175 *a* (Ariston.). Vide ad Z 169 *a* (Ariston.) εἰ γὰρ (44) sq. ab Aristarcho abiudicat Leeuwen, Ench. 11 not. j, fort. temere **189—90** καλῶς δὲ (48) sq. vide ad H 212 *b* ἑξῆς δὲ (49) sq. ad H 212 *b* (ex.) **192** cf. Eust. 675, 61 **194** cf. Ge (e T): Ἑλληνικὸν — εὔχεσθαι. καὶ δείκνυσιν ὅτι δεῖ καὶ τὸν ἄριστον ἐπὶ θεοὺς καταφεύγειν, cf. app. crit. **195—9** ad H 198 (Ariston.) οὐ κατὰ τὸν Αἴαντα (63) cf. Wilamowitz, H. U. 244, 6; aliter Cauer 621, 17 ἀνθυποφέρει (64) sc. H 196

---

**40** le. add. Vill. **40** sq. ῥ' ἵκανε (ante καὶ) Lehrs, ῥ' ἵκοντο A **42** supra v. H 187 in T (καὶ ἐνιγράψας add. m. rec.), trps. Ldw. (ὅς μιν ἐπιγράψας le. in V$^c$) **43** ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **43** sq. ἐνχαράξας A em. Vill. **46** sq. le. T supplevi **49** καταπλήσσων T emendavi **50—2** sch. ad H 189 revocavit b **50** εἰρων. γὰρ τοῦτο E$^4$ **52** παρενθείς E$^4$ **53** τὸ ἦθος om. T **54** γὰρ om. T ὑπισχνεῖται b **56** le. add. Nickau, cl. scholio ad H 103 fort. ὡς διακινδυνεύσων **57** le. addidi (auctore Vill.) **59** πληροῖ sc. Homerus **59** sq. εἰσακούεται, ὅτι bT, dist. Ma. (cf. Ge) **62** σιγῇ ἐφ' ὑμείων: A (instar lemmatis scriptum), signum transposui **64** ἀνθ' ὑποφέρει A em. Vill.

**195.** σιγῇ ἐφ' ὑμείων: ἵνα μὴ δόξωσιν ἐπ' εὐχὰς τρέπεσθαι τὸν Ἕκτορα δεδοικότες. b(BC$E^3E^4$) T *ex.*

**196.** ⟨οὔτινα δείδιμεν:⟩ οὐ διὰ δέος αὐτὸ ποιοῦμεν. $T^{il}$ *ex.*

**197—8** *a.*$^1$ οὐ γάρ τίς με βίῃ ⟨——/⟩ οὐδέ τ' ἀϊδρείῃ: ἐκ δυοῖν γὰρ νίκη προσγίνεται †περὶ† ὧν τὸ μὲν ἐγνωσμένον παρῆκε, τὸ δὲ ἑξῆς ἐπεξεργάζεται. μετρίως δέ φησιν οὐ βιάσεταί μέ τις. ὁ δὲ Ἕκτωρ „αὐτὰρ ἐγὼν εὖ οἶδα μάχας ἀνδροκτασίας τε" (H 237). T *ex.*

*a.*$^2$ ἐκ δυοῖν γὰρ ἡ νίκη προσγίνεται, ἀνδρείας καὶ πολυπειρίας, ὧν τὸ μὲν ἐγνωσμένον παρῆκε, τὸ δὲ ἑξῆς ἐπεξεργάζεται. μετρίως δέ φησιν ὅτι μὴ βουλόμενόν με οὐδεὶς βουλόμενος βιάσασθαι βιάσεται. καὶ τίς, φασί, βούλεται βιασθῆναι; διὰ τούτου φαμὲν ὅτι τὸ τῶν πολλῶν ἀμελὲς ἐνδείκνυται. b(B$E^3E^4$)

**197** *a.*$^1$ ⟨ἑκὼν:⟩ Ἀρίσταρχος διὰ τοῦ $\overline{\lambda}$ „ἑλών". $A^{im}$ *Did.*

*a.*$^2$ αἱ Ἀριστάρχου καὶ αἱ πλείους „ἑλών". $T^{il}$

*a.*$^3$ γράφεται {δὲ} καὶ „ἑλών". b(B$E^3E^4$)

*b.* ⟨δίηται:⟩ †πορεύηται. $T^{il}$ *ex.*

**198** *a.*$^1$ οὐδέ τ' ἀϊδρείῃ: διὰ τοῦ $\overline{\tau\iota}$ εἶχον αἱ Ἀριστάρχου. ἡ δὲ Ἀριστοφάνους „οὐδὲ μὲν ἰδρείῃ". | ἠθέτηντο δὲ καὶ παρὰ Ἀριστοφάνει καὶ Ζηνοδότῳ. A *Did.* | *Did.*

*a.*$^2$ οὐδέ τ' ἀϊδρείῃ: „οὐδέ τι ἰδρείῃ". παρὰ Ἀριστοφάνει „οὐδὲ μὲν ἰδρείῃ". | ἠθέτηντο δὲ καὶ παρὰ Ἀριστοφάνει καὶ Ζηνοδότῳ. T

*b.* ἀϊδρείῃ: τῇ πολυπειρίᾳ, ἐπιτάσει τοῦ $\overline{\alpha}$. b(B$E^3E^4$) *ex.*

*c.*$^1$ {ἐπεὶ οὐδ'} ἐμέ: ἐν ὀρθῇ τάσει ἀναγνωστέον, ἵνα ᾖ ἀντιδιαστολὴ πρὸς ἄπειρα πολέμου τινὰ πρόσωπα. A *Hrd.*

**197—8** — περὶ (69, resp. πολυπειρίας 72) cf. Eust. 676, 12 μετρίως δὲ (70 et 73) sq. cf. Eust. 676, 19 **197** *b* cf. sch. min. ap. He. δ 1766 (δίηται· διώξῃ); Valk I 415, 9 **198** *a* A m. rec. in mg. exteriore verba γράφεται οὐδέ τε ἰδρείῃ appinxit ἡ δὲ Ἀριστοφ. (resp. παρὰ Ἀριστοφ.) — ἰδρείῃ (82 et 85) cf. Duentzer, Zen. 16 n. 61: „Aristophanem lectionem οὐδὲ μὲν ἰδρείῃ a Zenodoto accepisse est probabile", at cf. Ludwich, A. H. T. 1, 278, 22 not. ἠθέτηντο (82 et 85) sc. versus H 195—9 (cf. app. crit.). Vide ad H 195—9 *c* ad Z 355 (Hrd.). Vide ad

---

**65** sq. δεδ. τὸν ἕκτ. (ἕκτ. δεδοικότες $E^4$) post δόξωσι b **66** δεδοικότας T **67** le. add. Bk. (οὔτ. δείδ. ἔμπης add. $V^c$) **68** le. T suppl. Ma. **69** περὶ cf. sch. *a*$^2$ **72—6** sch. ad H 197 rettulit b **72** ἀνδρίας B (ut b aliis locis scribere solet) **75** φησὶ (cp.) B$E^3E^4$ em. Bk. **77** le. add. Bk. **79** γράφεται δὲ sq. coni. cum scholio H 197—8 *a*$^2$ (v. ἐνδείκνυται) in b, δὲ delevi **80** le. add. Ma. fort. πορεύῃ **81** $\overline{\tau\iota}$ Spitz., ῑ A **82** οὐδὲ μὲν A, οὐδέ με Nck. **82—3** et **85—6** ἠθέτηντο sq. ad sch. H 195—9 trps. Ldw., quod in Didymo valet **87** le. Bk., ἀϊδρείῃ δὲ (τῇ sq.) coni. cum scholio H 197 *a*$^3$ (v. ἑλών) in b $\overline{\alpha}$ B$E^4$ $\overline{\alpha\iota}$ $E^3$ **88** (le.) ἐπεὶ οὐδ' del. Bk., ἐμέ le. in V ante sch. *c*$^2$

*c.*[2] ἡ παράδοσις ὀρθοτονεῖ τὴν ἐμέ. $T^t$

*c.*[3] τὴν δὲ ἐμέ ὁ Ἡρωδιανὸς (cf. 2, 58, 37) εὐλόγως ὤξυνεν. b($BE^3E^4$)

*ex.(?)* *d.* ⟨νηΐδα:⟩ δειλόν. $T^{il}$

*ex.* 199 *a.* ἔλπομαι ἐν Σαλαμῖνι: καλῶς τὴν ἐκ παιδείας ἀρετὴν τῇ θρεψαμένῃ περιάπτει b($BCE^3E^4$) T πατρίδι· καὶ τοῦτο γὰρ Ἑλληνικὸν καὶ φιλοδίκαιον. b($BCE^3E^4$)

*Hrd.* *b.* γενέσθαί τε: ἀλλεπάλληλοι ὀξεῖαι, καίτοι σπονδειακόν ἐστιν, ἀλλ' ἴσως ἵνα ἐκφύγωμεν τὸν διπλασιασμὸν τοῦ ῥήματος, λέγω δὲ τοῦ τετραφέμεν τε, ὡς καὶ ἐν τῇ τ τῆς Ὀδυσσείας (sc. 320) παραλόγως ἐνεκλίναμεν ἐν τῷ „ἠῶθεν δὲ μάλ' ἦρι λοέσσαί τε χρῖσαί τε", ἵνα μὴ πληθυντικὸν ῥῆμα ὑπολάβωμεν. A

*Ariston.* 202 *a.* {ζεῦ πάτερ} Ἴδηθεν: ὅτι τὸ θεν παρέλκει νῦν· ἔστι γὰρ ἀντι τοῦ Ἴδης. A

*ex.* *b.* Ἴδηθεν μεδέων: καλῶς †ἐγχωρίως† καλεῖ τὸν θεόν, ἐν ᾗ καὶ ἀγωνίζονται, ἵνα μὴ παρὰ μόνοις Τρωσὶ τιμώμενος ἐναντίος εἴη Αἴαντι. b($BCE^3E^4$) T

*ex.* 204. εἰ δὲ καὶ Ἕκτορά ⟨περ⟩ φιλέεις: θέλων αὐτοὺς ἐπ' ἴσης διαλλάξαι ὁ ποιητὴς οὐ συνίστησιν ἐν τῇ εὐχῇ. b($BCE^3E^4$) T

*ex.* 208 *a.* σεύατ' ἔπειθ' ⟨οἷός τε πελώριος ἔρχεται Ἄρης⟩: ἐκτείνει τὰς συλλαβάς, τὸ σχῆμα τῆς ὄψεως καὶ τῆς πορείας δηλῶν. b ($BCE^3E^4$) T

*ex.* *b.* οἷός τε πελώριος ⟨———⟩ Ἄρης: ἤδη προεπαίρει τὸν Αἴαντα καὶ τὴν ἔκβασιν ὑποφαίνει. καὶ ἀπήρκει μὲν μέχρι τούτου τὸ τῆς εἰκόνος, προσφιλοτιμεῖται δὲ ὁ ποιητὴς τὰ λοιπά (sc. Η 209—10). b($BCE^3E^4$) T

Ζ 206 (test.) *d* aliter D (ἄπειρον) **199** *a* — περιάπτει (95) cf. Eust. 676, 8 *b* ad Ζ 289 (Hrd.), cf. sch. γ 28; Isid. orig. 1, 18, 6. Vide ad Β 223. Σ 191 (Hrd.); Wackernagel II 1106; Beiträge 394; M. L. West, Hesiod: Theogony (Oxon. 1966) p. 440 **202** *a* ad Γ 276 *a* (Ariston.)

---

**91 sq.** τὴν δὲ ἐμέ sq. coni. cum scholio *b* (v. τοῦ ᾶ) in **b** **93** le. add. Ma. **94** παιδιᾶς T **2** le. γενεσθαί τε: A em. Bk., fort. γεν. τε τραφέμεν τε: **3** ἵνα Vill., ἔρ ἵνα A **4** τετράφεμέν τε A em. Bk. **5** ἦρη A em. Vill. χρῖσέν A em. Bk. (Vill.) **7** (le.) ζ. πάτερ eiecit Bk. ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **9** ἐγχ.] ἐκ χώρας Wil., recte **9 sq.** ἐν ᾗ T ἵνα **b** **10** ἀγωνίζωνται **b** εἴη] exspectes ᾖ (itaque Ma.), at vide ad Η 114 $b^2/a^2$ **12** le. T suppl. Ma. (auctore Vill.) ἐπίσως T **13** οὐ συνίστησι T οὐδένα συνίστησιν οὐδὲ **b**, οὐδὲ διίστησιν Ma., fort. προσυνίστησιν ἐν om. T **14** le. T suppl. Ma. (auctore Vill.), om. **b** **15** ἐκτείνει δὲ καὶ τὰς sq. pone sch. *b* (coni. cum v. λοιπά) in **b** πορ.] δειλίας C δηλῶν αἴαντος **b**, fort. recte **17** le. T suppl. Ma., om. **b** **18** μὲν T μὲν καὶ **b**

210. ⟨ἔριδος μένει:⟩ περιφραστικῶς ἔριδι. $A^{int}T^{il}$ *ex.*

212 *a*. μειδιόων βλοσυροῖσι ⟨προσώπασι⟩: οἷον ἥμερόν τι καὶ γενναῖον ἔχων τὸ πρόσωπον. b($BE^3E^4$) T *ex.*

*b*. μειδιόων: πολλὰ τεκμήρια τῆς τοῦ Αἴαντος γενναιότητος· καὶ λαχὼν γὰρ ἥσθη, πλησίον δὲ ὢν τοῦ δεινοῦ μειδιᾷ, οὐ γελᾷ· τὸ μὲν γὰρ γελᾶν θρασύτητος ἄφρονος, τὸ δὲ μειδιᾶν γέλωτος μὲν αὐστηρότερον, σκυθρωπίας δὲ φαιδρότερον, b($BCE^3E^4$) T ἐκπλῆττον Ἕκτορα, θρασῦνον δὲ τοὺς φίλους. b($BE^3E^4$) T *ex.*

*c*. προσώπασι: ἀπὸ τῆς πρόσωπα b($BCE^3E^4$) $T^{il}$ εὐθείας Αἰολικῶς προσώπατα καὶ προσώπασιν. b($BCE^3E^4$) | εὖ τὸ πληθυντικῶς προσώπασι· σμικρύνει γὰρ τὸ πρόσωπον καὶ ἀποστενοῖ δειλία, χαρὰ δὲ πληθύνει τε καὶ διαχέει. b($BCE^3E^4$) T *ex.* | *ex.*

⟨προσώπασι:⟩ ἀντὶ τοῦ προσώπῳ. $A^{im}$ *D*

213 *a*. μακρὰ βιβάς: ἡ κίνησις τοῦ σώματος ἐμφαίνει τὸ θρασὺ τῆς ψυχῆς. τῶν δὲ δειλῶν „μετοκλάζει καὶ ἐπ' ἀμφοτέρους πόδας ἵζει" (N 281). b($BCE^3E^4$) T *ex.*

*b*. ⟨βιβάς:⟩ οὕτως Ἀρίσταρχος βιβάς. $A^{int}$ *Did.*

214 *a*. ⟨τὸν δὲ καὶ Ἀργεῖοι μέγ' ἐγήθεον:⟩ Ἀρίσταρχος „τὸν δὲ καὶ Ἀργεῖοι μὲν ἐγήθεον". $A^{im}$ *Did.*

*b*. Ἀργεῖοι μέγ' ἐγήθεον: ἣν ὁ ποιητὴς ἔχει διάθεσιν, καὶ τοῖς †πρώτοις† περιάπτει. ἀπὸ δὲ τῆς τῶν ὁρώντων διαθέσεως τὸν ἔπαινον τοῦ ὁρωμένου ηὔξησεν. b($BCE^3E^4$) T *ex.*

212 *b* τὸ δὲ μειδιᾶν (26) — φαιδρότερον (27) cf. Eust. 676, 53; vide ad H 189—90 *c* — προσώπασι (31) cf. Eust. 677, 10 et 28 προσώπατα (30) cf. Tz. Lyc. 1182 εὖ τὸ (30) — προσώπασι (31) cf. sch. μ 425; Polyb. barb. 287, 8 σμικρύνει γὰρ (31) sq. cf. Eust. 676, 61 213 *a* cf. Eust. 676, 62 *b* ad N 371. O 307 (Did.). Alios βιβῶν legisse suspicatur Ludwich, A. H. T. 1, 278, 33, cf. Γ 22. N 807. Π 609. λ 539; vide ad O 686; Leaf ad

---

21 le. add. Bk. (Vill.) ἔριδι A τὸ ἔριδι T 22 le. T supplevi, om. b οἷον T, μειδιόων γὰρ οἷον coni. cum scholio *b* (v. φίλους) in b 24 πολλὰ T, πολλὰ δὲ coni. cum scholio *c* (v. διαχέει) in b 25 γὰρ et δὲ om. T ὢν τοῦ δεινοῦ T ὄντα γνοὺς τὸν κλῆρον b 26 ἀφρ. T καὶ ἀφροσύνης b 27 sq. ἐκπλήττων T 28 θρασ. b θαρσύνων T 29 le. (= $V^c$) scripsi, βλοσυροῖσι προσώπασι T (V), om. b$T^{il}$ τῆς b τοῦ $T^{il}$ πρόσωπας Lob. (Paralip. I 176) cl. Eust. 677, 28 30 εὖ δὲ τὸ b, fort. rectius 31 προσώπασι T χρήσασθαι b 33 le. add. Bk. ἀντὶ τοῦ A προσώποις, ὅ ἐστι D 34 sq. ἐμφ. — ψυχῆς T τὸ τῆς ψυχῆς ὑπεμφαίνει θάρσος b 37 le. add. Bk. (Vill.) 38 le. add. Vill. 41 πρώτοις T πρώην b, προσώποις Bk. (recte ut vid.) διαθ. T σχέσεως b 41 sq. τὸν — ὁρ. T καὶ τὸν ὁρώμενον b

*ex.* 215. Τρῶας δὲ τρόμος αἰνός: οὐ μόνος ὁ κινδυνεύων ἔτρεμεν, ἀλλὰ καὶ οἱ λοιποί. b(BC$E^3E^4$) T ταῦτα δὲ λέγει ὁ ποιητὴς μεγαλύνων Αἴαντα. T

*ex.* 216. Ἕκτορι δ' αὐτῷ θυμὸς ἐνὶ στήθεσσι πάτασσεν: τὴν κίνησιν καὶ ἀγωνίαν τῆς διανοίας ὑπέγραψε, τῶν δὲ σημείων τῆς δειλίας οὐδὲν παρέλαβεν ὡς ἐπὶ τοῦ Ἀλεξάνδρου „ὦχρός τέ μιν εἷλε παρειάς“ (Γ 35) καὶ ἐπὶ τοῦ Δόλωνος „ὑπὸ δ' ἔτρεμε γυῖα“ (Κ 390), ἀλλὰ μόνον τὴν ἀγωνίαν· περὶ γὰρ ἀξιοπίστου προσώπου ἐστὶν ὁ λόγος αὐτῷ. b(BC$E^3E^4$) T

*ex.* 217. ἀλλ' οὔ πως ἔτι εἶχεν ὑποτρέσαι: ὡς, εἴγε δυνατὸν ἦν, κἂν ἔφυγεν. ταῦτα δὲ καὶ περὶ τοῦ Ἴρου νόει (cf. σ 75—88). b (B$E^3E^4$) T

*ex.* 218. χάρμῃ: κατ' εὐφημισμόν, ἢ παρὰ τὸ κείρω κάρμη, ἢ παρὰ τὸ χαράσσεσθαι τὰ δόρατα. T

*ex.* 219 $a^1$. Αἴας δ' ἐγγύθεν ἦλθε: ὅτι οὐ περιμένει τὸν προκαλεσάμενον. T

$a^2$. γενναῖος γὰρ ὢν οὐ μένει τὸν προκαλεσάμενον. b(BC$E^3$ $E^4$)

*ex.* 220 $a^1$. ὃ οἱ Τυχίος κάμε τεύχων: δόξαν ἡμῖν ἀληθείας ἐμποιῆσαι θέλων τὸν τρόπον τῆς παρασκευῆς, τὸν τεχνίτην, τὴν πόλιν φησίν. πηρωθεὶς δὲ ἐκ Κολοφῶνος μετῳκίζετο εἰς Σμύρναν· μετὰ δὲ βίου

O 307. Ipsum poetam scripsisse βιβῶν censet Valk II 136 **215** — λοιποί (44) cf. Eust. 677, 52; sim. Plut. mor. 30 a **216** aliter sch. σ 77; — διανοίας (47) cf. Wackernagel II 1048, 1 τὴν κίνησιν (46) cf. D **217** fort. paulo plura legit Eust. 678, 6: ἔνθα καί φασιν οἱ παλαιοὶ ὅτι πρώτη αὕτη Ἕκτορος ἧττα τὸ πατάσσειν αὐτῷ τὸν θυμὸν ὡς καὶ φυγεῖν ἄν, εἰ μὴ προεκαλέσατο χάρμῃ φθάσας αὐτός κἂν ἔφυγεν (53) cf. D ταῦτα δὲ (53) sq. cf. sch. σ 77 **218** — εὐφημισμόν (55) = Or. 162, 26 παρὰ τὸ χαράσσεσθαι (55) sq. ad N 82 *a* (ex.) **220—1** Eust. 678, 12: Ὕλη δὲ νῦν πόλις Βοιωτίας . . . τινὲς δὲ γράφοντες „Ὕδηι“ διὰ τοῦ δ φασὶ πόλιν εἶναι Ὕδην, ἐν ᾗ ᾤκει Ὀμφάλη, βασίλειον Λυδῶν, τὰς νῦν Σάρδεις, | ἱστοροῦντες ὅτι πηρωθεὶς Ὅμηρος μετοικίζεται εἰς Σμύρναν ἐκ Κολοφῶνος, ἐλθὼν δὲ εἰς τὸ Νέον τεῖχος, ὃ ἦν ἀποικία Κυμαίων, καὶ μεταλαβὼν ἐκεῖ τῆς τοῦ Κυμαίου Τυχίου φιλοφροσύνης ἐνέθετο αὐτὸν τῇ ποιήσει εἰς μνήμην τοῖς ἐντυγχάνουσιν, ὃ δὴ καὶ μόνον τῷ Τυχίῳ ἀντιδοῦναι ἴσχυεν. ἔστι δὲ καλλίων ἡ πρώτη γραφή· ἐξ Ὕλης μὲν γάρ, φασίν, εἶχεν ὁ Αἴας κτήσασθαι ἀσπίδα, χώρας Εὐρωπαίας, ἔνθα εἰκὸς ἦν καὶ Τυχίον εἶναι τινὰ σκυτοτόμον γνώριμον. ἐξ Ὕδης δὲ τῆς Λυδίας ἄπορον, πῶς εὐπόρησεν, fort. non plura legit, quam codices nostri praebent, sed locum Strabonis et sch. ex. in unum confudit; vide ad H 221 **220** $a^1$ πηρωθεὶς (63) —

**43** οὐ μόνος δὲ ὁ (coni. cum scholio praecedenti, v. ηὔξησεν) $E^4$ **44** λοιποί T ἄλλοι b **49** ὑπέτρεμε C **50** μόνην Bk. **50 sq.** αὐτῷ ἐστιν ὁ λόγος b **53** ἔφυγε b ταὐτὰ B καὶ om. T ἤρου T **56** χαράσσασθαι T (et V), em. Bk. **63** μετὰ] κατὰ Cob. (Miscell. crit. 432)

ζήτησιν εἰς Κύμην μετοικιζόμενος †ἐλθεῖν εἰς Νέον τεῖχος, ὅπερ ἦν ἀποικία Κυμαίων, ὅπου μεταλαβὼν τῆς τοῦ σκυτέως Τυχίου φιλοφροσύνης ταῦτα περὶ αὐτοῦ φησιν· ὁπότε γὰρ περὶ ἥρωος δημιουργοῦ λέγει, ἱκανὸν προσθεῖναι καὶ μόνον τὸ ὄνομα, „ὅν ποτε τέκτων / ποίησ' Ἰκμάλιος" (τ 56—7). †πολλῆι τε αὐτοῦ ἀριστεία μετῆλθεν ἀφικνεῖσθαι πρὸς αὐτὸν καὶ τοῦ φοροῦντος σπουδῆ†, ὃς ἐκ Σαλαμῖνος ἧκεν εἰς Βοιωτίαν πρὸς τὸν ἄριστον ὁπλοποιόν. **T**

*a.*$^2$ δόξαν ἡμῖν ἀληθείας ἐμποιῆσαι θέλων τὸν τρόπον τῆς κατασκευῆς καὶ τὸν τεχνίτην καὶ τὴν πόλιν ὑπέγραψε, καὶ μαρτυρεῖ αὐτῷ ὡς τῶν ἄλλων τεχνιτῶν ἐν τεχνητοῖς ἀρίστῳ. **b**(BCE$^3$E$^4$)

221. {σκυτοτόμων ὄχ' ἄριστοσ} Ὕλῃ {ἐνιοικία ναίων}: ὅτι ἐνταῦθα συνεσταλμένως, ἐν δὲ τῷ Καταλόγῳ (B 500) ἐκτεταμένως „ἠδ' Ὕλην καὶ Πετεῶνα". **A** *Ariston.*

222 *a.*$^1$ σάκος αἰόλον: ποικίλον· διὸ „κάμε τεύχων" (H 220). ἢ εὐκίνητον. ἢ αἰόλον ἀντὶ τοῦ αἰόλως. **T** *ex.*

*a.*$^2$ ποικίλον· διὸ καὶ τὸ „τεύχων" πρόσκειται· δηλοῖ γὰρ τὸ καλλωπίζων. **b**(BCE$^3$E$^4$)

225 *a.*$^1$ ⟨ἀπειλήσας δὲ προσηύδα:⟩ νωθὴς μέν ἐστι, κινηθεὶς δὲ ὀργὴν ἐνδείκνυται, ἀφ' ἧς αὐτῷ καὶ ἡ κίνησις· εὐμεγέθης γὰρ ὢν κινεῖσθαι οὐ δύναται. τὴν ὀργὴν δὲ καὶ πρὸ τῶν λόγων τῷ σχήματι ἐπεδείξατο. **b**(BCE$^3$E$^4$) *ex.*

*a.*$^2$ ἀπειλήσας δὲ προσηύδα: νωθής ἐστι, κινηθεὶς δὲ ἐνδείκνυται ὀργήν. τὴν δὲ καὶ πρὸ τῶν λόγων ἀπέδειξε τῷ σχήματι. **T**

τεῖχος (64) cf. [Hdt.] vit. Hom. 6, 16 μετοικιζόμενος (64) — φησιν (66) cf. ib. 15, 10 221 ad B 500 *b* (Ariston.), cf. Strab. 9, 2, 20 (p. 408), ubi quosdam Ὕδῃ scripsisse dicitur: ὁ Τυχίος „σκυτοτόμων ὄχ' ἄριστος Ὕλῃ ἔνι οἰκία ναίων", οὐδ' ἐνταῦθα εὖ γραφόντων τινῶν „Ὕδῃ ἔνι"· οὐ γὰρ (ἂν add. Wil.) ὁ Αἴας ἐκ Λυδίας τὸ σάκος μετεπέμπετο. At cf. Wilamowitz IV 563. Vide ad E 708 (Ariston.) 222 cf. Eust. 678, 26 ποικίλον (77) = D, cf. D ad E 295. M 208 al., sch. Hsd. th. 300, Porph. 1, 284, 19, Meth. in Et. Gen. (= EM. 37, 7) ἢ εὐκίνητον (78) vide Buttmann II 66; Bechtel, Lex. 21

---

**64** ἐλθὼν Eust., ἐλθεῖν λέγεται Ma., fort. ἐλθὼν (deleto ὅπου [65]) vel ἦλθεν **67** ὃν T, ἥν Hom. ποίησ' Ma. (= Hom.), ποίησεν T **68** sq. nondum expeditum, πολλή τε et σπουδῇ Bk., ludere possis πολλοὶ δὲ αὐτοῦ ἀριστείαν μετῆλθον ὥστε ἀφικνεῖσθαι πρὸς αὐτὸν κατὰ τὴν τοῦ φοροῦντος σπουδήν, sed meliora facile excogitantur; certe de Tychio Boeotio agitur **74** (le.) σκ. ὄχ' ἄρ. et ἐνιοικία *ν*. del. Bk. ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **81** le. add. Bk. (Vill.; ἀπειλ. δέ Li) **84** ἐπιδείκνυται C **85—6** nescio an praestet, verba scholii $a^2$ scholio $a^1$ anteferre

*ex.* 226—7. εἴσεαι οἱόθεν οἷος, ⟨/ οἷοι ——— μετέασι⟩: οὐκ εἶπεν γνώσῃ οἷός εἰμι, κοινοποιεῖται δὲ ἅπαντα τοῖς φίλοις καὶ ἕνα ἐκ πολλῶν ἑαυτόν φησιν· οὐχ οἷος Ἕκτωρ „οἶδ' ἐπὶ δεξιά, οἶδ' ἐπ' ἀριστερά" (H 238). **b**(BCE$^3$E$^4$) T

*ex.* 228—9. καὶ μετ' Ἀχιλλῆα ῥηξήνορα ⟨——— /⟩. ἀλλ' ὁ μὲν ἐν νήεσσι: ἐπίτηδες καταπλήττει τὸν πολέμιον τῇ τοῦ κρείττονος προσδοκίᾳ, ὅπως μὴ εὔελπις ᾖ οἰόμενος τεθνάναι Ἀχιλλέα ἢ ἀποπεπλευκέναι. **b**(BCE$^3$E$^4$) T

*D* 228. ῥηξήνορα: τὸν ῥηγνύντα ——— ἠνορέῃ δυνάμενον τουτέστι τῇ ἀνδρείᾳ. A

*Did.(?)* 230. ⟨ἀπομηνίσας:⟩ Ἀρίσταρχος „ἐπιμηνίσας". T$^{il}$

*ex.* 231 *a.*$^1$ ⟨τοῖοι:⟩ οἱ Γλωσσογράφοι τὸ τοῖοι ἀντὶ τοῦ ἀγαθοί· ὅθεν καὶ Καλλίμαχος τῷ „τοῖον †άεί" κέχρηται (fr. 627). **b**(BCE$^3$E$^4$)

*a.*$^2$ ἀγαθοί. T$^{il}$

*ex.* 232. ἀλλ' ἄρχε μάχης: βραδὺς γὰρ καὶ δεύτερος ὁ Αἴας ἀεί. ἅμα δὲ εὐτελίζει τὸ προπετές. ἢ εὐτελίζων αὐτόν φησιν, **b**(BCE$^3$E$^4$) T ὡς καὶ αὐτὸς „ἠΰτε παιδὸς ἀφαυροῦ" (H 235) φησίν, ἢ ἵνα πλεονεκτῇ κἂν τούτῳ ὁ Ἕκτωρ. T

*ex.* 235. μή τί μευ ἠΰτε παιδός: συνεῖδε καὶ ὁ Ἕκτωρ ὅτι μεμφόμενος καὶ καταπλήττων αὐτὸν ἄρχειν ἐκέλευε τῆς μάχης. **b**(BCE$^3$E$^4$) T

*ex.* 238 *a.*$^1$ οἶδ' ἐπὶ δεξιά, οἶδ' ἐπ' ἀριστερά: ὁ Κάσ⟨σ⟩ιος δεξιὰ μὲν τὸ διώκειν, ἀριστερὰ δὲ τὸ φεύγειν· καὶ Ἀχιλλεὺς γάρ, φησί, „ποδώκης" (Σ 234 al.) καὶ „ποδάρκης" (A 121 al.). T

**226—7** cf. Plut. mor. 30 b **228—9** cf. Porph. 1, 109, 13 (Aristot. fr. 157 R.) **230** ad N 460. T 62, cf. Heracl. Mil. fr. 2 (Ap. Dysc. synt. 483, 7): . . . καθὸ καὶ ἐν ἑτέροις ἡ ἀπό ἀντὶ τῆς ἐπί· τὸ γὰρ „ἀπομηνίσας" ἐστὶν ἐν ἴσῳ τῷ ἐπιμηνίσας **231** ad Ψ 16. Ω 164 (Ariston.), cf. sch. δ 206; Lehrs Ar.$^3$ 37; praepostere Valk I 183 n. 241 („sub τοίων ἀεί fragmentum Call. latere videtur" Pfeiffer ad Call. l. c.; cf. Pfeiffer 139) **238** fort. exstabat sch. Didymi de vocibus οἶδ' . . . οἶδ', cf. Eust. 678, 50: καὶ ὅρα ὅτι ἐν τῷ τόπῳ τούτῳ πεντάκις ὁ Ὅμηρος εἶπε τὸ οἶδα, οὔτε συνδήσας ἐν τόποις δυσί, καὶ ἐπιμείνας τῇ λέξει διὰ τὸ καίριον, εἰ καί τινες πειρῶνται τὸ „οἶδ' ἐπὶ δεξιὰ οἶδ' ἐπ' ἀριστερά" μεταγράψαι „ἠδ' ἐπὶ δεξιὰ ἠδ' ἐπ' ἀριστερά" *a*$^1$ Κάσσιος (12) vide ad N 103 *b* δεξιὰ μὲν (13) — φεύγειν

---

**87** le. T supplevi (auctore Vill.; οἷοι καὶ δαναοῖσιν Li), om. **b** (ubi sch. ad v. 227 revocatum est) **88** γνώσῃ T ὅτι γνώσῃ **b** **89** οἷος ἕκτωρ T ὡς ὁ ἕκτωρ δὲ αὐχεῖ τὸ **b** **89** sq. οἶδ' ἐπ' ἀριστερά om. E$^4$ **91** sq. le. T suppl. Ma., om. **b** (qui sch. ad v. 228 rettulit) **92** ἐπίτ. δὲ καταπλ. E$^4$ **93** ᾖ] εἴη C **93** sq. ἀχιλλέα sq. T ἢ ἀποπεπλευκέναι (ἀποπλευκέναι E$^4$) τὸν πολέμιον **b** **2** le. add. V$^c$ **3** le. add. Bk. τοῖοι$^2$ Bk., τοιοῦτοι **b** **4** τῷ] τὸ C τοῖον C τοίων BE$^3$E$^4$ (cf. Pfeiffer 140,1) **6** ἀεὶ ὁ αἴας **b** **7** ἢ — φησιν T ἢ καὶ αὐτὸν εὐτελίζων τοῦτό φησιν εἰρωνικῶς **b** **10** sq. μεμφ. καὶ om. T, fort. recte **11** κελεύει **b** **12** κάσιος T (et V) suppl. Ma.

*a.*[2] δεξιά μὲν τὸ †φεύγειν†, ἀριστερὰ δὲ τὸ †διώκειν. **b** (BCE[3]E[4])

*b.* νωμῆσαι βῶν: τοῦτο ἐξήγησίς ἐστι τοῦ „σακέσπαλος“ (Ε 126). | βῶν δὲ ἀντὶ τοῦ †ἀσπίδος. **T** *ex.* | *D*

*c.*[1] βῶν: οὕτως αἱ Ἀριστάρχου βῶν σὺν τῷ ν̄. ἡ Ἀριστοφάνους „βοῦν“. τινὲς δὲ ἔξω τοῦ ν̄ „βῶ“, καὶ μήποτε πιθανῶς, ἀντὶ τοῦ βόα. **A** *Did.*

*c.*[2] βῶν {ἀζαλέην}: αἱ Ἀριστάρχου βῶν. ἡ Ἀριστοφάνους „βοῦν“. ἡ Ῥιανοῦ (deest M.) „βῶ“, ὡς βορέαο „βορέω ὑπ᾽ ἰωγῇ“ (ξ 533). ἐν τοῖς παλαιοῖς ἐγέγραπτο ΒΟΝ, ὅπερ οὐκ ἐνόησαν οἱ διορθωταί. **T**

*d.* ⟨βῶν:⟩ οὕτως Ἀρίσταρχος βῶν | ἀντὶ τοῦ ἀσπίδα. **A**[im] *Did.* | *D*

βῶν: βοῦν Δωρικῶς τὴν ἀσπίδα ——— τῷ ὅπλῳ. **A** *D*

**239** *a.* ἀζαλέην: ὅτι τὴν ἀσπίδα ξηρὰν λέγει „βῶν“ (Η 238) διὰ τὸ ἐκ βοείων εἶναι δερμάτων· καὶ ὅτι προτάξας θηλυκὸν οὐδέτερον ἐπήνεγκεν τό μοί ἐστι πρὸς τὸ σημαινόμενον. τὸ δὲ ταλαύρινον παρῆκται, εὔτολμον· οὐ γὰρ ἡ ῥινὸς ἔγκειται, ὡς ᾠήθησάν τινες. **A** *Ariston.*

*b.* τό μοί ἐστι ταλαύρινον: τὸ σάκος· πρὸς γὰρ τὸ συνώνυμον ἀπήντησεν, ὡς „νεφέλη δέ μιν ⟨ἀμφιβέβηκε / κυανέη·⟩ τὸ μὲν οὔποτε“ (μ 74—5). **T** *ex.*

**240.** ⟨ἐπαῖξαι:⟩ γράφεται καὶ „ἐπαΐσσειν“. **A**[im]**T**[il] *Did.*

cf. Eust. 679, 16 *a*[2] cf. Leaf ad loc. *c* cf. Bechtel, Lex. 295 *c*[2] ἐν τοῖς παλαιοῖς (24) ad Φ 363 (Ge), cf. sch. α 52, sch. Eur. Phoen. 682 (1, 320, 9 Schwa.), sch. Pind. N. 1, 34 b/c, Porph. 1, 287, 25; Cobet, Miscell. crit. 292; Lehrs Ar.[3] 349; Ludwich, A. H. T. 1, 11, not. 10; 1, 279, 11. Vide ad Λ 104 *a* **239** diple ante versum, non ante versum Η 238 in A *a* — δερμάτων (29) ad Π 636 *a*[1] (Ariston.), cf. D ad Μ 105. 137; Lehrs Ar.[3] 191 ξηρὰν (28) = D καὶ ὅτι προτάξας (29) — σημαινόμενον (30) ad Α 251 *a* (Ariston.); cf. Porph. 1, 230, 13; sch. μ 75 (Carnuth, Ariston. p. 114) τὸ δὲ ταλαύρινον (30) sq. cf. Ap. S. 148, 29: ταλαύρινον· τολμηρόν. | παρῆκται δὲ ἡ λέξις παρὰ τὸ τλῆναι, καὶ οὐκ ἔγκειται ὁ ῥινός, ὡς οὐδὲ ἐν τῷ κελαινεφές τὸ νέφος, Wilamowitz, Sappho u. Simon. (Berol. 1913), 95 ὡς ᾠήθησάν τινες (31) h. e. Trypho (fr. 96 V.), vide ad Ε 289 *b*[1], praeterea ad Π 638 *a*; cf. Et. Gen. (= EM. 745, 12), Eust. 548, 30. 679, 25. 1243, 10; Bechtel, Lex. 307 **240** cf. Valk II 172

**18** ἀσπίδος cf. sch. *d* **19** βῶν[2] Bk., βών A **22** (le.) ἀζ. eieci **23** ἡ ῥιανοῦ Hck. (Philol. 5, 1850, 429), ἡ ἠριανοῦ TV ὑπιωγή V em. Ma., ὑπτωγῆ T **24** sq. verba ἐν τοῖς παλ. sq. a Didymo aliena esse suspicatur Ldw. (cf. test.) ΒΟΝ Bk., βὼν T **26** le. addidi **28—31** sch. ad v. Η 238 et 239 rettulit Bk. **28** ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **33** μιν τὸ T suppl. Ma. **35** le. add. V[c] ἐπαΐσσειν T ἐπαῖξειν A

*Did.* **241** *a*.[1] ⟨δηϊῳ:⟩ Ἀρίσταρχος σὺν τῷ ῑ̄ „δηΐων" πληθυντικῶς. $A^{im}$

*a*.[2] δηΐῳ μέλπεσθαι: αἱ Ἀριστάρχου „δηΐων μέλπεσθαι". T

*ex.* *b*. ⟨μέλπεσθαι:⟩ ὄρχησις γὰρ καὶ παιδιὰ γενναίων ὁ πόλεμος. πολλὴν δὲ εὐχέρειαν ἐμφαίνει τῶν δεινῶν. b(BC$E^3E^4$) T

*D* μέλπεσθαι: κυρίως μὲν παίζειν ——— μάχην. A

*ex.* **242—3** *a*.[1] ἀλλ' οὐ γάρ σε θέλω βαλέειν ⟨———/⟩ λάθρῃ: καίτοι πάντα τρόπον μάχης εἰδώς· ἡ γὰρ μετὰ ἀπάτης ἀριστεία αἰσχρά. T

*a*.[2] καίτοι πάντα τρόπον μάχης εἰδώς, φησίν, οὐ θέλω σε λάθρα βαλεῖν· ἡ γὰρ μετὰ ἀπάτης ἀριστεία αἰσχρά. b(BC$E^3E^4$)

*ex.* **242** *a*.[1] ⟨τοιοῦτον:⟩ ἠθικῶς, μέγαν τε ὁρῶν καὶ θαυμαστόν. $T^{il}$

*a*.[2] ἠθικὸν δέ ἐστι καὶ τὸ τοιοῦτον, οἱονεὶ μέγαν καὶ θαυμαστόν. b(BC$E^3E^4$)

*ex.(?)* **246.** ⟨ἀκρότατον:⟩ ἄκρον. $T^{il}$

*ex.* **247—8** *a*.[1] ἐξ δὲ διὰ πτύχας ἦλθε ⟨——— / ἐν τῇ δ' ἑβδομάτῃ ῥινῷ σχέτο⟩: συναριθμουμένου τοῦ χαλκοῦ τῇ ἑβδόμῃ, ἥτις ἦν ῥινός, ἢ μιᾶς παραλειπομένης. T

*a*.[2] ἢ καὶ τὸν χαλκὸν συναριθμήσεις, ἵνα καὶ αὐτός ἐστιν ἡ ἑβδόμη ῥινός, ἢ ὄγδοον αὐτὸν λάβῃς· ὃ καὶ ἄμεινον. b(BC$E^3E^4$)

*ex.* **252.** ἠρήρειστο: ἐτράχυνε τὰς συλλαβάς, τὴν βίαν τῆς εἰσόδου δηλῶν. b(BC$E^3E^4$) T

*Ariston.* **255** *a*. τὼ δ' ἐκσπασσαμένω δολίχ' ἔγχεα: ὅτι κυρίως ἔγχη τὰ δόρατα, οὐχ ὥς τινες τὰ ξίφη. λέγει δὲ τὰ ἐνεχόμενα ταῖς ἀσπίσι⟨ν⟩, ἃ προήκαντο. A

n. 384 **241** *b* cf. D, Ap. S. 111, 2; Eust. 679, 28; sim. Et. Gen. (cf. Reitzenstein, Gesch. 34, 7 not.): μέλπειν (pone D)· ἢ κινεῖσθαι καθάπερ παίζων καὶ ὀρχεῖσθαι **242** ceterum vide ad Λ 612 *b* **243** Eust. 679, 40: τὸ δὲ „τύχοιμι" δηλοῖ μὲν ἐπιτυχίαν· γράφεται δὲ καὶ „τύχῳμι" ἐκταθέντος τοῦ ο̄, καθὰ καὶ ἐπὶ τοῦ κτείνοιμι κτείνῳμι καὶ τῶν ὁμοίων, nescio an sch. rec. **246** ad Δ 139 *a* (ex.) **250** diple periestigm. ante versum in A, fort. error scribae, nisi fort. Zen. versum mutavit, vide ad Υ 273—4; Wismeyer 20 **252** ad Γ 358 (ex.), cf. Norden, P. Vergilius Maro Aeneis Buch $VI^4$ (Darmstadii 1957), 415 **255** diple pura (non periestigmene) ante versum in A *a* ad Η 273 (Ariston.), cf. Lehrs $Ar.^3$ 47 οὐχ ὥς τινες τὰ ξίφη (59) cf. Eust. 422, 35. 604, 1. 644, 47;

**36** le. addidi (auctore Vill.) **39** le. addidi, totum versum 241 add. Vill. (δηΐῳ μέλπεσθαι add. Li) **40** τῶν δεινῶν ἐμφ. b **42** le. T suppl. Ma. **45—6** sch. ad Η 242 rettulit b **47** le. add. Ma., fort. rectius τοιοῦτον ἐόντα:, tum ἠθ. μέγαν σε ὁρῶν κτλ. **48 sq.** ἠθ. δέ ἐστι sq. cum scholio Η 242—3 $a^2$ (v. αἰσχρά) coni. b μέγα B$E^4$, cp. (με ss. γ) C **50** le. add. Nickau **51 sq.** le. T supplevi **54—5** sch. ad Η 248 revocavit b **56** τῆς εἰσόδου om. T, fort. recte **58** (le.) τῶιδ' A em. Frdl. (Vill.) ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **59** ἀσπίσι A suppl. Vill.

*b*. ⟨τὼ δ' ἐκσπασσαμένω δολίχ' ἔγχεα χερσὶν ἅμ' ἄμφω:⟩ ἐπὶ τὸ τέλος τοῦ στίχου βραχὺ διασταλτέον. A$^{im}$ *Nic.*

*c*. τὼ δ' ἐκσπασ⟨σ⟩αμένω δολίχ' ἔγχεα: τὸ ἴδιον ἑκάτερος ἀπὸ τῆς τοῦ ἑτέρου ἀσπίδος. b(BCE$^3$E$^4$) T *ex.*

**256—7.** {τῶι δ' ἐκσπασσαμένω} σύν ῥ' ἔπεσον ⟨λείουσιν ἐοικότες ὠμοφάγοισιν/⟩ ἢ συσὶ κάπροισιν: τοὺς στίχους τούτους οὐ προσίενται ἔνιοι, ὥσπερ οὐδὲ Ζηνόδοτος, ἀλλὰ τὸ τῆς συνεπείας οὕτως ἔχει παρ' αὐτῷ, | ὥσπερ καὶ ὁ Ἀριστόνικος (p. 132 Friedl.) ἐκτίθησιν, ἣν περιττὸν ἐνομίσαμεν γράψαι. A *Did.* | *Ap. H.*

**258.** Πριαμίδης μὲν ⟨———⟩ σάκος: ἐνάρχεται πάλιν, οὐκ ἂν οἶμαι ἀμβλυνθείσης τῆς ἀκμῆς ἐν τῇ πρώτῃ βολῇ. b(BCE$^3$E$^4$) T *ex.*

**259.** ⟨χαλκόν:⟩ Ἀρίσταρχος διὰ τοῦ σ̄ „χαλκός". A$^{im}$ *Did.*

**261.** στυφέλιξε δέ μιν μεμαῶτα: εἰς τοὔμπροσθεν ὁρμῶντα ἔστησε καὶ εἴλησεν. b(BCE$^3$E$^4$) T *ex.*

**262.** τμήδην αὐχέν' ἐπῆλθε: φυλάσσει μὲν Ἕκτορα τῇ ὑποθέσει, τὴν δὲ καιρίαν Αἴαντι δωρεῖται ἐπὶ τὸ ἐπικίνδυνον φέρων τὴν ὑπόθεσιν. b(BCE$^3$E$^4$) T *ex.*

**263.** ἀλλ' οὐδ' ὣς ἀπέληγε: Αἴαντα ἐπιτείνει, τὸ πρόθυμον τοῦ Ἕκτορος αὔξων. b(BCE$^3$E$^4$) T *ex.*

**264.** ἀλλ' ἀναχασσάμενος ⟨λίθον εἵλετο⟩: ἡττώμενος ἐν τῇ συστάδην μετάγει τὴν μάχην ὡς πρὸς ἄτρωτον ἢ βαρύοπλον πολεμῶν. b(BCE$^3$E$^4$) T *ex.*

**265.** μέλανα τρηχύν τε: τραχύν· τοῦτο συμβαίνει τοῖς μέλασιν. T *ex.*

**269.** ἐπέρεισε δὲ ἶν' ἀπέλεθρον: συνεπέδωκεν ὅλον τὸ σῶμα τῇ βολῇ, καὶ πάσῃ δυνάμει ἐχρήσατο. b(BCE$^3$E$^4$) T *ex.*

sch. Soph. Ai. 658. 907, Ant. 1236; Duentzer, Zen. 163; Dimpfl 14 **256—7** cf. Ludwich, A. H. T. 1, 279, 20; Bolling, Ext. Ev. 91; vix recte Valk II 397 n. 104 **259** ad Γ 348 (Did.) **261** aliter D; vide ad Φ 380 (ex.) **263** τὸ πρόθυμον (78) sq. cf. Eust. 680, 45 **265** cf. Eust. 680, 29

---

**61** sq. le. add. Vill. **63** le. T suppl. Ma., om. b **63** sq. τὸ ἴδιον ἑκάτ. pone ἀσπίδος b **64** τοῦ ἑτέρου T ἑαυτοῦ b **65** sq. le. A suppl. Frdl.; verba τῶιδ' ἐκσπ. del. Lehrs (sch. ad H 256 et 257 referens); ἔπεσσον A em. Vill. **68** post αὐτῷ olim lacunam fuisse suspicatur Lehrs, verba τὼ δ' ἐκσπασσαμένω / πριαμίδης μὲν ἔπειτα supplens **70** le. T suppl. Ma., om. b **70** sq. οὐκ ἂν οἶμαι T οὗτος b **71** ἀμβλ. E$^4$ ἀμβλυθείσης BCE$^3$T ἀκμῆς T μάχης b **72** le. add. Bk. **74** εἷλ. T ἐπέσχεν (ἐπέσχε C) b **75** (le.) fort. τμήδην δ' αὐχ. ἕκτορα T αἴαντα b **76** καιρ. πληγὴν b αἴαντι T ἕκτορι b δωρ. T, δίδωσιν b (fort. rectius) **78** ἐπιτ. αἴαντα E$^4$ **79** αὔξ. ἕκτ. (om. τοῦ) E$^4$ **80** le. T supplevi (auctore Vill.), om. b **81** συστάδι C

*ex.* **270.** εἴσω δ' ἀσπίδ' ἔαξε: ἐπὶ μὲν Ἕκτορος τὸ ἀσθενὲς τῆς βολῆς δηλῶν „περιήχησεν" (Η 267) εἶπεν, ὡσὰν μηδὲ τοῦ ὀμφαλοῦ θλασθέντος· ἐπὶ δὲ Αἴαντος οὕτω κατέαξε τὴν ἀσπίδα ὡς καὶ πεσεῖν Ἕκτορα. **b**(BCE³E⁴) **T**

*ex.* **271—2** *a.*¹ ⟨ὁ δ' ὕπτιος ἐξετανύσθη / ἀσπίδι ἐγχριμφθείς:⟩ οὐκ εἶπεν ὑπὸ λίθου, ἀλλὰ καὶ ὑπὸ τῆς ἀσπίδος· συνῶσε γὰρ αὐτὴν ἐπ' αὐτὸν ἡ βολή. **b**(BCE³E⁴)

*a.*² {βλάψε δέ οἱ φίλα γούναθ':} οὐκ εἶπεν ὑπὸ τοῦ λίθου, ἀλλὰ καὶ τῆς βολῆς συνωσάσης ἐπ' αὐτὸν τὴν ἀσπίδα. **T**

*Did.* **272** *a.* ⟨ἀσπίδι ἐγχριμφθείς:⟩ Ἀρίσταρχος „ἀσπίδ' ἐνιχριμφθείς". **A**^im

*Did.* *b.* τὸν δ' αἶψ' ὤρθωσεν Ἀπόλλων: οὕτως Ἀρίσταρχος, οὐκ „ἄψ"· χρεία γὰρ τάχους πρὸς τὴν σωτηρίαν. παρῆν δὲ „φηγῷ ἐφ' ὑψηλῇ" (Η 60). **T**

*Ariston.* **273** *a.* καί νύ κε ⟨δὴ ξιφέεσσ'⟩: ὅτι ἀρτίως ἐπὶ ⟨τὸ⟩ τοῖς ξίφεσι χρῆσθαι ἐληλύθασιν. ὅταν δὲ λέγῃ „τὼ δ' ἐκσπασσαμένω δολίχ' ἔγχεα" (Η 255), τὰ δόρατα λέγει ἐκ τῶν ἀσπίδων ἀπεσπάσαντο. **A**

*ex.* | *Hrd.* *b.* καί νύ κε δὴ ξιφέ⟨ε⟩σσ' αὐτοσχεδὸν ⟨οὐτάζοντο⟩: τοῦτο γὰρ ἔλειπεν. **T** | τὸ δὲ αὐτοσχεδόν ὀξυντέον· τὰ γὰρ εἰς δον ἐπιρρήματα ἐν τῇ συνθέσει φυλάσσει τὸν τόνον. **b**(BCE³) **T**

*ex.* **274—5.** εἰ μὴ κήρυκες ⟨——— /⟩ ἦλθον: οἰκονομικῶς σῶσαι θέλων τὸν Ἕκτορα τῇ ποιήσει διαλύει τὴν μάχην. **b**(BCE³E⁴) **T**

*Ariston.* **276** *a.* ⟨Ταλθύβιός τε καὶ Ἰδαῖος:⟩ ὅτι πρὸς τὸ δεύτερον πρῶτον· ὁ γὰρ Ταλθύβιός ἐστιν Ἀχαϊκός. **A**^im

*ex.* *b.* Ταλθύβιός τε καὶ Ἰδαῖος: ὁ μὲν Ἰδαῖος εἰκότως προσέρχεται τὸν Ἕκτορα σώσων κινδυνεύοντα, ὁ δὲ Ταλθύβιος οὐκέτι, τὴν νίκην τοῦ Αἴαντος παραιρούμενος. ἀλλ' οὐδέπω ἀκριβὴς ἦν ἡ νίκη

**272** *a* de elisione vocalis in dativo tertiae declinationis cf. Lehrs, Quaest. ep. 47; vide ad Λ 589 (Ariston.) **273** *a* ad Η 255 (Ariston.) **276** *a* ad Β 621 (Ariston.) *b* cf. Eust. 681, 12

---

**88** περιήχησέ φησιν ὡσανεὶ μὴ δὲ **b** **89** τοῦ αἴαντος **b** οὕτω om. **b** κατ. **b** κατήγαγε T, erat fort. κατέξηνε καὶ T καὶ ὑπ' αὐτῆς **b** **91** le. addidi (auctore Bk.; ἀσπ. ἐγχρ. le. in Li; sch. ad Η 272 revocavit **b**) **94** le. T delevi **94—5** fort. sch. decurtatum **95** an τῆς β. τῆς συνωσάσης? **1** le. add. Vill. **1** sq. ἀρίστ. ἀσπίδι ἐνιχριμφθείς Spitz. (Exc. VII p. XVI), at cf. test. **3** (le.) verba τὸν δ' et ὤρθ. ἀπ. abesse malim **4** οὐκ ἄψ Bk., οὐχ' ἄψ T **6** le. A suppl. Bk. (Vill.) ὅτι A, ἡ διπλῆ, ὅτι Vill. τὸ add. Bk. **7** τὼ δ' Bk., τῶιδ' A **9** le. T supplevi (auctore Vill.), om. **b** **10** τὸ δὲ — ὀξ. T ὀξυντέον τὸ αὐτοσχεδόν **b** **11** ἐπιρήματα T φυλάττουσι **b** **12** le. T suppl. Ma., om. **b** (ubi sch. ad v. 274 relatum est) **13** τῇ ποιήσει T οὕτω **b** **14** le. add. Frdl. ὅτι A, fort. ἡ διπλῆ, ὅτι **16** le. AT, om **b** **17** τὸν om. T **18** τοῦ om. **b** παρ. T προαιρούμενος A ἀφαιρούμενος **b** ἀλλ'] φαμὲν δὲ ὅτι **b**

περὶ τὸν Αἴαντα (ἐπὶ ξίφη γὰρ αὐτοὺς ὁρμῆσαι λέγει), ἔτι τε καὶ τὸν Ἕκτορα ὁρῶν ὑπὸ θεῶν βοηθούμενον· καὶ διὰ τὸ τῆς νυκτὸς κατάστημα, ἔνθα τύχης οὐ τέχνης κρίσις. ἀπὸ ἴσου †γὰρ† ὁρμῶνται. **A** b(BCE$^3$E$^4$) **T**

*c*. ⟨Ταλθύβιός τε καὶ Ἰδαῖος:⟩ κατὰ τὸ σιωπώμενον οἱ ἡγεμόνες αὐτοὺς πέμπουσιν. b(BCE$^3$E$^4$) **T**$^{il}$ *ex.*

**278.** ⟨κῆρυξ Ἰδαῖος, πεπνυμένα μήδεα εἰδώς:⟩ ἠτυμολόγηται ὁ Ἰδαῖος· δεῖ δὲ συνετὸν εἶναι τὸν κήρυκα. **T**$^{il}$ *ex.*

**279.** μηκέτι, παῖδε φίλω: ὁ μὲν σεμνοποιῶν τὰ καθ' ἑαυτὸν παῖδε φίλω φησίν, ὁ δὲ Αἴας ἐξ ὀνόματος „Ἰδαῖε" (Η 284). b(BCE$^3$ E$^4$) **T** *ex.*

**281.** ἄμφω δ' αἰχμητά: ἴσους ἔφησεν αὐτούς, τὴν τοῦ Ἕκτορος ἧτταν ἐπικαλύπτων. b(BCE$^3$E$^4$) **T** *ex.*

**282** *a*. νὺξ δ' ἤδη τελέθει· ⟨ἀγαθὸν καὶ νυκτὶ πιθέσθαι⟩: ὅτι ἐντεῦθεν εἰς τὰ ἑξῆς (sc. Η 293) μετενήνεκται· ὁ μὲν γὰρ κῆρυξ αἰτίαν λέγει, δι' ἣν οὐ πολεμητέον, ὁ δὲ Ἕκτωρ ἑαυτὸν μετὰ προφάσεως μὴ συλλυέτω. **A** *Ariston.*

*b*. νὺξ ἤδη τελέθει: εὐπροσώπως, ἵνα διὰ τὸν καιρὸν εἴκειν δοκῇ. τὸ δὲ τελέθει ἀντὶ τοῦ γίνεται, ἀρ[χὴν] λαμβάνει ἡ νύξ, τέλει[ος] ἐγένετο νύξ. **T** *ex.*

*c*. πιθέσθαι: παροξυντέον· μέσος γάρ ἐστι δεύτερος ἀόριστος. **A** *Hrd.*

*c* cf. Eust. 681, 8 **280** fort. exstabat sch. Didymi de v. σφῶι, cf. Ap. Dysc. pron. 89, 3: βίαιος ὁ Ἰξίων ἐστὶ τὴν σφῶε καὶ ἐπὶ δευτέρου τάσσων, „ἀμφοτέρω γὰρ σφῶε φιλεῖ" (Η 280. Κ 552)· „ἐπεὶ καὶ ἡ νῶε διὰ τοῦ ε καὶ ἔτι ὡς τῇ σφῶ ἐπὶ τρίτου νοουμένῃ τὸ ε προσέρχεται, οὕτω καὶ τῇ κατὰ τὸ δεύτερον πάλιν νοουμένῃ Ἀττικῇ προσέρχεται" (fr. 8 et 13 St.). Ap. Dysc. e Tryphone (fr. 31 V.) vid. pendere; doctrinam Ixionis falsam esse loco laud. demonstrat; cf. Buttmann I 54; Duentzer, Zen. 57; Ludwich, A. H. T. 1, 279, 35; Beiträge 342. Vide ad Κ 552. Μ 366 *a*; Wackernagel I 622 **282** *a* ad Η 293 (Ariston.) *b* ad Η 293 *b* *c* ad Η 293 (Hrd.)

---

**19** αὐτοῦ E$^3$ ὡρμῆσθαι b **20** ὁρᾷ b, sed subaudiendum ταλθ. προσέρχεται καὶ] ἀλλὰ καὶ b **21** ἔνθα — ὁρμ. AT, ἔνθα μάλιστα τύχης οὐ τέχνης καὶ ἰσχύος κρίσις τὸ πλεῖστον ἔχει· ἀπὸ ἴσου γὰρ ὁρμῶνται inter verba λέγει et ἔτι τε in b, sim. Bk. (at cf. Eust. 681, 13) γὰρ] ἄρα Wil., sententiam ad praecones referens, recte opinor ὁρμῶνται] ἡ κρίσις A **23** le. add. V$^c$ κατὰ τ. σ. δὲ οἱ sq. coni. cum scholio praecedenti (v. κατάστημα) in b **25** le. addidi (auctore Ma.) **27** (le.) μηκέτι fort. delendum **30** αὐτοὺς (ἀμφοτέρους E$^4$) ἔφησε b **31** καλύπτων b **32** le. A suppl. Vill. **33** ὅτι A, ὁ ἀστερίσκος, ὅτι Frdl. **37** ἀρ[. . .] T suppl. m. sec. **37** sq. τέλει[. .] T (detr.), novavit m. sec.

*ex.* 284. Ἕκτορα ταῦτα κελεύε⟨τε μυθήσασθαι⟩: πρᾴου μὲν τὸ ἦθος· οὐ γὰρ προσφιλονεικεῖ κρατῶν τῇ μάχῃ· συνετοῦ δέ, ὅτι μὴ εὐθέως τῷ κήρυκι συνεχώρησεν, ἵνα μὴ ἄσμενος δοκῇ τὴν διάλυσιν προσίεσθαι, b(BCE³E⁴) T ἀλλὰ τὸν προκαλεσάμενον ᾠήθη δεῖν περὶ διαλύσεως ποιεῖσθαι τοὺς λόγους. ἀξιόπιστον δὲ ἑαυτῷ πορίζει νίκην· τὸ μὲν γὰρ φονεύειν κοινόν, τὸ δὲ ὁμολογίαν ἥττης δέξασθαι καὶ ἀπαγορεύσαντα ἐᾶσαι ἀξιόπιστον· διό φησι „καὶ πινυτήν" (Η 289) καὶ νῦν ἐγκωμιάζει, ὑπογύως τῆς ἀρετῆς αὐτοῦ πειραθεὶς καὶ πρὸς ἀπαλλαγὴν ὑποθωπεύων. ἡνίκα δὲ ὑπὸ τῆς τύχης ἐπῆρτο, „Αἶαν ἁμαρτοεπές" φησιν (Ν 824). b(BE³E⁴) T ἀντὶ δὲ τοῦ ἐπιταφίου εἰκόνα ἀνιεροῖ Αἴαντι ὁ ποιητής. T

*Did.(?)* 285. ⟨αὐτὸς γάρ:⟩ ἐν ἄλλῳ „οὗτος γάρ". A^im

*ex.(?)* 286. ⟨ᾗπερ ἄν:⟩ ὥσπερ ἄν. T^il

*Hrd.* | *Nic.* 289 *a.* καὶ πινυτήν, περὶ δ' ἔγχει ⟨'Αχαιῶν φέρτατός ἐσσι⟩: 'Αρίσταρχος ⟨πινυτήν⟩ ὡς καλήν, καὶ ἐπεκράτησεν οὕτως ἡ παράδοσις. | ὑποστικτέον πινυτήν, ἵνα περισσὸς ὁ σύνδεσμος ᾖ· ἢ ὑποστικτέον καὶ κατὰ τὸ τέλος τοῦ στίχου, ἵνα γένηται ἀνταπόδοσις αὕτη, „νῦν μὲν παυσώμεσθα" (Η 290). A

*Nic.* | *ex.* *b.* καὶ πινυτήν ⟨——— ἐσσι⟩: ὑποστικτέον εἰς τὸ πινυτήν ἢ εἰς τὸ ἐσσί. b(BCE³E⁴) T | καλῶς δὲ τὸ 'Αχαιῶν, ἵνα μὴ καὶ ἑαυτὸν συμπεριλάβῃ· ἀλαζὼν γάρ ἐστι καὶ οὐδὲ ὑπὸ τοῦ ἀρίστου πλεονεκτεῖσθαι θέλει. b(BCE³E⁴) ἢ μᾶλλον· οὐ μόνον ἐμοῦ ἐσσι κρείττων, ἀλλὰ καὶ τῶν ἄλλων 'Αχαιῶν. b(BE³E⁴)

*Did.(?)* 290. ⟨νῦν μὲν παυσώμεσθα μάχης καὶ δηϊοτῆτος:⟩ ἐν ἄλλῳ „νῦν μὲν παύσωμεν πόλεμον καὶ δηϊοτῆτα" (= Η 29). A^im

284 καὶ νῦν ἐγκωμιάζει (48) sq. cf. Eust. 681, 31 289 *a* ὡς καλήν (55) ad Ι 150. Ο 445. Σ 39. Vide ad Β 592 (Hrd.) *b* ἢ μᾶλλον (62) sq. cf. Eust. 681, 40

41 le. T supplevi (auctore Ma.), om. b 42 μὴ om. b, οὐκ Ma. (vix recte) 43 μὴ (post ἵνα) om. T 44 ᾠήθη b 45 τὸν λόγον b 47 φησι (sc. Hector) καὶ πινυτήν om. b 48 καὶ νῦν b νῦν T ἐγκ. αὐτόν b, fort. recte ὑπογυίως (ὑπ. δὲ E⁴) b (et Eust.), fort. rectius 52 le. add. Bk. 53 le. add. Ma. 54 sq. le. A suppl. Vill. 55 πινυτήν addidi 56 ὁ σύνδεσμος sc. v. δ(έ) post περί 59 le. T supplevi (auctore Vill.), om. b 60 ἢ b, [.] T, suppl. m. sec. ἐσσί b, φέρτατός ἐσσι T (fort. recte) 63 ἄλλων om. Bk. 64 le. add. Vill.

290—1 *a.*[1] νῦν μὲν παυσώμεσθα ⟨——— /⟩ σήμερον: καλῶς *ex.*
προσέθηκε σήμερον, ἐπεὶ τὸ νῦν ἀόριστόν ἐστιν. **T**
*a.*[2] ἐπεὶ τὸ νῦν ἀόριστόν ἐστι, διὰ τοῦτο καὶ τὸ σήμερον προστέθειται. **b**(BCE$^3$E$^4$)

292. ⟨δώῃ δ' ἑτέροισί γε νίκην:⟩ ἐντέχνως **b**(BCE$^3$E$^4$) **T**$^{il}$ *ex.*
ἑαυτὸν τῆς νίκης ὑπεξίστησιν, **b**(BCE$^3$E$^4$) ὡς νῦν μὴ νικηθείς. **b**(BCE$^3$E$^4$) **T**$^{il}$

293 *a.* ⟨νὺξ δ' ἤδη τελέθει· ἀγαθὸν καὶ νυκτὶ πιθέσθαι:⟩ *Ariston.*
ὅτι ἀπὸ τοῦ λόγου τοῦ κήρυκος (sc. H 282) μετενήνεκται. **A**$^{im}$

*b.* ⟨νὺξ δ' ἤδη τελέθει· ἀγαθὸν καὶ νυκτὶ πιθέσθαι:⟩ *ex.*
εὐπροσώπως καὶ τοῦτο, ἵνα διὰ τὸν καιρὸν εἴκειν δοκῇ. **b**(BCE$^3$E$^4$)

*c.* πιθέσθαι: παροξυντέον· μέσου γάρ ἐστι δευτέρου ἀο- *Hrd.*
ρίστου, **b**(BE$^3$) **T** ἀντὶ τοῦ πεισθῆναι. **T**

295 *a.* σούς τε μάλιστα ἔτας ⟨καὶ ἑταίρους, οἵ τοι ἔασιν⟩: *Ariston.*
ἀθετεῖται ὡς καθαιρῶν τὰ προειρημένα „ὡς σύ τ' εὐφρήνῃς πάντας" (H 294). ἔχει δὲ καὶ διλογίαν ἔτας καὶ ἑταίρους. **A**

*b.* σούς τε μάλιστα ἔτας: καλῶς ἐπὶ Αἴαντος ἡ προσθήκη· *ex.*
πολλοὺς γὰρ εἶχεν ἀντιζήλους, οἳ συνανέστησαν αὐτῷ κληρωσόμενοι. εὐφρανεῖς οὖν πάντας μέν, φησίν, ἐπεὶ δὲ διαφθονοῦνται τοῖς ἀρίστοις οἱ ἄριστοι, ἀλλά γε τοὺς σοὺς ἑταίρους. Ἕκτωρ δὲ ἀντίζηλον οὐκ ἔχει. **b**(BCE$^3$E$^4$) **T** ἔται δὲ λέγονται οἱ συνήθεις παρὰ τὸ ἦθος. **T**

298 *a.* {αἵ τε μοι εὐχόμεναι} θεῖον δύσονται ἀγῶνα: ὅτι οὕ- *Ariston.*
τως τὴν ἄγυριν καὶ συναγωγὴν τῶν θεῶν διὰ τὸ πολλῶν θεῶν ἐν ταὐτῷ εἶναι ἀγάλματα. **A**

**290—1** cf. Eust. 681, 50. Vide ad Θ 141—2 (ex.) νῦν ἀόριστον (67) cf. Ap. Dysc. adv. 123, 21 (unde Ep. Hom. [An. Ox. 1, 185, 1, Et. Gud. 236, 48]), synt. 284, 2. 489, 9; sch. D. Thr. (Σ$^h$) 96, 35 **293** *a* ad H 282 *a* (Ariston.) *b* ad H 282 *b* (ex.) *c* ad H 282 *c* (Hrd.) **295** *a* ἔχει δὲ καὶ (81) sq. at vide ad Z 239 *c* et Eust. 681, 53 *b* ἔται δὲ (86) sq. cf. D ad Z 239, Or. 51, 22; Ecl. (An. Ox. 2, 434, 31, Et. Gud. 547, 13 Stef.), fort. e Seleuco (cf. Reitzenstein, Gesch. 172); Et. Gen. (= EM. 386, 44). Vide ad Z 239 *c* **298** nullum signum ante versum in A, fort. error scribae *a* ad Π 500 *a*. Σ 376 (Ariston.), Ω 1 (ex.), cf. D ad

---

66 le. T suppl. Ma. 68—9 sch. ad H 291 revocavit **b** 69 προτέθειται C 70 le. add. Bk. (Vill.), δώῃ δ' ἑτέροισι νίκην le. in Li 73 le. add. Vill. 74 ὅτι A, ὁ ἀστερίσκος καὶ ὁ ὀβελός, ὅτι Ldw. (Frdl.) 75 le. add. Vill. (νὺξ δ' ἤδη iam Li) 77 le. scripsi, ἀγαθὸν καὶ νυκτὶ πιθέσθαι T, om. **b** παροξ. T τὸ δὲ πιθέσθαι παροξυτόνως (coni. cum scholio praecedenti, v. δοκῇ) in **b** 77 sq. μέσος . . . δεύτερος ἀόριστος **b** 79 le. A suppl. Vill. 80 εὐφρήνεις A em. Vill. 83 ἀντιζ. T ἰσοθύμους **b** (cf. Fraenkel, Aeschylus Ag. III, Oxon. 1950, 696,2) συνέστησαν **b** κληρώσοντες T 84 οὖν — φησίν T μὲν οὖν φησι πάντας **b** φθονοῦνται **b** 85 οἱ ἄρ. om. T ἀλλά γε **b** ἀλλ' ἄγε T ἀντιζήλους **b** 87 (le.) αἵ τε μ. εὐχόμ. del. Bk. ὅτι A, ἡ διπλῆ, ὅτι Vill.

*ex.* *b.* θεῖον δύσονται ἀγῶνα: τὰ ἱερά, ἔνθα οἱ θεοὶ αὐλίζονται, διὰ τὰ ἀγάλματα. b(BC$E^3E^4$) T

*Did.(?)* *c.*[1] ⟨δύσονται:⟩ ἔν τισι „δύνονται", οὐκ ὀρθῶς. $T^{il}$

*rec.* *c.*[2] γράφεται δὲ καὶ „θύονται", ὡς Ἡρωδιανός· οὕτω γὰρ ἄμεινον. b(BC$E^3E^4$)

*ex.* **299.** δῶρα δ' ἄγ' ἀλλήλοισι: ἵνα δοκῇ καὶ ἐξ ἴσου ἀπηλλάχθαι, καὶ ἐπαγόμενος τὴν φιλίαν Αἴαντος. b(BC$E^3E^4$) T

*ex.(?)* **301.** ⟨ἤ:⟩ τὸ ἤ ἀντὶ τοῦ καί. $T^{il}$

*ex.* **302.** ἀρθμήσαντε: ἁρμοσθέντες καὶ συμβιβασθέντες. b(BC$E^3$) T

*Ariston.* **303** *a.* δῶκε ξίφος: σημειοῦνταί τινες ὅτι ἀφώπλισεν ἑαυτὸν δοὺς τὸ ξίφος ὁ Ἕκτωρ. A

*ex.* *b.* δῶκε ξίφος ἀργυρόηλον: ὁ μὲν ἀφρόνως ἄοπλον ἑαυτὸν ἐκδίδωσιν, ὁ δὲ ὅμως καὶ προπαρασπονδησάντων Τρώων οὐδὲν εἰς αὐτὸν πλημμελεῖ. b(BC$E^3E^4$) T ἄλλως τε ἐπεποίθει ὁ Ἕκτωρ μηδὲν πείσεσθαι· „οὐ γάρ πώ τοι μοῖρα θανεῖν" (H 52) ἤκουσεν. b(BC$E^3E^4$)

*ex.* **304** *a.* σὺν κολεῷ τε φέρων: οὐ περιττὸν τὸ ἔπος, ἀλλ' ἐπειδὴ ἐσπασμένον ἦν τὸ ξίφος, b(BC$E^3E^4$) T ἵνα μὴ μόνον νοοῖμεν αὐτό. b(BC$E^3E^4$) ἀναφορεὺς δὲ μαχαίρας ἢ ἀσπίδος ⟨ὁ τελαμών⟩. T

*Did.* *b.* ⟨ἐϋτμήτῳ:⟩ Ἀρίσταρχος διὰ τοῦ κ̄ „ἐϋκμήτῳ". $A^{im}T^{il}$

*ex.* **305** *a.* Αἴας ⟨δὲ⟩ ζωστῆρα: οὐκ ὠφέλιμος τῷ πολεμίῳ ἡ δωρεά· ἐπάγει γὰρ „τὼ δὲ διακρινθέντες" (H 306). T

*Ariston.* *b.* φοίνικι φαεινόν: ὅτι ἀντὶ τοῦ φοινικῷ ἄνθει πεφωτισμένον, ⟨ὅ⟩ ἐστι κεχρωτισμένον. A

Σ 376, sch. Aesch. Sept. 219; Porph. 1, 110, 8, Eust. 682, 9. Vide ad O 428. Π 239. T 42. Ω 141 (Ariston.); aliter Lex. Vind. 30, 16 *b* — ἱερά (90) = D *c*[2] cf. Valk I 172 **299** cf. Eust. 682, 21 **302** cf. D. Vide Call. fr. 80, 19 **303** *a* ἀφώπλισεν ἑαυτὸν (4) cf. Eust. 682, 44 *b* — πλημμελεῖ (8) eadem Ge (e T) ἄλλως τε (8) sq. ad H 52 *a* **304** *b* Ἀρίσταρχος sq. cf. Meineke 105 **305** *b* ad O 538 *a* (Ariston.). Vide ad Δ 141 *d*. N 29 *c*

---

**90** θ. δ. ἀγ.: τὰ ἱερά T θεῖον ἀγῶνα τὸν περὶ τὰ ἱερά b **92** le. add. Ma. **93** sq. γράφεται sq. cum scholio *b* (v. ἀγάλματα) coni. b, fort. sch. rec. (cf. test.) **2** le. add. Bk., ἢ μέν add. $V^c$. (et sic Ma.) **3** le. Bk., ἀριθμήσαντε T(V), om. b **4** le. Bk., ὡς ἄρα φωνήσας: A **6** (le.) ἀργ. fort. delendum μὲν ἕκτωρ Ge **6** sq. ἐκδίδ. ἑαυτ. b **7** ὁ δὲ αἴας ὅμως Ge προπαρασπονδισάντων b τῶν τρώων $E^3$Ge **8** εἰς αὐτὸν om. b, εἰς ἑαυτὸν Ge **11** le. σὺν κουλεῷ τε φέρων T em. Ma., om. b, fort. correctius σὺν κολεῷ τε φέρων — τελαμῶνι: ἀλλ' damn. Ma. **13** ὁ τελ. addidi (ὁ κολεός ins. Ma., perperam) **14** le. add. $V^c$ διὰ τοῦ κ̄ om. T **15** le. T suppl. Ma. **16** διακρινθέντες T, malim διακρινθέντε **17** ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **18** ὅ add. Bk.

**306—7** *a.* τὼ δὲ διακρινθέντε ⟨ὁ μὲν ——— ὁ δέ: ὅτι⟩ οὕτως εἴρηκεν ἀντὶ τοῦ τῶν δὲ διακριθέντων ὁ μέν, ὁ δέ. καὶ ὅτι πρὸς τὸ δεύτερον πρότερον ἀπήντηκεν. **A** *Ariston.*

*b.*[1] ⟨μετὰ λαὸν Ἀχαιῶν...⟩ ἐς Τρώων ὅμαδον: †καλὸν† καὶ ὅμαδον καλῶς διέστειλε· πανταχοῦ δὲ τὸ θορυβῶδες ὑποσημαίνει τῶν Τρώων. **T** *ex.*

*b.*[2] ἐπὶ μὲν Αἴαντος τὸ λαόν, ἐπὶ δὲ Ἕκτορος ὅμαδον φησὶ διαστείλας· ἀεὶ γὰρ θορυβώδεις αὐτοὺς ἐκδέχεται. **b**(BCE[3]E[4])

**307—8** *a.*[1] τοὶ δ' ἐχάρησαν, / ὡς εἶδον ζωόν τε ⟨καὶ ἀρτεμέα προσιόντα⟩: οἷον ἀνέλπιστον πρᾶγμα. καλῶς δὲ ἐπὶ μὲν Ἕκτορος τὴν ἀνέλπιστον σωτηρίαν ἐδήλωσεν, ἐπὶ δὲ Αἴαντος τὴν ἐπὶ τῇ νίκῃ ἡδονήν. **AT** *ex.*

*a.*[2] καλῶς θαυμάζουσι καὶ χαίρουσιν ὡς ἀνέλπιστον πρᾶγμα ἰδόντες. ἐπὶ μὲν οὖν Ἕκτορος τὴν ἀνέλπιστον σωτηρίαν ἐδήλωσεν, ἐπὶ δὲ Αἴαντος τὴν ἐπὶ τῇ νίκῃ ἡδονήν. **b**(BCE[3]E[4])

**310** *a.*[1] ἀελπτέοντες σόον εἶναι: μείζονα χαρὰν εἶχον, ὅτι ἐξ ἀπροσδοκήτου τὸν στρατηγὸν ἐδέξαντο. **T** *ex.*

*a.*[2] μείζων αὐτοῖς ἡ χαρά, ὅτι ἐξ ἀπροσδοκήτου τὸν στρατηγὸν ἐδέξαντο. **b**(BCE[3]E[4])

*b.* ἀελπτέοντες: οὐκ ἐλπίζοντες, | ἀλλ' ἀπεγνωκότες. **A**[im] *D* | *ex.(?)*

**312** *a.* ⟨εἰς Ἀγαμέμνονα:⟩ ὅτι ἀντὶ τοῦ πρὸς Ἀγαμέμνονα. **A**[im] *Ariston.*

*b.* εἰς Ἀγαμέμνονα δῖον ἄγον κεχαρηότα νίκῃ: ὡς φαμεν εἰς διδασκάλου, κἂν μὴ ᾖ [ἐκ]εῖ ὁ διδάσκαλος. κεχαρηότα δὲ νίκῃ· **T** τέτρωται γὰρ καὶ πέπτωκεν Ἕκτωρ καὶ ἀπηγόρευσε τῇ μάχῃ. **b**(BCE[3]E[4]) **T** *ex.*

**306—7** diple ante versum 306 (non ante versum 307) in A *a* — ὁ δέ (20) ad Γ 211 (Ariston.); vide ad A 171 *a* (Ariston.) καὶ ὅτι πρὸς τὸ (20) sq. ad. B 621 (Ariston.) *b* cf. Eust. 682, 40 ὅμαδον (23 et 25) sq. vide ad B 96 (test.) *b*[1] πανταχοῦ δὲ (23) sq. ad Δ 433. Θ 542. N 41 *a* **312** *a* ad Z 252 *a* (Ariston.); cf. Polyb. barb. 289, 4

---

19 (le.) τῶι A em. Vill., ὁ μέν — ὁ δέ addidi (auctore Bk.) ὅτι add. Ddf., fort. rectius ἡ διπλῆ, ὅτι 22 le. T supplevi (μετὰ λαὸν ἀχ. iam Li ante sch. *b*[2]) 22 sq. καλὸν cf. sch. *b*[2] 25 τὸ CE[3], om. BE[4] 27 sq. le. T supplevi, ἀρτεμέα: le. A 31—3 sch. ad v. 308 rettulit b 31 ἀνέλπιστα C 38 ἐπεγνωκότες A em. Bk. 39 le. add. Vill. ὅτι A, ἡ διπλῆ, ὅτι Vill. 41 (le.) κεχαρ. νίκῃ scripsi (auctore Vill.), οἱ δ' ὅτε δὴ κλισίῃσι T (le. om. b, qui sch. recte ad v. 312 revocavit) 42 ᾖ [. .]εῖ T suppl. m. rec. 43 πέπτ. ἕκτωρ T πέπτωκε b ἀπηγώρευσε E[4] 44 μάχῃ ὁ ἕκτωρ b

*Ariston.* **314** *a.* ⟨τοῖσι δέ:⟩ ὅτι ὁ δέ περισσός. $A^{int}$

*ex.* *b.* τοῖσι δὲ βοῦν ἱέρευσε: ἡ μὲν τιμὴ εἰς Δία γίνεται, ἡ δὲ χρεία τῶν κρεῶν εἰς τοὺς στρατιώτας. b(BC$E^3E^4$) T

*Ariston.* **319.** ⟨πόνου:⟩ ὅτι ἀντὶ τοῦ ἔργου. $A^{int}$

*ex.* **321.** νώτοισιν δ' Αἴαντα: εὐτελῆ γὰρ τῆς ἀνδραγαθίας τὰ ἆθλα, ὡς κότινος καὶ σέλινον, τὰ δὲ τῆς πλεονεξίας χρυσὸς καὶ ἄργυρος. ἅμα δὲ διὰ τὸ μὴ δεῖξαι τῷ πολεμίῳ τὰ νῶτα. b(BC$E^3E^4$) T

*ex.* **324.** τοῖς ὁ γέρων πάμπρωτος ⟨ὑφαίνειν ἤρχετο μῆτιν⟩: ὁ γέρων κατ' ἐξοχὴν ὡς ὁ ποιητής· εἰς τοῦ[το] γὰρ ἐστράτευσεν, ἀγωνιούμενος τῇ βουλῇ. T

*ex.* **325.** Νέστωρ, οὗ καὶ πρόσθεν ⟨ἀρίστη φαίνετο βουλή⟩: Ἀχιλλέα γὰρ †τὸ ὅσον ἐφ' ἑαυτῷ χαλεπαίνοντα διήλλαξεν Ἀγαμέμνονι καὶ τοὺς Ἕλληνας ὁρμῶντας εἰς τὰς πατρίδας ἐπέσχεν· καὶ περὶ διατάξεως ὑπέθετο „ὡς φρήτρη φρήτρηφιν ἀρήγῃ" (B 363) καὶ τοὺς ἀριστέας ὀκνοῦντας εἰς τὴν πρὸς Ἕκτορα μάχην ἀνήγειρεν. b(BC $E^3E^4$) T

*ex.* **327.** Ἀτρείδη τε καὶ ἄλλοι: καλῶς τὴν ἀρχὴν τῆς συμβουλίας εἰς τὸν ἄρχοντα φέρει μηδὲ τοὺς ἄλλους παρείς. b(BC$E^3E^4$) T

*ex.* **328** *a.* πολλοὶ γὰρ τεθνᾶσι: προθυμοτέρους τοὺς ζῶντας ποιεῖ τῶν τεθνεώτων μεταποιούμενος· αἰσχρὸν γὰρ ἐδόκει τὸ μὴ ἀξιοῦσθαι ταφῆς. ἅμα δὲ καὶ διαναπαύειν θέλει τὸν ἀκροατὴν καὶ τειχοποιΐαν εἰσφέρειν. δῆλον δὲ ὡς ἑκάστοτε τὰς ἀναιρέσεις ἐποιοῦντο τῶν νεκρῶν. b(BC$E^3E^4$) T

**314** *a* ad A 41 *c* (Ariston.) **319** ad A 467 *a* (Ariston.) **321** — σέλινον (50) cf. Eust. 682, 55; — ἆθλα (49) aliter sch. δ 65. ξ 437; Athen. 1, 13 e/f κότινος (50) cf. sch. Pind. I. hyp. b σέλινον (50) cf. sch. Pind. Ol. 3, 27. 13, 45 a et c, N. hyp. c et d, 6, 71 b/c, I. 2, 19 e χρυσὸς (50) ad M 319 (T) ἅμα δὲ διὰ (51) sq. cf. Eust. 682, 51 **325** — ἐπέσχεν (57) = Ge (e T) **328** *a* — ταφῆς (65) sim. Eust. 683, 20 μεταποιούμενος (64) cf. Valk I 520 δῆλον δὲ (66) sq. ad Θ 491

---

45 le. add. Bk. ὅτι A, fort. ἡ διπλῆ, ὅτι 46 sq. ἡ δὲ τῶν κρ. χρεία $E^4$ 48 le. add. Bk. ὅτι A, fort. ἡ διπλῆ, ὅτι ἀντὶ τοῦ cp. A 49 τὰ γὰρ τῆς ἀνδρ. ἆθλα εὐτελῆ b 50 σέλινα b χρυσὸς om. b 51 διὰ om. $E^4$ 52 le. T supplevi 53 τοῦτο] τοῦ T m. pr., το ss. m. rec. 55 le. T supplevi (auctore Vill.), om. b 56 γὰρ (om. b) τὸ (τὸ om. Ge, del. Ma.) ὅσον ἐφ' ἑαυτῷ (ἑαυτοῦ b)] fort. γὰρ ὅσον τὸ ἐπ' αὐτῷ (an τὸ ἐφ' ἑαυτῷ ?) 57 ἐπέσχε b 58 ὑπέσχετο C φρίτρη φρίτρηφιν C ἀρήγῃ om. T 59 ἀνήγειρε T 61 (le.) ἀτρεῖδαι Ma., male (le. om. b) 62 μηδὲ] μὴ δὲ BT 63—7 προθυμοτέρους δὲ sq. pone sch. *c*² (coni. cum v. πράγματος) in b 63 τῶν ζώντων τοὺς ζῶντας C 64 μεταποιούμενος] μεταποιεῖσθαι Wil. (dub.), μελέτην ποιεῖσθαι Ma. (improbabiliter) 65 τειχομαχίαν T 66 εἰσφέρει b ποιοῦνται b

*b.* ⟨πολλοὶ γὰρ τεθνᾶσι:⟩ ὅτι ἀπὸ τοῦ γάρ αἰτιώδους εἰσέβαλεν ἀρχαϊκῶς. A$^{im}$ *Ariston.*

*c.*$^1$ πολλοὶ γὰρ τεθνᾶσι: εἴωθεν ἄρχεσθαι ἀπὸ †ἡλίου†· τὴν γὰρ αἰτίαν προτάσσει τοῦ πράγματος. ἐχρῆν δὲ τοὐναντίον ποιεῖν. T *ex.*

*c.*$^2$ εἴωθεν ἀεὶ ἀπὸ τοῦ γάρ ἄρχεσθαι, b(BCE$^3$) τὴν αἰτίαν προτάσσων τοῦ πράγματος. b(BCE$^3$E$^4$)

330 *a.* ἐσκέδασ' ὀξὺς Ἄρης: σκληρῶς καὶ ἐμφαντικῶς τοῦτό φησιν. T *ex.*

*b.*$^1$ ψυχαὶ δ' Ἄϊδος δὲ κατῆλθον: ὅτι συμφώνως τῷ κατὰ τὴν ἀρχὴν τῆς Ἰλιάδος (A 3) „πολλὰς δ' ἰφθίμους ψυχάς"· οὐκ ἄρα γραπτέον „κεφαλάς". A *Ariston.*

*b.*$^2$ ψυχαὶ δ' Ἄϊδος δὲ κατῆλθον: ὅτι κἀκεῖ δεῖ γράφειν „πολλὰς δ' ἰφθίμους ψυχάς", οὐ „κεφαλάς". T

331. ⟨τῶ σὲ χρή:⟩ τὸ σέ παρέλκει. A$^{im}$ *ex.*

332. ⟨κυκλήσομεν:⟩ ἐπ' ἁμαξῶν κομίσομεν. T$^{il}$ *D(~)*

333. ⟨κατακείομεν:⟩ ὅτι οἱ ἀρχαῖοι ἔκαιον τὰ σώματα. A$^{int}$ *Ariston.*

334—5. τυτθὸν ἀπὸ πρὸ νεῶν ⟨——— γαῖαν⟩: ἀθετοῦνται, ὅτι οὐ διὰ τοῦτο ἐκαίοντο, ὅπως τὰ ὀστᾶ κομίσωνται, ἀλλὰ συνηθείᾳ· καὶ γὰρ οἱ ἐπὶ τῆς ἰδίας τελευτῶντες ἐκαίοντο. καθόλου οὖν οἶδεν πυρὶ καιομένους τοὺς πάλαι καὶ ἐνταῦθα τιθεμένους, ὅπου καὶ ἐτελεύτησαν. ἐναντιοῦνται δὲ καὶ τὰ ἑξῆς „τύμβον δ' ἀμφὶ πυρὴν / ἄκριτον ἐκ πεδίου" (cf. H 336—7), ἀδιαχώριστον, ἀδιάστατον, τουτέστι πολυάνδριον· πῶς οὖν ὥς κ' ὀστέα παισὶν ἕκαστος (334); A *Ariston.*

*b* ad B 284 (Ariston.) *c*$^1$— πράγματος (71) cf. Eust. 683, 38 **330** *b* ad A 3 *b* (Ariston.) **331** cf. Beiträge 320; vide ad N 773 *a* (Ariston.) **332** = Eust. 683, 58 **333** ad H 79 *b* (Ariston.), cf. D ad A 52 (= Andro, FGrHist 10, 10). Vide ad Θ 70 *b* **334—5** obelus ante utrumque versum in A ἀθετοῦνται (85) sq. cf. Wilamowitz, Il. Hom. 55; F. Jacoby, Patrios Nomos, Journ. Hell. Stud. 64, 1944, 44 n. 30; D. L. Page, History and the Homeric Iliad, in urbibus Berkeley et Los Angeles 1959, 323; M. Andronikos, Totenkult (Archaeologia Homerica III W, Gottingae 1968) 31 καὶ γὰρ (87) — ἐτελεύτησαν (88) ad H 333 (Ariston.). Vide ad H 79 *b* καθόλου (87) sq. ad Δ 174 (Ariston.), aliter sch. Lyc. 367 (p. 142, 6). Vide Cauer 328; Jacoby l. c. 42 n. 19; Valk II 422 ἀδια-

**68** le. add. Frdl. (Vill.) ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **70—2** le. et sch. cum scholio *a* (v. νεκρῶν) coni. T, dist. Ma. **70** ἡλίου] cf. sch. *c*$^2$ **77** le. Bk. (Vill.), ἐσκέδασ' ὀξὺς ἄρης: A ὅτι A, ἡ διπλῆ, ὅτι Vill. τῷ Bk., τὸ A **81** δ' Ma., δὲ T **82** le. add. Vill. **83** le. add. V$^c$ ἐφ' ἁμαξῶν Ma. (= D, Eust.), fort. rectius κομ.] οἴσομεν D **84** le. (= A$^{cont}$, cf. Eust. 684,1) addidi, κατακήομεν add. Ddf. ὅτι A, fort. ἡ διπλῆ, ὅτι **85** le. A supplevi **89** ἐναντιοῦται Frdl. ἄκρητον A em. Vill.

*Hrd.* **334** *a.* ἀπὸ πρὸ νεῶν: τὰς δύο προθέσεις ἐγκλίνειν δεῖ, ἵνα ἡ μὲν ἀπό συντάσσηται τῇ νεῶν γενικῇ, ἡ δὲ πρό παρέλκηται. **A**

*ex.* *b.*[1] {τυτθὸν} ἀπὸ πρὸ νεῶν: ἄπωθεν μὲν αὐτῶν, ἔμπροσθεν δέ. Ἀρίσταρχος ἀναστρέφει τὴν ἀπό, ἵνα σημαίνῃ τὸ ἄπωθεν, καὶ τὴν πρό πλεονάζουσαν κοιμίζει. ὁ δὲ Ἡρωδιανὸς (2, 59, 10) τῆς ἀπό φυλάσσει τὸν τόνον καὶ συντάσσει αὐτὴν †τῇ† νεῶν, τὴν δὲ πρό ὡς πλεονάζουσαν κοιμίζει. τινὲς δὲ τοῦ ἀπόπροθι ἀποκοπὴν αὐτὸ νομίζουσιν. **T**

*b.*[2] ὁ Ἡρωδιανὸς τῆς ἀπό φυλάσσει τὸν τόνον καὶ συντάσσει αὐτὴν τῷ νεῶν· τὴν δὲ πρό ὡς πλεονάζουσαν †κομίζει†. τινὲς δὲ τοῦ ἀπόπροθι ἀποκοπὴν αὐτὸ νομίζουσιν. ἢ ἡ ἀπό σημαίνει τὸ ἄποθεν, τὸ δὲ πρό νεῶν ἀντὶ τοῦ πλησίον, τουτέστι καύσομεν αὐτοὺς ὀλίγον μὲν ἡμῶν ἄποθεν, πρὸ τῶν νεῶν δέ. **b**(BCE³E⁴)

*ex.* **335.** οἴκαδ' ἄγῃ: καὶ πῶς ἐν Ὀδυσσείᾳ φησίν· „ἀμφ' αὐτοῖσ⟨ι δ'⟩ ἔπειτα μέγαν ⟨καὶ ἀμύμονα τύμβον / χεύαμεν⟩" (ω 80—1); **T** τοῦτο πρὸς παραμυθίαν τῶν ζώντων εἴρηται μέν, οὐχ οὕτω δὲ πέπρακται διὰ τὴν στάσιν τῶν Ἀτρειδῶν καὶ τὸν ἀποθύμιον πλοῦν. **b**(BCE³E⁴) **T**

*Did.* **336** *a.* ⟨τύμβον δ' ἀμφί:⟩ Ἀρίσταρχος διὰ τοῦ τ̄ „τύμβον τ' ἀμφί". **A**[im]

*Nic.* *b.* τύμβον δ' ἀμφὶ πυρὴν ἕνα χεύομεν ἐξαγαγόντες: διασταλτέον ἐπὶ τὸ χεύομεν. τὸ δὲ ἐξαγαγόντες ἤτοι ὕλην πρὸς τὴν τειχοποιΐαν ἢ ἀντὶ τοῦ προελθόντες πολὺ εἰς τὸ πεδίον, ἵνα ἡ μὲν ἐξ̄ πρόθεσις ἀντὶ τοῦ ἔξω ἐπιρρήματος κέηται, τὸ δὲ ἀγαγόντες ἐν ἴσῳ τῷ πορευθέντες· περιλαμβάνουσι γὰρ τῷ ναυστάθμῳ καὶ τοῦ πεδίου μέρος. τὸ δὲ δεύτερον ἄμεινον. **A**

*ex.* *c.* τύμβον δ' ἀμφὶ πυρὴν ἕνα: μεγάλην περιβολὴν ποιησάμενοι. γράφεται δὲ καὶ „ἀμφίβολον", μέγιστον, ἐν ᾧ ἑκάστου ἀποκείσονται τὰ ὀστᾶ. **T**

*Nic.* | *Porph.* **336—7** *a.*[1] ἕνα χεύομεν ἐξαγαγόντες ⟨/ ἄκριτον ἐκ πεδίου⟩: ὑποστικτέον εἰς τὸ χεύομεν. | τὸ δὲ ἐξαγαγόντες ὅμοιόν

χώριστον (90) = D ad Η 337 **334** *a* — γενικῇ (93) ad Β 162 (Hrd.) παρέλκηται (93) ad Δ 423 (Hrd.) *b*[1] — αὐτῶν (94) cf. sch. Eur. Or. 142 κοιμίζει (1) cf. Ap. Dysc. pron. 36, 1, Io. Char. 1150 **335** οὐχ οὕτω δὲ πέπρακται (12) sq. at cf. Eust. 683, 3 **336** *a* ad Η 146 *a* (Did.) **336—7** τὸ δὲ ἐξ-

---

**92** le. ἀποπρονέων A em. Lehrs **94** (le.) τυτθὸν delevi; προνεῶν T dist. Ma. **2** τῇ cf. sch. *b*[2] **6** κομίζει cf. sch. *b*[1] **7** ἀποσκοπὴν C **10** sq. αὐτοῖς T supplevi ex Hom. **11** καὶ — χεύαμεν addidi **12—4** τοῦτο (τοῦτο δὲ E⁴ post D) sq. pone sch. Η 328 *a* in b **12** μὲν ante τῶν trps. b οὕτως b **15** le. addidi (auctore Ldw.) **26** sq. le. T supplevi

ἐστι †τοῦ† „Λαοδίκην ἐσάγουσα“ (Z 252) ἀντὶ τοῦ εἰσερχομένη. οὕτω καὶ νῦν ἀντὶ τοῦ ἐξελθόντες τοῦ πεδίου. ἄκριτον δὲ ἀντὶ τοῦ χύδην ἰσόπεδον, ὅπως μὴ ἐπιγινώσκηται, εἰ ἔστι τάφος. οὕτω Πορφύριος (1, 99, 9). T

*a.*[2] ὑποστικτέον εἰς τὸ χεύομεν. | τὸ δὲ ἐξαγαγόντες ὅμοιόν ἐστι τῷ „Λαοδίκην ἐσάγουσα“ ἀντὶ τοῦ εἰσερχομένη. οὕτω καὶ τὸ ἐξαγαγόντες ἀντὶ τοῦ ἐξελθόντες. τὸ δὲ ἄκριτον ἀντὶ τοῦ ἀγνώριστον, ἀχώριστον, ὅμοιον τῷ λοιπῷ πεδίῳ. b(BCE³)

**337—8.** δείμομεν ὦκα / πύργους: ὦκα, ἵνα μὴ ἀπίθανον δοκῇ τὸ ἐν μιᾷ ἡμέρᾳ τεῖχος γενέσθαι. b(BE³E⁴) T *ex.*

**338.** ⟨εἶλαρ:⟩ ὀχύρωμα. T^il *ex.*

**339** *a.* ἐν δ' αὐτοῖσι πύλας ποιήσομεν ⟨εὖ ἀραρυίας⟩: ὅτι πληθυντικῶς, καὶ ὅτι μία ὑπόκειται πύλη ἐν τῷ τείχει. | τινὲς δὲ γράφουσιν „ἐπτ' ἀραρυίας“. A *Ariston.* | *Did.(?)*

*b.*[1] ἐν δ' αὐτοῖσ⟨ι⟩ πύλας ποιήσομεν: μία μὲν ἦν ἱππήλατος ἐπὶ τὸ ἀριστερὸν τοῦ ναυστάθμου πρὸς τὸ 'Ροίτειον, „νηῶν ἐπ' ἀριστερά, τῇ περ 'Αχαιοί / ⟨ἐκ πεδίου⟩ νίσοντο σὺν ἵπποισιν“ (M 118—9)· ἄλλας δὲ πυλίδας εἶχον πρὸς ἄλλας χρείας. T *ex.*

*b.*[2] μία μὲν ἱππήλατος ἐπὶ τὸ ἀριστερὸν τοῦ ναυστάθμου. τὰς δὲ λοιπὰς πυλίδας εἶχον πρὸς τὰς ἄλλας μικρὰς χρείας. b(BCE³E⁴)

**342.** ⟨ἀμφὶς ἐοῦσα:⟩ γράφεται „ἀμφὶς ἔχουσα“. T^il *Did.(?)*

**345** *a.* Τρώων αὖτ' ἀγορή: ἔδει γὰρ τῶν τοῦ βασιλέως υἱῶν *ex.*

αγαγόντες (27 et 32) sq. cf. Eust. 684, 13. Vide ad Z 252; Porph. 1, 98, 24 *a*² ἀχώριστον (35) cf. ἀδιαχώριστον = D, D ad Γ 412. Ω 91, Ap. S. 19, 30, Or. Koes. 175, 22 (unde Et. Gud. 73, 10 Stef.), Or. in Et. Gen. ἄκριτον (p. 19 Mill.), EM. 52, 47 **337—8** cf. Eust. 684, 20 **338** cf. D **339** *a/b* ad H 438 (test.) *a* ad M 470 (Ariston.), cf. Lehrs Ar.³ 125; Goedhardt 55; — πληθυντικῶς (40) ad Θ 58. I 354 *a*. 383 *a*. 475. M 120. 291. Ξ 167 *a* (Ariston.) καὶ ὅτι (40) sq. ad M 118 *a*¹. 175. 340 *a*¹ (Ariston.), N 675 (ex.), O 414 *a*². Vide ad B 809 (Ariston.) τινὲς δὲ (40) sq. cf. Goedhardt 61 *b*¹ fort. huc spectat Eust. 684, 24 ἐπὶ τὸ (43) — 'Ροίτειον ad M 118 (ex.) ἄλλας δὲ (45) sq. vide ad M 87 *a*. N 124 *b* **342** cf. Schulze 347 **345** *a* ἔδει γὰρ (49) —

---

**28** τοῦ cf. sch. *a*² **32—5** sch. ad H 336 revocavit b **32** sq. τὸ δὲ ἐξαγαγόντες sq. sch. *a*² a verbis Porphyrii propius abest quam sch. *a*¹ **35** ἀχώριστον susp., fort. ἀδιαχώριστον (cf. test.) **36** ὦκα, ἵνα μὴ ἀπίθανον T, τὸ δὲ ὦκα προστέθειται, ἵνα πιθανὸν (coni. cum scholio praecedenti, v. πεδίῳ) b **37** γεν. om. b **38** le. add. Ma. **39** le. A suppl. Vill. ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **42** (le.) αὐτοῖσ͡ T suppl. Ma. **43** πρὸς Ma., περὶ T **44** ἐκ πεδίου addidi ex Hom. **48** le. add. V^c

ἡττωμένων καὶ κινδυνευσάσης τῆς πόλεως ὑπὸ Διομήδους, δυσελπίδων ὄντων διὰ τὴν παράβασιν, σκοπεῖν τι τῶν ἀναγκαίων. ἔστι δὲ ἐν τοῖς Ἕλλησι Νέστωρ, ἐν δὲ Τρωσὶν Ἀντήνωρ. b(BE$^3$E$^4$) T

*Ariston.* *b.* ⟨πόλει ἄκρῃ:⟩ ὅτι διαλελυμένως τῇ ἀκροπόλει. A$^{im}$

*Nic.* **346** *a.*$^1$ δεινή, τετρηχυῖα: βραχὺ διασταλτέον κατ' ἀμφότερα· μᾶλλον γὰρ οὕτως ἐμφαίνει. A

*a.*$^2$ κατ' ἄμφω ὀλίγον διασταλτέον. T$^{il}$

*ex.* *b.* τετρηχυῖα: τεταραγμένη, ἢ διὰ τὰ προλεχθέντα ἢ διὰ τὸ „πολύκλητοι δ' ἔσαν" (Δ 438) ἢ διὰ τὸ διχογνωμεῖν περὶ Ἑλένης ὡς Ἀντήνωρ καὶ Ἀντίμαχος (cf. Η 347—53 et Λ 123—5). δηλοῖ ὡς οὐχ οἱ βασιλεῖς συνήγαγον αὐτούς, ἀλλ' ἀγανακτοῦντες ἧκον εἰς τὰ βασίλεια. A b(BCE$^3$E$^4$) T

*ex.* **347** *a.* τοῖσιν δ' Ἀντήνωρ: ὡς πρόξενος Ἑλλήνων καὶ δημηγορῶν καὶ θεοσεβής. Ἕκτωρ δὲ σιωπᾷ αἰσχυνόμενος διαλύειν τὴν μάχην, ἵνα μὴ δοκῇ δεδοικέναι διὰ τὸ νεωστὶ ἡττῆσθαι. b(BCE$^3$E$^4$) T

*Did.(?)* *b.* ⟨ἀντίον ηὔδα:⟩ γράφεται „ἦρχ' ἀγορεύειν". A$^{int}$

*ex.* **351—2.** ὅρκια ⟨πιστά/⟩ ψευσάμενοι: μετρίως καὶ ἑαυτὸν συγκαταλέγει, ἵνα μὴ πικρότερον χρήσηται τῷ ἐλέγχῳ. b(BCE$^3$E$^4$) T

*Ariston.* **353** *a.* ἔλπομαι ἐκτελέεσθαι, ⟨ἵνα μὴ ῥέξομεν ὧδε⟩: ἀθετεῖται, ὅτι ἀγνοήσας τις ὅτι ὑπακοῦσαι δεῖ τῷ „οὔ νύ τι κέρδιον ἡμῖν" (Η 352) τὸ ἔσται, ὡς ἐλλείποντος τοῦ λόγου προσανεπλήρωσεν· καὶ ὅτι τὸ ἵνα οὐχ Ὁμηρικῶς παρείληπται ἀντὶ τοῦ ἐάν. A

*ex.* *b.* ⟨ἔλπομαι ἐκτελέεσθαι:⟩ μετριώτερον, ὡς τὸ „ὀΐομαι ἄνδρα χολωσέμεν" (Α 78). T$^{il}$

ἀναγκαίων (51) Ge (e T) *b* ad Ζ 257 (Ariston.) τῇ ἀκροπόλει = D, cf. Eust. 684, 38 **346** *b* τεταραγμένη (57) = Synag. (Ba. 385, 24, Ph.), cf. D; Bechtel, Lex. 308. Vide ad Β 95 *a*$^1$ ἢ διὰ τὸ (57) — ἔσαν (58) ad Δ 437 (ex.) ἢ διὰ τὸ διχογν. (58) — Ἀντήνωρ (59) cf. Eust. 684, 45 **353** *a* — προσανεπλήρωσεν (70) ad Ι 416 *a*. Φ 570. Ω 45 (Ariston.); cf. Lehrs Ar.$^3$ 338. Vide ad Α 139. Ι 44. Ξ 158. Φ 470 (Ariston.) καὶ ὅτι τὸ (70) — ἐάν (71) cf. Eust. 684, 51; sch. Ar. ran. 175 (vide W. Kraus, Testim. Aristoph. [Lips. 1931] 44) *b* ad Α 78 (ex.)

---

**51** τι] περὶ Wil. (et Ge ut vid.), parum probabiliter **51** sq. ἔστι δὲ ἐν αὐτοῖς νέστωρ ὁ ἀντήνωρ b, fort. ἔστι δέ, ὁ ἐν τ. Ἑλλ. ν., ἐν τρ. ἀντ. **53** le. addidi (auctore Frdl.) ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **57** le. T, τὸ τετρηχυῖα: coni. cum scholio *a* (v. ἐμφαίνει) A, om. b **59** ὡς — δηλοῖ ὡς om. b fort. δηλοῖ δὲ ὡς **60** βασιλεῖς δὲ συν. b **62** καὶ T καὶ ἀεὶ b **64** δεδοικ. om. b διά T πρός b τὸ b τοῦ T νεωστὶ T τέλος b **65** le. add. Bk. (Vill.) **66** le. T suppl. Ma., om. b (scholio ad Η 351 relato); fort. correctius ὅρκια πιστά / ψευσάμενοι μαχόμεσθα: **67** ἵνα μὴ b ὅπως T πικρ.] μετρί ss. ω C **68** le. A suppl. Vill. **72** le. add. Bk. (ἔλπομαι iam V$^c$)

*c.* ⟨ἐκτελέεσθαι, ἵνα μή:⟩ Ἀρίσταρχος „ἐκτελέεσθαι, †ἵνα† ἄν μή“. A^im *Did.*

*d.* ἵνα {μὴ ῥέξωμεν ὧδε}: „ἵν' ἄν“ αἱ Ἀριστάρχου σὺν τῷ ν̄, | καίτοι ὠβελισμένου τοῦ στίχου. T *Did.* | *Ariston.(?)*

*e.* ⟨ἵνα:⟩ τὸ ἵνα ἀντὶ τοῦ ἐάν παρὰ Ἡρωδιανῷ. | παρὰ δὲ τοῖς ἄλλοις ὠβέλισται. b(BCE³E⁴) *D(~)* | *Ariston.(?)*

357 *a.*¹ οὐκέτ' ἐμοὶ φίλα: οὐ γὰρ τὰ κοινῇ συμφέροντα θέλει ἀκούειν, ἅπαξ καταβυθισθεὶς τῷ ἔρωτι τῆς Ἑλένης. T *ex.*

*a.*² οὐ γὰρ τὰ κοινῇ συμφέροντα βούλεται ἀκούειν, ἀλλὰ τὰ πρὸς ἰδίαν χάριν. b(BCE³E⁴)

358 *a.*¹ οἶσθα καὶ ἄλλον μῦθον ἀμείνονα: καὶ τί βέλτιον τοῦ δοῦναι τὰ ἀλλότρια καὶ τοῖς ὅρκοις ἐμμένειν; ὡς πολέμια δὲ φρονοῦντα διαβάλλει, οὐ διὰ τὸ εὐσεβές. T *ex.*

*a.*² καίτοι οὐδὲν ἦν βέλτιον τοῦ δοῦναι τὰ ἀλλότρια καὶ τοῖς ὅρκοις ἐμμένειν. οὗτος δὲ ἡττώμενος θηλυμανίας ὡς πολέμιον αὐτὸν διαβάλλει. b(BCE³E⁴)

359 *a.* ⟨εἰ δ' ἐτεόν:⟩ οὕτως Ἀρίσταρχος, ἄλλοι δίχα τοῦ δ̄, „εἰ ἐτεόν“. A^int *Did.*

*b.* εἰ δ' ἐτεὸν δὴ τοῦτον ἀπὸ σπουδῆς ἀγορεύεις: ὑποστικτέον κατὰ τὸ τέλος τοῦ στίχου καὶ γραπτέον τὴν ἀρχὴν μετὰ τοῦ δέ συνδέσμου, εἰ δ' ἐτεὸν δὴ τοῦτον· τὸ γὰρ ἀσύνδετον ἀπρεπὲς ἐνθάδε. A *Nic.*

360. ἐξ ἄρα δή τοι ἔπειτα: αὐτὸς ἐν μεγίστῃ φρενοβλαβείᾳ ὢν τοῦτο ὀνειδίζει τῷ γέροντι. b(BCE³E⁴) T *ex.*

362 *a.* ἀντικρύ: κατὰ πρόσωπον καὶ ἐξ ἐναντίας πάντων. b (BCE³E⁴) T *ex.*

*c/d* cf. Eust. 685, 24: τὸ δὲ „ἵνα μὴ ῥήξομεν ὧδε“ ἠθέλησάν τινες εἰπεῖν ἀντὶ τοῦ ὅπου μὴ ποιήσομεν οὕτω. οὐκ εὖ δέ· στέργεται γὰρ μᾶλλον ἡ προρρηθεῖσα ἐξήγησις (h. e. eadem interpretatio, quae scholio D continetur, cf. Eust. 684, 51); Valk II 227 *c* cf. Schulze, Quaest. ep. 418 *d* cf. Spitzner ad l. *e* τὸ ἵνα (78) sq. fort. totum sch. *e* depromptum est e nota Aristonici (cf. sch. *a*), si modo concedis verba παρὰ Ἡρωδιανῷ interpolata esse **362** *a* et *c* Ge (e T) *a* ad Ψ 673 (ex.), cf. D ad Γ 359

---

74 le. addidi (auctore Ldw.) 75 ἵνα ἄν μή] ἵνα μμή Aristarchum scripsisse suspicatur Schulze ἵνα A, ἵν' Lehrs (Heyne) 76 (le.) μὴ ῥέξ. ὧδε eieci ἵν' ἄν Ma., ἵναν T 78 le. addidi, ἵνα μὴ ῥέξομεν add. Li ἀντὶ — ἡρ.] παρὰ ἡρωδιανῶ ἀντὶ τῆς ἐάν E⁴ ἡρωδιανῷ susp. (cf. test. ad sch. *e*) 79 ὠβέλισται cf. sch. *a* et *d* 85 (et 87) ἀποδοῦναι Ma. 90 le. add. Bk. 1 le T, om. b; fort. correctius ἐξ ἄρα δή τοι ἔπ. θεοὶ φρένας ὤλεσαν αὐτοί: 2 τοῦτο T τὰ αὐτοῦ b 3 le. Bk., ἀντικρὺ δ' ἀπόφημι T, om. b ἀπάντων Ge

*Hrd.* *b.* ἀπόφημι: ὡς „ἄπειμι“ (ρ 593)· τὰ γὰρ ὀξυνόμενα τῶν ῥημάτων ἐν τῇ συνθέσει ἀναδίδωσι τὸν τόνον. A

*ex.* *c.* γυναῖκα μὲν οὐκ ἀποδώσω: χαρακτηρίζει κιναίδου λόγον καὶ τέλεον ἀπηρυθριακότος· διὰ γοῦν τοῦ ἀποδώσω ὁμολογεῖ ἀδίκως αὐτὴν ἔχειν. b(BCE³E⁴) T

*ex.* **363—4.** κτήματα δ' ⟨———⟩ ἐθέλω δόμεναι: οὐχ ὡς πειθομένων Ἑλλήνων, ἀλλ' ὅπως ἔχῃ πρόβλημά τι. b(BCE³E⁴) T

*ex.* **366—7.** Δαρδανίδης Πρίαμος ⟨———⟩ ἀγορήσατο: οὔτε γὰρ Ἀντήνορι ἀντιλέγει οὔτε τῷ παιδί, πολιτικὴν ὑφορώμενος στάσιν διὰ τοὺς συναιρομένους αὐτοῖς. ἢ τάχα καὶ τοὺς Ἕλληνας ἀκούων δυσχεραίνειν τῷ μήκει τῆς μάχης ᾤετο δέξασθαι τὴν πρεσβείαν. b (BCE³E⁴) T

*Did.* **370.** ⟨κατὰ πτόλιν:⟩ γράφεται „κατὰ στρατόν“. A^im

*ex.* **374.** μῦθον Ἀλεξάνδροιο, ⟨τοῦ εἵνεκα νεῖκος ὄρωρε⟩: τὸ τυραννικὸν Ἀλεξάνδρου †δείκνυσι πρᾳοτέρους κατὰ τῶν Τρώων τοὺς Ἕλληνας· b(BCE³E⁴) T  διὰ τοῦτο γὰρ εἶπε· τοῦ εἵνεκα νεῖκος ὄρωρε. T

*ex.* **375** *a.*¹ καὶ δὲ τόδ' εἰπέμεναι πυκινὸν ἔπος: πυκινόν, ἐπειδὴ τοῦτο ἀνακτήσεται τοὺς κάμνοντας, †ἵνα δὲ ὡς† ἐπιμιγνύμενοι ἀλλήλοις ἀφορμὴν τοῦ ποιήσασθαι εἰρήνην λάβωσιν. ὃ ἔσπευδον δ' Ἕλληνες, τοῦτο δοκοῦσι χαρίζεσθαι. T

*a.*² ὅτι τοῦτο τοὺς κάμνοντας ἀνακτήσεται, καὶ ἵνα ἀδεῶς ἐπιμιγνύμενοι ἀλλήλοις ἀφορμὴν τοῦ ποιῆσαι εἰρήνην λάβωσιν. ὃ δὲ καὶ Ἕλληνες ἐβούλοντο, τὸ συνάξαι τοὺς νεκρούς, τοῦτο καὶ αὐτοῖς δοκοῦσι χαρίζεσθαι. b(BCE³E⁴)

**368—9** A m. rec. (in mg. exteriore): ἐν ἄλλῳ καὶ ἐνταῦθα οὗτοι οἱ στίχοι κεῖνται· „κέκλυτέ μευ, Τρῶες καὶ Δάρδανοι ἠδ' ἐπίκουροι, / ὄφρ' εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει“ (versus om. A^cont)  **375** ποιήσασθαι (24) cf. E. Roos, Apophoreta Tartuensia (Holmiae 1949), 32; vide praeterea Eranos 52, 1954, 76  **380** A m. rec. (in mg. exteriore): ἐν ἄλλῳ καὶ οὗτος ὁ στίχος· „δόρπον ἔπειτ' εἵλοντο κατὰ

---

**7—9** χαρακτηρίζει δὲ sq. coni. cum scholio *a* (v. πάντων) in b  **8** τέλειον T (τέλεον etiam Ge)  γοῦν] δὲ Ge  τοῦ] τοῦ οὐκ Ge  **9** αὐτ. ἔχειν T κατέχειν b  **10** le. T suppl. Ma., om. b (qui sch. ad H 364 revocavit)  **11** ὅπως ἔχει βουλῆς ἐνδεικνύμενος ταῦτά φησιν b  **12** le. T suppl. Ma., om b (scholio ad H 367 relegato)  **14** αὐτοῖς b αὐτῷ T  **15** δυσχεραίνοντας C δυσχεράναντας BE³E⁴  δέξεσθαι Wil., at cf. Kühner-Gerth, Ausf. Gramm d. griech. Sprache I 195  **17** le. add. Bk. (Vill.)  **18—21** sch. ad H 388 trps. b, fort. recte  **18** le. T supplevi, om. b  **19** δεικνὺς b, fort. ἀποδείκνυσι  **20** τοὺς T ποιεῖ τοὺς b  **23** ἵνα δὲ ὡς cf. sch. *a*²  **26** τοῦτο om. C

382. τοὺς δ' εὗρ' εἰν ἀγορῇ: οὐκ εἰς ἐκκλησίαν, ἀλλ' ἔξωθεν πρὸς Ἀγαμέμνονα ἐλθόντας, εἴ τι δέοι πράσσειν τῶν βουλευθέντων. b(BCE$^3$E$^4$) T *ex.*

384. ἠπύτα: ὡς „ἱππότα" (B 336 al.) καὶ „ἱππηλάτα" (Δ 387 al.). | ἠπύτα δὲ ἀντὶ τοῦ μεγαλόφωνος. T *ex.* | *D*

390. ὡς πρὶν ὤφελλ' ἀπολέσθαι: ὅτι σαφῶς ὑπὸ τῶν Τρώων ἐμισεῖτο Ἀλέξανδρος, πρὸς Ζηνόδοτον γράφοντα „ἀλλὰ μάλα Τρῶες ἐλεήμονες" (Γ 56). A *Ariston.*

390—1. ⟨ἠγάγετο Τροίην δ', ὡς πρὶν ὤφελλ' ἀπολέσθαι, / πάντ' ἐθέλει δόμεναι:⟩ τὸ ὡς πρὶν ὤφελ⟨λ⟩' ἀπολέσθαι (390) εἴτε καὶ τοῖς Ἕλλησιν εἰς ἐπήκοον λέγει ὁ κῆρυξ πρὸς τὸ συγγνωμονεῖν τοῖς ἄλλοις Τρωσὶν ὡς καὶ αὐτοῖς ὀργιζομένοις, εἴτε καθ' ἑαυτὸν καὶ ἠρέμα, ὡς Δημόκριτος ἀξιοῖ (Vors.$^6$ 68 B 23) ἀπρεπὲς ἡγησάμενος τὸ φανερῶς λέγεσθαι, †ἀμφότερα προστικτέον† ὡς διὰ μέσου †ἀναπεφωνημένου†· τὸ γὰρ ἑξῆς ἠγάγετο Τροίην δέ (390), πάντ' ἐθέλει δόμεναι (391). A *Nic.*

392. ⟨κουριδίην δ' ἄλοχον Μενελάου:⟩ ὅτι οὐ προγεγάμηται ἑτέρῳ καθ' Ὅμηρον ἡ Ἑλένη. A$^{int}$ *Ariston.*

393 *a*. ἦ μήν: περισπᾶται ὁ ἦ· ἰσοδυναμεῖ γὰρ ⟨τῷ δή⟩ βεβαιωτικῷ. ὅμοιον δέ ἐστι τὸ „ἦ μὴν καὶ πόνος ἐστίν" (B 291). A *Hrd.*

*b*. ⟨ἦ μὴν Τρῶές γε κέλονται:⟩ οὕτως ἦ μήν· βούλεται γὰρ λέγειν, Τρῶές γε μὴν †ἕλωνται. A$^{im}$ *Did.*

στρατὸν ἐν τελέεσσι" (versum om. A$^{cont}$) **384** — ἱππηλάτα (33) cf. Eust. 686, 26; sch. Pind. Ol. 8, 64 b; vide ad B 107 *a* (Ariston.) μεγαλόφωνος (34) cf. Eust. 686, 22 **385** A m. rec. (in mg. exteriore): ⟨ἀριστῆες Παναχαιῶν·⟩ (le. addidi auctore Ddf.) ἐν ἄλλῳ „ἐυκνήμιδες Ἀχαιοί" (= A 17). Versum Ἀτρεΐδη τε καὶ ἄλλοι ἀριστῆες Παναχαιῶν, quem in contextu omiserat, in mg. (supra sch. rec.) addidit A **390** ad Γ 56 (Ariston.) **390—1** cf. Eust. 686, 45 Δημόκριτος (42) cf. Schrader, Porph. Quaest. Hom. I (Lipsiae 1880) 386, 1 **392** ad N 626 (Ariston.); cf. sch. λ 430. ν 45. Vide ad Γ 140. 144 *c* **393** *a* ad B 291 (Hrd.) *b* alios scripsisse ἦ μιν suspicatur Spitzner ad l., cf. Eust.

---

**31** εἰ T καὶ εἰ b, fort. recte βουλ. T, βουλευθέντων ἐρομένους b (fort. recte) **35** le. scripsi (auctore Vill.), ἠγάγετο: A ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **36** μάλα Ddf., μᾶλλον A **38** sq. le. add. Frdl. **39—45** τὸ ὡς sq. pone sch. H 390 (coni. cum v. ἐλεήμονες) A, dist. Bk. **39** ὤφελ' A suppl. Vill. **40** sq. συγγνωμωνεῖν A em. Bk. **43** ἀνυποκρίτως στικτέον Frdl., ἀμφότερα ὑποστικτέον Valk (I 523 n. 568), fort. ἐπ' ἀμφότερα ὑποστικτέον **44** ἀναπεφωνημένον Frdl., recte ut vid. ὅσα ἠγάγετο Frdl. **46** le. add. Frdl. (Vill.) ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **48** le. Lehrs, ἦμὶν τρῶες: A τῷ δή inserui (cf. sch. ad A 229 $a^1$ al.; τῷ add. iam Bk.) **50** le. add. Vill. **51** κέλονται Ldw.

*ex.* *c.* ἦ μὴν Τρῶές γε κέλονται: ψεύδεται εἰς τὸ κεχαρισμένον Τρωσί, καὶ ἵνα ἐάσωσι ταφῆναι τοὺς Τρῶας καὶ γνόντες ὡς οὐχ οἷοί τέ εἰσιν ἀναγκάσαι Ἀλέξανδρον, ἀποπλεύσωσιν. b(BC$E^3E^4$) T

*ex.* 394. ⟨ἠνώγεον:⟩ οἱ ἄλλοι Τρῶες. T$^{il}$

*ex.* 398. ἀκὴν ἐγένοντο: στρατηγικῶς τέως Ἀγαμέμνων σιωπᾷ ἐπιτρέπων τοῖς Ἀχαιοῖς τὸ πέρας, ὅπως αἰσχυνόμενοι μηδὲν ἄνανδρον εἴπωσι καὶ ἵνα καταπλαγῶσι Τρῶες τῇ τῶν συμμάχων προθυμίᾳ. b(BC$E^3E^4$) T

*ex.* 399. ὀψὲ δὲ δὴ μετέειπε ⟨———⟩ Διομήδης: ἀνέμενε γὰρ τὴν τῶν Ἀτρειδῶν γνώμην· ὡς πεποιθὼς δὲ τῇ ἀριστείᾳ ἀνέστη. b (BC$E^3E^4$) T

*ex.* 401 *a.* ⟨μήθ' Ἑλένην:⟩ ἐπιτατικῶς. T$^{il}$

*ex.(Ariston.)* *b.* ⟨δέ:⟩ ὁ δέ ἀντὶ τοῦ γάρ. T$^{il}$

*ex.* 402 *a.* Τρώεσσιν ὀλέθρου πείρατα: καὶ διὰ τὴν παράβασιν καὶ τὸ σπεύδειν ἐπὶ τὴν διάλυσιν Τρῶας. b(BC$E^3E^4$) T

*ex.* *b.* ⟨ἐφῆπται:⟩ ἐγγύς. πᾶν γὰρ τὸ ἁπτόμενον ἐγγὺς †οὐχ† ἅπτεται. A$^{int}$

*ex.* 403—4. ⟨ἐπίαχον υἷες Ἀχαιῶν/⟩ μῦθον ἀγασσάμενοι: σύμψηφοι γίνονται τῇ καταθέσει· διό φησιν· „ἤτοι μῦθον Ἀχαιῶν αὐτὸς ἀκούεις" (Η 406). b(BC$E^3E^4$) T

*Ariston.* 404. ⟨μῦθον ἀγασσάμενοι Διομήδεος ἱπποδάμοιο:⟩ ὅτι ἐντεῦθεν μετάκειται εἰς τὴν ἀποπρεσβείαν (sc. I 694). A$^{im}$

*Ariston.* 407 *a.* ὥς τοι ὑποκρίνονται: ἡ διπλῆ, ὅτι πρόθεσις ἐνήλλακται, ἀντὶ τοῦ ἀποκρίνονται. A

686, 36. Ceterum diple ante versum in A **398—9** asterisci ante versus in A, fort. error scribae (vide ad H 404) **398** cf. Eust. 687, 2 **401** *b* ad Z 360 (Ariston.) **404** nullum signum ante versum in A, fort. neglegentia scribae (cf. app. crit.) ὅτι ἐντεῦθεν (72) sq. ad I 694 *b* (Ariston.); cf. Lehrs ap. Friedl. (Ariston. p. 134): „Ceterum quibusdam locis versus qui μετακεῖσθαι dicuntur, non ad amussim respondent, sed παραπεποιημένοι inveniuntur, cf. e. g. K 158. Λ 179." Ceterum vide ad I 431 (test.) **407** *a* ad M 228 *a* (Ariston.), cf. sch. β 111; Ap. Dysc. Frg. p. 138, 7 (= Or. 158, 3), sim. Et. Gen. (= EM. 782, 47); Lehrs, Quaest. ep. 88. Vide ad Γ 460 (Ariston.) ἀντὶ τοῦ ἀποκρίνονται (75)

---

**55** le. add. Ma. **56** καὶ ἀγαμ. B **58** οἱ τρῶες Nickau **60** le. T suppl. Ma., om. b **61** τῇ T τῇ ἑαυτοῦ BC$E^3$ (fort. rectius), τῇ αὐτοῦ $E^4$ ἀνίσταται b **63** le. addidi (ἑλένην iam $V^c$) **64** le. addidi (γνωτὸν δέ add. Ma.) **66** τὸ] διὰ τὸ b, fort. rectius σπεύδ. sq. T σπεύδειν αὐτοὺς ἐπὶ τὴν τῆς μάχης διάλυσιν b **67** le. add. Bk. ἐγγύς h. e. ἐγγύς ἐστιν οὐχ (ου ss. χ) ut vid. A, οὐ Bk., fort. οὗ (= τούτου, οὗ, cf. Snell in LfgrE. s. v. ἅπτω Σχ) **69** le. T supplevi, om. b (classis b sch. ad v. H 403 rettulit) **70** σύμψ. γὰρ γίν. b, fort. recte **71** αὐτὸς ἀκ. om. T **72—3** sch. ad versus H 398—9 rettulit A (cf. test. et I 693. 696), ad H 404 trps. Frdl. (cf. test.) **72** le. add. Frdl. ὅτι A, ὁ ἀστερίσκος, ὅτι Vill. **73** μετάκεινται A em. Frdl.

*b.* ὥς τοι ὑποκρίνονται: ἀποκρίνονται· b(BCE$^3$) T ὅθεν καὶ ὑποκριτὴς ὁ πρὸς τὸν χορὸν ἀποκρινόμενος. b(BCE$^3$E$^4$) T *ex.*

408 *a.* ἀμφὶ δὲ νεκροῖσιν ⟨κατακαιέμεν οὔ τι μεγαίρω⟩: βραχὺ διασταλτέον ἐπὶ τὸ νεκροῖσιν· καὶ γὰρ ἡμῖν οὕτως σύνηθες δια⟨σ⟩τέλλειν· 'περὶ δὲ τῶν νεκρῶν, οὐ φθονῶ θάπτειν.' καὶ ἄλλως συναπτόμενα σόλοικον ποιεῖ τὸν λόγον. A *Nic.*

*b.* ἀμφὶ δὲ νεκροῖσιν· μετὰ ὑποκρίσεως δεῖ ὑποστίζειν εἰς τὸ νεκροῖσιν. | μεγαλοφυῶς δὲ οὐκ ἀποκρύπτει τὴν ἰδίαν γνώμην. ἠθικεύεται δὲ δοκῶν αὐτοῖς χαρίζεσθαι. b(BCE$^3$E$^4$) T *Nic.* | *ex.*

409—10 *a.* οὐ γάρ τις φειδὼ νεκύων ⟨——— μειλισσέμεν ὦκα⟩: οὐδὲν γὰρ κέρδος τοὺς τῶν πολεμίων νεκροὺς ἀτάφους εἶναι. b(BCE$^3$E$^4$) T *ex.*

*b.*$^1$ ἄλλως· οὐ γάρ τις φειδὼ ⟨——— μειλισσέμεν ὦκα⟩: Ἀττικὴ ἡ σύνταξις· οὐ γάρ τις φειδὼ γίνεται τοῖς τεθνεῶσι νέκυσι χαρίζεσθαι τοῦ πυρός· τοῦτο γὰρ δηλοῖ τὸ μειλισσέμεν (410), ἐπεὶ γλυκεῖα ἡ χάρις. b(BCE$^3$E$^4$) T οὕτως ἔχει καὶ τὸ „μηδέ τί μ' αἰδόμενος μειλίσσεο" (γ 96) ἀντὶ τοῦ χαρίζεο. T *ex.*

*b.*$^2$ ⟨οὐ γάρ τις φειδὼ ———⟩ πυρὸς μειλισσέμεν ὦκα: ὁ νοῦς· οὐ φειδόμεθα ὥστε ἐκμειλίσσειν ὑμᾶς τοὺς νεκρούς. A

409. ⟨κατατεθνειώτων:⟩ Ἀρίσταρχος „τεθνηώτων", ἄλλοι δὲ τεθνειώτων. A$^{int}$ *Did.*

410. ⟨πυρὸς μειλισσέμεν ὦκα:⟩ ὅτι διὰ πυρὸς ἐθάπτοντο πάντες. A$^{il}$ *Ariston.*

411. ὅρκια δὲ Ζεὺς ἴστω: ἢ τὰ νῦν περὶ τῶν νεκρῶν ἢ τὰ πρότερα, ἃ παρέβησαν, ἵνα ἐκδειματώσῃ τοὺς Τρῶας. b(BCE$^3$E$^4$) T *ex.*

412. τὸ σκῆπτρον ἀνέσχεθε πᾶσι θεοῖσι: μάρτυρας αὐτοὺς καλῶν. T *ex.*

= D, sim. sch. D ap. De Marco II p. 144, D ad M 228, sch. β 111, Ap. S. 160, 1; sch. Call. vol. II p. 101 (fr. 1 a 24) *b* cf. Eust. 687, 12; Synag. (Ph., Su. υ 526 c. test.) 409—10 *b*$^1$ cf. D ad H 410; — πυρός (90) cf. Anon. fig. 155, 13 οὕτως ἔχει (91) sq. cf. sch. γ 96 409 ad Z 71; vide ad Z 464 (pap. VI) 410 nullum signum ante versum in A, fort. error scribae ὅτι (2) sq. ad H 333 (Ariston.). Vide ad H 79 *b* 412 cf. sch. D ap. De Marco II p. 144:

---

**77** ἀποκρ. T διαλεγόμενος BCE$^3$ διαλεγόμενος ἢ ἀποκρινόμενος E$^4$ **78** le. A. suppl. Vill. **80** διαστέλλειν A suppl. Vill. φθονῶ Vill., φρονῶ A θάπτειν: A **83** νεκροῖσι b **85** sq. le. T supplevi, om. b **86** οὐδὲν γ. κέρδ. T φησὶ δὲ ὅτι οὐδέν ἐστι κέρδος coni. cum scholio *b*$^1$ (v. χάρις) in b **88** ἄλλως et le. T supplevi, om. b **90** τοῦ πυρὸς om. b μειλ. E$^4$T, μ[. .]λισσέμεν B (novavit *B), μελισσέμεν E$^3$ μελησέμεν C **93** le. A supplevi **95** le. add. Vill., fort. κατὰ τεθνειώτων vel τεθνειώτων τεθνηιώτων A em. Vill. **2** le. add. Ddf. ὅτι A, fort. ἡ διπλῆ, ὅτι **4** περὶ T καὶ περὶ b **4** sq. πρότερα T πρότερον καὶ b **5** τοὺς τρῶας T αὐτοὺς b

*Ariston.* **413.** ⟨Ἴλιον ἱρήν:⟩ ὅτι θηλυκῶς τὴν Ἴλιον. A$^{im}$A$^{int}$

*ex.* **416** *a*.$^1$ ἀγγελίην ἀπέειπε: †ὅπως† μὴ προσεδέξαντο τὴν πρεσβείαν οἱ Ἕλληνες. T

*a*.$^2$ ἀπεδοκίμασε καὶ ὡς ἀνωφελῆ ἀνήγγειλεν, ὅτι μὴ προσεδέξαντο τὴν πρεσβείαν οἱ Ἕλληνες. b(BCE$^3$E$^4$)

*ex.* **417.** τοὶ δ' ὡπλίζοντο μάλ' ὦκα: οὐκ ἔδει γὰρ λόγων ἀλλ' ἀντέχεσθαι ἔργου. b(BCE$^3$E$^4$) T

*Did.* **420.** ⟨ὤτρυνον νέκυας:⟩ Ἀρίσταρχος „νέκυς" ἐκτεταμένως καὶ „ὀτρύνοντο", οὐκ ὄτρυνον. A

*ex.* | *D* **421—2.** νέον προσέβαλ⟨λ⟩εν ἀρούρας ⟨/ ἐξ ἀκαλαρρείταο⟩: καλῶς τῷ παρατατικῷ ἐχρήσατο· κατ' ὀλίγον γὰρ φωτίζει τὴν γῆν ὁ ἥλιος σφαιροειδῆ οὖσαν. b(BCE$^3$E$^4$) T | ἐξ ἀκαλαρρείταο (422) δὲ ἐκ τοῦ πραέως ῥέοντος. T

*Ariston.* **422.** ἐξ ἀκαλαρρείταο ⟨βαθυρρόου Ὠκεανοῖο⟩: ὅτι αὐτὸς μὲν ἐξ Ὠκεανοῦ ἀνατέλλειν καὶ εἰς Ὠκεανόν φησι καταδύεσθαι τὸν ἥλιον. ὁπόταν δὲ πρόσωπον ἡρωϊκὸν εἰσάγῃ, ὑπὲρ γῆς καὶ ὑπὸ γῆν. τὸ αὐτὸ δὲ ποιεῖ καὶ ἐν Ὀδυσσείᾳ. A

*D* ἐξ ἀκαλαρ⟨ρ⟩είταο: ἡσύχως καὶ ——— ἥσυχον λέγουσιν. A

*ex.* **424.** ἔνθα διαγνῶναι χαλεπῶς ἦν ἄνδρ⟨α⟩ ἕκαστον: καὶ τοῦτο προσετραγῴδησεν. T

*Hrd.* **425.** ⟨νίζοντες ἄπο:⟩ τὸ ἑξῆς ἐστιν ἀπονίζοντες· διὸ ἀναστρεπτέον. A$^{int}$

ἀνέσχεθε πᾶσι θεοῖς· ἀνέτεινεν μάρτυρας ποιούμενος αὐτούς **413** ad Γ 305 *b* (Ariston.) **416** cf. Eust. 688, 30 **420** at vide ad P 215. Ψ 111; Ludwich, A. H. T. 1, 280, 33 **421—3** fort. exstabat sch. de computatione dierum, ad Π 202 *b* (ex.) **421—2** — οὖσαν (19) ad Θ 1 *c* (ex.) **422** nullum signum ante versum in A, fort. error scribae ὅτι (21) sq. ad Θ 485. Λ 735 *b*; cf. sch. γ 335. μ 3; Strab. 1, 1, 3 (p. 2); Lehrs Ar.$^3$ 173; Bachmann 15 (cum n. 2 de Eust. 1947, 16); Roemer, Krit. Ex. 587. Ad D cf. sch. uberius ap. De Marco II p. 144; Theogn. 45, 16, Choer. O. 169, 30; sch. τ 434 **425** ad B 699 (Hrd.)

---

**8** le. add. Bk. (Vill.) ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **9** ὅπως] cf. sch. *a*$^2$ (errat Valk I 159 n. 130) **13** sq. ἀλλὰ τοῦ ἔργου ἀντέχεσθαι b **15** le. add. Vill. **16** ὄτρυνον A, fort. ὤτρυνον **17** sq. le. T supplevi (προσέβαλεν ss. λ iam V, προσέβαλλεν Li), om. b (ubi sch. ad v. 421 revocatum est) **20** post ῥέοντος add. T m. sec. ἄκαλον γὰρ παρὰ τοῖς παλαιοῖς τὸ ἥσυχον (cf. D) **21** le. A suppl. Vill. ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **23** γῆς . . . γῆν Frdl., γῆν . . . γῆς A **25** le. A suppl. Bk. (Vill.) **27** le. T suppl. Ma. **29** le. add Bk. (Vill.)

426 $a.^1$ δάκρυα θερμὰ χέοντες: βαρβάρων ἴδιον ὁ θρῆνος, ἐπὶ δὲ τῶν Ἑλλήνων μόνον „ἀχνύμενοι" φησίν (Η 431)· AT πάλιν γὰρ τὸ μὴ λυπεῖσθαι ἀπαθείας ἦν. T *ex.*

$a.^2$ βαρβάρων ἴδιον ὁ θρῆνος, τῶν δὲ Ἑλλήνων τὸ μεγαλόψυχον· μόνον γὰρ „ἀχνύμενοι" φησίν· τὸ γὰρ μηδ' ὅλως λυπεῖσθαι ἀπαθείας ἐστίν. b(BC$E^3E^4$)

427 $a.$ οὐδ' εἴα κλαίειν Πρίαμος: ἵνα μὴ κατάδηλοι τοῖς πολεμίοις εἶεν μαλακιζόμενοι. b(BC$E^3E^4$) T *ex.*

$b.$ ⟨οἱ δὲ σιωπῇ:⟩ ἐν ἄλλῳ „ἀλλὰ σιωπῇ". $A^{int}$ *Did.(?)*

427—8. οἱ δὲ σιωπῇ / νεκροὺς ⟨πυρκαϊῆς⟩ ἐπενήνεον: πληθυντικῶς, ἐπὶ τῶν Τρώων. T *ex.(?)*

428 $a.^1$ πυρκαϊῆς: οὕτως αἱ Ἀριστάρχου κατὰ γενικήν· †αἱ† δὲ Ζηνοδότου „πυρκαϊῇ". καὶ ἔστι χαριέστερον, ὡς τὸ „ἐν δὲ πυρῇ ὑπάτῃ νεκρὸν θέσαν" (Ψ 165). AT *Did.*

$a.^2$ οὕτως Ἀρίσταρχος †πυρκαϊᾶς† κατὰ γενικήν. $A^{int}$

$b.$ ἐπενήνεον: γράφεται καὶ „ἐπινήνεον", καὶ ἔστιν Ἰακόν. AT *Did.*

429. ἐν δὲ πυρῇ πρήσαντες ⟨ἔβαν προτὶ Ἴλιον ἱρήν:⟩ ὅτι ἐκαίοντο οἱ νεκροί, καὶ ὅτι θηλυκῶς τὴν Ἴλιον. A *Ariston.*

433 $a.$ ἀμφιλύκη νύξ: τὸ καλούμενον λυκόφως ——— ἔτι σκοτῶδες. | ἡ διπλῆ δέ, ὅτι ἅπαξ μόνον ἐνταῦθα τῇ λέξει κέχρηται. A *D | Ariston.*

$b.$ ἀμφιλύκη νύξ: παρὰ τὴν λύγην, ὅ ἐστι σκιάν. καὶ λυκόφως τὸ μεταξὺ σκότους καὶ φωτός. b(BC$E^3E^4$) T *ex.*

426 — φησίν (32) cf. Eust. 688, 61 428 $b$ ἐπινήνεον (46) vide ad Θ 163. Ξ 285. Π 290 (Did.) Ἰακόν (46) vide ad Α 162 (Did.) 429 — νεκροί (49) ad Η 333 (Ariston.), cf. D. Vide ad Η 79 $b$ καὶ ὅτι θηλυκῶς (49) sq. ad Γ 305 $b$ 433 $b$ cf. D, D ap. De Marco II p. 144, He. α 4057; sch. Ap. Rh. 2, 671; Poll. 1, 70; Porph. 1, 300, 6; Lex. Αἱμ. 618, 60 (unde Et. Gud. 124, 1 Stef.); Eust. 689, 15; — λυκόφως (52) cf. Orion. in Et. Gen. (AB) ἀμφιλύκη νύξ· λυκόφως, σκοτεινή. ἔστι λυγαῖον τὸ σκοτεινόν, παρὰ τὸ λύειν τὴν αὐγήν

---

32 μόνον om. A 35 φησί C$E^4$ γάρ] δὲ C 38 ὡς μαλακ. b, fort. rectius 39 le. add. Bk. (Vill.) 40 le. T supplevi (cf. Ludwich, A. H. T. 1, 281, 3) 41 πληθυντ. sc. πυρκαϊῆς (Graeci enim unum rogum exstruunt) τρώιων:— T em. Ma. 42 le. A, πυρκαϊῆς ἐπενήνεον T κατὰ γενικήν om. T 42 sq. αἱ δὲ AT, ἡ δὲ Lehrs 45 πυρκαϊᾶς A, debuit πυρκαϊῆς 46 le. A, om. T γράφ. δὲ καὶ coni. cum scholio $a^1$ (v. θέσαν) T ἐπινήνεον A, ἔπι νήνεον Ldw. (cf. test.) 48 le. A supplevi; πυρῇ] πυρὶ $A^{cont}$, vulg. ὅτι A, ἡ διπλῆ, ὅτι Vill. 52 λύγην T ἠλύκην b σκιὰν δωρικῶς b (cf. Valk I 179) καὶ om. $E^4$ 53 τὸ T δὲ τὸ b σκοτ. καὶ φ. T (pone φωτός add. T m. rec. οἱονεὶ λυγόφως τι ὂν τὸ μὴ καθαρὸν φῶς, ἀλλ' ἔτι σκοτῶδες, cf. D), σκότους καὶ σκιᾶς BC$E^3$ σκιᾶς καὶ σκότους $E^4$

*ex.* **434.** κριτὸς ⟨———⟩ λαός: εἰς αὐτὸ τοῦτο κριθεὶς τὰ περὶ τὴν πυρκαϊὰν ἐκπονῆσαι. b(BCE$^3$E$^4$)T

*ex.* **435** *a.*$^1$ τύμβον δ' ἀμφ' αὐτὴν ἕνα ποίεον: τὰ ἀνάξια τῆς ἡρωϊκῆς μεγαλονοίας παρατρέχει. καὶ οὐδεὶς αὐτῶν χειρωνακτῶν ὁρᾶται. T

*a.*$^2$ οὐ προστέθειται θρῆνος ἐνταῦθα· τὰ γὰρ ἀνάξια τῆς ἡρωϊκῆς μεγαλοφυΐας παρατρέχει. καὶ οὐδεὶς αὐτῶν χείρων ὁρᾶται τῶν ἀτάκτων καὶ θορυβωδῶν ἐκείνων Τρώων. b(BCE$^3$E$^4$)

*Ariston.* **436** *a.* ⟨ἄκριτον ἐκ πεδίου:⟩ ὅτι πολυάνδριον. πῶς οὖν „ὡς κ' ὀστέα παισὶν ἕκαστος / οἴκαδ' ἄγῃ" (Η 334—5); A$^{\mathrm{im}}$

*Did.* *b.*$^1$ ἄκριτον ἐκ πεδίου, ⟨ποτὶ δ' αὐτὸν τεῖχος ἔδειμαν⟩: ἐν τῇ κατὰ Ἀριστοφάνη οὕτως ἐγέγραπτο, „ἄκριτον ἐν πεδίῳ, περὶ δ' αὐτὸν τεῖχος ἔδειμαν"· καὶ μήποτε ἄμεινον οὕτως. A

*b.*$^2$ {ἄκριτον} ἐκ πεδίου: ἐν τῇ Ἀριστοφάνους „ἐν πεδίῳ", καὶ μήποτε ἄμεινον οὕτως. T

*Ariston.* **443—64** *a.* οἱ δὲ θεοὶ πὰρ Ζηνί (443) ἕως τοῦ ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον (464) ἀθετοῦνται στίχοι εἴκοσι δύο, ὅτι περὶ τῆς ἀναιρέσεως τοῦ τείχους λέγει πρὸ τῆς τειχομαχίας (sc. Μ 3—35) ὡς ἂν μὴ προειρηκὼς ἐνθάδε. A

καὶ μὴ ἐᾶν συστῆναι αὐτήν. ἐξ αὐτοῦ γίνεται λύγη καὶ τροπῇ τοῦ γ̄ εἰς κ̄ λύκη καὶ ἀμφιλύκη. οὕτως Ὠρίων (οὕτ. ὠρ. om. B; cf. Reitzenstein, Gesch. 38, 1). Brevius et ordine mutato Or. 7, 23, ubi post συστῆναι τὴν αὐγήν (lg. συστ. αὐτήν) additur οὕτως εὗρον, sc. in scholiis; cf. Ap. S. 28, 4. Vide ad Ι 29 (ex.) **434** — κριθείς (54) cf. D **435** *a*$^1$ χειρωνακτῶν (57) vide ad Ζ 293 *b* *a*$^2$ cf. Valk I 148 **436** *a* ad Δ 174 (Ariston.); — πολυάνδριον (62) cf. Eust. 689, 29 **438** fort. exstabat sch. Didymi, cf. Eust. 689, 37: ἐν δὲ τῷ „πύλας ἐνεποίεον εὖ ἀραρυίας" γράφουσί τινες „πύλας ἐνεποίεον ἕπτ' ἀραρυίας", ὡς ἑπτὰ πυλῶν οὐσῶν ἐκεῖσε, ἱππηλάτων δηλαδὴ κατὰ τὸν ποιητὴν εἰπόντα (Η 340)· „ὄφρα δι' αὐτῶν (lg. αὐτάων) ἱππηλασίη ὁδὸς εἴη". Ἀρίσταρχος μέντοι, ὡς καὶ προεδηλώθη (sc. 684, 24), ἐναντιούμενος καὶ δοκῶν παραδοξολογεῖν, ἐπαγωνίζεται δεῖξαι πυλίδας μὲν πολλὰς εἶναι πρὸς διαφόρους χρείας, ἱππήλατον δὲ μίαν ἐπὶ τὰ ἀριστερὰ τοῦ ναυστάθμου περὶ τὸ προρρηθὲν †ῥήγειον† (lg. Ῥοίτειον) ἀκρωτήριον, vide ad Η 339 *a* (Did.) et *b*$^1$ (ex.) **443—64** fort. excidit pars scholii Aristonici, qui videtur exposuisse haec discrepare ab iis, quae dicit Neptunus de muro a se et ab Apolline exstructo, ad Φ 446 (Ariston.) *a* ἀθετοῦνται (70) sq. cf. sch. *b* et *c*, ad Μ 17 (Ariston.), ad Φ 447 (ex.); test. ad Μ 4

---

**54** προκριθεὶς E$^3$ τὰ T τοῦ τὰ CE$^3$ τὸ τὰ BE$^4$ **57** αὐτῶν Bk., αὐτὸν T **62** le. addidi ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **64** sq. le. A suppl. Ldw. **67** (le.) ἄκρ. delevi **70** sq. εἴκ. δύο scripsi, κβ' A

*b.*[1] ⟨οἱ δὲ θεοὶ ——— ὣς οἱ μὲν τοιαῦτα:⟩ καθόλου δὲ τὴν Did. τῶν θεῶν ἀγορὰν ἠθέτουν οἱ περὶ Ζηνόδοτον καὶ Ἀριστοφάνη καὶ αὐτὸς Ἀρίσταρχος. A

*b.*[2] οἱ δὲ θεοὶ πὰρ Ζηνὶ καθήμενοι ἀστεροπητῇ ⟨——— ὣς οἱ μὲν τοιαῦτα⟩: τὴν ἀγορὰν τῶν θεῶν ἠθέτουν οἱ περὶ Ζηνόδοτον καὶ αὐτὸς Ἀρίσταρχος. T

*c.* οἱ δὲ θεοὶ πὰρ Ζηνὶ ⟨——— ὣς οἱ μὲν τοιαῦτα⟩: τοῦ- *ex.* το εἰς ἀξιοπιστίαν τοῦ ἔργου καὶ ἀναιρῶν, ὃ ἐπλάσατο. T

**445.** τοῖσι δὲ μύθων ἦρχε Ποσειδάων: ἀναιρῆσαι τὸ πλάσμα *ex.* τοῦ τείχους σπουδάζων ὁ ποιητὴς ὥσπερ ἀπὸ μηχανῆς βοήθειαν πορίζεται εἰς τὸ μηδένα ἐπιζητεῖν ὕστερον τὰ τῶν τειχῶν ἴχνη. οὐδενὶ δὲ ἥρμοττεν ἡ κατηγορία ἢ Ποσειδῶνι καὶ Ἀπόλλωνι, ἀντιτειχιζόντων τῶν Ἑλλήνων τῷ Τρωϊκῷ τείχει. καὶ ὁ μὲν Ἀπόλλων οὐ λαλεῖ — ἦ γὰρ ἂν εἶπεν ἡ Ἥρα „εἴη κεν καὶ τοῦτο τεὸν ἔπος“ (Ω 56) — Ποσειδῶν δὲ Ἑλληνικὸς ὢν θεὸς δοκεῖ ἀπαθῶς τῶν Ἑλλήνων κατηγορεῖν. b (BCE³E⁴) T

**446—7.** ἦ ῥά τίς ἐστι βροτῶν ⟨——— μῆτιν ἐνίψει⟩: ἆρα *ex.* ἔτι, φησί, τίς τῶν ἀνθρώπων κοινώσεται διὰ τῶν θυσιῶν, ἃ βούλεται, τοῖς θεοῖς; A

**447** *a.* {ὅστις ἔτ'} ἀθανάτοισι: ὅτι ὡς καὶ αὐτὸς οὐκ ὢν ἀθάνα- *Ariston.* τος λέγει. καὶ ἐν ἄλλοις δὲ κέχρηται τῷ γένει. A

*b.* καὶ μῆτιν ἐνίψει: λέξει, T | ἀνακοινώσεται διὰ θυσιῶν *D | ex.* συνεργοὺς αὐτοὺς θέλων λαβεῖν· οἱ γὰρ θύοντες εἴσονται παρὰ θεῶν, εἰ δεῖ ἐγχειρεῖν ἔργοις ἢ οὔ. b(BCE³E⁴) T

*c.* ἐνίψει: τινὲς ἀπὸ τοῦ ἐνισπήσει ἢ λοιδορήσει. T *ex.*

**450.** οὐδὲ θεοῖσι δόσαν: ἠθικὸν μὴ συγκαταλέγειν ἑαυτόν, ὡς *ex.*

congesta *c* vide ad H 464 (ex.) **445** — τὰ τῶν τειχῶν ἴχνη (83) ad M 3—35 (ex.) καὶ ὁ μὲν Ἀπόλλων (85) — ἔπος (86) ad H 450 **446—7** ad H 447 *b*, cf. Eust. 690, 37, aliter 690, 33 **447** *a* ad H 75 *a*[1] (Ariston.). Vide ad H 450 (ex.) *b* ad H 446—7 **450** — ἀθανάτοισι (4) ad H 447 *a*

73 le. addidi 73—5 καθόλου δὲ sq. pone sch. H 452 (coni. cum v. ἐγώ) in A, dist. et trps. Bk. 76 sq. le. T supplevi 79 le. T supplevi 80 καὶ ἀν. susp., fort. λέγει ἀναιρῶν vel ἐστιν ἀναιροῦν 85 sq. ἦ γὰρ — ἔπος T ἵνα μὴ ἐπιπλήξῃ αὐτὸν (αὐτ. ἐπιπλ. BE⁴) ἡ (ἡ om. C) ἥρα b 87 ἀμαθῶς Cob. (Miscell. crit. 432), improbabiliter 89 le. A supplevi ἄρα A em. Bk. 90 κοινώσηται A em. Bk. 92 (le.) ὅστις ἔτ' del. Bk. ὅτι A, ἡ διπλῆ, ὅτι Vill. 1 ἔργοις ἐγχειρεῖν b 2 ἐνίψει sq. cum scholio *b* (v. οὔ) coni. T, dist. Ma. ἐνισπείσει T em. Ma.

τὸ „ὅστις ἔτ' ἀθανάτοισι" (H 447). παιδεύει δὲ ὅτι καὶ προσφιλὴς ὢν τοῖς Ἕλλησιν ὁ θεὸς οὐ νέμει συγγνώμην, οὐδὲ Ἀθηνᾶ, Ἀπόλλων δὲ σιωπᾷ· ἦ γὰρ εἶπεν Ἥρα „εἴη κεν καὶ τοῦτο τεὸν ἔπος" (Ω 56). Ἕλληνες δὲ πρόφασιν ἔχουσι τὸ ἐπὶ τῇ τῶν νεκρῶν ταφῇ τὸ τεῖχος ἐγεῖραι. T

*ex.* 451 *a.* τοῦ δ' ἤτοι κλέος ἔσται, ⟨ὅσην τ' ἐπικίδναται ἠώς⟩: ἴσως διὰ τὴν ποίησιν αὐτοῦ· διὰ γὰρ ταύτην τὸ τεῖχος ἀοίδιμόν ἐστιν, οὐ δομηθὲν τοῖς Ἕλλησιν, ἀλλ' Ὁμήρῳ γενόμενον ἕνεκεν τῆς ἐπ' αὐτῷ μάχης. b(BCE$^3$E$^4$) T διὰ δὲ τοῦ ὅσην τ' ἐπικίδναται ἠώς ὑπερβολικῶς καὶ τὴν ἀοίκητον περιέλαβεν. b(BE$^3$E$^4$) T

*Did.* *b.*[1] ⟨ὅσην:⟩ Ἀρίσταρχος ὅσην, ἄλλοι δὲ „ὅσον". $A^{im}$

*b.*[2] ὅσην: οὕτως Ἀρίσταρχος, Ζηνόδοτος „†τόσον". T

*Did.* 452 *a.*[1] τό τ' ἐγὼ καὶ Φοῖβος: χωρὶς τοῦ τέ ἐν ταῖς Ἀριστάρχου „τὸ ἐγὼ καὶ Φοῖβος", κατ' ἔνια δὲ τῶν ὑπομνημάτων „τὸ δ' ἐγώ". A

*a.*[2] Ἀρίσταρχος „τὸ ἐγώ". $A^{im}$

*Ariston.* 453 *a.* ⟨ἥρῳ:⟩ ὅτι δισυλλάβως καὶ ἐν Ὀδυσσείᾳ (θ 483)· „ἥρῳ Δημοδόκῳ". $A^{int}$

*ex.* *b.* ἥρῳ Λαομέδοντι ⟨πολίσσαμεν⟩: καὶ „ἥρῳ Δημοδόκῳ" (θ 483) καὶ „ἦλθεν Ἄρῃ ἐπίκουρος" (Φ 431). τὸ δὲ πολίσσαμεν ἀντὶ τοῦ περὶ πόλιν ᾠκοδομήσαμεν. T

*ex.* 455. ἐννοσίγαι' εὐρυσθενές: κατὰ γὰρ Θαλῆν (cf. Vors.[6] 11 A 14) ὕδατι ὀχεῖται ἡ γῆ· ὅθεν καὶ χάσματα γίνεται. T

Ἀπόλλων δὲ (5) — ἔπος (6) ad H 445 **451** *b* ad H 458 **452** cf. Valk II 130 n. 210 **453** *a* cf. Su. η 556 (pone Synag.): δισυλλάβως δὲ κέχρηται Ὅμηρος „ἥρῳ", ἅπαξ ἐν Ἰλιάδι καὶ ἅπαξ ἐν Ὀδυσσείᾳ, cf. Beiträge 177; sim. Eust. 691, 12; Choer. Th. 1, 251, 6, Et. Gen. (= EM. 437, 54). Vide ad N 428 *a* (T); sch. ν 35. ο 157 *b* τὸ δὲ πολίσσαμεν (22) sq. cf. D, Et. Gen. (= EM. 680, 9) **455** fort. Aristarchus hoc loco eos refutavit, qui censebant interiectionem ὢ πόποι significare „o di", velut Apio (fr. 104 B. = He. s. πόποι, brevius Ap. S. 133, 19): πόποι· παπαί. ἐπίφθεγμα σχετλιαστικόν. Ἀπίων δέ φησιν ὅτι (Schm., οἱ cod.) δαίμονές εἰσι πόποι· καὶ ἔστιν „ὦ δαίμονες", cf. Theogn.

---

**6** εἶπεν T, ἂν εἶπεν (cl. scholio ad H 445) Ma. **8** sq. le. T supplevi (auctore Vill.), om. b **10** ἔσται b **10** sq. διὰ τὴν ἐπ' αὐτῷ μάχην b **11** ὅσον B ὅσσον E$^4$ τ' om. T **11** sq. ἐπικίδνατ' ἠώς E$^3$ **12** περιέλ. T δηλοῖ b **13** le. (= $A^{cont}$) add. Ldw. **14** le. scripsi, ὅσον τ' ἐπικίδναται T τόσον] ὅσον Ma., recte ut vid., δὲ ὅσον Ldw. (aliter Valk I 425) **19** le. add. Vill. ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **21** le. T supplevi **22** ἄρῃ Bk., ἄρει T **25** γίνετ. Cob. (Miscell. crit. 433), γράφεται T

458. ὅσον τ' ἐπικίδναται {ἠώς}: οὕτως Ἀρίσταρχος, ὅσην τ' ἐπικίδναται θηλυκῶς, Ζηνοδότ⟨ε⟩ιος δὲ ἡ „ὅσον τ' ἐπικίδναται“. A *Did.*

464. ὡς οἱ μὲν τοιαῦτα: παρεκτείνων τὸ ἔργον τὴν τῶν θεῶν ἀγορὰν παρέλαβεν· ἄτοπον γὰρ ἦν εἰπεῖν „ὡς οἱ μὲν πονέοντο“ (Η 442), εἶτα εὐθὺς „δύσετό τ' ἠέλιος“ (Η 465). b(BCE$^3$E$^4$) T *ex.*

465. ⟨δύσετο:⟩ σημειοῦνταί τινες ⟨ὅτι⟩ ἀντὶ τοῦ ἐδύετο. A$^{int}$ *Ariston.*

466. βουφόνεον: βουφονεῖν ἐστιν οὐ τὸ θύειν θεοῖς (ἄτοπον γὰρ ἐπὶ θυσίας φόνον λέγειν), ἀλλὰ τὸ φονεύειν βοῦς εἰς δεῖπνου κατασκευήν. A b(BCE$^3$E$^4$) T *ex.*

467. νῆες δ' ἐκ Λήμνοιο: ἐπιτηδείως ἐδήλωσεν, πόθεν αὐτοῖς ἡ χορηγία ἦν. b(BCE$^3$) T *ex.*

νῆες δ' ἐκ Λήμνοιο παρέστασαν: Λήμνιοι τὰς ἐξ ἔθους ——— παρ' Ἀσκληπιάδῃ ἐν τοῖς Τραγῳδουμένοις (FGrHist 12, 14). A *D*

468. Ἰησονίδης Εὔνηος: ὅτι καὶ τὰ Ἀργοναυτικὰ οἶδεν. οἰκεία δὲ Εὐνήῳ ἡ ἐμπορία καὶ πρὸς ὁμοφύλους γινομένη. T *ex.(Ariston.?)*

471. μέθυ, χίλια μέτρα: ἀντὶ τοῦ μέθυος, ὅ ἐστι οἴνου. T *ex.*

158, 5 (textum emendavit Lehrs Ar.$^3$ 119): ... τὸ ὢ πόποι δυσὶ τόνοις χρησάμενον ἔμφασιν ἐδίδου ὡς ἄρα δύο μέρη λόγου εἰσίν. Ἀρίσταρχος δέ φησιν ἀπίθανον εἶναι τὸ τὸν Δία „ὢ πόποι“ λέγειν (sc. Η 455 vel ν 140) κ. τ. λ. (Theogn. partim ex Hrd. καθ. pendet); de accentu (πόποι, non ποποῖ) cf. Ap. Dysc. adv. 177, 2 al.; Lehrs l. c. 118; vide ad Α 254—6. Ο 286 (ex.) ὕδατι ὀχεῖται (25) sq. cf. D ad Ν 125 **456—63** h(M$^1$ P$^{11}$ V$^3$ V$^{15}$): ἐν ἐρωτήσει τινὲς τὸν στίχον (sc. 456, lecto τίς) φασίν, ὡς ἐξουθενοῦντος τοῦ Διὸς καὶ λέγοντος ὅτι 'τοῦτο δέδοικας, ὅτι δοξασθήσεται τὸ τεῖχος; ἄγε δή (δὴ om. M$^1$) μετὰ τὴν τῶν Ἑλλήνων ὑποστροφὴν κατάστρεψον αὐτό'. τινὲς δὲ οὕτω· 'ἄλλος ἄν, ὦ Πόσειδον, τοῦτο δείσειε τὸ ἐνθύμημα, ὅτι, καθόσον διήκει ἡ ἡμέρα, δοξασθήσεται τὸ τεῖχος'. τινὲς δὲ „σὸν δή τοι (δῆτι P$^{11}$) κλέος“ (458) γράφουσιν. ἔστι δὲ οὐχ οὕτως **458** ad Η 451 *b* (Did.); cf. Ludwich, A. H. T. 1, 282, 3 **464** vide ad Η 443—64 *c*; Wilamowitz, Il. Hom. 53 **465** vide ad Β 35 *a*; cf. Friedl., Ariston. p. 6, 1 **466** τὸ θύειν (32) cf. D **467** fort. erat nota de vi inusitata vocis ἄγουσαι, ad Ο 705 *e* (ex.) **468** nullum signum ante versum in A ὅτι (40) sq. fort. sch. Aristonici (Friedl.); — οἶδεν (40) ad Φ 40 (T) οἰκεία δὲ (40) sq. ad. Φ 43 (T) **471** cf. Eust. 692, 33; vide ad Ν 424 (ex.) **472** suspiceris sch. de v. οἰνίζοντο

---

26 (le.) ἠώς eieci 27 ζηνοδότιος A em. Ddf. 28—30 sch. inter scholia ad Η 451 et 466 (fort. recte relatum ad versum 465) in b, ad Η 443 trps. Bk.; bis habent B (fol. 102$^r$ et 102$^v$), C (fol. 128$^r$), E$^3$ (fol. 97$^r$ et 97$^v$), verba ἄτοπον γὰρ sq. secundo loco om. C 30 εἶτα εὐθὺς om. b (sc. B et E$^3$ utroque loco) 31 le. add. Bk. (Vill.) ὅτι add. Bk. 32 le. AT, om. b βουφονεῖν — θεοῖς] οἱ δὲ ἑρμηνεύοντες τὸ βουφονεῖν ἀντὶ τοῦ θύειν θεοῖς, κακῶς ἑρμηνεύουσιν E$^4$ φουφονεῖν C 33 sq. κατασκ.] κατασκευήν, ὡς καὶ ἐνταῦθα:— E$^4$ 35 ὅθεν b 37 (le.) παρέστασιν A em. Vill. 42 (le.) χίλια μέτρα fort. delenda

*Ariston.* **473.** ἄλλοι μὲν χαλκῷ, ⟨ἄλλοι δ' αἴθωνι σιδήρῳ⟩: ὅτι ἀμοιβαῖς ἐχρῶντο οἱ παλαιοὶ καὶ οὐ νομίσμασιν. **A**

*Ariston.* | *D* **474.** ἄλλοι δὲ ῥινοῖς, ⟨ἄλλοι δ' αὐτῇσι βόεσσιν⟩: ὅτι ῥινοῖς ταῖς βύρσαις, αὐταῖς δὲ βουσὶν ἀντὶ τοῦ ζώσαις. | ἰστέον δὲ ὅτι ὁπόταν περὶ πλήθους ——— προφέρονται. **A**

*Ariston.* **475** *a.* ἄλλοι δ' ἀνδραπόδεσσι· ⟨τίθεντο δὲ δαῖτα θάλειαν⟩: ἀθετεῖται, ὅτι νεωτερικὴ ὀνομασία τοῦ ἀνδράποδον· οὐδὲ γὰρ παρὰ τοῖς ἐπιβεβληκόσιν Ὁμήρῳ νοεῖται. λυπεῖ δὲ καὶ τὸ ἄλλοι πλεονάζον. **A**

*D* *b.* ⟨ἀνδραπόδεσσι:⟩ Ἀρίσταρχος διὰ τοῦ ο̄ „ἀνδραπόδοισι". $\mathbf{A}^{int}$

*ex.* | *Did.* | *Ariston.* *c.* ἄλλοι δ' ἀνδραπόδεσσι: οὐ περισπούδαστος γὰρ ἡ τῶν ἀνδραπόδων κτῆσις b(BCE³E⁴) **T** ἐκεῖσε οὖσιν ἦν πρὸς φυλακήν. b(BCE³E⁴) | γράφεται καὶ „ἀνδραπόδοισι". | νεωτερικὸν τὸ τῶν ἀνδραπόδων ὄνομα· διὸ καὶ ἠθέτητο ὑπὸ Ἀριστάρχου. **T**

*ex.(?)* *d.* ⟨θάλειαν:⟩ ἡδεῖαν. $\mathbf{T}^{il}$

fuisse, cf. Eust. 692, 11 (unde sch. in Par. Graec. 2767 [An. Par. 3, 228, 13]): ὅρα δὲ ὡς ἄψογον μὲν τὸ οἰνίζεσθαι, οὐκ ἐπαινετὸν δὲ τὸ οἰνοῦσθαι· μέθην γὰρ ἡ λέξις ἐνδείκνυται, ὡς δηλοῖ καὶ παρὰ Σοφοκλεῖ (fr. 843, 1 N.² = 929, 1 P.) τὸ „οἰνωθείς". τὸ δὲ ἀεὶ ἀναύξητον τοῦ „οἰνίζοντο" (καθὰ καὶ τοῦ οἰωνίζοντο καὶ ἄλλων δέ τινων) σημειῶδές ἐστι τοῖς παλαιοῖς **473** cf. Eust. 692, 4; Poll. 9, 73. Vide ad Z 236 **474** — ζώσαις (46) cf. Eust. 692, 16; — βύρσαις (46) cf. D ad Δ 447, Ap. S. 139, 2, Or. 139, 20 (unde Et. Gen. = EM. 704, 31), Choer. O. (An. Ox. 2, 255, 13, Et. Gen. [= EM. 704, 28], Et. Gud. 492, 59). Vide ad Θ 62 αὐταῖς (46) — ζώσαις cf. D **475** *a* cf. Eust. 692, 21: ἡ δὲ τῶν ἀνδραπόδων λέξις νεωτερική ἐστι κατὰ τοὺς παλαιούς· διὸ καὶ Ἀριστοφάνης καὶ Ζηνόδοτος ἠθέτουν τὸ ἔπος, ἐν ᾧ κεῖται ἡ λέξις αὕτη et 25 (pone verba ad sch. *b* exscripta): ἅπαξ δὲ ἡ λέξις εἴρηται, Lehrs Ar.³ 34; vide Roemer, Ar. 5; Valk II 449 n. 342 (improbabiliter) νεωτερικὴ ὀνομασία (49) cf. Wilamowitz, Il. Hom. 53; Wackernagel, S. U. 154 *b* cf. Eust. 692, 25: τινὲς δὲ „ἀνδραπόδοισι" γράφουσιν, cf. Ludwich, A. H. T. 1, 282, 14. Vide Bolling, A. L. 105, 2. De le. (ἀνδραπόδεσσι) cf. sch. Pind. Ol. 5, 56: κτεάτεσσιν· . . . τὰ γὰρ εἰς ο̄ν̄ εἰς ο̄ς̄ ποιοῦσιν, ὡς παρ' Ὁμήρῳ „ἀνδραπόδεσσιν", at vide Wackernagel I 661 *d* cf. D; Athen. 1, 24 b: ὅτι Σέλευκος (fr. 26 M. = 24 D.) φησὶ τὴν παρ' Ὁμήρῳ „δαῖτα θάλειαν" στοιχείων μεταθέσει δίαιταν εἶναι. τὸ δὲ ἀπὸ δαίσασθαι λέγειν (vide doctrinam Aristarchi ap. Athen. 1, 12 c) βιαιότερόν ἐστιν, fort. similia

---

43 le. A suppl. Vill. 43 et 45 ὅτι A, ἡ διπλῆ, ὅτι Vill. 45 le. A suppl. Frdl. 48 sq. le. A suppl. Ldw. 49 τοῦ A, ἡ τοῦ Nickau 50 νοεῖται] κεῖται Frdl. 50 sq. post ἄλλοι πλεον. verba ἠθετεῖτο καὶ παρὰ ζηνοδότῳ καὶ ἀριστοφάνει add. Lehrs cl. Eust. (cf. test.) 52 le. addidi τοῦ ο] τοῦ ο ἀνδραπόδεσσι, τινὲς δὲ καὶ Bolling, malim τοῦ οι 55 sq. ἐκεῖσε — φυλακήν fort. delenda 58 le. add. Ma.

**479.** σμερδαλέα κτυπέων: προκινεῖ καὶ ἀγωνιᾶν ποιεῖ τὸν ἀκροατὴν ἐπὶ τοῖς ἐσομένοις ὁ ποιητής. b(BCE$^3$E$^4$) T *ex.*

**480.** χέον: καλῶς τὸ χέον, ἐπεὶ μὴ προσίεται τὴν σπονδὴν ὁ Ζεύς, ὡς καὶ ἐπὶ τοῦ μονομαχίου Ἀλεξάνδρου (sc. Γ 296—302). b (BCE$^3$E$^4$) T *ex.*

**481** *a.* ⟨πρὶν πιέειν, πρὶν λεῖψαι:⟩ Ἀρίσταρχος „πιέμεναι, πρὶν †λείψω". A$^{im}$ *Did.*

*b.*$^1$ πρὶν λεῖψαι: πρὶν ἤ, ὡς τὸ „μὴ πρὶν παρ' νηῶν ⟨——/⟩ πρὶν πυρί" (Ξ 46—7). T *ex.*

*b.*$^2$ ⟨πρὶν πιέειν, πρὶν λεῖψαι:⟩ τὸ δεύτερον πρίν ἀντὶ τοῦ πρὶν ἤ, τὸ δὲ πρῶτον ἀντὶ τοῦ πρότερον. b(BCE$^3$)

*c.* ⟨ὑπερμενέϊ:⟩ ὡς καταιβάτῃ. T$^{il}$ *ex.*

**482** *a.* κοιμήσαντ' ἄρ' ἔπειτα ⟨καὶ ὕπνου δῶρον ἕλοντο⟩: ὅτι διέστειλε τὸ κοιμηθῆναι καὶ τὸ ὑπνῶσαι. τοῦτο δὲ πρὸς τὸ ἐν Ὀδυσσείᾳ (υ 4)· „Εὐρυνόμη δ' ἄρ' ἐπὶ χλαῖναν βάλε κοιμηθέντι"· ἐπιφέρει γὰρ „κεῖτ' ἐγρηγορόων" (υ 6). Ζηνόδοτος δὲ καὶ τοῦτον καὶ τὸν πρῶτον τῆς ἑξῆς ῥαψῳδίας (sc. Θ 1) ἦρκε στίχον. A *Ariston.*

erant in scholiis ex. **479** fort. exstabat sch. Aristonici de v. χλωρόν (nullum signum ante versum in A), cf. sch. Pind. P. 4, 144: φρίσσοντας ὄμβρους· οὐκ αὐτοὺς φρίσσοντας, ἀλλὰ φρίσσειν ποιοῦντας. καὶ Ὅμηρος (Ζ 132) „ὅς ποτε μαινομένοιο Διωνύσοιο τιθήνας", οὐκ αὐτοῦ μαινομένου, ἀλλὰ τοῦ μανιοποιοῦ. καὶ „χλωρὸν δέος" τὸ χλωροποιόν (χλωροπ. etiam D)· διὸ καὶ τὸ σημεῖον, sch. Thuc. 4, 32, 4: . . . καὶ γὰρ καὶ Ὅμηρος ἐχρήσατο τῇ τοιαύτῃ λέξει, „χλωρὸν" εἰπὼν „δέος" οὐκ αὐτὸ ἔχον τὴν χλωρότητα, ἀλλ' ἑτέροις ἐμποιοῦν, καὶ τὸν Διόνυσον μαινόμενον, οὐχ ὅτι αὐτὸς μαίνεται, ἀλλ' ὅτι ποιεῖ μαίνεσθαι. Vide ad Ζ 132 (Ariston.) **482** deest diple ante versum in A, fort. error scribae *a* — ἐγρηγορόων (74) cf. Eust. 693, 8; Lehrs Ar.$^3$ 114; Carnuth, Ariston. 153 Ζηνόδοτος (74) sq. ad Θ 1 (Ariston.)

---

**59** καὶ ἀγ. ποιεῖ om. T, fort. recte **61** le. Bk., χαμάδις χέον T, om. b σπουδὴν T **64** le. add. Vill. πινέμεναι Cob., Nck. **65** λείψω A, λεῖψαι Lehrs **68** le. add. Vill. (πρὶν πιέειν iam Li) **70** le. add. Ma. καταβάτην T em. Ma. **71** sq. le. A suppl. Frdl. **72** ὅτι A, fort. ἡ διπλῆ, ὅτι **73** βάλ. κοιμ. Vill., βέλε κοιμοιθεντι A **74** ἐγρηγορῶν A em. Ddf. (cl. Hom.) **75** ἦρκε Bk., εἴρηκε A

*ex.* *b.* κοιμήσαντο: ἀνεκλίθησαν, ὡς τὸ „Εὐρυνόμη δ' ἄρ' ἐπὶ χλαῖναν βάλε κοιμηθέντι" (υ 4). b(BC$E^3E^4$) T

*ex.* *c.* ὕπνου δῶρον: δῶρον ὕπνου τὸ κοίμημα, ὅπερ ἡμῖν ὁ σωματοειδὴς Ὕπνος δωρεῖται. A b(BC$E^3E^4$) T

Παράκειται τὰ Ἀριστονίκου σημεῖα καὶ τὰ Διδύμου Περὶ τῆς Ἀρισταρχείου διορθώσεως, τινὰ δὲ καὶ ἐκ τῆς Ἰλιακῆς προσῳδίας Ἡρωδιανοῦ καὶ τῶν Νικάνορος Περὶ στιγμῆς. A

*c* aliter D (περιφραστικῶς τὸν ὕπνον)

---

**76** τὸ om. T **77** βάλλε T **78** le. A, ὕπν. δ. ἔλοιτο T, om. b τοῦ ὕπνου $E^4$ τὸ AT, αὐτὸ τὸ b **80—2** sub ipso textu Iliadis scripta in A **81** ἀριστάρχου A em. Bk. **82** τῶν A, ἐκ τῶν Bk. (cl. subscriptione ad Z), at cf. subscriptionem ad E

# Θ

0. Τὴν ῥαψῳδίαν †κῶλον† μάχην καλοῦσι· συντέμνει γὰρ τὴν διήγησιν συναχθόμενος τοῖς Ἀχαιοῖς. **A b**(BCE$^3$E$^4$) **T** *ex.*

**1.** ἠώς: σημαίνει πολλά. ὁτὲ μὲν ——— ἐς Ἴλιον εἰλήλουθα (Φ 80—1). **A** *D*

*a.* ἠὼς ⟨μὲν κροκόπεπλος ἐκίδνατο πᾶσαν ἐπ' αἶαν⟩: ὅτι Ζηνόδοτος μετατίθησι τὴν ἀνατολὴν κάτω πρὸς τὸ „οἱ δ' ἄρα δεῖπνον ἕλοντο" (Θ 53), ὥστε τὴν τῶν θεῶν ἀγορὰν ὀψὲ γίνεσθαι ἀπρεπῶς. **A** *Ariston.*

*b.* κροκόπεπλος: ὅταν πολὺ σκότους ἔχῃ, ὀλίγον δὲ φωτός. τὸ δὲ „ῥοδοδάκτυλος" (Α 477 al.) ἐναντίον. ποιητικὴ δέ ἐστι περίφρασις, **A b**(BCE$^3$E$^4$) **T** ὡσεὶ εἶπεν 'ἡμέρα μὲν γέγονεν'. **A b** (BE$^3$E$^4$) **T** *ex.*

*c.* ἐκίδνατο: ἐν παρατάσει· σφαιροειδὴς γὰρ οὖσα ἡ γῆ οὐ πᾶσα ὑφ' ἓν φωτίζεται. **A b**(BCE$^3$E$^4$) **T** *ex.*

2 *a.* Ζεὺς δὲ θεῶν ἀγορήν: εἰκότως νῦν ἄρχεται συμμαχεῖν Τρωσὶν ὁ Ζεύς, ὁπότε τῆς παραβάσεως δίκας ἀπέτισαν Διομήδει καὶ Πάνδαρος ἀνῃρέθη καὶ Τρῶες ὡμολόγησαν τὴν παράβασιν, δι' ὧν πέμπουσιν Ἰδαῖον ἀπολογούμενον τοῖς Ἕλλησιν. **b**(BCE$^3$E$^4$) **T** αὔξει δὲ τὰ Ἑλλήνων ὁ ποιητής, εἴ γε καὶ ἐκκλησίας ἐδέησε τῷ Διΐ ἔν τε τοῖς ἑξῆς (sc. Θ 133—5) καὶ κεραυνῶν πρὸς τὴν ἧτταν αὐτῶν· καὶ ἐν ἄλλοις *ex.*

0 τὴν ῥαψῳδίαν (1) — διήγησιν (2) cf. Eust. 693, 31 1 *a* ad Η 482. Θ 53 *a* (Ariston.); cf. Valk II 19 *b* cf. Eust. 693, 43; — ἐναντίον (10) cf. Porph. 1, 112, 5 *c* ad Η 421—2 (ex.); cf. Porph. 1, 113, 7 2 *a* ἔν τε τοῖς ἑξῆς (19)

---

1 τὴν ῥαψ. T τὴν ῥαψῳδίαν ταύτην A, ταύτην τὴν ῥαψῳδίαν b (hoc fort. rectius) κῶλ. μαχ. AT κολοβομάχην b, κόλον μάχην Eust. καλοῦσιν T 5 le. A suppl. Frdl. 6 ὅτι A, fort. ἡ διπλῆ περιεστιγμένη, ὅτι 8 ἀπρεπές ss. ω A 9 le. AT, κροκόπεπλος δὲ ἡ ἠὼς λέγεται (tamquam pars explicationis scriptum) b ὀλίγου T 10 ἐστιν ἡ b 11 γέγονε b 13 le. T, τὸ δὲ ἐκίδνατο (coni. cum scholio praecedenti) Ab 16 δίκην b καὶ (ante πάνδ.) om. C 18 ἀπολογούμενοι b, fort. rectius 19 διΐ. ἐν δὲ τοῖς b 20 πρὸς T δεῖται πρὸς b

(sc. Δ 1. Η 443. Υ 4) μὲν γὰρ ποιεῖ ἐκκλησιάζοντας τοὺς θεούς, ἀλλ' ἁπλούστερον, ἐνταῦθα δὲ Ζεὺς συνάγει καὶ πρωτολογεῖ, τόπος τε ἀποδείκνυται τῇ ἀγορᾷ ὡς δὴ περὶ μεγάλων καὶ ἀναγκαίων. δηλοῖ δὲ καὶ ἡ ἕωθεν ἀγορὰ τὸ παννύχιον αὐτὸν περὶ αὐτῆς ἐσκέφθαι· ἄλλως τε καὶ προεῖπε· „παννύχιος δέ σφιν κακὰ μήδετο" (Η 478). μέγα οὖν, εἰ ἐν τοιούτῳ καιρῷ κἂν ἀντέσχον Ἕλληνες. b(BE³E⁴) T

*D* *b.* ⟨τερπικέραυνος:⟩ ὁ τοῖς κεραυνοῖς τρέπων τοὺς ἐναντίους. b(BCE³) T[il]

*Ariston.* **3.** ⟨ἀκροτάτῃ κορυφῇ πολυδειράδος Οὐλύμποιο:⟩ καὶ ὅτι ἀντὶ τοῦ ἄκρᾳ, καὶ ὅτι λείπει ἡ ἐπί, καὶ ὅτι τὰ ἐπίθετα ὡς ἐπὶ ὅρους. A[im]

*Hrd.* 4 *a.*[1] θεοὶ δ' ὑπὸ πάντες ἄκουον: ἡ ὑπό φέρεται †καὶ ἐπὶ τοῦ† ἄκουον· διὸ οὐκ ἀναστρεπτέον. τὸ αὐτὸ δὲ καὶ ἐπὶ πάσης προθέσεως ἔστιν ἰδεῖν ἐχούσης σύνταξιν πρὸς τὰ ἐπιφερόμενα. „οἳ κατὰ βοῦς Ὑπερίονος Ἠελίοιο / ἤσθιον" (α 8—9)· καὶ γὰρ διαφέρει τὸ ἀκούειν ἁπλῶς λεγόμενον τοῦ ὑπακούειν, ᾗ ἐκ μὲν τοῦ ἀκούειν οἷόν τ' ἐστὶν ἐκδέξασθαι καὶ τὸ μόνον ἀκοῦσαι, μὴ μέντοι πείθεσθαι τοῖς λεγομένοις. οὕτως οὖν τινες ἐδέξαντο „οὐδ' ἐσάκουσε πολύτλας δῖος Ὀδυσσεύς" (Θ 97)· ἀκούσας γὰρ οὐκ ἐπείσθη· διὸ ἐν ἑτέροις Ὀδυσσεὺς ἐπαινούμενος ὑπὸ τοῦ Διομήδους παραιτεῖται καὶ τὸ ἐπισκώπτεσθαι, ἐν οἷς φησι „Τυδείδη, μή τ' ἄρ με μάλ' αἴνεε μήτέ τι νείκει" (Κ 249). ἐν μέντοι τῷ ὑπακούειν τὸ πάντως πείθεσθαι τοῖς λεγομένοις ἤτοι ἑκόντας ἢ ἄκοντας. οὕτως οὖν ἔχει καὶ τὸ ὑπήκοος, ὥσπερ ὑποτεταγμένος τινί. τοῦτο δὲ ἀπαιτεῖ ἡ διάνοια· οἱ γὰρ θεοὶ ὑπήκουον τῷ Διῒ ὡς ὑποτεταγμένοι. A

sq. cf. Porph. 1, 115, 2 *b* ad A 419 (b) **3** — ἄκρᾳ (30) ad A 176 (Ariston.), cf. D ὅτι λείπει ἡ ἐπί (30) ad K 277 *a*. N 82 *d* (Ariston.), cf. sch. μ 330 καὶ ὅτι τὰ ἐπίθετα (30) sq. ad A 44 *a* (Ariston.); cf. Lehrs Ar.³ 164 **4** *a* cf. Eust. 694, 17; — ἤσθιον (35) ad A 67 (Hrd.) καὶ γὰρ διαφέρει (35) sq. ad. Θ 97 *a* (Ariston.) διὸ ἐν ἑτέροις (39) — νείκει (41) cf. Ap. Dysc. synt. 424, 18: εἰς τοῦτο (sc. Θ 97) γοῦν τινες ἀναφέρουσι τὸ „Τυδείδη, μή τ' ἄρ με μάλ' αἴνεε μή τέ τι νείκει" (K 249), ἐφ' οὗ δύναιτ' ἀντιπαραιτησάμενος τὸ ἄγαν ἐπαινεῖσθαι συμπαραιτεῖσθαι καὶ τὸ μὴ ὀνειδίζεσθαι· ἁρμόζει γοῦν τὸ ἐπιφερόμενον πρὸς ἀμφότερα, „εἰδόσι γάρ τοι ταῦτα μετ' Ἀργείοις ἀγορεύεις" (K 250), fort. partim e scholiis;

---

**21** γὰρ om. b **22** δὲ T δὲ καὶ b **23** δὴ T, δὴ καὶ b (fort. recte) **24** αὐτὸν b αὐτῶν T ἐσκεῦθαι T **25** προεῖπε sc. Homerus **27** le. add. Ddf. (ἢ) ὁ τρέπ. τοὺς ἐν. κεραυνοῖς D **27 sq.** post ἐναντίους add. T m. rec. καὶ ὁ τερπόμενος τοῖς κεραυνοῖς (= D) **29** le. add. Vill. καὶ ὅτι A, fort. ἡ διπλῆ, καὶ ὅτι (sim. Vill.) **32** (le.) ἄκουσαν A em. Lehrs **32 sq.** καὶ ἐπὶ τοῦ A, ἐπὶ τὸ Lehrs, recte ut vid. **36** ᾗ Bk., ἢ A **38** fort. ἐδέξαντο τὸ οὐδ' **42** τῷ Vill., τοῦ A **43 sq.** ὑποτεταγμένως A em. Vill.

*a.*$^{2}$ θεοὶ δ' ὑπὸ πάντες ἄκουον: ἡ ὑπό πρὸς τὸ ἄκουον· διὸ οὐκ ἀναστρεπτέον τὴν πρόθεσιν, πρὸς τὸ πειθαρχικόν· b(BCE$^{3}$) T ὑπακούειν γάρ ἐστι τὸ τὰ λεγόμενα πράσσειν ἑκόντας ἢ ἄκοντας. b(BCE$^{3}$E$^{4}$) T

5. κέκλυτέ μευ, πάντες ⟨τε⟩ θεοὶ ⟨πᾶσαί τε θέαιναι⟩: κοινοποιεῖται τὴν ἀρετήν, ἵνα μὴ λυπήσῃ τοὺς Ἀχαϊκούς. τὸ δὲ θέαιναι δι' Ἥραν καὶ Ἀθηνᾶν. b(BCE$^{3}$E$^{4}$) T *ex.*

7 *a.*$^{1}$ μήτε τις οὖν θήλεια θεός: καὶ νῦν ἀπ' αὐτῶν ἄρχεται, ὑπονοῶν τὰς περὶ Ἥραν· οἶδε γὰρ ταύτας ἀπειθούσας. T *ex.*

*a.*$^{2}$ ἀπὸ τῶν θηλειῶν ἄρχεται ὑπονοῶν αὐτῶν τὸ θορυβῶδες καὶ ἄτακτον· ἧττον γὰρ οἱ ἄρρενες ἢ αἱ θήλειαι ταραχώδεις εἰσί. b (BCE$^{3}$E$^{4}$) ταῦτα δὲ δι' Ἥραν καὶ Ἀθηνᾶν φησιν. b(BE$^{3}$E$^{4}$)

*b.* ⟨θεός:⟩ Ἀρίσταρχος „θεῶν". A$^{im}$ *Did.*

*c.* θήλεια θεός ⟨——— ἄρσην⟩: τὸ θεός κοινόν, ᾧ ἀντὶ τοῦ ἄρθρου παρέπλεξε τὸ θήλεια καὶ ἄρσην. b(BCE$^{3}$E$^{4}$) T *ex.*

8. διακέρσαι ⟨ἐμὸν ἔπος⟩: διακόψαι· ὅθεν καὶ κέρμα τὸ εἰς μικρὰ διακεκομμένον. A b(BCE$^{3}$) T τὸ δὲ ἐμὸν ἔπος τὴν ἐμὴν ἐπαγγελίαν, ἣν ὑπεσχόμην Θέτιδι. πρόθυμος δέ ἐστι δεικνύς, οἵους δεῖ περὶ τὰς ὑποσχέσεις εἶναι. b(BCE$^{3}$E$^{4}$) T *ex.*

9 *a.* ⟨τάχιστα:⟩ σπεύδει γὰρ ἐξαγαγεῖν Πάτροκλον καὶ τιμῆσαι Ἀχιλλέα. b(BCE$^{3}$E$^{4}$) T$^{il}$ *ex.*

*b.* τελευτήσω τάδε ἔργα: ποῖα ἔργα; τὸ τιμῆσαι μὲν Ἀχιλλέα, πολλοὺς δὲ τῶν Ἑλλήνων ἀπολέσαι. πιθανῶς δὲ οὐκ ἐπεξηγεῖται, ποῖα ἔργα. b(BE$^{3}$E$^{4}$) T *ex.*

vide ad K 249 (ex.) 5 sim. Ge (e T); — Ἀχαϊκούς (51) ad Θ 11; cf. Porph. 1, 115, 5 τὸ δὲ θέαιναι (51) sq. ad Θ 7 *a*$^{2}$ 7 *a* — ἄρχεται (53) fort. spectat ad Δ 5—8 *a*$^{1}$ cf. Porph. 1, 115, 6 *a*$^{2}$ ταῦτα δὲ (57) sq. ad Θ 5 *c* cf. Ap. Dysc. synt. 37, 9 (= Frg. p. 60, 8); Beiträge 359. Vide Wackernagel, Vorlesungen über Syntax II (Basil. 1928) 10 8 διακόψαι (61) = D, Ap. S. 58, 16; cf. Eust. 694, 33 9 *b* cf. Porph. 1, 115, 26 πιθανῶς δὲ (68) sq. cf. Eust.

---

47 ἀνατρεπτέον T πρὸς τ. πειθ. T, ἀλλὰ πρὸς τὸ πειθαρχικὸν χρὴ νοεῖν b (fort. rectius) 48 πρασσ. ἀκούοντας, ἑκόντας b, fort. rectius 50 le. T supplevi (auctore Vill.), om. b 51 τὴν ἀρετήν T τὸ βούλευμα b, τὴν βουλὴν Ge (inutili coniectura), τὴν ἀπειλὴν mavult Nickau ἀχαιϊκούς T 58 le. add. Bk. (Ddf.) 59 le. T supplevi (fort. μήτε τις οὖν θ. — ἄρσην), om. b θεός$^{2}$ BT δὲ θεὸς E$^{4}$ θεοῖς CE$^{3}$ 59 sq. τοῦ ἄρθρου T, ἄρθρων CE$^{3}$ (fort. rectius), ἄρθρου BE$^{4}$ 60 παρέπλεκται b 61 le. T supplevi (auctore Vill.), om. A b 62 μικρὸν E$^{3}$ τὸ δὲ ἐμ. ἔπος T ἐμὸν δὲ ἔπος b 62 sq. ἐμὴν φησὶν ἐπ. BCE$^{3}$ ἐμὴν ἀπαγγελίαν E$^{4}$ 63 πρόθυμος — δεικν.] διδάσκει δὲ E$^{4}$ 65 le. add. Bk. (ὄφρα τάχιστα add. Li) 67 ποῖα δὲ ἔργα φησί (coni. cum scholio praecedenti, v. ἀχιλλέα) b 67 sq. ἀχιλλέα T αὐτὸν b 69 ποῖα ἔργα T, αὐτά b (fort. rectius)

*ex.* 10—1. ὃν δ' ἂν ἐγὼν ἀπάνευθε θεῶν ⟨ἐθέλοντα νοήσω / ἐλθόντ' ἢ Τρώεσσιν ἀρηγέμεν ἢ Δαναοῖσι⟩: τὸ ἑξῆς· ὃν ἂν ἐγὼ ἴδω τῶν θεῶν χωρὶς ἐμοῦ καὶ δίχα τῆς ἐμῆς ἐπιτροπῆς ἐλθόντα εἰς τὴν μάχην, θέλοντα Τρωσὶν ἢ Ἕλλησι βοηθῆσαι. b(BCE$^3$E$^4$) T

*Did.* 10 *a.*$^1$ ⟨ἀπάνευθε:⟩ ἐν τῇ Ἀριστοφάνους „ἀπάτερθε", Ζηνόδοτος „μετόπισθε". A$^{im}$

*a.*$^2$ Ἀριστοφάνης „ἀπάτερθε". {χωρὶς ἐμοῦ, δίχα ἐμῆς ἐπιτροπῆς} T$^{il}$

*ex.* 11. ⟨ἢ Τρώεσσιν ——— ἢ Δαναοῖσιν:⟩ τὸ κοινὸν οὐ λυπεῖ. b(BCE$^3$E$^4$) T$^{il}$

*Nic.* 12 *a.* ⟨πληγεὶς οὐ κατὰ κόσμον ἐλεύσεται Οὔλυμπον δέ:⟩ τὸ οὐ κατὰ κόσμον βέλτιον τοῖς ἑξῆς συνάπτειν· †συλλαβῶν γὰρ αὐτόν. A$^{im}$

*ex.* (*Nic.*) *b.* ἄμεινον ὑποστίζειν εἰς τὸ πληγείς, καὶ ἔστιν b(BCE$^3$) T$^{il}$ ἀντὶ τοῦ κεραυνωθείς· b(BCE$^3$E$^4$) T$^{il}$ καὶ „οὐκ ἂν ἐφ' ὑμετέρων ὀχέων πληγέντε κεραυνῷ" (Θ 455). T$^{il}$

*ex.* *c.* πληγεὶς οὐ κατὰ κόσμον ⟨ἐλεύσεται Οὔλυμπον δέ⟩: διδάσκει ὡς οἱ παραβαίνοντες τὰ τῶν ἀρχόντων θεσπίσματα κολαστέοι εἰσίν. b(BCE$^3$E$^4$) T

*ex.* 13 *a.* ⟨ἤ:⟩ τὸ ἤ ἀντὶ τοῦ ἀλλά. T$^{il}$

694, 39 10—1 cf. Eust. 695, 24 (. . . τὸ μὲν „ὃν ἂν ἐγὼν ἀπάνευθε θεῶν νοήσω" διχῶς νοεῖται· ἢ γὰρ ὃν ἂν τῶν θεῶν νοήσω, ἢ ὃν ἂν νοήσω ἐθέλοντα ποιεῖν τόδε ἀπάνευθε θεῶν, τῶν ἄλλων δηλαδὴ τῶν πειθομένων μοι); errat scholiasta, cf. Β 391—2; Classen, Beob. 148 n. 73. Vide test. ad Θ 10 10 fort. exstabat sch., cuius auctor putabat v. ἐθέλοντα superfluam esse, cf. Porph. 1, 116, 11: λέγουσι δὲ κἀν τούτῳ περιττεύειν τὸ „ἐθέλοντα"· ἔδει γὰρ „ὃν δ' ἂν ἐγὼ νοήσω ἐλθόντα Τρώεσσιν ἀρηγέμεν" (cf. Θ 10—1). οὐκ ἔστι δὲ περισσόν, ἀλλ' ἔστιν ἡ διάνοια· ὃν δ' ἂν ἐγὼ νοήσω ἢ Τρώεσσι θέλοντα ἀρηγέμεν ἢ Δαναοῖσιν ἐλθόντα. Vide test. ad Θ 10—1 11 ad Θ 5 (ex.) 12 *a* cf. Friedl., Nic. 193; vide

---

**70** sq. le. T supplevi, om. b (ubi sch. ad v. 10 relatum est) **71** ἑξῆς T ἑξῆς οὕτως b **71** sq. ἂν ἐγὼ ἴδω] ἐγὼ τιμήσω C **72** καὶ δίχα — ἐπιτρ. hoc loco om. T, cf. ad Θ 10 *a*$^2$ (l. 76 sq.) **73** θέλ. T καὶ θέλοντα τοῖς b ἢ T ἢ τοῖς b **74** le. add. Bk. **76** sq. χωρ. — ἐπιτρ. hoc loco delevi, cf. ad Θ 10—1 (l. 72) **78** le. add. Ma. (ἢ τρ. ἀρηγέμεν iam V$^c$) τὸ γὰρ κοιν. οὐ λυπεῖ τινα pone sch. Θ 10—1 (coni. cum v. βοηθῆσαι) in b **80** sq. le. add. Frdl. **81** sq. συλλαβὼν γ. αὐτὸν εἰς τὸν τάρταρον ῥίψει, ὥστε οὐ κατὰ τὸ πρέπον ὑποστρέψει εἰς ὄλυμπον Frdl. (cf. Θ 455—6) **84** τοῦ om. T **86** sq. le. T supplevi (auctore Vill.), om. b **87—8** διδάσκει δὲ ὡς sq. coni. cum scholio *b* (v. κεραυνωθείς) in b **89** le. addidi, ἢ μιν add. Ma.

*b*. ἐς Τάρταρον ἠερόεντα: ὡς τὰ οὐράνια——εἰς Τάρταρον. A | ἐναντίος Ὀλύμπῳ ὁ Τάρταρος· ὁ μὲν γὰρ „†οὔποτ'† ἀνέμοισι τινάσσεται οὐδέ ποτ' ὄμβρῳ" (ζ 43), ὁ δὲ Τάρταρος καὶ τετάρακται καὶ ψυχρὸς εἶναι δοκεῖ· καὶ γοῦν τὸ σφόδρα ῥιγοῦν ταρταρίζειν φασίν. καὶ ὁ μὲν ὅλος καταλάμπεται, ὁ δὲ ἠερόεις ἐστίν. A b(BCE$^3$E$^4$) T *D(ad Θ 16)* | *ex.*

Τάρταρος: τὸ ὑπὸ τὴν γῆν——ἀπεδέξαντο. A *D*

14 *a*.[1] ὑπὸ χθονός ἐστι βέρεθρον: οἱ Ἀττικοὶ βάραθρόν φασιν. πῶς δὲ †μεσούσης† κατενεχθήσεται εἰς Τάρταρον· ἢ ὅτι οἱ ἀπειλοῦντες †πάντα δυνατά. T *ex.*

*a*.[2] οἱ Ἀττικοὶ βάραθρον αὐτό φασιν. b(BCE$^3$E$^4$) πῶς δὲ δύναταί τις ἐκεῖσε κατελθεῖν· φαμὲν δὲ ὅτι οἱ ἀπειλοῦντες τὰ ἀδύνατα σχεδὸν ἀπειλοῦσι πρὸς κατάπληξιν. b(BE$^3$E$^4$)

15. ἔνθα σιδήρειαί τε πύλαι: κολαστήριον γάρ ἐστι φυλάσσον τοὺς δεσμώτας· b(BCE$^3$E$^4$) T καὶ „πυλάρταο κρατεροῖο" (N 415). οὐχ ἱστορεῖ δέ, ἀλλὰ φοβερὰν δείκνυσι τὴν ἄνοδον. b(BE$^3$E$^4$) T *ex.*

16 *a*. τόσσον ἔνερθ' Ἀΐδεω, ⟨ὅσον οὐρανός ἐστ' ἀπὸ γαίης⟩: πρὸς τὴν καθ' Ὅμηρον τοῦ κόσμου τάξιν. καὶ ὅτι οὐδὲν τοιοῦτον ἐπὶ τοῦ Ὀλύμπου λέγει. καὶ ὅτι λείπει τὸ ὕπερθεν, ὅσον ἐστὶν ὕπερθεν. A *Ariston.*

Eust. 695, 28 13 *b* ὡς τὰ (90) — Τάρταρον (D), vide ad Θ 16 *b* ἐναντίος (91) sq. cf. Eust. 694, 46; Isid. orig. 14, 9, 8 καὶ τετάρακται (92) et ὁ δὲ ἠερόεις (94) cf. D; sch. Hsd. th. 119. 721; vide ad Θ 16 *a* ταρταρίζειν (93) cf. Eust. 985, 43 14 *a*[1] — βάραθρον (2) cf. Orum (?) in Et. Gen. (AB) βάραθρον, vide Ap. S. 51, 4 (Apion. fr. 27 B.) βάραθρον (2) cf. Eust. 695, 33 15 — δεσμώτας (9) cf. D 16 *a* — τάξιν (12) ad Ξ 279. O 225 *a*. Ψ 73 (Ariston.), cf. Steph. B. 606, 8 (ubi Θ 478 sq. respiciuntur): Τάρταρος· Κράτης (fr. 39 a M.) τὸν ὑπὸ τοῖς πόλοις ἀέρα παχύν τε καὶ ψυχρόν τινα καὶ ἀφώτιστον, Ὅμηρος δὲ τόπον εἶναι συνέχοντα τοὺς περὶ Κρόνον καὶ ὑπὸ γῆν ὄντας. λέγεται δὲ ἀρσενικῶς καὶ θηλυκῶς καὶ οὐδετέρως, nescio an partim quidem e scholiis; [Apoll.]

---

90 le. T, om. Ab 91—4 iuxta sch. *b* haec fere figura picta est in codd. A et T




91 ἐναντίως δὲ A οὔποτ'] οὔτ' Hom. 92 ποτ'] ποτε δὲ T ὁ δὲ τάρτ. καὶ T ὁ δὲ καὶ A οὗτος δὲ b 93 sq. καὶ γοῦν — φασίν om. C 93 καὶ γοῦν τὸ] ὅθεν καὶ τὸ BE$^3$E$^4$ 94 φασὶ b δὲ] δὲ καὶ BE$^3$E$^4$ ἠεροειδής b 1 pone sch. Θ 16 *a* in A, trps. Vill. 3 μεσ. γῆς Wil., fort. μεσ. τῆς γῆς vel γῆς μέσης οὔσης (cf. D ad Θ 16) 4 πάντα δ. ὑφίστανται πρὸς κατάπληξιν Wil. (e. g.) 10 οὐχ — ἄνοδον T φοβερὰν δὲ δείκνυσι τὴν ἄν. διὰ τούτου b 11 sq. le. A suppl. Vill. 12 ἡ διπλῆ πρὸς Vill.

*D* τόσσον ἔνερθ' Ἀΐδεω: τοσοῦτόν φησι ——— ἴσας λέγων εἶναι. **A**

*ex.* | *D* *b.*[1] τόσσον ἔνερθ' Ἀΐδεω: ἔδει τόσον ἔνερθ' ἀπὸ γῆς. τάχα οὖν ἀπὸ τῆς ἀρχῆς τοῦ Ἅιδου φησίν. | ὡς οὐράνια τρία διαστήματα ἔχει, ἀέρα μέχρι νεφελῶν, εἶτα αἰθέρα μέχρι τῶν φαινομένων καὶ τῆς Διὸς ἀρχῆς, οὕτω καὶ ἀπὸ γῆς εἰς Ἅιδου, ἀπὸ δὲ Ἅιδου εἰς Τάρταρον. δῆλον δὲ ὅτι οὐ σφαιροειδὴς ἡ γῆ κατὰ τοῦτον τὸν λόγον, ἀλλ' ἐπίπεδος. **T**

*D* | *ex.* *b.*[2] τὰ οὐράνια, ὥς φησι, τρία διαστήματα ἔχει, ἀέρα μέχρι νεφελῶν, εἶτα αἰθέρα μέχρι τῶν φαινομένων καὶ τῆς Διὸς ἀρχῆς· οὕτω καὶ ἀπὸ τῆς γῆς εἰς Ἅιδου, ἀπὸ δὲ Ἅιδου εἰς τὸν Τάρταρον. δῆλον δὲ ὡς τὸ μέσον κέντρον ἐστὶν ἡ γῆ. **b**(BCE³E⁴) | ἔδει δὲ εἰπεῖν τόσσον ἔνερθε γῆς ὅσον ἀπ' αὐτῆς εἰς οὐρανόν. τάχα οὖν τὸ Ἀΐδεω ἀπὸ τῆς ἀρχῆς τοῦ Ἅιδου φησίν. **b**(BE³E⁴)

*D* | *ex.* | *ex.* (*Nic.*) 18 *a.* εἰ δ' ἄγε πειρήσασθε: πεῖραν λάβετε. **A** | τῷ ἀποτόμως ἀπειλοῦντι καὶ τὴν ῥώμην οὐκ ἄτοπον ἐνδείκνυσθαι· **A b**(BCE³E⁴) **T** εἰ βούλεσθε τὴν διαφορὰν γνῶναι, πειράθητε. **b**(BCE³E⁴) **T** μεγάλα δὲ ὄντα τὰ προστάγματα **A b**(BE³E⁴) **T** μείζοσιν ὑπερβολαῖς ἐπιστώσατο. | τοῦτον δὲ καὶ τὸν ἑξῆς συνάπτει Νικάνωρ (p. 193 Frdl.)· **b**(BE³E⁴) **T** εἰς δὲ τὸ „κρεμάσαντες" (Θ 19) τελείαν τίθησιν. **b**(BCE³E⁴) **T**

*Hrd.* *b.*[1] {ἵνα} εἴδετε {πάντες}: ὡς λέγετε. ἢ συστολὰς μὲν τὰ τοιαῦτα παραληπτέον ἢ ἐναλλαγὰς ἐγκλίσεων, „ὄφρ' εὖ πᾶσαι / εἴδετ' ἀκούουσαι" (Σ 52—3)· „μηδ' ὡς Πάτροκλον λίπετ' αὐτόθι

bibl. 1, 2; Lehrs Ar.³ 173. Vide ad Θ 13 *b*; sch. Hsd. th. 721 *b* ὡς (τὰ) οὐράνια (18 et 23) — Τάρταρον (20 et 25) cf. Eust. 695, 18 εἶτα αἰθέρα (19 et 24) cf. Serv. (auct.) Verg. A. 1, 394 18 fort. exstabat sch. Nicanoris de vi cohortativa vocis εἰ, ad I 46—7 *a*¹. Vide ad Z 376 *b* — συστολὰς (36 et 42) ad A 141 (Ariston.), Σ 53 (T), praeterea ad M 42 *a* *b*¹ ἐγκλίσεων (37) vide

---

**15** sq. pone sch. D (= A) ad Θ 13 (cf. l. 1) **17** τόσον] τόσσον **b** (sch. *b*²) **18** τὰ οὐράνια D et A ad Θ 13 (cf. sch. *b*²) **19** sq. καὶ τῆς δ. ἀρχῆς non in D **21** sq. δῆλον δὲ sq. T δῆλον δὲ ὡς οὕτω σφαιροειδὴς ἡ γῆ D (cf. sch. *b*²) **24** φενομένων B, αι ss. m. rec. καὶ τῆς δ. ἀρχῆς om. C (ut D) **26** τὸ μέσον — ἐστὶν **b** οὕτω σφαιροειδὴς D, cf. sch. *b*¹ **29** le. AT, om. **b** **30** ἐνδείκνυσθαι:— **b**, ἐνδείκνυσθε A **31** τὴν T φησί, τὴν **b** πειράσθητε C **34** ὑποτελείαν Frdl. **36—41** pone D (= A, sch. alterum) ad Θ 19 in A, trps. Bk. **36** (le.) ἵνα et πάντ. del. Bk. **38** λίπετ' Ddf. (= Hom.), εἶπετ' A

τεθνειῶτα" (Τ 403)· „ὄφρα καὶ †ταὐτώ μοι σαώσετον ἐκ πολέμου" (Ρ 452)· „αἴ κέν πως ἀρνῶν κνίσης αἰγῶν τε τελείων / βούλεται ἀντιάσας" (Α 66—7). A

*b*.[2] {ἵνα εἰδῆτε πάντες:} ἢ συστολὰς ἢ ἐναλλαγὰς κλίσεων νομιστέον τὰ τοιαῦτα, ὡς τὸ „ὅθ' ἡδεῖ λέξεται ὕπνῳ" (Δ 131). T

19. σειρὴν χρυσείην ⟨ἐξ οὐρανόθεν κρεμάσαντες⟩: ὅτι εἰ μὴ ἐκδεξόμεθα Ὄλυμπον (cf. Θ 25) τὸ ἐπὶ Μακεδονίας ὄρος, οὐ συμφωνήσει τῇ διαθέσει ταύτῃ· ἐπὶ γὰρ τοῦ οὐρανοῦ στάς φησιν τὸν Ὄλυμπον ἀνέλκειν τῆς σειρᾶς ἐκ τοῦ ῥίου (cf. Θ 25) ἐκδεθείσης. καὶ ὅτι ἡ ἒξ περισσή. A *Ariston.*

σειρὴν χρυσείην: χρυσῆν προσέθηκεν ——— τὸν ἥλιον. A *D*

σειρὴν ἐξ †οὐρανῶθεν† κρεμάσαντες καὶ τὰ ἑξῆς: κατὰ τὸν μῦθον ὁ Ζεὺς ——— ὥστε ἢ αὐτὸν καθελκυσθῆναι †ὑπ' αὐτοῦ. A *D*

20. πάντες δ' ἐξάπτεσθε θεοὶ ⟨πᾶσαί τε θέαιναι⟩: ταῦτά φησι δεικνὺς ὡς οὐ καθ' ἕνα, συλλήβδην δὲ πάντων κρείττων. b (BCE[3]E[4]) T καὶ Ποσειδῶν· οὔ πως ἔστι „Διὶ Κρονίωνι μάχεσθαι / ἡμέας τοὺς ἄλ[λους]" (Θ 210—1). T *ex.*

22 *a*. ⟨Ζῆν' ὕπατον μήστωρ':⟩ ὅτι ἀντὶ τοῦ ἐμέ, ὡς περὶ ἄλλου. A[int] *Ariston.*

*b*. ⟨Ζῆν' ὕπατον μήστωρ:⟩ δείκνυσιν, οἷς δεῖ κοσμεῖσθαι τὸν ἄρχοντα, ῥώμῃ καὶ συνέσει. b(BCE[3]E[4]) T[il] *ex.*

*c*. ⟨κάμοιτε:⟩ γράφεται καὶ „πάθοιτε". A[im]T *Did.*

ad Α 302 (Hrd.) λίπετ' (38) at cf. Bk., H. Bl. 1, 89 **19** — ἐκδεθείσης (47) cf. Eust. 694, 59; — ὄρος (45) ad Α 44 *a* (Ariston.) καὶ ὅτι ἡ ἒξ περισσή (47) cf. Eust. 695, 42; Ap. Dysc. pron. 67, 16, synt. 164, 5; sch. ε 477. κ 351; Polyb. barb. 285, 16; vide ad Β 820, praeterea ad Θ 21. 365. Ι 456. Haud scio an Ap. Dysc. adv. 186, 1 scholio uberiore non usus sit: οἶμαι δὴ ὅτι . . . καὶ τὸ „ἐξ οὐρανόθεν" ἀπολογίαν ἕξει ἀφορμὴν δεδωκός τισι τοῦ κακοῦν τὰς φράσεις· ἐπεὶ γὰρ οὐχ ὑγιὲς τὸ λέγειν „ἐξ οἴκοθεν", φασὶν ὡς καὶ Ὅμηρος εἴη κεχρημένος τῷ „ἐξ οὐρανόθεν". †εἰ οὐκ† (εἰκῇ, ἐπεὶ D. Holwerda, Mnemos. 1962, 404, ἀλλ' Dronke) ἄπειρός ἐστι τοιαύτης παραγωγῆς τοῦ αὐτοῦ σημαινομένου, τοῦ „οὐρανόθεν" παρ' αὐτῷ σημαίνοντος τὸ οὐρανοῦ, ὡς καὶ τὸ „Ἴδηθεν" (Γ 276) τὸ Ἴδης, cf. adv. constr. 208, 28, [Hrd.] Phil. 242. Vide ad Γ 276 (Ariston.) **20** καὶ Ποσειδῶν (54) sq. vide ad Θ 210 (ex.) **21** de v. ἐξ οὐρανόθεν vide ad Θ 19 **22** *a* ad Η 75 (Ariston.), cf. Ap. Dysc. pron. 25, 27; vide ad Γ 352 *a*

---

**39** αὐτομέδοντα (pro αὐτώ μοι) et πολέμοιο Hom. **42** le. T delevi κλίσεων cf. sch. $b^1$ **43** ὅθ' Ma. (= Hom.), ὅθεν T **44** le. A (ante v. σειρὴν asteriscus pictus est), suppl. Vill. ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **45** ἐκδεξώμεθα A em. Bk. **47** σειρᾶς Bk., πείρας A **50—1** cum scholio praecedenti coni. A, dist. Bk. **52** le. T supplevi (auctore Vill.), om. b **53** κρείττων ἐστίν b, fort. rectius **55** ἄλ[. . . .] T suppl. m. sec. **56** le. add. Vill. ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **58** le. add. Vill. (ζῆν ὕπ. iam Li) **60** le. add. Bk. πάθ. A πείθητε T

*Did.* 23 *a.*[1] πρόφρων ἐθέλοιμι {ἐρρῦσαι}: Ἀρίσταρχος διὰ τοῦ ῶ „ἐθέλωμι". Πτολεμαῖος δὲ ὁ τοῦ Ὀροάνδου ἀντὶ τοῦ πρόφρων „πρόσσω" γράφει. A

*a.*[2] {ἀλλ' ὅτε δὴ πρόφρων:} οὕτω διὰ τοῦ ῶ. Πτολεμαῖος δὲ ἀντὶ τοῦ πρόφρων „πρόσ⟨σ⟩ω" [γράφει]. T

*a.*[3] Ἀρίσταρχος „ἐθέλωμι". $A^{im}$

*Ariston.* | *ex.* 24. αὐτῇ κεν γαίῃ ἐρύσαιμι: λείπει ἡ σύν, ὡς τὸ „αὐτῇσι ῥίζῃσι" (Ι 542). | πιθανῶς δὲ οὐ μόνους εἶπεν ἀνασπάσειν θεούς, ἀλλὰ καὶ τὸν περιέχοντα αὐτοὺς τόπον, τὸν Ὄλυμπον. b(BC$E^3E^4$) T

*Ariston.* 25—6. σειρὴν μέν κεν ⟨——— πάντα γένοιτο⟩: ὅτι Ζηνόδοτος ἀμφοτέρους ἠθέτηκεν. δι' αὐτῶν δὲ διδασκόμεθα †πᾶσαν τὴν γῆν σὺν τῇ θαλάσσῃ. A

*Ariston.* 25 *a.* ⟨ἔπειτα:⟩ ὅταν θελήσω ἐρύσαι φησίν. $A^{int}$

*Ariston.* *b.* περὶ ῥίον: ἵνα αὐτὸ δεσμεύσας καὶ τὰ λοιπὰ ἐπάρῃ, συνερριζωμένης αὐτῷ μὲν τῆς γῆς, τῇ δὲ γῇ τῆς θαλάττης. b(BC$E^3E^4$) T

*D* σειρὴν μέν κεν: ἐνταῦθα οἱ μέν φασι τὸν Ὅμηρον αἰνίττεσθαι ——— ἐκ τοῦ φανερῶς κρατεῖν. A

*Ariston.* 26. ⟨τὰ δέ κ' αὖτε μετήορα πάντα γένοιτο:⟩ δείκνυσιν ὅτι βέβηκεν ὁ Ὄλυμπος καὶ οὐκ ἔστι μετέωρος. $T^{il}$

23 *a* cf. Ludwich, A. H. T. 1, 283, 3; de hac lectione Aristarchea cf. Hermann, Opusc. IV (Lips. 1831), 172: „Non enim facturum se id Iuppiter indicat, sed dicit, quid, si velit facere, futurum sit" 24 nullum signum ante versum in A λείπει (67) — ῥίζῃσι (68) ad Ι 542 (Ariston.), cf. D, sch. Eur. Phoen. 3. Vide ad Γ 2 *a*; — σύν (67) cf. Eust. 695, 52 25—6 diplae periestigm. ante versus in A; quos olim etiam diplas puras notatas habuisse suspicatur Lehrs (ap. Friedl., Ariston. p. 137) ὅτι (70) sq. cf. Heyne, Homeri Carmina V (Lips. 1802), 417; Duentzer, Zen. 186, 24 25 *a* sch. Aristonico attr. Lehrs $Ar.^3$ 167 *b* cf. Lehrs $Ar.^3$ 167 („certa vestigia Aristarchearum observationum") 26 cf. Lehrs $Ar.^3$ 167 n. 104: „Huius loci explicatio Aristarchea certissima est"

---

61 (le.) ἐρρ. eiecit Bk. 62 ἐθέλωμι] Aristarchum praeterea ὅτε δή κεν ἐγὼ vel ὅτε κεν καὶ ἐγὼ legisse suspicatur Cob. (cf. sch. *b*) 64 le. T delevi ῶ T, fort. ῶ, ἐθέλωμι 65 πρόσω T suppl. Ma. γράφει T m. rec., [......] T 67 αὐτῇσι b αὐτοῖς T αὐτῇσιν Hom. 70 le. A supplevi (auctore Bk.) ὅτι A, fort. αἱ διπλαῖ περιεστιγμέναι, ὅτι 71 πᾶσαν A, πῶς σπάσει Lehrs (Hrd. 460), recte ut vid. 71 sq. πᾶσαν — θαλάσσῃ συμπεπλέχθαι (vel συνερριζῶσθαι) Heyne, πᾶσαν — θαλάσσῃ μετέωρον γενέσθαι Dtz. 73 le. add. Lehrs, cf. test. (sch. iuxta v. Θ 26 scriptum est) 74 καὶ — ἐπάρῃ b ἐπαίρῃ T 78 le. addidi (τὰ δέ κ' — μετ. iam $V^c$)

27. περί τ' εἰμὶ θεῶν περί τ' εἴμ' ἀνθρώπων: ἔδει τὸ ἀσθενὲς προτάξαι. ἢ τὸ μέτρον αἴτιον· b(BCE$^3$) T „ὥστε γὰρ ἠελίου αἴγλη πέλεν ἠὲ σελήνης" (δ 45)· T ἢ εὐτελίζων τοὺς θεούς. b (BCE$^3$) T *ex.*

28. ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες: ἐντεῦθεν ἕως τοῦ „πρόφρονι μυθέομαι" (Θ 40) ἀθετοῦνται στίχοι τρεῖς καὶ δέκα, ὅτι ἐξ ἄλλων τόπων μετάκεινται. καὶ ἐν τοῖς κατὰ μέρος διαπίπτει οὐκ ὀρθῶς χρώμενος ταῖς λέξεσιν· „ὀδυσσαμένοιο τεοῖο" (Θ 37)· τοῦτο γάρ ἐστι τοῦ σοῦ, θέλει δὲ ὁ λόγος ὀργισθέντος σοῦ, ἀσυνάρθρως. A *Ariston.*

29. ἀγασσάμενοι: γράφεται καὶ „φρασσάμενοι"· AT$^{il}$ μᾶλλον δὲ τὸ ἀγασσάμενοι τοῖς ἑξῆς συνᾴδει. A *Did.*

30. ὀψὲ δὲ δὴ μετέειπε ⟨θεὰ γλαυκῶπις Ἀθήνη⟩: πιθανῶς οὐχὶ Ἥρα λέγει· ἐξεκαύθη γὰρ ἂν μεγάλη ἔρις, εἰωθυίας ἀεὶ πρὸς τὸν Δία ἀντιλέγειν. Ἀθηνᾶ δὲ μετὰ αἰδοῦς τῷ πατρὶ διαλέγεται b(BCE$^3$ E$^4$) T μετριώτερον, οὐχ ὡς ἡ Ἥρα φθεγγομένη· ἄλλως τε καὶ τοῖς προοιμίοις αὐτὸν ἐξαίρει καὶ τὰ μὲν κελευσθέντα φησὶν ἀποπληροῦν, ὑποθήκης δὲ ἀξιοῖ μὴ φθονέσαι, καὶ ταῦτα οὐχ ἵνα αὐτῷ ἐμποδίσῃ, ἀλλ' ὅπως μὴ πάντες ἀπόλωνται. b(BE$^3$E$^4$) T *ex.*

31. ὦ πάτερ ἡμέτερε, ⟨Κρονίδη, ὕπατε κρειόντων⟩: μετρίοις χρῆται λόγοις· πατέρα γὰρ αὐτὸν ἐν προοιμίοις ἀποκαλεῖ καὶ τῶν ἄλλων θεῶν μέγιστον καὶ τὴν ὑπεροχήν, ἣν ἔχειν βούλεται, μαρτυρεῖ συντόμως. b(BCE$^3$E$^4$) T *ex.*

27 cf. sch. δ 45; vide ad O 108 28 ante versus Θ 28—34 et Θ 39—40 asterisci et obeli, ante versus Θ 35—8 obeli in A ἐξ ἄλλων τόπων (85) sc. Θ 32—4 = Θ 463—5, Θ 39—40 = X 183—4; vide ad Θ 32—4. 463—5. X 183—4 καὶ ἐν τοῖς (86) sq. ad Θ 37 *b* (T); cf. Ap. Dysc. pron. 108, 27: εἰ αἱ κτητικαὶ οὐδέποτε ἐπὶ πρᾶγμα φέρονται (h. e. numquam cum verbo construuntur), σαφὲς ὅτι ὡς τὸ „ὀδυσσαμένοιο τεοῖο" (Θ 37) ἐπὶ πρᾶγμα φερόμενον ὠλιγώρηται· δέον γὰρ γενικὴν παραλαμβάνειν, ἥτις καὶ ἐπὶ πρᾶγμα φέρεται. εἰ δ' ἀπὸ τῆς τέο Θετταλικῶς ἐξετάθη, ὥς τινες ᾠήθησαν, δῆλον ὡς καὶ κατὰ τὸ πρῶτον καὶ τρίτον· ὅπερ οὐκ ἔστι. ψεῦδος ἄρα καὶ τοῦτο. Incertum, an talia in scholiis invenerit. Sed notam Aristonici eum legisse apparet e synt. 222, 7; Wackernagel I 548 τοῦτο γὰρ ἐστι (87) sq. aliter Eust. 696, 11 29 — φρασσάμενοι (89) ad I 694. 711 (Did.) 30 — μετριώτερον (94) cf. Eust. 696, 26

---

80 τὸ ἀσθενὲς T, μὲν τὸ ἀσθενέστερον b (fort. rectius) 81 ἢ T ἀλλ' ἢ b αἴτιον ἐγένετο b ὥς τε Hom. 82 εὐτ. τ. θεούς T τοὺς θεοὺς εὐτελίζων τοῦτό φησιν b 85 τρεῖς καὶ δέκα scripsi, ιγ' A 89 le. Bk., μῦθον ἀγασσάμενοι A, om. T φρασάμενοι T 91 le. T supplevi (auctore Vill.), om. b πιθανῶς δὲ (post D) E$^4$ 92 οὐχὶ T οὐχ ἡ BE$^3$ οὐχὶ ἡ E$^4$ 93 μετ' b 1 φθονῆσαι b (at vide b ad H 138 *b*$^1$) 2 ὅπως T ἵνα b 3 le. T supplevi (auctore Vill.), om. b 5 τῇ ὑπεροχῇ b 6 συντόμως αὐτή b

*Ariston.* | *D ad* Θ *31* 32—4. εὖ νυ καὶ ἡμεῖς ——— ὄλωνται: τούτους πάλιν μετ' ὀλίγα ἡ Ἥρα παραγίνεται λέγουσα (sc. Θ 463—5). | αἱ τοιαῦται δὲ προσφωνήσεις ——— παραδίδωσιν. **A**

*ex.* 33. ἀλλ ἔμπης Δαναῶν ⟨ὀλοφυρόμεθ' αἰχμητάων⟩: ὁ μὲν οὐκ ἐγύμνωσεν ἑαυτοῦ τὴν γνώμην ὅτι τοῖς Τρωσὶν ἐπικουρεῖν θέλει, **b**(BCE$^3$E$^4$)**T** ἀλλ' ἀμφοτέροις βοηθεῖν ἐκώλυσεν· **b**(BE$^3$E$^4$) **T** ἡ δὲ ξυνιεῖσα ἤλεγξεν αὐτοῦ τὴν προαίρεσιν. **b**(BCE$^3$E$^4$) **T**

*ex.* 34. κακὸν οἶτον: διὰ τοῦτο γὰρ ἄχθεται, οὐχ ὅτι ἀπολοῦνται· ὃ καὶ οἶκτον ἐκίνησεν. **b**(BCE$^3$E$^4$) **T**

*ex.* 35—6. πολέμου μὲν ἀφεξόμεθα ⟨——— ὀνήσει⟩: τὸ μὲν γὰρ ἐπαμῦναι ἔργῳ ἐναντίωσιν ἔχει τοῦ Διός· τὸ δὲ λόγῳ πρὸς τὸ μὴ πάντας ἀπολέσθαι, ἀλλὰ δεηθῆναι Ἀχιλλέως καὶ αὐτὸς θέλει· **b**(BCE$^3$E$^4$) **T** „οὐδ' ὅ γε πάμπαν / ἤθελε λαὸν ὀλέσθαι / ἀλλὰ Θέτιν κύδαινε" (N 348—50). **T**

*Did.* 35 *a.*[1] ⟨ὡς σὺ κελεύεις:⟩ οὕτως Ἀρίσταρχος. ἄλλοι δὲ „εἰ σὺ κελεύεις". **A**$^{im}$

*a.*[2] „ὡς σὺ κελεύεις". **T**$^{il}$

*Ariston.* | *ex.* 37 *a.* ⟨ὡς μὴ πάντες ὄλωνται ὀδυσσαμένοιο⟩ τεοῖο: ἀθετοῦσιν. οὐδε ἐν τῇ Ζηνοδότου δὲ ἐφέρετο· τὸ γὰρ τεοῖο συγχεῖ τὸν λόγον. | ὀδοὺς ὀδύσσω, παρ' ὃ „ὀδὰξ ἐν χείλεσι φύντες" (α 381. σ 410). **T**

*ex.* *b.* ὀδυσσαμένοιο τεοῖο: τοῦ σοῦ οὐδετέρως, ὡσεὶ λέγοι· ἐπεὶ τὰ σὰ οὕτω πρὸς αὐτοὺς ἔχει. **T**

32—4 — λέγουσα (8) ad Θ 463—5. Vide ad Θ 28 (Ariston.) 34 verba ὃ καὶ (14) — ἐκίνησεν (15) male intellexit Ge: εἰς οἶκτον διὰ τούτου κινεῖ τὸν Δία 35—6 ad N 348 37 *a*/*b* cf. Lehrs, Hrd. 455 *a* ad Θ 28 (Ariston.); — λόγον (26) Aristonico attr. Friedl. (Ariston. p. 137), quae verba e scholiis Aristonici et Didymi confusa esse coniecit Nickau; cf. Lehrs l. c. („media pars . . . ex optimis fontibus sine dubio derivata"); Duentzer, Zen. 10, not. 39; 163. Vide Valk II 504 n. 95

7 le. scripsi, ὦ πάτερ ἡμέτερε: A 10 le. T supplevi (auctore Vill.), om. **b** 12 ἐκώλ. T ἐκέλευσε κωλύειν **b** 13 ξυνεῖσα E$^3$ 14 le. fort. κακ. οἶτ. ἀναπλήσαντες: τοῦτο γὰρ T τὸ εἶναι κακὸν **b** ὅτι T, ὅτι μόνον **b** (fort. verum) 15 κινεῖ **b**,, perperam 16 le. T supplevi, om. **b** (ubi sch. ad Θ 36 relatum est) γὰρ om. **b** 19 ὀλ. T ὀλέσθαι ἀχαιϊκὸν Ἰλιόθι πρό Hom. 21 le. add. Bk. (Vill.) 23 fort. εἰ σὺ κελεύεις (= T$^{cont}$)· γράφεται ὡς σὺ κελ. 24 sq. τεοῖο — οὐδὲ] τε οὐ σθένουσιν οὐδὲ (cum scholio praecedenti coni.) T, dist. et corr. Lehrs (τεοῖο Ma. pro τεοῦ, quod ci. Lehrs; ὡς μὴ — ὀδυσσ. addidi) 25 ἐφ.· τὸ Lehrs, ὁ φέρων τότε T, ἐφέροντο· τὸ Ldw. (et antea ἀθετοῦνται), ὁ στίχος ἐφέρετο· τὸ Dtz. 26 ὀδοὺς T, fort. ὀδυσσαμένοιο· ὀδοὺς παρ' ὃ (καὶ) Lehrs, παρὰ τὸ T, possis παρ' ὃ τὸ 29 ἔχειν T em. Lehrs

**39—40.** θάρσει, Τριτογένεια, ⟨——— ἤπιος εἶναι⟩: ὅτι ὑπὸ Διὸς πάλιν λέγονται πρὸς Ἀθηνᾶν πρὸ τῆς Ἕκτορος τελευτῆς (sc. X 183—4). ἐναντιοῦνται δὲ ἐνθάδε τοῖς ὑποκειμένοις. A *Ariston.*

39 *a*. Τριτογένεια: Μῆτιν τὴν Ὠκεανοῦ ἀμείβουσαν εἰς πολλὰ τὴν μορφὴν Ζεὺς βουλόμενος παρ' ἑαυτῷ ἔχειν κατέπιεν ἔγκυον οὖσαν ὑπὸ Βρόντου τοῦ Κύκλωπος. τελεσφορηθείσης δὲ τῆς παιδὸς ὁ Ζεὺς διὰ τῆς κεφαλῆς τεκὼν δίδωσι τῷ Τρίτωνι τῷ ποταμῷ τρέφειν. ὅθεν Τριτογένεια ἐκλήθη ὡς ἐκ τριῶν συναυξηθεῖσα, Βρόντου Διὸς Τρίτωνος. Δημόκριτος (Vors.$^6$ 68 B 2) δὲ ἐτυμολογῶν τὸ ὄνομά φησιν ὅτι φρόνησίς ἐστιν, ἀφ' ἧς τρία συμβαίνει, εὖ λογίζεσθαι, λέγειν καλῶς, πράττειν ἃ δεῖ. b(BCE$^3$E$^4$) T ἢ ὅτι τρίτῃ φθίνοντος ἐτέχθη. καὶ παροιμία (cf. prov. ap. Su. τ 1019) „παῖς μοι τριτογενὴς εἴη, μὴ τριτογένεια"· ἀρρενώδεις γὰρ αἱ τοιαῦται γυναῖκες. b(BE$^3$E$^4$) T *ex.*

Τριτογένεια: Ὅμηρος μὲν ——— τῆς Λιβύης. A *D*

*b*. θάρσει, Τριτογένεια: δείκνυσιν ὅσον δύναται λόγος εὐμενὴς b(BCE$^3$E$^4$) T καίτοι παιδὸς πρὸς πατέρα. b(BCE$^3$) T *ex.*

40 *a*. πρόφρονι: ἀντὶ τοῦ ὑπέρφρονι, ὡς „πρό τε παίδων καὶ πρὸ γυναικῶν" (Θ 57). ὁ λόγος οὖν οὐ τυραννικὴν ἀπήνειαν, ἀλλὰ βασιλικὴν παρίστησι προσήνειαν. b(BCE$^3$E$^4$) T *ex.*

**39—40** ad Θ 28 (Ariston.); versus defendit Porph. 1, 116, 20: ὁ νοῦς ἀσαφής, ὄντινα ἀγνοήσαντες ἠθέτησαν τὰ ἔπη. ἡ δὲ ἀσάφεια ἐκ τοῦ „πρόφρονι" (40)· ἀπέδοσαν γὰρ ὡς δηλοῦντος τοῦ ποιητοῦ διὰ τοῦ πρόφρονι· οὐ κατὰ σπουδὴν ταῦτα ἀγορεύω. ἔστι δὲ οὐ τοῦτο, ἀλλὰ . . . (vide ad Θ 40) **39** ***a*** cf. sch. γ 378; Apostol. 17, 26 (C. P. G. 2, 692) c. test.; West ad Hsd. th. 889. 894 διὰ τῆς κεφαλῆς (36) — τρέφειν cf. Synag. (Ph., Su. τ 1020) διὰ τῆς κεφαλῆς (36) cf. Eust. 696, 38; sch. Ar. nub. 989 τῷ Τρίτωνι (36) — τρέφειν cf. D, D ad Δ 515, Ap. S. 154, 22; sch. Ap. Rh. 1, 109 (test.); 4, 1311; Or. 151, 10; Serv. (auct.) Verg. A. 2, 171 Δημόκριτος (38) — ἃ δεῖ (40) cf. Or. 153, 5, Eust. 696, 36 (uterque e scholiis ut vid.); Diog. L. 9, 46; Su. τ 1019 ἢ ὅτι (40) — ἐτέχθη cf. Callisth. (FGrHist 124, 52), Harp. 178, 15 (unde Ph., Su. τ 1021); Cyr. (An. Par. 4, 192, 31); Choer. O. 264, 19 καὶ παροιμία (41) sq. cf. Burkert, Weisheit u. Wissenschaft (Norimbergae 1962) 450 n. 80 ***b*** cf. Eust. 696, 33 **40** ***a*** cf. Porph. 1, 116, 23 (vide ad Θ 39—40. 56 *b*); Eust.

---

**30** le. A supplevi (auctore Bk.) ὅτι A, fort. οἱ ἀστερίσκοι καὶ οἱ ὀβελοί, ὅτι **33** le. Bk., θάρσει τριτογένεια T, om. b ἀμείβ. T ὡς φασιν b **34** ζεὺς βουλ. T ἀμείβουσαν βουλόμενος ὁ ζεὺς b ἔγγυον C **39** συμβ. T συμβαίνει ἀπογεννᾶσθαι ἀγαθὰ b **39** sq. καλῶς] ἀναμαρτήτως Or. **40** καὶ πράττ. C **40—2** τρίτῃ sq. absc. E$^4$ **40** τρίτῃ om. BE$^3$ **41** μὴ T ἢ BE$^3$ **44** sq. δείκνυσι δὲ ὅσον sq. pone sch. Θ 40 *a* (coni. cum v. προσήνειαν) b δύνανται λόγοι εὐμενεῖς b **45** καίτοι b καὶ τότε T **46** le. Bk., πρόφρονι μυθέομαι T, om. b τε om. b **47** πρὸ (ante γυν.) om. E$^4$ οὐ T οὕτως οὐ βούλομαί σοι b **48** παρίστησι T ἐνδείκνυσθαι b

*ex.* *b.* ⟨ἐθέλω δέ τοι ἤπιος εἶναι:⟩ εἰρωνεύεται αὐτήν. $A^{im}$

*ex.* 41. τιτύσκετο: οἰκεῖον τῷ ἀπειλοῦντι τὸ αὐτουργεῖν. b(BC$E^3$ $E^4$) $T^{il}$

*ex.* 42. ⟨χρυσέῃσιν ἐθείρῃσιν κομόωντε:⟩ μεγαλοπρεπὴς ἡ διάνοια. $T^{il}$

*Ariston.* 43 *a.* χρυσὸν δ' αὐτὸς ἔδυνε ⟨περὶ χροΐ, γέντο δ' ἱμάσθλην⟩: ὅτι ἀντὶ τοῦ χρυσῆν πανοπλίαν· καὶ ὅτι ἐνθάδε λεγομένου τοῦ Διὸς ἀνειληφέναι τὴν ἰδίαν πανοπλίαν, οὐκέτι ἑξῆς (sc. Θ 387) ἐγχωρεῖ τὴν αὐτὴν ταύτην πανοπλίαν ἀνειληφέναι τὴν Ἀθηνᾶν· καὶ ὅτι τὸ γέντο ἐκ τῶν συμφραζομένων νοεῖται τεταγμένον ἀντὶ τοῦ ἔλαβεν. A

*ex.* *b.* ⟨χρυσόν:⟩ τὴν αἰγίδα φησίν· καὶ ἀλλαχοῦ „περὶ δ' αἰγίδι πάντα κάλυψε / χρυσείῃ“ (Ω 20—1). b(BC$E^3$$E^4$) T

*ex.* 45 *a.* ⟨μάστιξεν δ' ἐλάαν:⟩ τὸν ἀέρα ἔπληξε⟨ν⟩ ὀτρύνων αὐτούς. $T^{il}$

*ex.* *b.* ⟨οὐκ ἄκοντε:⟩ οὐκ ἀπρόθυμοι. $A^{im}$

*Ariston.* 46 *a.* μεσσηγὺς γαίης τε ⟨καὶ οὐρανοῦ ἀστερόεντος⟩: ὅτι οὐδέποτε εἶπεν μεσσηγὺς γαίης τε καὶ Ὀλύμπου νιφόεντος, οὐδὲ τὸν Ὄλυμπον ἀστερόεντα· διαφέρει γὰρ κατ' αὐτὸν ὁ Ὄλυμπος τοῦ οὐρανοῦ. A

*ex.* *b.* ⟨οὐρανοῦ ἀστερόεντος:⟩ οὐδέποτε δὲ Ὀλύμπου ἀστερόεντός φησιν. b(BC$E^3$$E^4$) $T^{il}$ ἔνθεν δῆλον ὅτι Ὄλυμπος οὐ τὸν οὐράνιον τόπον δηλοῖ, ἀλλὰ τὸν ὑπ' οὐρανόν. b(BC$E^3$$E^4$)

696, 33. 46 41 cf. W. Arend, Die typischen Scenen bei Homer (= Problemata 7), Berol. 1933, 87 τὸ αὐτουργεῖν (50) cf. Eust. 697, 1 42 cf. Eust. 696, 60 43 *a* — Ἀθηνᾶν (57) ad Θ 385—7 (Ariston.); cf. Choriz. fr. 36 K. τὴν ἰδίαν πανοπλίαν (56) cf. D καὶ ὅτι τὸ γέντο (58) sq. ad N 25 *b* ἔλαβεν (59) = D; cf. Hoffmann, Gr. D. I 111; Bowra, J. H. St. 54, 1934, 68 46 *a* ad A 44 *a*; cf. Lehrs Ar.[3] 166. Vide ad A 497. Θ 555 a; temere

---

49 le. addidi (auctore Bk.), ad versus Θ 39 et 40 sch. refert Ddf., sed iuxta v. 40 scriptum est 50 le. $E^4$, om. cett. 52 le. addidi 54 sq. le. A suppl. Vill. 55 ὅτι A, ἡ διπλῆ, ὅτι Vill. 60 le. add. Bk. καὶ T ὡς καὶ b 61 καλ. b καλύπτει (voluit κάλυπτε) T χρυσέῃι BT 62 le. addidi (auctore Bk.) ἔπληξε T suppl. Bk. 64 le. add. Vill. 65 le. A suppl. Vill. ὅτι A, ἡ διπλῆ, ὅτι Vill. 66 fort. οὐλύμπου 69 le. add. Ma., καὶ οὐρ. ἀστ. $V^c$ δὲ T φησιν ἀπ' b 70 φησιν om. b

47—8 *a*. Ἴδην δ' ἵκανεν ⟨. . . / Γάργαρον⟩: πρὸς τὴν ἰδιότητα τῆς φράσεως, ἀντὶ τοῦ τῆς Ἴδης εἰς Γάργαρον ἦλθεν· προτάξας γὰρ τὸ γενικὸν τὸ εἰδικὸν ἐπήνεγκεν· μέρη γὰρ τῆς Ἴδης ἄλλα τε καὶ τὸ Γάργαρον. **A** *Ariston.*

*b*. Ἴδην δ' ἵκανεν ⟨. . . / ⟩ Γάργαρον: Ἴδην Γάργαρον ἀντὶ τοῦ εἰς Γάργαρον Ἴδης, ὡς „ἡ δ' ἄρα Κύπρον ἵκανε ⟨. . . /⟩ ἐς Πάφον" (θ 362—3). ἔστι δὲ καὶ πόλις Γάργαρος. **b**(BCE$^3$E$^4$) **T** *ex.*

47 *a*. ⟨πολυπίδακα:⟩ πίδακές εἰσι⟨ν⟩ αἱ τῶν ὑδάτων ἀναδόσεις αἱ μικραί. **A**$^{im}$ *ex.*

*b*. μητέρα θηρῶν: ἁρμόδιον τὸ ἐπίθετον τῷ ὄρει· λέγεται γὰρ ὄφεις ἐνεγκεῖν, οἳ τῷ μεγέθει τοὺς ἐλάφους ἀναιροῦσιν, εἰλούμενοι περὶ τὰ σκέλη καὶ τοὺς αὐχένας, καὶ τοῖς δένδροις προσαρτῶντες αὐτούς, καὶ οὕτω διαφθείροντες. **b**(BCE$^3$E$^4$) **T** *ex.*

48. Γάργαρον: τὸ ἀκρωτήριον ——— Φαλάκρη. τούτου μνημονεύει Καλλίμαχος ἐν πρώτῳ Αἰτίων (fr. 34). **A** *D*

51. ⟨κύδεϊ γαίων:⟩ τῇ ἑαυτοῦ ἐνηδόμενος δόξῃ καὶ ἀρετῇ. **b** (BCE$^3$) *ex.*

Serv. Verg. A. 2, 779 47—8 diple ante versum Θ 47, non ante Θ 48 in A *a* fort. excidit pars scholii de omissione vocis εἰς, ad K 195. Λ 405. Σ 291. Φ 40 (Ariston.), cf. sch. δ 29, sch. Vind. χ 304 ap. Carnuth, Ariston. p. 160, sch. ψ 7; Eust. 697, 27; Serv. Verg. A. 11, 683 (Muehmelt 111) πρὸς τὴν ἰδιότητα (72) sq. ad E 27—8, cf. sch. Pind. N. 9, 1 a. Vide ad Ξ 230. 283—4 (ex.); praeterea sch. *b* *b* ἔστι δὲ καὶ (78) sq. cf. Ephor. (FGrHist 70, 47), Strab. 13, 1, 5 (p. 583); Serv. Verg. G. 1, 102; Macrob. sat. 5, 20, 7. Vide ad Ξ 292 (ex.) 47 *a* cf. D, D ad Π 825; Macrob. sat. 5, 20, 11. 15 *b* — τῷ ὄρει (81) cf. D; sch. Theocr. 9, 15 a λέγεται γὰρ (81) sq. cf. Eust. 697, 39 48 fort. exstabat sch. ex., cf. Epaphr. ap. Orum in Et. Gen. (AB) Γάργαρος· πόλις τῆς Ἴδης ἐν ὑψηλῷ τόπῳ κειμένη, ἣν κατῴκουν Λέλεγες· ἐξ ἧς διὰ τὸ κρυῶδες ὑποκατέβησαν (ὑπεκατέβησαν B) οἱ Γαργαρεῖς καὶ ᾤκισαν (Sylb., ᾤκησαν AB) αὐτὴν πρὸς τὸ πεδίον Γάργαρον. ἐκείνη δὲ ἐρημωθεῖσα καλεῖται Παλαιὰ Γάργαρος. ὠνομάσθη δὲ ἀπὸ Γαργάρου τοῦ Διός, ὡς δηλοῖ Νύμφις (Sylb., Νύμφιος A Νυμφίας B) ὁ φιλόσοφος (ὁ ἱστορικός Sturz; FGrHist 432, 19). οὕτως Ἐπαφρόδιτος ἐν Ὑπομνήματι Θ Ἰλιάδος (fr. 32 L.), παρατιθέμενος Κλείταρχον Αἰγινήτην λεξικογράφον, vide Strab. 13, 1, 5 (p. 583), Steph. B. 198, 20; Macrob. sat. 5, 20, 4; ad Ξ 292 (ex.), praeterea ad O 152 *b* 50 fort. exstabat sch. de iunctura ἠέρα πουλὺν, cf. Eust. 697, 24: ἔνθα τὸ „πουλύν" θηλυκοῦ γένους φασὶν οἱ παλαιοί, καθὰ καὶ τὸ „ἠέρα". καὶ ἔστιν ἡ λέξις Ἰωνικὴ ὁμοίως τῷ „πουλὺν ἐφ' ὑγρήν" (K 27), ad E 776 51 cf. D ad A 405 ἐνηδόμενος (87)

---

72 le. A supplevi (auctore Bk.) πρὸς A, ἡ διπλῆ (sc. ante versum 47, erat fort. αἱ διπλαῖ) πρὸς Vill. 76 le. T suppl. Ma., om. **b** ἴδην$^2$ T ἐν ὑπερβατῷ, οἷον ἴδην **b** 77 ὡς τὸ **b** ἵκ. ἐς T suppl. Ma., ἵκανεν ἐς **b** 78 γάργ. πόλις **b** 79 le. add. Vill. εἰσι A suppl. Vill. 81 μητέρα — ὄρει T ἁρμόδιον δὲ τῷ ὄρει τὸ μητέρα θηρῶν (coni. cum scholio Θ 47—8 *b*, v. πόλις) **b** 86 αἰτίαν A em. Vill. 87 le. add. Li. ἐνηδόμενος δόμενος E$^3$

*Ariston.* 53 *a*. οἱ δ' ἄρα δεῖπνον ἕλοντο ⟨καρηκομόωντες Ἀχαιοί⟩: ὅτι πρὸ τούτου τὴν ἀνατολὴν τίθησι Ζηνόδοτος. τὸ δὲ συνεχὲς τοῦ λόγου οὕτως ἐστίν· ἡμέρας ἐνστάσης ὁ μὲν Ζεὺς θεῶν ἀγορὰν ἐποιεῖτο, οἱ δὲ Ἀχαιοὶ δεῖπνον εἵλαντο. **A**

*ex.* *b*. οἱ δ' ἄρα δεῖπνον ἕλοντο ⟨———⟩ Ἀχαιοί: καλῶς μετὰ θεοὺς εἰς Ἕλληνας μέτεισιν. δυσὶ δὲ τροφαῖς ἐχρῶντο, ὧν ἡ μὲν δόρπον τὸ μετὰ τὴν παῦσιν τῶν δοράτων διδόμενον, ἡ δὲ δεῖπνον καὶ ἄριστον. **T**

*ex.(?)* *c*. ⟨δεῖπνον ἕλοντο:⟩ ἠρίστησαν. $\mathbf{A}^{\text{int}}$

*D* | *ex.(?)* 54 *a*. ⟨ῥίμφα:⟩ ταχέως | ἢ ἐλαφρῶς. $\mathbf{T}^{\text{il}}$

*Did.* *b*. ἀπὸ δ' αὐτοῦ θωρήσσοντο: ἐξωπλίζοντο καὶ ἀνελάμβανον τὰ ὅπλα, ὅπερ ἀγνοήσαντές τινες γράφουσι „τοὶ δ' αὐτόθι θωρήσσοντο". **A**

*Did.* 55 *a*.[1] ⟨ὠπλίζοντο:⟩ Ἀρίσταρχος διὰ τοῦ ō „ὁπλίζοντο". $\mathbf{A}^{\text{int}}$

*a*.[2] τὸ δὲ „ὁπλίζοντο" διὰ τοῦ ō. **T**

*Ariston.* 56 *a*. παυρότεροι: ὅτι ἐλάσσους ἀεὶ τοὺς Τρῶας σὺν τοῖς ἐπικούροις λέγει. ἡ δὲ ἀναφορὰ πρὸς ἐκεῖνα τὰ ἀθετούμενα „πολλέων ἐκ πολίων ἐγχέσπαλοι ἄνδρες" (Β 131) καὶ πρὸς Ζηνόδοτον γράφοντα (sc. in Θ 562) „μυρία δ' ἐν πεδίῳ". **A**

*ex.* *b*. παυρότεροι: καὶ πῶς φησι „πολλέων ἐκ πολίων" (Β 131); καὶ νῦν τοὺς ἰθαγενεῖς φησιν· διὸ καὶ τὸ „πρό τε παίδων καὶ πρὸ γυναικῶν" (Θ 57). ἢ ἑαυτῶν ἥττους διὰ τὸν θάνατον. **b**(BCE$^{3}$E$^{4}$) **T**

cf. Theogn. 8, 15  53 *a* ad Η 482. Θ 1 *a* (Ariston.); cf. Cantarella 123  τὸ δὲ συνεχὲς (90) sq. cf. Griesinger 73  *b* ad Β 381 *a*/*b*  54 *a* ταχέως = D, D ad Ζ 511. Κ 54, cf. Or. 139, 7, Ep. Hom. (An. Ox. 1, 383, 3)  ἢ ἐλαφρῶς (3) ad Χ 163 (ex.)  *b* cf. Porph. 1, 117, 10 (Πορφυρίου E$^{4}$): τὸ δὲ ἐν τοῖς προκειμένοις „ἀπὸ δ' αὐτοῦ θωρήσσοντο" οὐκ ἔστιν ὑπερβατόν, ὥς τινες, ἀπεθωρήσσοντο δὲ αὐτοῦ, ἀλλά φησιν ἀπὸ τοῦ δείπνου ἐθωρήσσοντο. καὶ ἔστι πεζοτέρα ἡ φράσις, καὶ διὰ τοῦτο λανθάνει τὸ νόημα. Suspicari licet Porphyrium solum sch. *b* ante oculos habuisse, cf. app. crit.  55 cf. sch. π 453  56 *a* — ἄνδρες (11) ad Β 130—3; — λέγει (10) cf. Eust. 698, 3  καὶ πρὸς Ζηνόδοτον (11) sq. ad Θ 562 (Ariston.)  *b* vide ad Θ 40 *a*

89 le. A suppl. Vill.  90 ὅτι A, ἡ διπλῆ (sc. περιεστιγμένη), ὅτι Vill.  93 le. T suppl. Ma.  2 le. addidi  3 le. add. V$^{c}$  5 ὅπερ ἀγν. τινὲς γράφ. sq.] qui textum mutaverunt, timuisse videntur, ne verba tradita valerent 'cenantes vino se complebant'; aliter Nickau, qui putat illos grammaticos cavere voluisse, ne quis ἀπο-θωρήσσεσθαι nostro loco idem valere censeat ac quod verbis ἔντεα ἀφοπλίζεσθαι infra (sc. Ψ 26) significari videmus, sc. 'arma deponere'  7 le. add. Vill.  8 pone sch. Θ 56 *b* (coni. cum v. θάνατον) in T, transposui  9 ὅτι A, ἡ διπλῆ, ὅτι Vill.  11 πολλίων A em. Vill.  13 le. scripsi, τρῶες δ' ἑτέρωθεν παυρότεροι T, om. b  πολλέων] πολέων BC  14 καὶ νῦν T νῦν οὖν b  φησι b  14 sq. καὶ πρὸ γυν. om. T  15 ἥττ. γενόμενοι διὰ b  τὸν πολλῶν θάνατον propos. Wil.

c. μέμασαν δὲ καὶ ὣς ⟨ὑσμῖνι μάχεσθαι⟩: ἀναγκαίως τοῦτο ἐπιφέρει, ἵνα μὴ νομίσωμεν αὐτοὺς ἐπτηχότας ἐξιέναι διὰ τὴν προγενομένην ἧτταν. b(BCE³E⁴) T *ex.*

57 *a.* ⟨χρειοῖ:⟩ ὡς „Λητοῖ" (Υ 72. Ω 607)· ἡ γὰρ εὐθεῖα „χρειὼ ἐμεῖο γένηται" (Α 341). A^im *Hrd.*

*b.* ⟨πρό τε παίδων:⟩ ἀντὶ τοῦ ὑπὲρ τῶν παίδων. T^il *D(?)*

58 *a.*¹ πᾶσαι δ' ὠΐγνυντο πύλαι: ὅτι μία ἐστὶ πύλη καὶ πληθυντικῶς εἶπεν πύλαι. τὸ δὲ πᾶσαι ἀντὶ τοῦ ὅλαι, ὡς „θριξὶ δὲ πάντα νέκυν καταείνυον" (Ψ 135). A *Ariston.*

*a.*² ἀντὶ τοῦ ὅλαι, ὡς „πάντα νέκυν καταείνυον". μία δὲ ἦν ἱππήλατος πύλη. T^il

60. ⟨ἵκοντο:⟩ γράφεται „ἵκανον". A^int *Did.(?)*

62 *a.* ἀτὰρ ἀσπίδες ὀμφαλόεσσαι: ὅτι ταὐτὸν ἐξ ἐπαναλήψεως εἶπεν· προειπὼν γὰρ „ῥινούς" (Θ 61), ἐπενήνοχεν ἀτὰρ ἀσπίδες ὀμφαλόεσσαι, ἐξ ἀμφοτέρων ταὐτὰ σημαίνων. A *Ariston.*

*b.* ἀτὰρ ἀσπίδες ὀμφαλόεσσαι: ὅτι ἐξ ἀναλήψεως τὸ ἀσπίδες· b(BCE³E⁴) T καὶ γὰρ καὶ „ῥινοὺς" τὰς αὐτάς φησι (sc. Θ 61). b(BCE³E⁴) *ex.*

63. ἔπληντ' ἀλλήλῃσι: πρὸς φαντασίαν τῶν ῥηθησομένων τὸ ἔπληντο. b(BCE³E⁴) T ἔστι δὲ ὡς τὸ „ἀσπὶς ἄρ' ἀσπίδ' ἔρειδε" (N 131). b(BCE³) T πρὸ δὲ τοῦ κατὰ μέρος ἐξαίρει τὸν ἀκροατήν. b(BCE³E⁴) T *ex.*

57 *a* ad A 341 (Hrd.) *b* ad K 286 *a* (Ariston.); cf. Eust. 698, 12. Vide ad Γ 460 58 ad B 809 (Ariston.), vide ad M 340 *a*¹. N 191 *f*; — πύλαι (23) vide ad H 339 *a*. Aliter Porph. 1, 117, 20, fort. scholio deperdito usus (Πορφυρίου E⁴): οὐ λέγει περὶ τῶν ἐν Ἰλίῳ πυλῶν μόνον, ἀλλὰ καὶ περὶ τῶν ἐν τῷ ναυστάθμῳ τῶν Ἑλλήνων, οὐδὲ λαὸν τὸν Τρωϊκὸν μόνον, ἀλλὰ καὶ τὸν Ἑλληνικόν· τούτῳ γὰρ ἀκόλουθον καὶ τὸ „οἱ δ' ὅτε δή ῥ' ἐς χῶρον ἕνα ξυνιόντες ἵκοντο" (Θ 60) κτλ., Eust. 698, 18: τὸ δὲ „πᾶσαι πύλαι" δεδήλωται καὶ ἀλλαχοῦ ὡς οἱ μὲν ἐπὶ δύο μόνων πυλῶν ἡρμήνευσαν, οἱ δὲ ἐπὶ πολλῶν 60 diple ante versum in A, fort. error scribae, cf. Wismeyer 21 62 *a* ad Δ 448 *a* (Ariston.), cf. Eust. 698, 22 ταὐτὰ σημαίνων (30) ad H 474, cf. Ap. S. 139, 2, Et. Gen. (= EM. 704, 25). Vide ad M 263 64 fort. exstabat sch. de v. ἅμα, cf. Amm. 34: καὶ Ὅμηρος διαστέλλει (sc. τὸ ἅμα et τὸ ὁμοῦ)·

---

16 le. T supplevi, om. b 16—8 ἀναγκ. δὲ καὶ τὸ μέμασαν ἐπιφέρει sq. coni. cum scholio b (v. θάνατον) in b 19 le. add. Bk. χρειὼ] fort. χρειώ, „χρειὼ 20 ἐμείω A em. Vill. 21 le. add. V^c ὑπ. τ. παίδων T καὶ ὑπὲρ τέκνων D 22 ὅτι A, ἡ διπλῆ, ὅτι Vill. ἱππήλατος πύλη Bk., cf. sch. *a*² 27 le. add. Ddf. γράφ. cp. (γρ) A 28 le. scripsi (auctore Vill.), χαλκεοθωρήκων: A ὅτι A, ἡ διπλῆ, ὅτι Vill. 29 ἀντὰρ A em. Vill. 30 ταῦτα A em. Bk. 31 ὅτι om. b ἐπαναλήψεως b, fort. recte τὸ T αἱ b 32 ἀσπίδων T 34 sq. πρὸς — ἔπληντο T τὸ δὲ ἔπληντο πρὸς φαντασίαν τῶν ῥηθησομένων pone sch. Θ 62 *b* (coni. cum v. φησι) b 35 ἔστι δὲ ὡς τὸ T ὅμοιον δέ ἐστι τῷ b 37 ἀκρ. T τῶν ἀκροατῶν νοῦν b

*Ariston.* **65.** ⟨ὀλλύντων τε καὶ ὀλλυμένων,⟩ ῥέε δ' αἵματι γαῖα: ὅτι ἀντὶ τοῦ ἐρρεῖτο ἡ γῆ, καὶ ὅτι πρὸς τὸ δεύτερον πρότερον ἀπήντηκεν. A

*Ariston.* **66** *a.* ὄφρα μὲν ἠὼς ἦν καὶ ἀέξετο ἱερὸν ἦμαρ: ἡ διπλῆ, ὅτι νῦν τὴν πρὸ μεσημβρίας ὥραν ἠῶ λέγει. A

*ex.* *b.* ὄφρα μὲν ἠὼς ἦν: πρὸς πίστιν τὸν καιρὸν ὡς παρατυγχάνων. ἠῶ δὲ καὶ τὸν ὄρθρον καὶ τὴν ἕως ἕκτης καὶ ἡμέραν τὴν σωματοειδῆ. εἰς τρία δὲ αὐτὴν διαιρεῖ· „ἢ ἠὼς ἢ δείλη ἢ μέσον ἦμαρ" (Φ 111). b(BCE$^3$E$^4$) T „ἦρι" (Ι 360) δὲ παρὰ τὸ αἱρεσθαι. T

*ex.* *c.* καὶ ἀέξετο ἱερὸν ἦμαρ: τὸ μέχρι μεσημβρίας αὔξησιν ἀποκαλεῖ ὡς σφαιροειδῶς τῷ οὐρανῷ προσαναβαίνοντος τοῦ ἡλίου. b(BCE$^3$E$^4$) T

*D* ἀέξετο: αὔξησιν ἐλάμβανεν ——— ποιῶν. A

*ex.* *d.* ἱερὸν ἦμαρ: τὸ πρὸ τῆς μεσημβρίας διὰ τὸ ἐν τούτῳ τοῖς θεοῖς θύειν· τὸ γὰρ μεσημβρινὸν τοῖς κατοιχομένοις νέμεται. b(BCE$^3$E$^4$) T

*Ariston.* | *Did.* **68** *a.* ἦμος δ' ἠέλιος μέσον οὐρανὸν ⟨ἀμφιβεβήκει⟩: ὅτι οὐδέποτε ἐν Ὀλύμπῳ τὸν ἥλιον, ἀλλ' ἐν οὐρανῷ· οὐκ ἄρα ὁ αὐτὸς τῷ οὐρανῷ. | τὸ δὲ ἀμφιβεβήκει A γράφεται καὶ σὺν τῷ $\overline{ν}$, „ἀμφιβεβήκειν". AA$^{im}$

„ἔνθ' ἅμα οἰμωγή τε καὶ εὐχωλὴ πέλεν ἀνδρῶν / ὀλλύντων καὶ ὀλλυμένων" (Θ 64—5), κατὰ τὸν αὐτὸν χρόνον. Vide ad A 61 (test.) **65** — ἡ γῆ (39) ad B 626 (Ariston.), cf. Wackernagel I 749—50 καὶ ὅτι πρὸς (39) sq. ad B 621 (Ariston.) **66** *a* cf. D *b* ἠῶ (44) — ἕκτης ad Λ 84 (ex.), cf. sch. β 1 (p. 72, 20 Ddf.); sch. D. Thr. (Σ$^m$) 429, 20 τὸν ὄρθρον (44) cf. Eust. 698, 28; vide ad B 48 (ex.) εἰς τρία (45) — ἦμαρ ad Φ 111 *c* — ἀποκαλεῖ (48) cf. D, Eust. 698, 24 *d* Or. 75, 1 (unde Et. Gen. [= EM. 468, 31], Et. Gud. 272, 48): ἱερὸν ἦμαρ· οὕτως εἴρηται τὸ πρὸ τῆς μεσημβρίας· ἐν τούτῳ γὰρ τῷ καιρῷ ἔθυον τοῖς Ὀλυμπίοις θεοῖς, ἀπὸ δὲ μεσημβρίας τοῖς χθονίοις, in sede scholiorum; cf. Eust. 698, 34; — θύειν (52) ad Λ 84 (test.) **68** *a* — οὐρανῷ (56) ad A 44 *a* τὸ δὲ ἀμφιβεβήκει (56) sq. (et *b*) ad Ξ 412. Vide ad Γ 388 *a*. E 661

**38** le. A suppl. Frdl. ὅτι A, ἡ διπλῆ ὅτι Vill. **42** ἠὼς A em. Bk. **43—6** πρὸς πίστ. δὲ καὶ τὸν sq. pone sch. *d* (coni. cum v. ἐνέμετο) in b **43** sq. ὡς παρατ. T ἔλαβεν b, ἔλαβεν ὡς παρατυγχάνων Ma. **44** ἠῶ δὲ καὶ T ἠὼς δὲ σημαίνει b τὴν (ante ἕως) om. T **44** sq. ἡμ. τὴν σωμ. T τὴν ἡμέραν b **45** αὐτὴν διαιρεῖ T, διαιρεῖ τὴν ὅλην περίοδον τῆς ἡμέρας b (fort. rectius) δείλης T **47—9** sch. *c* pone sch. *d* in T **47** sq. λέγει αὔξησιν b **48** τοῦ οὐρανοῦ E$^3$ **51** ἱερὸν — διὰ τὸ T ἱερὸν δὲ διὰ τὸ post sch. *c* (coni. cum v. ἡλίου) b **52** ἐνέμετο b **54** le. A suppl. Vill. ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **55** ἥλιον cp. A **56** καὶ A, om. A$^{im}$

*b.* ἦμος δ' ἠέλιος μέσον οὐρανὸν ⟨ἀμφιβεβήκει⟩: γινώσκει καὶ μεσουράνημα, †ἡνίκα οὖν δηλονότι κατ' ἴσον† ἀπόστημα ἀνατολῆς τε καὶ δύσεως. b(BCE³) T *ex.*

*c.* μέσον οὐρανὸν ἀμφιβεβήκει: δείκνυσιν ὡς μείζων ὁ ἥλιος οὐρανοῦ· τὸ γὰρ ἀμφιβῆναι μείζονός ἐστι περὶ ἔλαττον, ὡς λέοντες μὲν σκύμνοις περιβαίνουσι, κύνες δὲ σκύλαξιν. b(BCE³) T *ex.*

69. καὶ τότε δὴ χρύσεια ⟨πατὴρ ἐτίταινε τάλαντα⟩: ποιητικῶς τὸ διασταζόμενον ἐπανάγει τῷ ζυγῷ. οἱ Στωϊκοὶ (St.V.Fr. II 267, 41 = Chrys. fr. 931) δέ φασιν ὡς ταὐτὸν εἱμαρμένη καὶ Ζεύς. διττὸν δὲ τὸ τῆς Μοίρας· ἀπαράβατον, ὡς τὸ δεῖ θνητὸν ὄντα ἀποθανεῖν, οὗ οὐδὲ Ζεὺς κρατεῖ, ὡς ἐπὶ Σαρπηδόνος (cf. Π 431—61)· τὸ δὲ ταχὺ ἢ βραδύ, ὡς ἐπὶ Ἀχιλλέως, οὗ κρατεῖ Ζεύς (cf. Ο 72—7. Χ 356—60 al.). b(BE³E⁴) T ταύτην οὖν ταλαντεύει· T ταῦτα δὲ λεγόμενα ἔχει φαντασίαν, δρώμενα δὲ οὐδέν ἐστι διὰ τὸ σύνηθες. b (BE³E⁴) T *ex.*

τάλαντα: τὴν τοῦ Διὸς διάνοιαν. A *D*

70 *a.* ἐν δ' ἐτίθει δύο κῆρε ⟨τανηλεγέος θανάτοιο⟩: μίαν ὑπὲρ ἑκατέρου στρατεύματος· καὶ ὅτι τὰς θανατηφόρους μοίρας λέγει. ὁ δὲ Αἰσχύλος (p. 88 N.² = fr. 205 b M.) νομίσας λέγεσθαι τὰς ψυχὰς ἐποίησε τὴν Ψυχοστασίαν, ἐν ᾗ ἐστιν ὁ Ζεὺς ἱστὰς ἐν τῷ ζυγῷ τὴν τοῦ Μέμνονος καὶ Ἀχιλλέως ψυχήν. A *Ariston.*

*b.* ἐν δ' ἐτίθει δύο κῆρε: πῶς δύο κῆρας ἐντίθησιν ὁ Ζεὺς ὥσπερ ἀνὰ μίαν ἑκατέρου στρατοῦ, ἐν δὲ τοῖς ἑξῆς (sc. Θ 73—4) πλείους αὐτάς φησιν, „αἱ μὲν Ἀχαιῶν κῆρες" (Θ 73); ἢ ὅτι αἱ δύο καὶ πολλαὶ ἂν εἶεν· λέγομεν γοῦν διττὰ πράγματα. πλειόνων δὲ ἔμφασιν διδόντος τοῦ ὀνόματος εἰκότως ἐν τῇ μεταλήψει πλέονας εἶπε κῆρας. *ex.* | *ex.*

(Did.) *c* — οὐρανοῦ (62) ad Κ 394 *b*. T 398 (ex.), cf. Valk I 503 **69** οἱ Στωϊκοὶ (65) — εἱμαρμένη καὶ Ζεύς (66) ad Ρ 409, cf. Zenon. fr. 102 (St. V. Fr. I 28, 23) al. διττὸν δὲ (67) — Ζεὺς κρατεῖ (68) cf. Eust. 698, 52 διττὸν δὲ (67) — Μοίρας ad Θ 72 **70** *a* ad Θ 73—4 (Ariston.); — στρατεύματος (75) cf. Eust. 698, 43 καὶ ὅτι τὰς θανατηφόρους (75) sq. cf. Eust. 699, 31; Porph. 1, 117, 29; Ecl. (An. Ox. 2, 456, 17), fort. Seleuc. (vide Reitzenstein, Gesch. 172) ὁ δὲ Αἰσχύλος (76) sq. ad Χ 210 (Ariston.), cf. Plut. mor. 17 a *b* ἢ ὅτι αἱ δύο (81) — εἶπε κῆρας (83) aliter Porph. 1, 118, 6

---

**58** le. T supplevi (auctore Vill.) **59** ἡνίκα — ἴσον T ὃ καὶ νῦν δηλοῖ· ἔστι δὲ τὸ ἴσον (ἶσον BE³) b, edd., nondum sanatum, fort. ἡλίου ὄντος δηλονότι κατ' ἴσον. An lectio T defendi potest? **61** δείκν. ὡς T δείκνυσι δὲ διὰ τοῦ ἀμφιβεβήκει ὅτι coni. cum scholio praecedenti (v. δύσεως) b **61** sq. ὁ ἥλιος οὐρ. b πρὸς ἥλιον οὐρανός T **62** ἔλ. ὡς b ἐλάττονος T **64** le. T supplevi, om. b **67** δεῖν Wil. **68** κρ. ζεύς b **71** δὲ¹ T μὲν οὖν b ἐστιν (omissis verbis διὰ τὸ σ.) T **74** le. ἐν δ' ἐτίθη δύο κῆρε A em. et suppl. Vill. **81** ἢ om. b **82** οὖν C **83** εἶπ. κῆρ. T εἶπεν b

b(BCE$^3$) T συνεκδοχὴ δέ ἐστιν. b(BE$^3$) T | ΚΗΡ δὲ παρὰ τὸ κῆαι (διὰ πυρὸς γὰρ ἔθαπτον), οἱ δὲ παρὰ τὸν κηρόν· ἐντετυπῶσθαι γὰρ αὐτῇ καθάπερ ἐν κηρῷ τὰ πράγματα. b(BCE$^3$E$^4$) T

*ex.* | *ex.* 72. ῥέπε δ' αἴσιμον ἦμαρ Ἀχαιῶν: οὐκ ἄρα, φασίν, ἐχαρίσατο τῇ Θέτιδι, εἰ μοιρίδιον ἦν. φαμὲν δὲ ὅτι εἰς ἐπίτασιν τῆς Μοίρας καὶ Δία ὁπλίζει κατ' Ἀχαιῶν· b(BCE$^3$E$^4$) T ὅπερ ἦν τῆς χάριτος. b (BCE$^3$E$^4$) | ὅτι δισσὸν τὸ τῆς Μοίρας. T

*Ariston.* 73—4. αἱ μὲν Ἀχαιῶν κῆρες ⟨——— ἄερθεν⟩: ἀθετοῦνται, ὅτι ὑπὲρ ἑκάστου στρατεύματος κῆρα ζυγοστατεῖ ὁ Ζεύς, οὐ πλείους, ὡς ἐπὶ Ἀχιλλέως καὶ Ἕκτορος (cf. Χ 210—1). ὁ δὲ διασκευαστὴς ἐξέλαβε πολλάς. εἰ δέ τις δύο ὑπὲρ ἑκατέρου ἵστασθαι φήσει, ῥυόμενος τὴν σύγχυσιν τοῦ δυϊκοῦ σχήματος, ἄλογον· πρὸς τί γὰρ δύο, ἀλλ' οὐ μία; A

*ex.* 73 *a.*$^1$ †ἐν δ' ἐτίθει δύο κῆρε (Θ 70)† αἱ μὲν Ἀχαιῶν κῆρες: ὡς τὸ „†δύο† δέ τέ οἱ θύραι εἰσίν, / αἱ μὲν πρὸς Βορέαο" (ν 109—10). T

*a.*$^2$ ὅμοιόν ἐστι τῷ „δύω δέ τε †θύραι εἰσίν, / αἱ μὲν πρὸς Βορέαο καταιβαταὶ ἀνθρώποισιν", οἷον δύο μὲν τὰ μέρη, ἀρκτικὸν καὶ μεσημβρινόν, καὶ δύο θυρῶν ἔξοδοι· εἰς δὲ τὸ κατὰ μέρος πλείονες αἱ κῆρες. b(BCE$^3$)

*ex.* *b.* αἱ μὲν Ἀχαιῶν κῆρες: ἀπὸ μὲν τοῦ ζυγοῦ τὸ μέγεθος τοῦ ταλαντεύοντος δηλοῖ. ἐπειδὴ δὲ τὰ ἐπίγεια θνητά, τὰ μὲν δυστυχῆ πλησιάζει τῇ γῇ, τὰ δὲ εὐτυχῆ μετεώρῳ τῇ πλάστιγγι ἕπεται. b (BCE$^3$) T

παρὰ τὸ κῆαι (84) cf. Ecl. (An. Ox. 2, 456, 25) διὰ πυρὸς γὰρ ἔθαπτον (85) ad Η 79 *b*. 333 (Ariston.) οἱ δὲ (85) sq. cf. Plat. Theaet. 194 c/d 72 ὅτι (90) sq. ad Θ 69 73—4 ad Θ 70 *a*. Χ 210 (Ariston.); cf. Bolling, A. L. 107; W. Poetscher, Wien. Stud. 73, 1960, 21; Valk II 420 73 *a* cf. sch. ν 109 *b* τὰ μὲν δυστυχῆ (10) sq. cf. Porph. 1, 118, 10; Eust. 699, 37; sch. Aesch. Pers. 346

84 συν. — ἐστιν T ἔστι δὲ τὸ (τὸ om. B) σχῆμα συνεκδοχικῶν σχημάτων ἓν b 84—6 κὴρ δὲ παρὰ sq. pone sch. Θ 73 *a*$^1$ (coni. cum v. βορέαο) in T 84 κὴρ δὲ παρὰ τὸ] κὴρ δὲ ἡ θανατηφόρος μοῖρα. γίνεται δὲ ἀπὸ τοῦ E$^4$ δὲ] δὲ εἴρηται BCE$^3$ 85 κῆαι T καίω b ἐθάπτοντο b 85 sq. οἱ δὲ sq. T εἰ δὲ τὴν ψυχὴν δηλοῖ (εἰ — δηλοῖ BCE$^3$, κὴρ δὲ ἡ ψυχὴ E$^4$), παρὰ τὸν κηρόν (π. τὸ κηρός E$^4$)· δίκην γὰρ αὐτοῦ (αὐτοῦ BCE$^3$, κηροῦ E$^4$) τὰ μαθήματα ἐν ἑαυτῇ (ἐν τῇ ψυχῇ E$^4$) ἀπομάττεται b 86 πράγματα T, γράμματα Wil. 87 φασίν (cp.) BCE$^4$, fort. E$^3$ (partim absc.), φησίν T 88 τῆς om. T, fort. melius 88 sq. δία — ἀχαιῶν T καὶ αὐτὸς ὁπλίζεται κατ' αὐτῶν b 91 le. A suppl. Frdl. 95 δυϊκοῦ cp. A 2 (le.) ἐν δ' — κῆρε fort. delendum, cf. sch. *a*$^2$ (in b relatum ad v. 73) 3 δύω Hom. 5 οἱ θύραι Hom. 9—11 ἀπὸ μὲν sq. cum scholio praecedenti coni. b 9 τοῦ CT οὖν τοῦ BE$^3$ 10 τὰ μὲν om. T, τὰ (sine μὲν) ci. Ma. (fort. rectius) 11 τῇ$^2$ (ante πλαστ.) om. T

74 *a*. ⟨ἐζέσθην:⟩ ἐν ἐνίοις διὰ τοῦ ε, „ἔζεσθεν". A$^{int}$ *Did.*

*b*. ἐζέσθην: ἀντὶ τοῦ ἔζεσθεν, ὡς „κόσμηθεν" (Γ 1). ὅμοιον δέ ἐστιν αὐτῷ καὶ τὸ „μιάνθην αἵματι μηροί" (Δ 146). b(BE$^3$) T *ex.*

75—6. δαιόμενον δὲ ⟨/ ἧκε⟩ σέλας: τὸ σέλας (76) δηλοῖ τὴν ἔλλαμψιν. βουλόμενος οὖν εἰπεῖν ὡς οὐκ ἦν ἀστραπὴ τὸ γινόμενον, ἀλλὰ κεραυνὸς μετὰ τὴν βροντὴν προσέθηκε τὸ δαιόμενον (75)· b (BCE$^3$) T ἡ γὰρ πρὸ βροντῆς ἀστραπὴ οὐ κεραυνός· μετὰ γὰρ τὴν βροντὴν ὁ κεραυνός, ὅς ἐστι καυστικός. b(BCE$^3$) *ex.*

77 *a*.[1] καὶ πάντας ὑπὸ χλωρὸν δέος εἷλεν: δαιμονίαν ὑποφαίνει τῶν Ἀχαιῶν τὴν φυγὴν αὔξων αὐτούς, ὅπως μὴ μένοντος ἑτέρου αἰσχύνοιτο ἄλλος τις. κατ' αὐτῶν δὲ φέρεται τὸ πῦρ· οὐ γὰρ Ἑλληνικὸς ὁ Ζεύς. T *ex.*

*a*.[2] δαιμονίαν ὑποφαίνει τῶν Ἀχαιῶν τὴν φυγὴν αὔξων αὐτούς· ἑτέρου γὰρ ὑποχωροῦντος καὶ οἱ λοιποὶ τοῦτο ποιοῦσι· δόξαν γὰρ ἔχουσι περὶ αὐτῶν ὡς οὐδείς ἐστι φυγοπόλεμος, ἀλλ' ἕνα θυμὸν ἔχουσιν. ὅταν οὖν ἴδωσι τοὺς ἀρίστους ὑποχωροῦντας, οὐκ ἐξ ἀναλκίας ὑποπτεύουσι φεύγειν, ἀλλὰ θεομηνίαν νοοῦσιν εἶναι· ὃ γέγονε καὶ νῦν. b(BCE$^3$E$^4$)

*b*. ⟨εἷλεν:⟩ ἐν ἄλλῳ „{δέος} ᾕρει". A$^{im}$ *Did.*

78. ἔνθ' οὔτ' Ἰδομενεὺς τλῆ μίμνειν: ὡς φιλέλλην παρατρέχει τὰ δυσχερῆ, ἐπ' ὀλίγα πρόσωπα τὴν ἧτταν φέρων. καὶ ἡ ἐκλογὴ δὲ τῶν ὀνομάτων θεραπεύοντός ἐστι τὴν ἧτταν· b(BCE$^3$) T οὐ γὰρ εἶπεν ἔφυγεν, ἀλλὰ τλῆ μίμνειν· ἐκφαίνει γὰρ τὸν βουλόμενον κακοῖς ἀγωνίζεσθαι ἐπηρεαζόμενον ὑπὸ τοῦ Διός. b(BE$^3$) T *ex.*

80. Νέστωρ οἶος ἔμιμνε ⟨Γερήνιος, οὖρος Ἀχαιῶν⟩: μεταφορικῶς ὁ ἄνεμος· δι' αὐτοῦ γὰρ ἰθύνεται τὰ πράγματα, καὶ εἰ οὗτος ἀπολεῖται, συναπόλλυσι σχεδὸν τὸ πᾶν. b(BCE$^3$E$^4$) | οὐκ εἰσάγει αὐτὸν ἀναιροῦντα διὰ τὸ ἀπίθανον, ἀλλ' οὐδὲ πάσχοντά τι διὰ τὴν *ex.* | *ex.* | *ex.*(?)

74 *b* cf. Porph. 1, 118, 13; at vide ad Δ 146 *a* 75—6 cf. Porph. 1, 119, 4—8 (E$^4$: Πορφυρίου, fr. decurtavit *B) ἀλλὰ (18) — δαιόμενον cf. Eust. 700, 18. 23 80 ὁ ἄνεμος (38) auctor iuncturam οὖρος Ἀχαιῶν male intellexit

---

13 le. add. Vill. 14—5 τὸ δὲ ἐζέσθην ἀντὶ τοῦ sq. coni. cum scholio Θ 73 *b* (v. ἕπεται) in b 14 κόσμ. T ἄερθεν (Θ 74) b 15 ἐστιν — τὸ T ἐστι τῷ b μηροὶ ἀντὶ τοῦ ἐμιάνθησαν b 16 le. T supplevi, om. b (qui sch. ad Θ 75 revocavit) 17 ἔλαμψιν T οὖν] οὖν ὁ ποιητὴς C τὸ γενόμενον b 19—20 ἡ γὰρ — καυστ. fort. sch. rec. (cf. test.) 23 αἰσχύνοιτο ad H 114 *b*$^2$/*a*$^2$. 164 27 αὐτῶν b em. Bk. 31 le. add. Bk., δέος εἷλεν add. Vill. δέος del. Bk. 34 ἧτταν T φυγήν b 35 ἔφυγον b τλῆ μίμνειν T περιπετείᾳ τινὶ περιέπεσον b, fort. οὐ τλῆ μίμνειν γὰρ τ. βούλ. T δὲ ὅτι βουλόμενοι b 36 κακοῖς T, καλῶς Wil., om. b ὑπὸ τοῦ διὸς ἐπηρεάζονται b 37 le. T supplevi (auctore Vill.), om. b 40 αὐτὸν (sc. Nestorem) T, δὲ αὐτὸν b

ἐξαίρετον φυλακὴν περὶ αὐτόν. οὐ τυχόντα δὲ δι' αὐτοῦ ἐκίνησεν ἡμῖν ἀγῶνα. ἐπεὶ δὲ ἄπιστον ἦν τοσούτων νέων φευγόντων μόνον μεῖναι τὸν γέροντα, ὥσπερ ἐν ἀπολογίας μέρει ἐπιφέρει τὸ „οὔτι ἑκών, b(BE³E⁴) T ἀλλ' ἵππος ἐτείρετο" (Θ 81). | οὗρος δὲ εὐθύντωρ ἢ φύλαξ. T

*Did.* 81 *a.*¹ ⟨ἐτείρετο:⟩ ἔν τισι τῶν ὑπομνημάτων „ἐδάμνατο". A^int

*a.*² γράφεται καὶ „ἐδάμνατο". T^il

*ex.* 82—3. τὸν βάλεν ἰῷ / δῖος Ἀλέξανδρος: καὶ πόρρωθεν πολεμεῖ καὶ οὐκ ἄνδρα τοξεύει, ἀλλ' ἵππον γέροντος βάλλει. καὶ συμπλέκεται οὗτος πάντων φευγόντων. b(BCE³) T

*ex.* 83 *a.*¹ ὅθι τε πρῶται τρίχες: πρῶται ἀντὶ τοῦ ἄκραι. θερμὸς δὲ ὁ περὶ τὴν μήνιγγα τόπος· διὸ προφύει τρίχας. T

*a.*² ἀντὶ τοῦ ἄκραι. θανάσιμος δέ ἐστιν ὁ τόπος διὰ τὸ τὸν ἐγκέφαλον πλησιάζειν ταῖς μήνιγξιν. b(BCE³E⁴)

*D* 84. ⟨καίριον:⟩ ἐπικίνδυνον. T^il

*D* καίριόν ἐστι: εὔκαιρον ——— ὅ ἐστιν ἐπικίνδυνον. A

*ex.* 85 *a.* ⟨ἀλγήσας δ' ἀνέπαλτο, βέλος δ' εἰς ἐγκέφαλον δῦ:⟩ γραφικῶς εἶπε πάντα. T^il

*Ariston.* *b.* ⟨βέλος δ':⟩ ὅτι ὁ δέ ἀντὶ τοῦ γάρ· βέλος γάρ. A^int T^il

*ex.* 87 *a.*¹ ⟨ὄφρ' ὁ γέρων ἵπποιο⟩ παρηορίας ἀπέτεμνε: διὰ τοῦ ἀπέτεμνε τὸ νωθρὸν τοῦ γήρως δηλοῖ. ἐπὶ δὲ Αὐτομέδοντος ῥᾳδίως ἐνεργήσαντός φησιν „ἀΐξας ἀπέκοψε παρήορον" (Π 474). γέροντα δὲ εἶπεν (ὄφρ' ὁ γέρων) ἢ δι' οἶκτον ἢ †πᾶσα τῶν ἑλλήνων ἡ εὐχή†. ἐν ἀγωνίᾳ δὲ καθιστὰς τὸν ἀκροατὴν καὶ τὸν δεινὸν Ἕκτορα αὐτῷ ἐπάγει. T

φύλαξ (45) = D, D ad O 659, Eust. 700, 37; sch. γ 411; Ap. S. 125, 2 (unde EM. 642, 22), cf. Or. 115, 6. 118, 32, Synag. (Su. o 954, ubi test.). Vide Philod. De regno Hom. col. 14, 16; Bechtel, Lex. 262 83 cf. Aristot. gen. an. 5, 5 p. 785 a 13; Koerner, Ärztl. Kenntn. 43; eund. Tierwelt 29; — ἄκραι (51) cf. D διὸ προφύει (52) sq. Aristot. h. an. 1, 7 p. 491 a 30 *a*² θανάσιμος (53) cf. Koerner, Heilk. 21 85 nullum signum ante versum in A, fort. error scribae *b* ὁ δέ ἀντὶ τοῦ γάρ (59) ad Z 360 *b* (Ariston.), cf. Ap. Dysc. de coni. 240, 7 (qui fort. ex Aristonico pendet): καὶ οὐκ ἔστιν ἀσύνηθες τὸν δέ εἰς τὸν γάρ μεταλαμβάνεσθαι· „βέλος δ' εἰς ἐγκέφαλον δῦ" (Θ 85)· αἰτία γάρ ἐστι τοῦ ἀναπαλῆναι τὸν ἵππον ἀντί (59) — βέλος γάρ cf. D 87 *a* cf. D, Eust. 701,

41 οὐ] οὐ τὸν Wil., vix recte διὰ τούτου b 43 ὥσπερ om. b 46 le. add. V^c 48—50 sch. ad Θ 82 rettulit b 48 πόρρω T 50 οὗτος πάντων T αὐτῷ πάντων ἑλλήνων b (perperam) 51 θερμὸς cf. sch. A 189 (Valk I 514 n. 535) 55 le. add. Ma. 57 le. addidi, βέλος — δῦ add. Ma. 59 le. add. Bk. ὅτι A, om. T, fort. ἡ διπλῆ, ὅτι ὁ δέ — γάρ post sch. *a* (coni. cum v. πάντα) T, distinxi et transposui δέ sc. δέ alterum 60 le. T supplevi (auctore Vill.) 63 sq. nondum expeditum; παρὰ τῶν ἑλλ. ἔσχε τὴν ἐπίκλησιν Ma., fort. ἐντείνας (hoc Nickau pro πᾶσα) τῶν ἑλλ. τὴν τύχην

*a*.² οἴκτου χάριν τὸ γέρων τίθησιν. ἐν ἀγωνίᾳ δὲ καθιστὰς τὸν
ἀκροατὴν καὶ τὸν δεινὸν Ἕκτορα αὐτῷ ἐπάγει. διὰ δὲ τοῦ ἀπέτεμνε
τὸ νωθρὸν τοῦ γήρως ἐδήλωσεν. b(BCE$^3$)
*b*. ⟨παρηορίας:⟩ ὡς παρηγορίας. A$^{im}$ *Hrd.(?)*
παρηορίας: τὰς τοῦ †παρήορος ——— ἱμάντας. A *D*
ἀπέταμνε: δεινός ἐστιν Ὅμηρος ——— συντόμως τὸ πρᾶγ- *D*
μα δηλῶν. A
89 *a*. ⟨ἀν' ἰωχμόν:⟩ παρὰ τὴν συμβολήν. T$^{il}$ *ex.(?)*
*b*. ⟨ἡνίοχον:⟩ ὅτι τὸν παραιβάτην Ἕκτορα ἡνίοχον εἶ- *Ariston.*
πεν. A$^{int}$
91 *a*. εἰ μὴ ἄρ' ὀξὺ νόησε ⟨βοὴν ἀγαθὸς Διομήδης⟩: εἰκό- *ex.*
τως Διομήδης τὸν πρεσβύτην κινδυνεύοντα ὁρᾷ ὡς ἀναχωρῶν ἔσχατος· θελήσας γὰρ μονομαχῆσαι, ἀποσφαλεὶς δὲ τῷ κλήρῳ, νῦν καὶ τοῦ καιροῦ μὴ συγχωροῦντος πειρᾶται πολεμεῖν. b(BCE$^3$E$^4$) T βοηθεῖ δὲ τῷ Νέστορι διὰ τὸ τῶν ἠθῶν παραπλήσιον· b(BCE$^3$) T καὶ ἐν τῇ νυκτεγερσίᾳ δυσχεραίνει κάμνοντα ὁρῶν παρ' ἡλικίαν τὸν Νέστορα καί φησι· „σχέτλιός ἐσσι, γεραιέ" (K 164), καὶ ἐπὶ τὴν κατασκοπὴν ἐξιὼν παρὰ Θρασυμήδους ὅπλα λαμβάνει, „Τυδείδῃ μὲν δῶκε" (K 255)· καὶ ὁ Νέστωρ φησὶ πρὸς αὐτόν· „Τυδείδη Διόμηδες, ἐμῷ κεχαρισμένε θυμῷ" (K 234). T
*b*. ⟨εἰ μὴ ἄρ' ——— Διομήδης:⟩ εἰκότως Διομήδης αὐτὸν *ex.*
σῴζει· ἐραστὴς γὰρ συνέσεως. T$^{il}$
92. σμερδαλέον δ' ἐβόησεν ἐποτρύνων Ὀδυσῆα: ἐν σχή- *ex.*
ματι ἐδήλωσεν ὡς καὶ Ὀδυσσεὺς ἔφυγεν ἄνω μὴ μνησθεὶς αὐτοῦ. b (BCE$^3$E$^4$) T ἀεὶ δὲ ἀσφαλὴς Διομήδης· καὶ ἐν τῇ κατασκοπῇ — „σύν τε δύ' ἐρχομένω" (K 224) — Ὀδυσσέα τε καλεῖ ὡς φίλον καὶ ἑταῖρον Νέστορι. Νέστωρ γοῦν φησι· „ἔνθ' ἤτοι ⟨εἵως⟩ μὲν ἐγὼ καὶ δῖος Ὀδυσσεύς / οὔτε ποτ' εἰν ἀγορῇ δίχ' ἐβάζομεν" (γ 126—7). b (BCE$^3$) T

13 89 *a* Or. 75, 4: ἰωχμός· διωχμός τις ὢν καὶ διωγμός, κατὰ τροπὴν τοῦ χ εἰς γ, in sede scholiorum *a* παρὰ τὴν συμβολήν cf. D, D ad Θ 158 *b* Et. Gen. (AB) ἡνίοχος· κυρίως ὁ τὰς ἡνίας ἔχων (= Or. 67, 4). | εἴρηται δὲ καὶ ἐπὶ τοῦ παραιβάτου (παραβάτου B), οἷον· „θρασὺν ἡνίοχον φορέοντες (φέροντες B) / Ἕκτορα" (Θ 89—90), fort. ex hyp. Iliad., cf. D; vide ad Z 19 *b*. Ψ 502 (ex.), praeterea ad Θ 126. 312 *b* 91 *a* — ἔσχατος (77) cf. Eust. 700, 1

67 τοῦ (post διὰ δὲ)] τὸ C 69 le. add. Ddf. 73 le. add. Bk. 74 le. add. Bk. ὅτι A, ἡ διπλῆ, ὅτι Vill. 76 le. T supplevi (auctore Vill.), om. b 80 τῶν ἠθ. παραπλ. T χάριεν αὐτοῦ τῶν ἠθῶν b 81 νυκτιγερσία T em. Bk. 84 νέστωρ immo Agamemno 86 le. addidi (εἰ μὴ ἄρ' ὀξὺ νόησε iam V$^c$) 88 (le.) ὀδυσσῆα T em. Bk. (le. om. b) 89 μὴ om. b 90 ἀσφαλὴς i. e. cautus 90—3 καὶ ἐν τῇ κατ. sq. T καὶ μόνος οὐδαμῇ θέλει πορεύεσθαι b 92 εἵως (= codd. Hom.) addidi

*ex.* 93 $a.^1$ πολυμήχαν' Ὀδυσσεῦ: πρὸς ἐπιστροφὴν τὸ ἐπίθετον. ἔστι δὲ γεωργός, „ἐν ποίῃ, δρέπανον μέν" (σ 368)· κυβερνήτης, „αἰεὶ γὰρ πόδα νηός" (κ 32)· τέκτων ἀπὸ τῆς κλίνης (cf. ψ 189) **AT** καὶ τοῦ δουρείου ἵππου (at cf. λ 523)· **T** ναυπηγὸς ἀπὸ τῆς σχεδίας (cf. ε 243—61)· κυνηγὸς ἀπὸ τοῦ Παρνασοῦ (cf. τ 428—54)· μάντις, „φήμην τίς μοι φάσθω" (υ 100)· μάγειρος, „δαιτρεῦσαί τε καὶ ὀπτῆσαι" (ο 323)· ἰατρός, „ὄφρα οἱ εἴη / ἰοὺς χρίεσθαι" (α 261—2)· μουσικός, „μῦθον δ' ὡς ὅτ' ἀοιδός" (λ 368)· πύκτης, „πὺξ μὲν ἐνίκησα Κλυτομήδεα" (Ψ 634)· παλαιστής, „Ἀγκαῖον δὲ πάλῃ Πλευρώνιον" (Ψ 635)· δισκευτὴς παρὰ Φαίαξι (cf. θ 186—98)· τοξότης, „εὖ μὲν τόξον οἶδα" (θ 215)· ἀκοντιστής, „δουρὶ δ' ἀκοντίζω" (θ 229)· ῥήτωρ, „καὶ ἔπεα νιφάδεσ⟨σ⟩ιν ἐοικότα" (Γ 222)· ἀστρολόγος, „Πληϊάδας θ' ὁρόωντι" (ε 272). **AT**

$a.^2$ πρὸς ἐπίστροφὴν τὸ ἐπίθετον τέθειται· δεῖ γὰρ τὸν στρατιώτην τοιοῦτον εἶναι· γεωργὸς μὲν γὰρ ἀπὸ τοῦ καλῶς ἐν πόᾳ τὴν ἄρπην καὶ τὰ ἄλλα τῆς γεωργίας ὅπλα κινεῖν γινώσκεται, κυβερνήτης ἀπὸ τοῦ πόδα νηὸς ἰθύνειν καλῶς, τέκτων ἀπὸ τῆς εὐθεσίας τῶν λίθων καὶ τῆς εὐπριστίας τῶν ξύλων, ναυπηγὸς ἀπὸ τῆς νηός, **b** (BC$E^3E^4$) κυνηγὸς ἀπὸ τῆς κυναγωγῆς καὶ τῆς ὀρεσινομίας, μάντις ἀπὸ τῶν ἐκβάσεων, μάγειρος ἀπὸ τοῦ ὡς δεῖ ὀπτᾶν καὶ δαιτρεύειν, ἰατρὸς ἀπὸ τοῦ νόσους γινώσκειν καὶ τάμνειν ἰούς, μουσικὸς καὶ ἀοιδὸς ἐξ ᾠδῶν κάλλους καὶ μύθων, πύκτης καὶ παλαιστὴς ἐξ εὐστροφίας καὶ χειρῶν συμπλοκῆς, **b**(B$E^3E^4$) τοξότης ἀπὸ διασκέψεως ἀρίστης, ἀκοντιστὴς ἀπὸ τοῦ εὖ πάλλειν τὸ δόρυ, ῥήτωρ ἀπὸ πιθανότητος, στρατηγὸς ἀπὸ φρονήσεως καὶ ἀνδρείας, στρατιώτης ἀπὸ πολυμηχανίας καὶ πολυπειρίας. **b**(BC$E^3E^4$)

**93** $a^1$ cf. Eust. 701, 25 $a^2$ cf. app. crit.

---

**1—11** α' ἔστι δὲ γ. . . . β' κυβερν. . . . γ' τέκτων . . . δ' ναυπηγὸς . . . ε' κυνηγὸς. . . ϛ' μάντις . . . ζ' μάγειρος . . . . η' ἰατρὸς . . . θ' μουσ. . . . ι' πύκτης . . . ια' παλ. . . . ιβ' δισκ. . . . ιγ' τοξ. . . . ιδ' ἀκοντ. . . . ιε' ῥήτωρ καὶ ἀστρ. A (verbis laudatis in altera [sc. sinistra] columna scriptis, ceteris in altera [sc. dextra]) **1** ἐν A ἔνθα T ἀεὶ T **4** παρνασσοῦ A (cf. v. l. τ 432) **5** φημι A **6** οἱ εἴη Bk. (= Hom.), εἴη T οἱει A **7** μῦθον om. T δ' ὡς ὅτ' Hom., ὡς ὅτ' T ὥστ' A **9** φαίαξιν A **10** δὲ ἀκοντίζων A **10 sq.** ῥήτωρ — ἀστρ. T ῥήτωρ καὶ ἀστρολόγος A **11** νιφάδεσι T suppl. Bk. **12** τ' ἐσορῶντι codd. Hom. **13—25** sch. rec. esse apparet, quod auctor classis **b** confecit verbis scholii genuini $a^1$ usus **14** τὴν] καὶ τὴν $E^3$ **17** καὶ τῆς— ξύλων om. C **18** κυνηγεσίας Bk. (frustra) **24** ἀνδρείας C, ἀνδρίας $E^3E^4$ (fort. rectius), ἀνδρ //// ας B (' add. *B)

94 *a*. πῆ φεύγεις ⟨μετὰ νῶτα βαλών, κακὸς ὥς, ἐν ὁμίλῳ⟩: βραχὺ διασταλτέον ἐπὶ τὸ βαλὼν καὶ ὥς· χωριζόμενον γὰρ σαφέστερον ποιεῖ τὸν λόγον. ἀμφίβολον δέ ἐστι καὶ οὕτως τὸ λεγόμενον· ἤτοι γὰρ ὡς δειλὸς ἐν πλήθει φεύγεις, οἷον μετὰ ταραχῆς, ἢ ὡς ἐν ὄχλῳ ἀπαρακαλύπτως. ἢ τὸ ἑξῆς ἐστι· πῆ φεύγεις ἐν ὁμίλῳ, οἷον καὶ σὺ μετὰ τοῦ πλήθους ὡς εἷς τῶν πολλῶν. A *Nic.*

*b*.[1] ⟨πῆ φεύγεις μετὰ νῶτα βαλών, κακὸς ὣς ἐν ὁμίλῳ:⟩ οὐ δειλὸν αὐτὸν καλεῖ, ἀλλὰ δειλοῦ ποιοῦντα ἔργον. | ὀλίγον δὲ διασταλτέον εἰς τὸ βαλών, ἵν' ᾖ ποῦ φεύγεις μεταβαλὼν τὰ νῶτα ὡς οἱ δειλοὶ ἐν ὁμίλῳ καὶ θορύβῳ; ἢ πῆ φεύγεις ἐν ὁμίλῳ ὡς κακός, †ἵν' ᾖ† εἰς τὸ κακὸς ὣς ἡ στιγμή, τὸ δὲ ἐν ὁμίλῳ τῷ ἑξῆς συναπτέον. b (BCE³E⁴) *ex.*|*ex.(Nic.?)*

*b*.[2] {κακὸς ὣς ἐν ὁμίλῳ:} οὐ δειλὸν αὐτὸν καλεῖ, ἀλλὰ δειλοῦ ἀνδρὸς ἔργα †ποιεῖν†. | ὀλίγον δὲ διασταλτέον εἰς τὸ μετὰ νῶτα βαλών, ὡς φεύγουσι δειλοὶ ἐν θορύβῳ. ἢ πῆ φεύγεις ἐν ὁμίλῳ; T

94—5. ⟨πῆ φεύγεις ——— βαλών, κακὸς ὥς,⟩ ἐν ὁμίλῳ;/ μήτις τοι φεύγοντι ⟨——— πήξῃ⟩: περικέκοπται ὁ λόγος τὸν ἀγωνιῶντα ὑποφαίνων. T ἀπὸ δὲ τοῦ εὐπρεποῦς καὶ συμφέροντος ἀναστέλλει τὴν φυγήν. αἴσχρότερον δὲ καὶ τοῦ ἀκοντίσαι τὸ πῆξαι. b(BCE³E⁴) T *ex.*

95. μή τίς τοι φεύγοντι ⟨μεταφρένῳ ἐν δόρυ πήξῃ⟩: τινὲς διαστέλλουσιν ἐπὶ τὸ φεύγοντι. κἂν συνάπτωμεν δὲ ὅλον τὸν στίχον, ἴσμεν ὅτι οὐ τὸ μετάφρενον φεύγει. A *Nic.*

96. ⟨ἄγριον:⟩ ἄγριον τὸν βάρβαρον· καὶ „ἀγριοφώνους" (θ 294) αὐτούς φησιν. T[il] *ex.*

94 *a* — βαλὼν καὶ ὥς (27) at cf. Eust. 701, 56 (. . . εἰς γὰρ τὸ „φεύγεις" ἐξ ἀνάγκης τεθήσεται ὑποδιαστολή, ἵνα μή τις νοήσῃ 'πῆ φεύγεις με', εἶτα ἐπιφέρῃ 'τὰ νῶτα βαλών'), vix e scholiis χωριζόμενον (27) — λόγον (28) ad Λ 102 (Nic.) ἤτοι γὰρ ὡς (29) — πλήθους (31) h(P¹¹): πῆ φεύγεις· ὁ νοῦς, ὡς δειλὸς ἐν πλήθει φεύγεις μετὰ ταραχῆς ἢ ὡς ἐν ὄχλοις ἀπαρακαλύπτως, ἐπεὶ καὶ οἱ ἄλλοι· ἢ τὸ ἑξῆς ἐστι, ποῦ (fort. ποῖ) φεύγεις ἐν ὁμίλῳ οἷον καὶ σὺ μετὰ τοῦ πλήθους (fol. 116ʳ) 96 cf. sch. θ 294, aliter D

26 le. A suppl. Vill. 27 ὥς A, κακὸς ὥς Lehrs (qui etiam pro καὶ scripsit εἶτα) χωρ. Lehrs (sc. τὸ κακὸς ὥς), χαριζόμενος A 29 δειλὸς Bk., δηλ ss. ο A 30 εὐπερικαλύπτως Lehrs, at cf. test. πῆ A em. Bk. (at cf. test.) 32 le. add. Vill. 35 πῆ A em. Bk. ἵν' ᾖ b, fort. ᾗ 36 τῷ (sc. στίχῳ) b, fort. τοῖς 38 le. T delevi 39 ποιεῖν T, cf. sch. *b*¹ 40 πῆ T, cf. sch. *b*¹ 41 sq. le. T supplevi, om. b 43—4 ἀπὸ δὲ sq. coni. cum scholio Θ 94 *b*¹ (v. συναπτέον) in b 44 ἀναστ. τ. φυγήν h. e. fugam impedire conatur καὶ τὸ πῆξαι τοῦ ἀκοντίσαι b 46 le. A suppl. Vill. 47 τὸ Bk., τῷ A κἂν Bk., καὶ A 49 le. addidi 50 φασιν T em. Ma.

*Aristcn.* **97 *a*.** {ὡς ἔφατ'} οὐδ' ἐσάκουσε: πρὸς τὸ ἀμφίβολον, πότερον οὐκ ἀντελάβετο καθόλου τῆς φωνῆς διὰ τὸν θόρυβον ἢ ἀκούσας παρεπέμψατο· ὅπερ δέχεται ὁ Ἀρίσταρχος. **A**

*D* οὐδ' ἐσάκουσεν: οὐδὲ ἤκουσεν. | †ἐξηγεῖται† δὲ πότερον ἄρα οὐδ' ὅλως ——— ἐπιδεικνύμενος. **A**

*ex.* *b*. οὐδ' ἐσάκουσεν: οὐκ ᾔσθετο ὑπὸ τοῦ θορύβου, ἢ οὐκ ἐπείσθη διὰ τὸν καιρόν· φεύγει γὰρ σὺν Αἴαντι καὶ θεομαχεῖν οὐ θέλει· **b**(BCE$^3$E$^4$) **T** „ἐν γὰρ δαιμονίοισ⟨ι⟩ φόβοις / φεύγοντι καὶ παῖδες θεῶν" (Pind. N. 9, 27). **T** πῶς δὲ δειλὸς ὁ μετὰ πάντας φεύγων· οὐ γὰρ ἂν Διομήδης τοῦτον μόνον ἐκάλει. **b**(BCE$^3$E$^4$) **T** δειλὸν δὲ αὐτόν φασι καὶ ἀπὸ τοῦ ἔσχατον ἀναστῆναι (cf. H 168) καὶ Δόλωνα ἰδεῖν (cf. K 339—48) καὶ Ῥῆσον μὴ φονεῦσαι (cf. K 481) καὶ τὴν μάστιγα μὴ ἑλέσθαι (cf. K 500—1). **T**

*Ariston.* **99.** ⟨αὐτός:⟩ ὅτι ἐν ἴσῳ τῷ μόνος. **A**$^{im}$

*ex.* **101.** ⟨ἔπεα πτερόεντα προσηύδα:⟩ τὰ μὲν πράγματα τάχιστα γέγονεν, ἡ δὲ τῶν λόγων σχολὴ ποιητική. **b**(BCE$^3$) **T**$^{il}$

*ex.* **102.** ⟨νέοι τείρουσι:⟩ ἀλλ' οὐ νῦν δι' ἐμέ. **T**$^{t}$

*ex.* **103 *a*.** ⟨λέλυται:⟩ πέπηγε γὰρ ἐν τῇ νεότητι. τέλος δὲ λύσεως θάνατος. **b**(BCE$^3$) **T**$^{il}$

**97 *a*** cf. Eust. 701, 34 et 39; Ap. Dysc. synt. 424, 13: τοιοῦτόν ἐστι καὶ τὸ „οὐδ' ἐσάκουσε πολύτλας δῖος Ὀδυσσεύς"· ἢ γὰρ κατὰ τὸν πρῶτον λόγον, οἷον τῆς φωνῆς οὐ μετέλαβεν διὰ τὸν ἐπιόντα θόρυβον· ἢ μετέλαβεν, οὐ μὴν τῷ Διομήδει ἐπείσθη ἀντιστατοῦντος θεοῦ (cf. sch. *b*). εἰς τοῦτο γοῦν τινες κτλ. (vide ad Θ 4 *a*), cf. Lehrs Ar.$^3$ 146; Beiträge 325 ἀκούσας παρεπέμψατο (52) ad Θ 4 (Hrd.), 266 (Ariston.) *b* cf. Eust. 701, 34. 45 δειλὸν δὲ αὐτὸν (60) — ἀναστῆναι (61) ad H 168 (ex.); vide ad Θ 223 (test.), I 346 *a* καὶ Δόλωνα ἰδεῖν (61) ad K 339—40 (ex.), Eust. 810, 24 καὶ Ῥῆσον μὴ φονεῦσαι (62) ad K 480 *b* (ex.) **99** cf. D, Tryph. fr. 36 V. (Ap. Dysc. pron. 56, 6; vide 63, 17), sch. Theocr. 11, 12, sch. Arat. 311, sch. Dem. 18, 53 (p. 283, 11 Ddf.), Ep. Hom. (An. Ox. 1, 53, 19), Ep. Ps. 37, 7 (EM. 172, 56, Et. Gud. 237, 20 Stef.). Vide ad E 880 **103 *a*** Ge (e T)

---

**51** (le.) ὡς ἔφατ' del. Bk. πρὸς A, ἡ διπλῆ πρὸς Vill. **52** sq. παρεπ. Vill. (cl. scholio, quod proxime sequitur), γὰρ ἐπαρεπέμψατο A **54** sq. ἐξηγεῖται (lg. ἐζήτηται) δὲ πότερον οὐκ ἀντελάβετο κτλ. (sequitur iterum sch. *a* usque ad) παρεπέμψατο· ὅπερ δέχ. ὁ ἀρίσταρχος. οὐδ' ἐσάκουσεν: οὐδὲ ἤκουσεν. ἐξηγεῖται (lg. ἐζήτηται) δὲ πότερον ἄρα οὐδ' ὅλως A em. Vill. (cf. Valk I 478 n. 354) **56** ὑπὸ] διὰ C **58** δαιμονίοισι . . . φεύγοντι scripsi (cl. Pind.), δαιμονίοις . . . φεύγουσι T **59** δὲ T γὰρ **b** δειλὸς **b**, δ[. .]λὸς T **60** μόνον om. C **64** le. add. Bk. ὅτι A, ἡ διπλῆ, ὅτι Vill. τῷ Bk., τὸ A **65** le. add. Bk. **65** sq. τὰ μὲν sq. sch. supra v. ὦ γέρον (Θ 102) scriptum in T **67** le. add. Ma. ἀλλ' οὐ . . . δι' ἐμέ h. e. neque tamen mea culpa hostes tibi instabunt **68** le. add. Bk. (σὴ δὲ βία λέλυται add. Li) νεότητι ἡ δύναμις Ge

*b*.¹ ⟨ὀπάζει:⟩ οὕτως Ἀρίσταρχος ὀπάζει. ὁ δὲ Ἰξίων (fr. 9 St.) „ἐπείγει". A^im *Did.*

*b*.² ἐν ἄλλῳ „{γῆρας} ἱκάνει". A^int

104 *a*. ἠπεδανός: ὁ μὴ δυνάμενος ἐν τῷ πεδίῳ στῆναι διὰ τὸ ἀσθενές. b(BCE³E⁴) T *D*

ἠπεδανός: ἀσθενὴς ἢ ——— ἑστώς. A *D*

*b*. ἠπεδανὸς δέ ⟨νύ τοι⟩ θεράπων, βραδέες δέ τοι ἵπποι: εἰκότως ὅλα συνήγαγε τὰ κακά, ὅπως πείσῃ τῷ ἰδίῳ ἐπιβῆναι ἅρματι τὸν εἰπόντα „ὃς δέ κ' ἀνὴρ ἀπὸ ὧν ὀχέων" (Δ 306). b(BCE³E⁴) T εὖ δὲ τὸ μὴ τὸν Νέστορα ταῦτα προβαλέσθαι εἰς τὸ τυχεῖν βοηθείας. ἐγκώμιον δὲ Νέστορος ἔχει ὁ λόγος, ὃς οὐδὲ τῷ γήραϊ ἐπέτραπεν ἑαυτόν (cf. K 79). b(BE³E⁴) T *ex.*

105—7. ἀλλ' ἄγ' ἐμῶν ὀχέων ⟨——— φέβεσθαι⟩: ὑπογράφων ἄνω τὸ ἀσθενὲς τοῦ γέροντος οὐδὲν περὶ τοῦ ἰδίου σθένους ἀνθυπήγαγεν, ἀλλ' ἐλπίδα αὐτῷ ὑπογράφει σωτηρίας διὰ τοῦ τάχους. b (BCE³E⁴) T *ex.*

106—7. οἷοι Τρώϊοι ἵπποι ⟨——— ἔνθα καὶ ἔνθα διωκέμεν ἠδὲ φέβεσθαι⟩: βραχὺ διασταλτέον ἐπὶ τὸ ἵπποι (106)· μᾶλλον γὰρ ἐμφαίνει τὴν τοῦ εἰσίν ἔλλειψιν. καὶ ἄλλως συναπτόμενον ἀκατάλληλόν ἐστι τὸ ἐπιστάμενοι (106). οὐ μὴν ἡ διὰ πρόθεσις ἐνταῦθα λείπει, ἵν' ᾖ διὰ πεδίου, ἀλλὰ τὸ ἑξῆς ἐστιν ἔνθα καὶ ἔνθα πεδίου. τοιοῦτο καὶ τὸ ⟨ἐν τῷ⟩ ἕκτῳ „πολλὰ δ' ἄρ' ἔνθα καὶ ἔνθα ἴθυσε μάχη πεδίοιο" (Z 2). A *Nic.*

106 *a*. ⟨ἐπιστάμενοι:⟩ ἀντὶ τοῦ δυνάμενοι· „ἐπίστατο πῆλαι Ἀχιλλεύς" (Π 142). T^il *ex.(Ariston.?)*

*b*. ⟨πεδίοιο:⟩ ὅτι ἐλλείπει ἡ διά. A^int *Ariston.*

---

*b* ad Ψ 623 (Did.) *b*¹ ad Δ 321 (Did.) **104** cf. Roemer 73 **106** *a* ad N 223. Π 142 *a*. Φ 320 (Ariston.), sim. ad N 238; cf. Lehrs Ar.³ 147; vix recte Roemer, Ar. 36 *b* ad B 801 (Ariston.)

---

**70** le. add. Bk. **72** sch. *b*² Didymo attr. Vill., Bk. γῆρας delevi **73** le. E⁴, om. BCE³T ἐν] δι' ὑπερβολὴν ἀσθενείας ἐν D πέδῳ E⁴, πεδίῳ, ὅ ἐστιν ἐν τῷ ἐδάφει D στῆναι ante ἐν τ. π. E⁴ **73** sq. διὰ τὸ ἀσθ.] ἐτράπη τὸ ᾱ εἰς η̄ E⁴, om. D **76** le. T suppl. Ma. (auctore Vill.), om. b **77—81** εἰκότως δὲ ὅλα sq. pone sch. Θ 105—7 (coni. cum v. τάχος) in b **81** ἐπετρ. ἑαυτόν T δή (δή om. E⁴) τρυχόμενος ἀμελεῖ b **82** le. T supplevi, om. b **82—4** ὑπογράφων δὲ ἄνω sq. pone sch. Θ 104 *a* (coni. cum v. ἀσθενές) in b **84** διὰ τὸ τάχος b **86** sq. le. A suppl. Frdl. **87** τὸ Bk., τῷ A **88** συναπτώμενον A em. Vill. **89** τὸ (ante ἐπιστ.) Bk., οὐ A, ὁ Vill. **91** τοιούτῳ A em. Bk. ἐν τῷ add. Ddf. ἕκτῳ Ddf., ἑβδόμῳ A μάχηι A em. Vill. **93** le. add. V^c **95** le. add. Frdl. ὅτι A, ἡ διπλῆ, ὅτι Vill.

*Ariston.* 107 *a*. κραιπνὰ μάλ' ἔνθα καὶ ἔνθα διωκέμεν ἠδὲ φέβεσθαι: ὅτι ἀντὶ τοῦ φεύγειν ἀεὶ τὸ φέβεσθαι παρ' αὐτῷ, καὶ ὅτι ἐντεῦθεν τὸ „φόβον Ἄρηος φορεούσας" (Β 767). **A**

*ex.* *b*. ⟨ἔνθα καὶ ἔνθα διωκέμεν ἠδὲ φέβεσθαι:⟩ τοὺς δίχα ταράχου πάντη δεόντως δυναμένους φέρειν τοὺς ἐπιβάτας. **T**[il]

*Ariston.* 108 *a*. οὓς ποτ' ἀπ' Αἰνείαν ἑλόμην: ἀθετεῖται, ὅτι ἄτοπον προστιθέναι τὴν ἱστορίαν τῷ εἰδότι, καὶ ὁ καιρὸς δεῖται συντομίας. καὶ ὅτι τὸ ποτέ χρονικὴν ἔχει ἔμφασιν τῆς ἀφαιρέσεως γεγονυίας τῇ πρὸ ταύτης ἡμέρᾳ. **A**

*ex.* | *ex.* | *Did.*(?) *b*. οὓς ποτ' ἀπ' Αἰνείαν ⟨ἑλόμην, μήστωρε φόβοιο⟩: ἠθικῶς τὸν χθὲς ἀνάγει χρόνον· καὶ Φιλοίτιος· „τοῦτό τοι ἀντὶ ποδὸς ξεινήϊον, ὅν ποτ' ἔδωκας / ἀντιθέῳ †ὀδυσσῆϊ†" (χ 290—1). **b**(BCE[3]) **T** ἅμα δὲ καὶ θαρσαλεώτερον ποιεῖ τὸν γέροντα ἡ Αἰνείου νίκη. **b**(BCE[3]E[4]) **T** | τὸ δὲ ποτέ ἀντὶ τοῦ χθές. | τὸ δὲ μήστωρε τινὲς „μήστωρα" ἐπὶ τοῦ Αἰνείου διὰ τὸ αὐξητικόν. **T**

*Ariston.* 109 *a*. τούτω μὲν θεράποντε: ὅτι τετήρηται παρ' αὐτῷ καθαρῶς τὰ δυϊκά, καὶ νῦν ὡς ἐπὶ δύο ἵππων διαλέγεται. **A**

*Did.* *b*.[1] ⟨κομείτην:⟩ Ἀρίσταρχος „κομείτων". **A**[im]

*b*.[2] τὸ δὲ κομείτην Ἀρίσταρχος μὲν „κομείτων", Ζηνόδοτος δὲ κομείτην. **T**

*Hrd.* *c*. τώδε δὲ νῶϊ: παροξύνεται τὸ τώδε παραλόγως· ἀληθὲς γὰρ ὡς ὅτι τὰ διὰ τοῦ δε ἐκτεταμένα, εἰ ἔχοι πρὸ τέλους φύσει μακράν, προπερισπᾶται. ὅπερ ὤφειλε κἀπὶ τοῦ τώδε δὲ νῶϊ εἶναι, ἀλλ' ὅμως πάλιν ἐπεκράτει καὶ ἐπὶ τούτου πρὸ τέλους ἡ ὀξεῖα. ταῦτα ὁ Ἡρωδιανὸς (2, 57, 22; cf. 2, 60, 3) ἐν τῇ Ζ (sc. ad 422), ὅπου περὶ τοῦ ἰῷ διαλαμβάνει. **A**

107 *a* ad B 767 (Ariston.); vide ad E 223 *b* (Ariston.) 108 *b* τὸ δὲ ποτέ (14) — χθές cf. Eust. 702, 3 τὸ δὲ μήστωρε (14) sq. ad E 272 (Did.), cf. Eust. 702, 25: οἱ δὲ γράψαντες „μήστωρε φόβοιο" (ἤγουν μήστωρας) διὰ τοὺς ῥηθέντας ἵππους πάνυ σφάλλονται τοῦ ὀρθοῦ τινὲς (14) cf. Valk II 322 109 *a* ad E 233—4 (Ariston.); vide ad Θ 185 *a*. 186. 191 *a* *b* cf. Ep. Hom. (An. Ox. 1, 397, 24, imprimis 398, 2): καὶ γράφουσι μέν τινες (sc. in Θ 109) „κομείτων" (ἀλλ' οὐδέποτε δυϊκῷ προστακτικῷ τρίτου προσώπου ἐχρήσατο Ὅμηρος κτλ.), cf. Ludwich, A. H. T. 1, 284, 25 *c* ἀληθὲς (21) — ἡ ὀξεῖα (24) cf. **h**(M[1] P[11])

2 ὅτι A, ἡ διπλῆ, ὅτι Vill. 4 le. addidi, φέβεσθαι Ma. 4—5 sch. fort. ad Θ 106—7 referendum 5 πάντη T em. Bk. 10 le. T supplevi (auctore Vill.), om. **b** 11 καὶ φιλ. T ὡς καὶ ἐν ὀδυσσείᾳ φιλοίτιος **b** τοι] σοι **b** 12 ὀδυσῆϊ B (= Hom.) 13 ἅμα — θαρσ.] θαρσαλεώτερον δὲ E[4] νίκη T ἧττα **b** 16 ὅτι A, ἡ διπλῆ, ὅτι Vill. 18 le. addidi (κομείτων ss. ην A[cont]) 19—20 τὸ δὲ sq. pone sch. Θ 113 (coni. cum v. φησιν) T, trps. Spitz. 23 ὄφειλε A em. Vill. 24 ἐπεκρ. Bk., κατ' ἐπικρατεῖ A 24 sq. ἠρωιδιανὸς A em. Vill.

**111.** ἦ καὶ ἐμὸν δόρυ μαίνεται: καὶ ἐμόν διὰ Ἀχιλλέα ἢ Αἴαντα τὸν μονομαχήσαντα αὐτῷ ὑπογύως. b(BCE$^3$E$^4$) T ὁ δὲ ἦ ἀντὶ τοῦ εἰ συναπτικοῦ, ὡς τὸ „ἦ κεν ζὼς ἀμενηνός" (E 887), ἢ ἀντὶ τοῦ ὡς καὶ δασύνεται, ὡς τὸ „ἣ θέμις ⟨ἐστίν⟩, ἄναξ" (I 276). T *ex.*

**112** *a.* οὐδ' ἀπίθησε Γερήνιος ἱππότα Νέστωρ: οἰκονομικῶς ἐπὶ τὸ ἅρμα Διομήδους ἀναβιβάζει τὸν Νέστορα, ἵνα πεισθῇ φυγεῖν καὶ εἴκειν Διῒ ταῖς τοῦ Νέστορος παραινέσεσιν· Σθενέλῳ γὰρ οὐκ ἂν ἐπείσθη, ὅπου γε μηδὲ ἐν τοῖς ἀνωτέρω (sc. E 249—56), ἀναβῆναι ἐπὶ τὸ ἅρμα παραινοῦντι b(BCE$^3$E$^4$) T καὶ μὴ ἀγωνίζεσθαι πρὸς Πάνδαρον πεζόν. T *ex.*

*b.* ⟨οὐδ' ἀπίθησε:⟩ τῷ καιρῷ πειθόμενος πάντα σιωπῇ πράσσει. T$^{il}$ *ex.*

**113.** Νεστορέας ⟨———⟩ ἵππους: πῶς ἐν τῷ ἐπιταφίῳ ἀγῶνι τοὺς ἵππους φησὶν ἄρσενας „ἀλλά τοι ἵπποι / βάρδιστοι θείειν" (Ψ 309—10), καὶ πρὸς τοὺς ἵππους Ἀντίλοχος „μὴ σφῶϊν ἐλεγχείην καταχεύῃ / Αἴθη θῆλυς ἐοῦσα" (Ψ 408—9); ὅτι δὲ τοῖς τοῦ πατρὸς ἵπποις Ἀντίλοχος ἐχρῆτο, μαρτυρεῖ τὸ „οὐ σφῶϊ⟨ν⟩ κομιδὴ παρὰ Νέστορι" (Ψ 411). ἀδιαφόρως οὖν ἵππους καὶ θηλυκῶς καὶ ἀρσενικῶς φησιν. T *ex.*

**114** *a.* Σθένελός τε καὶ Εὐρυμέδων: ἐν σχήματι ἐδήλωσε τὸ δοκοῦν παραλελεῖφθαι· οὐ γὰρ εἴρηκεν ἀνωτέρω, ποῖοι ἦσαν οἱ θεράποντες. τὸν δὲ Σθένελόν φασιν ἀπὸ τοῦ τείχους κατενεχθέντα τρωθῆναι τὸ σκέλος· διὸ ἡνιοχεῖ Διομήδει. b(BCE$^3$E$^4$) T *ex.*

ad Γ 157: ἡ δὲ διὰ τὸ δέ παραγωγή, εἰ ἔχει πρὸ τέλους μακράν, προπερισπᾶται. σεσημείωται τὸ (σεσημειωμένου τοῦ P$^{11}$) „τώδε δὲ νῶϊ", eadem fere EM. 416, 22; ad B 346 (Hrd.), K 17 (test.), Λ 432 *a* (Hrd.), sch. δ 26; Ap. Dysc. pron. 92, 6; Ep. Hom. (An. Ox. 1, 398, 29); vide praeterea ad K 292 *b*$^1$ ταῦτα ὁ Ἡρωδιανὸς (24) sq. ad Z 422 **111** **h**(M$^1$ P$^{11}$ V$^3$ V$^{15}$): τῷ (M$^1$, τὸ cett.) „εἰ καὶ (εἰ κ. P$^{11}$ V$^3$ V$^{15}$ ἢ εἰ M$^1$, lg. ἦ καὶ) γένει ὕστερος ἦεν" (Γ 215) τινὲς ἑπόμενοι διὰ τοῦ η̄ καὶ τοῦτο γράφουσιν. ἄμεινον δὲ διὰ διφθόγγου γράφεσθαι· ἀντὶ γὰρ τοῦ ὅτι ἐστὶν ἐνταῦθα ὁ εἰ σύνδεσμος, ὥσπερ καὶ ἐν τῷ „οὐ μὴν (M$^1$ P$^{11}$ V$^3$, οὐκ ἂν V$^{15}$) οἶδ' εἰ αὖτε κακορραφίης" (κακοραφίης V$^3$; O 16), fort. sch. vet. διὰ Ἀχιλλέα (27) sq. brevius Ge (e T, cf. app. crit.) ὁ δὲ ἦ ἀντί (28) sq. ad E 885—7 *b* (ex.) **114** *a* τὸν δὲ Σθένελον (48) sq. vide ad Θ 117 *a*. Π 245 (ex.); Schwartz

**27** καί$^2$ — διὰ T ἐμόν φησι δι' b ἀχιλέα C (ut semper), E$^3$ ἢ T ἢ μᾶλλον b **28** μονομαχήσαν T ὑπογυίως E$^3$ **29** ἀντὶ τοῦ ἐάν Ge **30** θέμ. ἄν. T suppl. Ma. **31** (le.) ἀπείθησε T em. Ma. **31 sq.** οἰκονομικῶς sq. sch. relatum ad Θ 115 in b οἰκον. — πεισθῇ omnia fere haec verba absc. in E$^4$ (fol. 68$^r$) **32** πεισθῇ sc. Diomedes **33** εἴκ. διῒ T εἶξαι b **34** μηδὲ] μὴ δὲ B ἀνωτέρωι b ἀναβαίνειν T **37** le. add. V$^c$ **39** le. T suppl. Ma. **40** φασὶν TV em. Bk. **43** σφῶι T suppl. Ma. **48—9** τὸν δὲ σθέν. sq. pone sch. Θ 115 (coni. cum v. φησίν) T **48** φασὶ δὲ τὸν σθέν. b σθέ[ tum spatium, tum σθένελον (incipit sch. separatum) C **49** διὸ T διὰ τοῦτο οὐ πολεμεῖ ἀλλ' b (rectiusne?)

*Ariston.* *b.* ⟨Εὐρυμέδων:⟩ ὅτι ὁμωνύμως οὗτος τῷ Ἀγαμέμνονος ἡνιόχῳ (cf. Δ 228). $A^{im}$

*ex.* **115.** τὼ δ' εἰς ἀμφοτέρω ⟨Διομήδεος ἅρματα βήτην⟩: ἔδει εἰπεῖν 'Διομήδης δὲ ἅμα Νέστορι εἰς τὸ ἴδιον ἔβη ἅρμα' †ὡς† ἑτέρου τινὸς ὄντος τοῦ Διομήδους φησίν. T

*ex.* **116** *a.* ⟨ἡνία:⟩ τὰ ἡνία αὐτῶν ἐξ ἀστραγαλίσκων ἐλεφαντίνων ἦσαν, ὅθεν καὶ τὸ „ἡνία λεύκ' ἐλέφαντι" (E 583). b(BC$E^3E^4$)

*Did.(?)* *b.* ⟨φοινικόεντα:⟩ ἐν ἄλλῳ „σιγαλόεντα". $A^{im}$

*ex.* **117** *a.* ⟨μάστιξεν δ' ἵππους:⟩ σημειωτέον ὅτι καὶ πολεμισταὶ καὶ ἡνίοχοι οἱ πρώην βασιλεῖς. b(BC$E^3E^4$) $T^{il}$

*ex.* *b.* τάχα δ' Ἕκτορος ἄγχι γένοντο: εἰ τοσοῦτον ἀπῆν, διὰ τί μὴ φεύγει; τὸ ὅλον πεπραγμάτευται πρὸς τὸ μὴ ἀθρόως ἀκμητὶ νικᾶν Τρῶας, ἀλλὰ τοὺς φεύγοντας ἀνακωχὴν λαβεῖν. ἄλλως τε ἢ νικήσειν οἴεται ἢ νικώμενος ῥᾳδίως φεύξεσθαι. b(B$E^3E^4$) T

*ex.* **118.** ⟨ἰθὺς μεμαῶτος:⟩ ἄντικρυς βουλευομένου ὁρμᾶν. $A^{int}$

*ex.* | *ex.* **120** *a.*[1] ⟨υἱὸν — Θηβαίου⟩ Ἠνιοπῆα: παρὰ τὰς ἡνίας τῶν ἵππων ἐστὶ τὸ ὄνομα. εἰκὸς δὲ καὶ τοῦτον εἰς τοῦτο ἀγηοχέναι τὴν Ἀνδρομάχην διὰ τὴν τῶν ἵππων ἐπιμέλειαν (cf. Θ 186—90). | τὸ δὲ Θηβαίου οὐ γένει, ἀλλὰ κύριον ὄνομα, ὡς ἐν Ὀδυσσείᾳ „Αἰγύπτιος" (β 15). T

*ex.* *a.*[2] υἱὸς Θηβαίου οὐ τῷ γένει· κύριον γάρ ἐστιν ὄνομα, ὡς καὶ ἐν Ὀδυσσείᾳ ὁ „Αἰγύπτιος". b(BC$E^3$)

*ex.* **122.** ὑπερώησαν δέ οἱ ἵπποι: ὡς ὑπεχώρησαν παρὰ τὴν χώραν, οὕτως ὑπερώησαν παρὰ τὴν †ἔραν†. δηλοῖ δὲ καὶ τὴν ὁρμήν, „ἐρωήσει περὶ δουρί" (A 303). b(BC$E^3E^4$) T  ἀναγκαῖον δὲ τοῦτο εἰς τοὐπίσω φερομένου τοῦ ἡνιόχου. b(B$E^3E^4$) T

*Ariston.* **124** *a.* ⟨Ἕκτορα δ' αἰνὸν ἄχος πύκασε φρένας ἡνιόχοιο:⟩ ὅτι ἐλλείπει ἡ περί, καὶ ὅτι ἀντὶ τοῦ Ἕκτορος φρένας. $A^{int}$

413 *b* ad Δ 228 (Ariston.) **115** vide ad Λ 618 **116** *a* ad E 583 *b* ad Θ 137 *b*; cf. Valk II 578. Vide ad Π 159 *b* (ex.) **117** *a* ad Θ 114 *a* **122** ὑπεχώρησαν (72) = D, cf. Eust. 703, 4; sch. μ 75 δηλοῖ (73) — δουρί (74) ad A 303 **124** *a* — περί (77) ad A 65 *b* (Ariston.), cf. Eust. 703, 12; vide ad Θ 125 *b*. 316 *a* καὶ ὅτι ἀντὶ (77) sq. ad E 27—8 (Ariston.), cf. Eust.

---

**50** le. add. Bk. ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **52** le. T supplevi δέον Ma. **53** fort. ὁ δὲ ὡς vel ἀλλ' ὡς sim. **55** le. add. Bk. **57** le. add. Bk. (Vill.) **58** le. add. Ma. **58—9** σημ. δὲ ὅτι sq. pone sch. Θ 116 *a* (coni. cum v. ἐλέφαντι) in b καὶ πολ. κ. ἡνίοχοι ἐτύγχανον pone βασ. b **61** μὴ[1] cf. Valk I 506 πραγματεύεται b **61** sq. ἀκμητὶ T καὶ ἄνευ πόνου b **62** τοὺς τρῶας b **64** le. add. Bk. **65** le. T supplevi **72** ὡς T ὥσπερ τὸ b **73** οὕτως T οὕτως τὸ b ἔραν] erat ἐρωήν **74** ἐρ. T ὡς τὸ ἐρωήσει b **76** le. add. Vill. **77** ὅτι A, ἡ διπλῆ, ὅτι Vill.

*b.*$^1$ ⟨πύκασε:⟩ ἐσκέπασε, „πυκάσασα ἓ αὐτήν“ (P 551). $T^{il}$ *ex.*

*b.*$^2$ ἐσκέπασε, περιεκάλυψεν· | ἀπὸ τοῦ πυκάζειν, ὅ ἐστι καλύπτειν. b($BCE^3E^4$) *D | ex.(?)*

125 *a.* καὶ ἀχνύμενός περ ἑταίρου: οὐκ ἔστιν ἡ περί πρόθεσις, ἀλλ' ὁ πέρ σύνδεσμος ἐναντιωματικὸς καὶ ἐγκλιτικός· διὸ τὸ τέλος τῆς μετοχῆς ὀξυτονητέον. A *Hrd.*

*b.* ⟨ἑταίρου:⟩ ὅτι καὶ ἐνθάδε λείπει ἡ περί. $A^{im}$ *Ariston.*

126 *a.*$^1$ ⟨ἡνίοχον μέθεπε θρασύν:⟩ ἀνάλογον ἑαυτῷ (cf. Θ 89) ἡνίοχον ⟨. . .⟩ θρασύν. $T^{il}$ *ex.*

*a.*$^2$ θρασύς ἐστι καὶ ὁ ἡνίοχος ἀναλόγως αὐτῷ διὰ τὸ ὁμοψυχεῖν. b($BCE^3E^4$)

128. Ἀρχεπτόλεμον: ὅτι Ζηνόδοτος ἐνθάδε μὲν γράφει „Ἐρασιπτόλεμον“, ἐν δὲ τοῖς μετὰ ταῦτα (sc. Θ 312) εἴασεν „Ἀρχεπτόλεμον“. A *Ariston.*

130 *a.*$^1$ ἔνθα κε λοιγὸς ἔην: δῆλον ὡς καὶ ἄλλα διαθεμένου Διομήδους. ὅρα δὲ ὡς οὐδὲ ἡ φυγὴ τῶν Ἀχαιῶν ἄπρακτός ἐστιν. T *ex.*

*a.*$^2$ δῆλον ὡς καὶ ἄλλα διαθεμένου Διομήδους. τέως δὲ ἡ τῶν Ἀχαιῶν φυγὴ οὐ μεμένηκεν ἄπρακτος, ἀλλὰ Τρῶες ἀναιροῦνται. b ($BCE^3E^4$)

*b.* ⟨ἔργα γένοντο:⟩ ὅτι κατὰ τοῦ οὐδετέρου τὸ πληθυντικόν, ὡς „σπάρτα λέλυνται“ (B 135). $A^{int}$ *Ariston.*

130—1. ἔνθα κε λοιγὸς ἔην / καί νύ κ' ἐσήκασθεν: ἔν τισι τῶν παλαιῶν φέρονται δύο στίχοι „Τρῶες ὑπ' Ἀργείων, ἔλιπον δέ κεν Ἕκτορα δῖον / χαλκῷ δηϊόωντα, δάμασ⟨σ⟩ε δέ μιν Διομήδης“ (= Θ 131 a et b). T *ex.(Did.)*

131. σήκασθεν: εἰς σηκὸν ——— τὰ ἀγάλματα. A *D*

*a.* ⟨σήκασθεν — ἠΰτε ἄρνες:⟩ ὅτι τὸ σήκασθεν αὐτὸς ἐπεξηγεῖται εἰπὼν ἠΰτε ἄρνες. A *Ariston.*

703, 9 $b^1$ ἐσκέπασε (78) = D, cf. D ad P 551 125 *b* ad A 65 *b*; vide ad N 403 *a* (Ariston.); cf. Eust. 703, 13; aliter Lesbon. 45, 21 (ἀντὶ τοῦ ἑταίρῳ) καὶ ἐνθάδε vide ad Θ 124 *a* 126 vide ad Θ 89 *b* (Ariston.) 128 ad Θ 312 *a* (Ariston.) ἐν δὲ τοῖς (90) sq. Aristonicum erravisse suspicatur Duentzer (Zen. 21) 130 *b* ad A 291 *a* (Ariston.); vide ad Θ 137 *a* et *c* 130—1 cf. Duentzer, Zen. 159, 4; Sengebusch I 198; recte Cantarella 127; Bolling, Ext.

---

78 le. add. $V^c$ (πύκασεν φρένας ante sch. $b^2$ add. Li) 79—80 ἐσκεπ. sq. cum scholio Θ 122 (v. δουρί) coni. C 82 ἐγκλητικός A em. Vill. 84 le. add. Bk. ὅτι A, fort. ἡ διπλῆ, ὅτι 85 le. addidi (θρασύν· le. in Li ante sch. $a^2$) 87 καὶ ὁ ἡνίοχος om. $E^4$ 87 sq. ἀναλ. αὐτῷ post ὁμοψ. $E^4$ 89 le. Bk., ἰφιτίδην: A ὅτι A, ἡ διπλῆ (sc. περιεστιγμένη), ὅτι Vill. 2 le. add. Bk. ὅτι A, ἡ διπλῆ, ὅτι Vill. 6 δάμασε T suppl. Bk. 9 le. addidi, ἄλλως add. Vill. ὅτι A, fort. ἡ διπλῆ, ὅτι τὸ σίκασθεν A em. Vill.

*ex.* *b.* καὶ νύ κ' ἐσήκασθε⟨ν⟩ κατὰ Ἴλιον ἠΰτ⟨ε⟩ ἄρνες: καὶ τὴν Διομήδους ἀρετὴν αὔξει καὶ τὴν βαρβάρων δειλίαν κωμῳδεῖ, εἰ δὴ τοῦ Διὸς ἐπαμύνοντος αὐτοῖς καθειρχθῆναι ἐκινδύνευσαν προβάτων τρόπον, καὶ οὐδὲ τούτων τελείων· ἀρνῶν γάρ φησιν. b(BE$^3$E$^4$) T | τί δ' ἐστὶν ἠΰτ⟨ε⟩ ἄρνες, πρώην εἶπεν· „αἱ μέν τ' ἀγχηστῖναι" (E 141). T

*Nic.* **133.** βροντήσας δ' ἄρα δεινόν, ⟨ἀφῆκ' ἀργῆτα κεραυνόν⟩: βραχὺ διασταλτέον ἐπὶ τὸ δεινόν· κεῖται γὰρ ἀντὶ μεσότητος, δεινῶς βροντήσας. ἐπὶ δὲ τοῦ κεραυνοῦ ἓν ἀρκεῖ ἐπίθετον τὸ ἀργῆτα. A

*ex.* **134.** κὰδ δὲ πρόσθ' ἵππων Διομήδεος: πεφεισμένως· ἐκδειματοῦν γὰρ αὐτὸν βούλεται· οὐ γὰρ μισέλλην ὁ Ζεύς. b(BCE$^3$E$^4$) T

*ex.* **135** *a.* ⟨δεινὴ δὲ φλὸξ ὦρτο θεείου καιομένοιο:⟩ δεινὴ γάρ ἐστιν ἡ δυσωδία αὐτοῦ, ὅταν προσψαύσῃ ὕλῃ τινί, καὶ πικραίνει τὴν αἴσθησιν. b(BCE$^3$E$^4$)

*Ap. S.* *b.* ⟨θεείου καιομένοιο:⟩ τοῦ κεραυνίου πυρός. A$^{im}$

*D* θεείου: θείου. προσληπτέον δὲ ——— τῷ τόπῳ. A

*Did.* **137** *a.* ⟨φύγον:⟩ Ἀρίσταρχος φύγον, ἄλλοι δὲ „φύγεν". A$^{im}$

*Did.(?)* *b.* ⟨σιγαλόεντα:⟩ ἐν ἄλλῳ δὲ τὸ „φοινικόεντα". A$^{im}$

*ex.* | *Did.* *c.* Νέστορα δ' ἐκ χειρῶν φύγον ἡνία: παρατηρεῖ γὰρ τὰς διοσημίας ὁ Νέστωρ ἐν οἷς φησιν „ἀστράπτων ἐπιδέξια" (B 353). †πῶς† ἀντιτάξεται αὐταῖς; ἢ οὐχ ὑπὸ δέους τὰς ἡνίας εἴασεν, ἀλλ' οἱ ἵπποι καταπτήξαντες ὑπὸ τοῖς ἅρμασι βιαιότερον αὐτὰς ἐπεσπάσαντο. b(BCE$^3$E$^4$) T διὰ τοῦτό φησι Νέστορα δ' ἐκ χειρῶν φύγον ἡνία. | τὸ δὲ φύγον διὰ τοῦ ο̄. T

Ev. 106 **131** *b* τί δ' ἐστὶν (15) sq. ad E 141 **133** ἐπὶ δὲ τοῦ κεραυνοῦ (19) sq. ad K 6 (Nic.). Vide ad Γ 419 **135** h(M$^1$ P$^{11}$): πολλὰ εἴδη τῶν κεραυνῶν· ὁ ἀργός, ὁ ψολόεις, ὁ καταιβάτης, sim. V$^3$: εἴδη τῶν κεραυνῶν ἐστι ἕξ· ψολόεντες (scripsi, ψωλόεντες cod.), πυρόεντες, σκηπτοί· καὶ καταιβάται καὶ ἑλικίαι (scripsi, ἑλιβίαι cod.) μετ' αὐτούς· σὺν τούτοις καὶ ἀργῆται, originis incertae *a* cf. D *b* = Ap. S. 86, 19, cf. Et. Gen. (= EM. 449, 22, Et. Gud. 256, 54) **137** *a* ad B 397 (Did.); vide ad A 291 *a* (Ariston.); praeterea ad Π 507 *a* (Did.) *b* ad Θ 116 *b*, cf. Eust. 703, 26 *c* τὸ δὲ φύγον (34) sq. vide ad sch. *a*

**11** le. T suppl. Ma., om. b **12** διομήδους δὲ E$^4$ τὴν$^2$ T τὴν τῶν b κωμῳδεῖ om. b **13** δὴ T γε καὶ b αὐτοῖς om. b εἱρχθῆναι b ἐκινδύνευσεν T **15** ἠΰτ' T em. et suppl. Bk. **17** le. A suppl. Vill. **18** δεινῶς Bk., δεινὸς A, δεινὸν Vill. **20** (le.) κάδδε T em. Ma. (Bk.); le. om. b πεφ. καὶ τοῦτο b, fort. recte **21** γὰρ T, γὰρ μόνον b (fort. verum) οὐ γὰρ sq. T ἐπεὶ οὐδὲ αὐτὸς μισέλλην ὑπάρχει ὁ ζεύς b **22** le. add. Vill. (δεινὴ δὲ φλόξ iam Li) **23** πικρ. C πικραίνηι E$^3$E$^4$ πικραίν ///// B (ει in ras. add. *B) **25** le. add. Vill. **27** et **28** le. (= vulg.) addidi (auctore Vill.) **28** ἐν ἄλλῳ δὲ cum scholio praecedenti coni. A, distinxi **29** παρατ. γὰρ T εἰ γὰρ παρατηρεῖ b **30** διοσημείας BE$^4$ ἐπιδ. Ma., ἐπιδέξι' T ἐπιδέξι' ἐναίσιμα (αἰνέσιμα BE$^3$) b **31** fort. πῶς οὖν **32** βιαιότ. αὐτὰς T τῇ βίᾳ καὶ αὐτὰς b

138. δεῖσε δ' ὅ γ' ἐν θυμῷ: ἐν θυμῷ κατὰ κρίσιν, οὐκ ἔκπληξιν. T *ex.*

139 *a.* ἄγε δ' αὖτε φόβον δ': ὅτι πάλιν φόβον τὴν φυγήν· καὶ ὅτι Ζηνόδοτος γράφει „ἄγε νῶϊ φόβον δέ", ὅ ἐστιν ἡμεῖς ἢ ἡμᾶς, ὧν οὐδέτερον ἁρμόζει. A *Ariston.*

*b.* Τυδείδη, ἄγε δ' αὖτε φόβον δ' ἔχε: ἡ εὔκαιρος φυγὴ οὐκ αἰσχύνει. τοῦτο δὲ διὰ στρατηγικοῦ προσώπου δηλοῖ· καὶ ἑτέρωθι διὰ τοῦ 'Αγαμέμνονος „βέλτερον, ὃς φεύγων προφύγῃ κακόν" (Ξ 81)· εἰ γὰρ τὰ βέλη φεύγομεν παρασχηματίζοντες τὸ σῶμα b (BCE$^3$E$^4$) T οὐδὲν αἰσχρὸν οἰόμενοι δρᾶν, T πόσῳ μᾶλλον τὸν θάνατον φεύγειν δεῖ. b(BCE$^3$E$^4$) T *ex.*

139—40 *a.*$^1$ φόβον δ' ἔχε μώνυχας ἵππους. ⟨/ ἢ οὐ ——— ἀλκή⟩: εὐπρεπῶς οὐκ εἶπεν ὅτι ἐναντιοῦταί σοι ὁ θεός — ὑπεκλύοντος γὰρ ἦν —, ἀλλὰ μὴ ἀντιστῇς τῷ θεῷ. T *ex.*

*a.*$^2$ ἵνα μὴ τῷ θεῷ ἀντιστῇ, λέγει ὅτι οὐ βοηθῇ, φησί, παρ' αὐτοῦ. εὐπρεπῶς δὲ οὐκ εἶπεν ὅτι ἐναντιοῦταί σοι ὁ θεός· ὑπεκλύοντος γὰρ ὁ λόγος ἦν. b(BCE$^3$E$^4$)

141—2 *a.*$^1$ νῦν μὲν γὰρ τούτῳ ⟨Κρονίδης Ζεὺς⟩ κῦδος ὀπάζει / σήμερον: νῦν σήμερον, ὅτι πρὸς ὀλίγον ἔσται αὐτῷ ἡ χαρά. καὶ οὐδὲ τὸν Ἕκτορα φοβερόν, ἀλλὰ τὸν Δία φησίν. T *ex.*

*a.*$^2$ δηλοῖ διὰ τῆς ἐπαναλήψεως ὅτι πρὸς ὀλίγον ἔσται αὐτῷ ἡ χαρά· b(B, C [bis], E$^3$E$^4$) νῦν γάρ φησι καὶ τὸ σήμερον προστίθησι, ἵνα μὴ τὸ νῦν ᾖ ἀόριστον. καὶ οὐδὲ τὸν Ἕκτορα φοβερόν, ἀλλὰ τὸν Δία φησίν. b(BCE$^3$E$^4$)

142—3. ὕστερον αὖτε καὶ ἡμῖν ⟨——— / δώσει⟩: χρηστὰς αὐτῷ ὑπογράφει ἐλπίδας, ἵνα μὴ αἰδεσθῇ φυγεῖν, ὡς ἀνακαλέσασθαι τὴν ἧτταν δυνάμενος. οὐ δεῖ δὲ τὸ ἄδηλον ὁρίζειν, ἀλλὰ μόνον ἀγαθὴν προΐσχεσθαι ἐλπίδα. b(BCE$^3$E$^4$) T *ex.*

139 *a* — φυγήν (37) ad B 767 (Ariston.), cf. D, Eust. 704, 1. 12; sch. Hsd. th. 934 *b* ad Ξ 80 (ex.) παρασχηματίζοντες (43) cf. Valk I 523 139—40 ὅτι (47 et 50) — θεός cf. Ge (e T ut vid.), conexum cum scholio praecedenti (v. προφύγῃ κακόν, ad Θ 139 *b*): νῦν γὰρ ὁ Ζεὺς ἐναντιοῦται 141—2 *a*$^1$ — χαρά (54) cf. Eust. 704, 8. Vide ad H 290—1 (ex.)

---

37 le. scripsi, τυδείδη ἄγε δ' αὖτε: A ὅτι A, ἡ διπλῆ (sc. περιεστιγμένη), ὅτι Vill. 41 αἰσχύνη b καὶ T ὡς καὶ b 43 φεύγομεν T φησὶ φεύγειν πειρώμεθα b 44 sq. πόσῳ — δεῖ b πόσῳ θάνατον T, πόσῳ μᾶλλον τὸν θάνατον Ma. (fort. rectius) 46 sq. le. T supplevi (auctore Vill.) 49—51 sch. ad Θ 140 rettulit b 52 sq. le. T suppl. Ma. 55—8 sch. ad Θ 142 revocasse vid. b 55 αὐτῷ ἔσται E$^4$ 59 le. T supplevi, om. b 59—62 καὶ χρηστὰς sq. cum scholio Θ 141—2 *a*$^2$ (v. φησίν) coni. b 60 φυγεῖν b φεύγειν T 60 sq. ὡς ἂν μὴ δυν. τὴν ἧτταν ἀνακαλέσ. b 61 μόνην b 62 προσδέχεσθαι b

*ex.* **143** *a*. ⟨ἀνὴρ δέ κεν⟩ οὔ τι{ς} Διὸς νόον εἰρύσ⟨σ⟩αιτο: λείπει ἡ μετά. τὸ δὲ ὅλον· ἀνὴρ γὰρ ἂν τὸν τοῦ Διὸς νοῦν, παρ' ὃ θέλει αὐτὸς ὁ Ζεύς, οὐκ ἂν μεθελκύσαι οὐδὲ μεταθείη. b(BCE³E⁴) T

*ex.* *b*. ἀνὴρ δέ κεν οὔτι Διὸς νόον εἰρύσσαιτο: ὁ λόγος· οὐδεὶς ἀνὴρ τὸν τοῦ Διὸς νόον ἐπισπάσαιτο ἢ φυλάξαιτο ὥστε τὰ συμφέροντα αὐτῷ γενέσθαι. A

*ex.* **144** *a*.¹ οὐδὲ μάλ' ἴφθιμος: οὐδὲν γὰρ ἀνθρωπίνη ἰσχὺς πρὸς θείαν. T

*a*.² ὅτι ἡ ἀνθρωπίνη ἰσχύς, οἵα τε ἂν ᾖ, πρὸς τὴν θείαν οὐδέν ἐστιν. b(BCE³E⁴)

*ex.* **146**. ναὶ δὴ ταῦτά ⟨γε πάντα⟩, γέρον, κατὰ μοῖραν ἔειπες: θεοσεβὴς γὰρ ὁ Διομήδης, εἴ γέ φησι „σὺν γὰρ θεῷ εἰλήλουθμεν" (I 49). b(BCE³) T

*ex.* **148**. Ἕκτωρ γάρ ποτε φήσει ἐνὶ Τρώεσ⟨σ⟩' ἀγορεύων: κἀν τούτοις τὸ φιλότιμον Διομήδους ἐμφαίνεται, ὃς μὴ μόνον παρὰ τοῖς Ἕλλησιν εὐδοκιμεῖν σπουδάζει, ἀλλὰ καὶ παρὰ τοῖς πολεμίοις. b(BCE³E⁴) T ἄλλως τε καὶ νεωτερικὸν τὸ δόξης μᾶλλον ἢ τοῦ ἀσφαλοῦς ἔχεσθαι, ἀμηχανῶν τε καταισχῦναι τὰ πραχθέντα ταῦτά φησιν. T

*Ariston.* **149**. ⟨φοβεύμενος:⟩ ὅτι σαφῶς ἀντὶ τοῦ φεύγων. A^{int}

*ex.* **150** *a*.¹ ⟨ὥς ποτ' ἀπειλήσει· τότε μοι χάνοι εὐρεῖα χθών:⟩ τὸ εὐρεῖα ἀντὶ τοῦ εὐρέως. κρείσσων δέ φησι θάνατος ψόγου. b (BCE³E⁴)

*a*.² {εὐρεῖα χθών:} ἀντὶ τοῦ εὐρέως. ὅτι κρείσσων θάνατος ψόγου. T

*D* ἀπειλήσει: καυχήσεται, κομπάσει ——— ἐλεύσεσθαι (O 179—80). A

*ex.* *b*. ⟨τότε μοι χάνοι εὐρεῖα χθών:⟩ τότε ἡ γῆ χανοῦσα εὐρέως δέξαιτό με. A^{int}

**143** *a* μεθελκύσαι (65) cf. Eust. 704, 11 **146** ad I 49 (ex.) **148** φιλότιμον (77) cf. Eust. 704, 35 **149** ad E 223 *b*, cf. D σαφῶς (82) cf. Roemer, Ar. 17 **150** *b* δέξαιτό με (91) cf. D

---

**63** (le.) ἀν. δέ κεν addidi, οὔ τις et εἰρύσαιτο T em. Ma. (le. om. b) **64** τὸ δὲ ὅλον οὕτως BCE³, bis E⁴ γὰρ ἂν T δὲ b **65** μεθελκύσῃ b μεταθήσει BE³E⁴ μεταστήσῃ C **71** voluit οἷα δήποτέ ἐστιν vel sim. **73** sq. le. T suppl. Ma. (auctore Vill.), om. b, κατὰ μοῖραν ἔειπες: Bk. **76** le. T suppl. Ma. (Vill.), om. b **82** le. addidi (auctore Vill.) ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **83** le. addidi **84** τὸ] τὸ δὲ coni. cum scholio Θ 148 (v. πολεμίοις) E⁴ **86** le. delevi, fort. voluit εὐρεῖα (ἀντὶ sq.) **88** pone sch. *c* in A, trps. Bk. **90** le. add. Bk. τότε Vill., τάτε A **91** εὐρέως Bk., εὐμαρῶς A

*c*. τότε μοι χάνοι εὐρεῖα χθών: ὅτι οὐκ ἐν τῷ καθόλου εὐρεῖαν λέγει, ἀλλ' ἐμοὶ εὐρεῖα ἡ γῆ γένοιτο ἀντὶ τοῦ εὐρὺ χάσμα ποιήσει⟨εν⟩. A *Ariston.*

152 *a*. ⟨ὤ μοι Τυδέος υἱὲ δαΐφρονος:⟩ ἐπὶ τὸ δαΐφρονος στικτέον· μᾶλλον γὰρ ἐμφαίνει. A$^{im}$ *Nic.*

*b*. ὤ μοι Τυδέος υἱὲ ⟨δαΐφρονος⟩: διὰ τῆς οἰμωγῆς καὶ τοῦ μοί ἐκφαυλίζει τὸν λόγον ὡς ἀνάξιον ὄντα τοῦ λέγοντος. | εἰς τὸ δαΐφρονος δὲ στικτέον. b(BCE$^3$E$^4$) T | καὶ ἔστιν ἀντὶ τοῦ πολεμικοῦ. T *ex.* | *Nic.* | *D(?)*

153—4. εἴπερ γάρ σ' Ἕκτωρ γε κακὸν καὶ ἀνάλκιδα φήσει ⟨/—— πείσονται⟩: πρῶτον μὲν ἄδηλον, εἰ ἐρεῖ, ἄλλως τε οὐ πείσει. καθάπτεται δὲ τῶν φροντιζόντων, τί ἐροῦσιν †αὐτοῖς† οἱ ἄνθρωποι, τοῦ δὲ πράγματος ὁποῖόν ἐστιν ἀμελούντων. b(BCE$^3$E$^4$) T *ex.*

157 *a*. φύγαδε {τράπε}: ὡς „ἄλαδε" (Β 165 al.). καὶ ἤτοι τὴν φυγὴν φύγα εἶπεν ὡς τὴν σκέπην σκέπα· ἢ ὡς τὸ οἶκον δέ „οἴκαδε" (Α 19 al.), οὕτως φυγὴν δέ φύγαδε. A *Hrd.*

*b*. ⟨τράπε:⟩ οὕτως διὰ τοῦ ᾱ τράπε αἱ Ἀριστάρχου. A$^{im}$ *Did.*

*c*. ὣς ἄρα φωνήσας φύγαδ' ἔτραπε: φρονίμως οὔτε ἀντίρρησιν Διομήδους περιμένει οὔτε βιάζεται αὐτὸν φιλότιμον ὄντα φεύγειν ὁμολογεῖν, ἀλλ' αὐτὸς τρέπει τοὺς ἵππους, ἵνα μηδὲ ἐκ τούτων μειώσῃ τὸν Διομήδην ὁ ποιητής. b(BCE$^3$E$^4$) T | τὸ δὲ φύγαδε ὡς οἴκαδε. ἢ τὴν φυγὴν εἶπε κατὰ μεταπλασμόν, ὡς τὸ σκέπην σκέπα{ν}· ἢ ἀπὸ τῆς φυγῆς. | διὰ τοῦ ᾱ δὲ ἔτραπε. T *ex.* | *Hrd.* | *Did.*

159. βέλεα στονόεντα χέοντο: ἔμφασιν ἐκίνησεν ἡ μεταφορά. δηλοῖ δὲ ὅτι λίαν ἀπελείποντο· ἐπεὶ πῶς αὐτὸν βλασφημεῖ ὁ Ἕκτωρ λόγοις; b(BCE$^3$E$^4$) T *ex.*

*c* ad Δ 182 (Ariston.) 152 *b* καὶ ἔστιν ἀντὶ (4) sq. cf. D ad Β 23. 875. Δ 93 157 *a/b* Et. Gen. (AB) φύγαδε· τὸ „φύγαδε" ὡς ἄλαδε — οἴκαδε, οὕτω φυγὴν δέ (ὡς φυγὴν B) φύγαδε. „τράπε" δὲ διὰ τοῦ ᾱ (τράπε sq. om. B), fort. ex hyp. Iliad., cf. Eust. 704, 52 *a* ad Θ 257 (Hrd.); vide ad Λ 446 *a*. Π 697 *b*[1] (Hrd. καθ.); cf. Lehrs, Quaest. ep. 41 *b* vide sch. *c*; cf. Ludwich, A. H. T. 1, 285, 18: alii scripserunt (φύγαδε) τρέπε vel (φύγαδ') ἔτρεπε (cf. app. crit.) *c* — ποιητής (17) cf. Eust. 704, 39 διὰ τοῦ ᾱ δὲ ἔτραπε (19) vide sch. *b*

92 le. Frdl., ὡς ποτ' ἀπειλήσει: A ὅτι A, fort. ἡ διπλῆ, ὅτι 94 ποιήσει A suppl. Bk. 95 le. add. Vill. 2 le. T supplevi, om. b 2 sq. διὰ — καὶ τοῦ T διὰ τοῦ οἴ b 3 ἐκφαυλ. post λόγον b 3 sq. δὲ pone εἰς b 6 sq. le. T supplevi, om. b (in b sch. relatum est ad v. 154) 7 οὐ E$^3$T ὅτι οὐ BCE$^4$ 8 αὐτοὺς Ma. 9 τοῦ δὲ — ἐστιν b ὁποῖόν τί ἐστιν T 10 (le.) τράπε del. Bk. 11 εἶπεν om. Et. Gen. (B) τὸ] τὸν Et. Gen. (A) 13 le. add. Vill. τράπε$^2$ sc. alii τρέπε vel ἔτρεπε (ἔτραπε vulg.) 14 sq. ἀντίρησιν T 15 ἀναμένει b 16 μηδὲ ἐκ b μηδὲν T 17 τὸν διομ. T διομήδεα b 18 σκέπαν T em. Ma. 20 le. T, χέοντο BE$^3$ λέοντος C, om. E$^4$

*Hrd.* **161.** {τυδείδη} περὶ μέν σε τίον: ἡ σέ ἐγκλιτική ἐστιν· ἀπολέλυται γὰρ νῦν. καὶ τὸ τίον δὲ ποιητικώτερον ἀπέβαλε τὸν κατ' ἀρχὴν χρόνον· διὸ ἐπὶ τὴν $\overline{\text{τι}}$ ἡ ὀξεῖα ἵσταται. περὶ δὲ τῶν τοιούτων ῥημάτων ἔφαμεν (sc. ad B 808) ὅτι ἴση ἐστὶν ἡ χρῆσις παρὰ τῷ ποιητῇ. **A**

*Hrd.* **163** *a.* ἀντ': κακῶς ὅσοι ἀναστρέφουσιν· ἡ γὰρ ἀντί ἀναστρέφεται ⟨οὔ⟩ποτε. εἰ δὲ τὸ ἄντα ἐπίρρημα ἐκδέχονται, ἐναντίον τῇ διανοίᾳ παραλήψονται. **A**

*Did.* *b.* ⟨ἀντ' ἐτέτυξο:⟩ Ἀρίσταρχος „ἀντὶ {τοῦ} τέτυξο". **A**^im

*Did.* | *ex.* | *Hrd.* *c.*¹ γυναικὸς ἄρ' ἀντ' ἐτέτυξο: διὰ τοῦ $\overline{\text{ι}}$ εἶχον αἱ ἐκδόσεις „ἀντί". | ὁ δὲ λόγος 'γυναικὸς ἄρα ἴσος ἦσθα', ὡς „ἀντί τοί εἰμ' ἱκέταο" (Φ 75). 'οὐ διαφέρει γυναικός' τὸ δημῶδες. | ὁ δὲ Ἡρωδιανὸς (cf. 2, 60, 19) διὰ τοῦ $\overline{\text{ε}}$ ἀντ' ἐτέτυξο. **T**

*Did.* | *Hrd.* | *ex.* *c.*² διὰ τοῦ $\overline{\text{ι}}$ εἶχον αἱ ἐκδόσεις. | ὁ δὲ Ἡρωδιανὸς διὰ τοῦ $\overline{\text{ε}}$ ἐξέθετο. | ἔστι δὲ τὸ ὅλον οὕτως 'γυναικὸς ἄρα ἴσος ἦσθα'. **b**(BCE³)

*Ariston.* **164—6** *a.* ἔρ⟨ρ⟩ε κακὴ γλήνη ⟨——— δαίμονα δώσω⟩: ἀθετοῦνται στίχοι τρεῖς ὅτι εὐτελεῖς εἰσι τῇ κατασκευῇ καὶ τὸ πάρος τοι δαίμονα δώσω (166) τελείως ἐστὶν οὐ κατὰ τὸν ποιητήν. ἀνάρμοστα δὲ καὶ τὰ λεγόμενα τοῖς προσώποις. **A**

*Did.* *b.*¹ ⟨ἔρρε ——— δώσω:⟩ τούτους καὶ Ἀριστοφάνης ἠθέτηκεν. **A**^im

*b.*² Ἀριστοφάνης δὲ ἀθετεῖ **T**

*ex.* **164** *a.* κακὴ γλήνη: τινὲς ὅτι μικρόφθαλμος ἦν ὁ Διομήδης. **T**

*ex.* *b.* ⟨κακὴ γλήνη:⟩ ὅτι μικρόφθαλμος, ὥς φασί τινες, ὁ Διομήδης ἦν ἢ ὑπόρραιβος, ὃ καὶ ὀνειδίζεται. **b**(BCE³E⁴)

**161** incertum an sch. Herodiani de accentu vocis περί exstiterit, vide ad A 258 *a*; Δ 257   ἡ σέ (23) sq. ad B 808. Δ 27 (Hrd.)   ἀπολέλυται (23) ad B 28 (Hrd.), al.   **163** diple ante versum in A, fort. erat sch. Aristonici de v. ἀντί; vide ad I 116; cf. Wismeyer 21   *b/c* cf. EM. 388, 12: γράφεται καὶ „ἀντιτέτυξο", fort. e Ven. A; Beiträge 165, 4. Vide Antim. fr. 44, 2 W.   *c*¹ ὁ δὲ λόγος (33) — δημῶδες (34) cf. D, Eust. 705, 7; vide ad Φ 75 (Ariston.)   **164—6** *a* ἀνάρμοστα (40) sq. at cf. Dachs 37, 2   *b* vide ad Θ 164 *a*   **164** *a/b* μικρόφθαλμος aliter Melet. 69, 2

---

23 (le.) τυδ. eiecit Lehrs   28 le. Bk., γυναικὸς ἄρ· A   29 ποτε A suppl. Lehrs   31 le. (= A^cont, vulg.) add. Vill.   τοῦ del. Ldw. (ἀντετέτυξο Vill., Bk., Ddf.)   38 le. A suppl. Frdl. (ἔρρε iam Vill.)   42 le. addidi, ἄλλως Vill.   44 ἀριστοφ. δὲ ἀθετεῖ post sch. Θ 164 *a* (coni. cum v. διομήδης) T, distinxi et transposui   46 le. addidi (auctore Vill.), ἔρρε κακὴ γλήνη add. Li   τινές φασι E⁴   47 ἢ ὑπόρραιβος sq. cf. Valk I 156

*c.*$^1$ οὐκ εἴξαντος ἐμεῖο: ἀλλὰ μείναντος, ὅπερ σὺ ποιεῖς. ἀναφέρει δὲ εἰς τὰ ἀπαγγελθέντα ὑπὸ Ἰδαίου Τρώεσσιν (cf. Η 400—17). **T** *ex.*

*c.*$^2$ τὸ δὲ οὐκ εἴξαντος οὐχ ὑποχωρήσαντος, ἀλλὰ μείναντος, **b**(BCE$^3$E$^4$) ὅπερ σύ, φησί, ποιεῖς. ἀναφέρει δὲ τὸν λόγον ἐπὶ τὰ ὑπὸ Ἰδαίου ἀπαγγελθέντα Τρωσίν. **b**(BE$^3$E$^4$)

166 *a.* ⟨δαίμονα δώσω:⟩ ἐν τῇ Ζηνοδότου „πότμον ἐφήσω". **A**$^{int}$**T**$^{il}$ *Did.*

*b.*$^1$ ⟨ἄξεις ἐν νήεσσι· πάρος τοι δαίμονα δώσω:⟩ λόγον κακὸν καὶ ἀγγελίαν· δώσω γάρ σοι, φησίν, ὑπόμνησιν, ὅταν ἐν ταῖς ναυσὶ κρατήσω σου. ἢ μᾶλλον τὴν δαίμονα ἤτοι τὴν τοῦ θανάτου ψῆφον. **b**(BCE$^3$E$^4$) *ex.*

*b.*$^2$ δαίμονα λόγον κακόν. **T**$^{il}$

167. Τυδείδης δὲ διάνδιχα μερμήριξεν: πῶς δύο εἰπὼν τὸν Διομήδην μεριμνῆσαι ἓν ἐπάγει; φαμὲν δὲ ὡς δύο βουλὰς ἐμερίμνησεν εἰς ἓν νευούσας „ἵππους τε στρέψαι καὶ ἐναντίβιον μαχέσασθαι" (Θ 168)· ἢ ὡς ὡμολογημένον ἀφίησι τὸ ἓν **b**(BCE$^3$E$^4$) **T** †καὶ† ὡς αἰσχρὸν ἐσιώπησεν. **T** *ex.*

168. ἵππους τε στρέψαι ⟨καὶ ἐναντίβιον μαχέσασθαι⟩: ὅτι ὑποτάσσουσιν „ἢ μήτε στρέψαι μήτ' ἀντίβιον μαχέσασθαι". οὐκ ἔστιν δέ· τὸ γὰρ „διάνδιχα" (Θ 167) οὐκ ἔστι δύο ἐμερίμνησεν ἐναντία, ἀλλ' ἐπὶ τὸ αὐτὸ φερόμενα, στρέψαι τοὺς ἵππους καὶ μάχεσθαι. **A** *Ariston.*

*c*$^2$ ὑποχωρήσαντος (51) = D   **166** obelus ante versum in A (ut ante Θ 164 et 165), non diple periestigm.   *a* πότμον ἐφήσω (54) cf. Duentzer, Zen. 123   *b*$^1$ cf. Roemer 65   ἢ μᾶλλον (58) cf. Eust. 705, 19   **167** cf. Eust. 705, 51   **168** ad Α 189 (Ariston.)   ὑποτάσσουσιν (67) — μαχέσασθαι versum a Zenodoto adiectum esse

---

**48** ἀλλὰ μείναντος olim post ποιεῖς fuisse cognovit Nickau   **49** τρώεσσιν T, τρωσίν Ma., cf. sch. *c*$^2$   **51—3** τὸ δὲ οὐκ sq. conexum cum scholio *b* (v. ὀνειδίζεται) in **b**   **51** sq. cf. sch. *c*$^1$   **54** le. add. Bk.   sch. *a* post sch. *b*$^2$ (coni. cum v. κακόν) T$^{il}$, distinxi et transposui   ἐν τῇ Ddf., εν ss. τ A, ἡ δὲ T   **56** le. add. Vill. (δαίμονα solum add. Li)   **58** τὴν (ante δαίμ.) om. E$^4$   ἤτοι τὴν] ἢ E$^4$   **62** ἓν ἐπάγει sc. in versu Θ 168   **63** μαχέσ.] πολεμῆσαι BCE$^3$   **64** ὁμολογημένον T   ἀφ.] exspectes ἀφῆκε   ἓν T ἕν· ἤτοι τὸ ἢ στραφῆναι ἢ μὴ στραφῆναι, ὃ κατέλιπεν **b** (edd.)   καὶ T, ἢ Wil. (recte ut vid.)   **66** le. A suppl. Vill.   **67** ὅτι A, ἡ διπλῆ, ὅτι Vill.   ὑποτάσσ. sc. τόνδε τὸν στίχον   **69** φερ. Bk., φερόμεθα A

*ex.* **169.** τρὶς μὲν μερμήριξε κατὰ φρένα καὶ κατὰ θυμόν: φρένα μὲν τὸ λογιστικόν, θυμὸν δὲ τὸ θυμοειδές. ἐπεμερίζετο οὖν, φησίν, ὑπό τε τοῦ νοῦ κωλυόμενος καὶ τοὐναντίον ὑπὸ τοῦ θυμοῦ διεγειρόμενος πρὸς τὴν πρᾶξιν. b(BCE³E⁴) T

*Did.* **170.** ⟨ἀπ' Ἰδαίων:⟩ γράφεται καὶ „ἐπ' Ἰδαίων". A^int

*Nic.* **171** *a.* σῆμα τιθεὶς Τρώεσσι, ⟨μάχης ἑτεραλκέα νίκην⟩: βραχὺ διασταλτέον ἐπὶ τὸ Τρώεσσιν· αὐτὸ γὰρ τὸ σημεῖον, πρὸς τὸ σημαινόμενον ὑπαντήσας, εἴρηκε νίκην. ἐὰν δὲ συνάπτωμεν, γίνεται σολοικοφανές. A

*ex.* | *Nic.* *b.* ⟨σῆμα τιθεὶς Τρώεσσι:⟩ ἀντὶ τοῦ σημαίνων. | καὶ εἰς τὸ Τρώεσσι στιγμήν. b(BCE³E⁴) T^il

*ex.* *c.* σῆμα τιθείς: ὧδε στικτέον. T τί δὲ ἦν τὸ σῆμα; Τρώεσ⟨σ⟩ι μάχης ἑτεραλκέα νίκην. b(BCE³E⁴) T

*ex.* **175.** γινώσκω δ' ὅτι μοι πρόφρων ⟨κατένευσε Κρονίων⟩: στρατηγικῶς μὲν τὴν εὐημερίαν αὐτοῖς δηλοῖ, οἰκειοῦται δὲ αὐτὴν ὑπερόπτως. b(BCE³E⁴) T ὁμοίως καὶ τὸ „κτείνω δὲ καὶ αὐτούς" (Θ 182). ὁ δὲ Ἕλλην „ἀλλ' ἄνδρας κτείνωμεν" (Ζ 70) φησίν. T

*Hrd.* **177.** {νήπιοι} οἳ {ἄρα δὴ τάδε}: Ἀρίσταρχος τὸ οἳ ἄρθρον φησίν, ὁ Σιδώνιος δὲ οἷα τὸ πλῆρες, οὐχ ὑγιῶς. T

*Hrd.* **178** *a.* ἀβλήχρ': Ἡρακλείδης ὁ Μιλήσιος (fr. 7 C.) βαρύνει ὡς ἄσιτα. λόγῳ δὲ χρῆται τούτῳ ὡς βληχρόν ἐστι τὸ ἰσχυρόν, ὅπερ κατὰ στέρησιν ὀφείλει λέγεσθαι ἄβληχρος ὡς ἄκακος· σημαίνει γὰρ τὸ ἀσθενές. ἡ μέντοι παράδοσις ὀξύνει τὸ ἀβληχρά καὶ „ἀβληχρήν" (Ε 337), πεισθεῖσα πρῶτον τῷ παρασχηματισμῷ ὡς ἁπλῷ· οὕτως γὰρ

suspicatur Duentzer (Zen. 159, 4) **171** aliter ac Nicanor et auctor scholii *c* verba coniunxit Eust. 705, 56: ἐν δὲ τῷ „σῆμα τιθεὶς μάχης ἑτεραλκέα νίκην" τὸ „μάχης" δύναται καὶ εἰς τὸ „σῆμα" κεῖσθαι καὶ εἰς τὴν „νίκην"· ὀρθὸν γὰρ καὶ μάχης εἰπεῖν σῆμα καὶ μάχης ἑτεραλκέα νίκην, vix e scholiis **175** ὁ δὲ Ἕλλην (86) sq. ad Ζ 70 (ex.) **178** *a* partim plura Eust. 705, 60: ἐν δὲ τοῖς Ἡροδώρου καὶ Ἀπίωνος φέρεται ὅτι Ἡρακλείδης μὲν ὁ Μιλήσιος βαρύνει τὴν λέξιν λέγων ὡς βληχρόν ἐστι τὸ ἰσχυρὸν καὶ ἐν συνθέσει ἄβληχρον ὡς ἄκακον. ἡ δὲ παράδοσις

---

**70** le. Vill., κατὰ φρένα δὲ καὶ κατὰ θυμόν pone sch. Θ 167 (coni. cum v. ἐσιώπησεν) in T, om. b **71** λογ. b λογικόν T θυμὸς T **73** πρὸς τ. πρᾶξιν om. T, fort. recte **74** le. add. Bk. **75** le. A suppl. Vill. **79** le. addidi (auctore Vill.), σῆμα τιθείς add. Li$V^c$ καὶ εἰς T εἰς δὲ b **79** sq. εἰς — στιγμ. pone sch. *c* (coni. cum v. νίκην) E⁴ **80** στιγμή b, fort. rectius **81** sq. τί δὲ sq. pone sch. *b* (coni. cum v. στιγμή) in b **82** τρώεσι T suppl. Ma., om. b νίκη T **83** le. T supplevi (auctore Vill.), om. b **84** μὲν om. b **85** ὑπερόπτ. T ὑπερηφάνως καὶ οὐ μετριοφρονεῖ b **87** (le.) νήπ. et ἄρα δὴ τ. eiecit Bk. **89** le. ἀβληχρά: A corr. Bk. (Vill.) μιλ. Eust. μειλήσιος A **90** ἄσητα A em. Bk. (ad v. cf. δ 788)

παρεσχηματίσθη· ὡς πενιχρά, ψυχρά (λέγω δὲ θηλυκῶς), οὕτως ἀβληχρά, οὐ κοινωνοῦντός ποτε τοῦ γένους (λέγω δὲ ὁ ἄβληχρος καὶ ἡ ἄβληχρος). ἄλλως τε ἤδη αὐτὸ τὸ βληχρός σημαίνει ὡς ἐπὶ τὸ πλεῖστον μᾶλλον τὸ ἀσθενές. Ἀλκαῖος θ' (fr. 319 L.-P.)· „βληχρῶν ἀνέμων ἀχείμαντοι πνοαί“· καὶ ὁ Νίκανδρος· „βληχρὸν γὰρ μυὸς οἷα μυληβόρου ἐν χροῒ νύγμα“ (ther. 446). †τούτωι δὴ πλεονάσαν τὸ† ᾱ φυλάξει τὸν αὐτὸν τόνον ⟨***⟩ ἀεί· οἶδα γὰρ τὸ ἄβορος, †ἄγαυρος†, ἄσταχυς. A

*b.* ⟨ἀβλήχρ':⟩ δύναται καὶ ἐν ἐπιτάσει εἶναι τὸ ᾱ. T[il] *ex.*

οὐδενόσωρα: οὐδεμιᾶς φροντίδος ——— φροντίς. A *D*

*c.* οὐδενόσωρα: ὡς κυνόσουρα ὑφ' ἓν κατὰ σύνθεσιν, εἰ καὶ σπάνιος ἡ τοιαύτη σύνθεσις ἐξ ἀποφάσεως καὶ συνδέσμου καὶ τῆς ἑνὸς γενικῆς ἐντελοῦς· οὐδέποτε γὰρ οὕτως αὕτη ἡ γενικὴ συντίθεται. ἀλλ' οἵ γε ποιηταὶ τολμῶσι ξένας συνθέσεις. A *Hrd.*

ὀξύνει· βληχρὸν γὰρ τὸ ἀσθενές, ὡς Ἀλκαῖος· „βληχρῶν — πνοαί“, καὶ Νίκανδρος· „βληχρὸν μυὸς — νύγμα“. ἐν τούτῳ πλεονάσαν τὸ ᾱ φυλάσσει τὸν αὐτὸν τόνον, ὡς καὶ ἐν τῷ λαλητός ἀλαλητός, στεροπή ἀστεροπή. οὐκ ἐκεῖνο μέντοι διηνεκές, φασί, λέγομεν ὅτι ὁ πλεονασμὸς τοῦ ᾱ φυλάσσει τὸν αὐτὸν τόνον ἀεί· οἴδαμεν γὰρ τὸ γαῦρος ἄγαυρος, στάχυς ἄσταχυς, cf. Ep. Hom. (An. Ox. 1, 95, 8, fort. ex Herodiano): βληχρόν· Πίνδαρος μὲν βληχρὸν τὸ ἰσχυρόν, „πρόφασιν βληχροῦ γίνεται νείκεος“ (fr. 245 Sn.)· διὰ τοῦτο †λαμβάνων τὸ ᾱ, στερητικὸν αὐτὸ ἡγεῖται καὶ βαρύνει, ἄβληχρος (αὔληχρος cod.)· ἔνθεν Ἡρακλείδης ὁ Μιλήσιος κατὰ βαρεῖαν τάσιν τὸ θηλυκὸν ἀνέγνω „ἀβλήχρην“ (scripsi, ἀμβλήχρην cod.; E 337)· ἡγεῖται γὰρ στέρησιν, οὐ πλεονασμόν. λέγομεν δὲ ὅτι βληχρὸν σημαίνει τὸ ἀσθενές, οἷον „βληχρῶν ἀνέμων ἀχείμαντοι πνοαί“. τὸ δὲ ἀβληχρόν (αὔληχρόν cod.) κατὰ πλεονασμόν, Lex. rhet. in Et. Gen. (AB) βληχρόν, vide Or. 7, 3 (= Hrd. παθ. 2, 166, 4), unde Et. Gen. (Sym., desunt AB) ἀβληχρόν, Et. Gud. 2, 17 Stef. κατὰ στέρησιν (90) cf. sch. Ap. Rh. 2, 205 ἀσθενὲς (91) cf. sch. Opp. Hal. 1, 100 Vári κοινωνοῦντος (95) — γένους cf. Ap. Dysc. synt. 75, 13 *b* cf. D, D ad E 337, sch. λ 135, Ap. S. 2, 22; Cyr. (An. Par. 4, 178, 33): ἀβληχρά· ἀσθενῆ, ἀπαλά, aliter ad E 337 (T) *c* Et. Gen. (AB): οὐδενόσωρα· ὡς κυνόσ. — ἑνὸς γενικῆς. ταῦτα δὲ ποιητῶν τολμήματα αἱ ξέναι συνθέσεις, fort.

---

**94** πενιχρά cf. γ 348; ψυχρά cf. O 171 al. **2** βλήχρων Alc. **3** πνοαί Eust. (cf. Ep.Hom.), πνοιαί A, πνόαι Alc. **4** ἐν τούτῳ πλ. τὸ Eust., τοῦτο δὴ πλ. τῷ Bk., recte ut vid. **5** φυλάσσει Eust.; tum lac. stat. Lehrs verbis hisce supplendam λαλητός (fort. rectius ὡς τὸ λαλητός) ἀλαλητός, στεροπή ἀστεροπή· οὐκ ἐκεῖνο μέντοι διηνεκὲς λέγομεν ὅτι πλεονασμὸς τοῦ ᾱ φυλάσσει τὸν αὐτὸν τόνον, cf. Eust. (test.) ἄβορος susp., om. Eust.; ἄδορος Lob. (Pathol. elem. I 31), Lentz, Hiller **5 sq.** ἄγαυρος A Eust., ἀγαυρός Bk. (recte) **7** le. addidi

*Hrd.* | *ex.* | *ex.* *d.* οὐδενόσωρα: ὑφ' ἓν τὸ οὐδενόσωρα, εἰ καὶ σπάνιος ἡ τοιαύτη σύνθεσις· λέγω δὲ ἐξ ἀποφάσεως καὶ συνδέσμου καὶ τῆς ἑνὸς γενικῆς τελείας. b(BC$E^3E^4$) T | τινὲς δὲ οὐδενὸς φυλακτικά. | πιθανῶς δὲ καὶ τοῦ ὑπογύου ἔργου μνημονεύει ἐξευτελίζων τὴν πρᾶξιν. b(B$E^3E^4$) T

*ex.* **180.** ⟨ἀλλ' ὅτε κεν ——— γένωμαι:⟩ ἀλαζονεύεται, ὡς οὐ πρὸ μικροῦ σηκασθεὶς „ἠΰτε ἄρνες" (Θ 131). b(BC$E^3E^4$) T

*ex.* **182.** ὡς πυρὶ νῆας ἐνιπρήσω: ἀλαζονείαν βαρβαρικὴν ἔχει τὸ πρὸ τῆς †χρείας† διορίζεσθαι. ἅμα δὲ καὶ στρατηγικὸν τὸ προνοεῖσθαι. b(BC$E^3E^4$) T

*Ariston.* | *Nic.* **185** *a.* Ξάνθε τε καὶ σὺ Πόδαργε καὶ Αἴθων Λάμπε τε δῖε: ⟨ἀθετεῖται,⟩ ὅτι οὐδαμοῦ Ὅμηρος τεθρίππου χρῆσιν παρεισάγει. μάχεται δὲ καὶ τὰ ἐπαγόμενα δυϊκά, καὶ ἡ προσφώνησις εὐήθης. | βραχὺ δὲ διασταλτέον καθ' ἕκαστον ὄνομα. κἂν συνάπτηται δέ, τὸ

ex hyp. Iliad.; — κυνόσουρα (9) cf. Eust. 706, 1 *d* τινὲς δὲ οὐδενὸς φυλακτικά (15) cf. Apion. fr. 90 B. ap. He. o 1564: Ἀπίων δὲ οὐδενὸς φυλακτικά **183** incertum an sch. Didymi exstiterit de hoc versu, qui hodie in codicibus plerisque deest **185** obelus ante versum in A Eust. 706, 43: τῶν δὲ παλαιῶν οἱ μὲν τὰς τέσσαρας τῶν ἵππων κλητικὰς μίσγοντες εἰς δύο συναλείφουσι συζυγίας καὶ ξυνωρίδα{ς} (delevi) ποιοῦσιν ἵππων, δύο νοοῦντες ὀνόματα ἐπίθετα, κείμενα δυσὶ ὀνόμασιν ἵππων κυρίοις, οἷον λόγου χάριν Ξάνθε τε καὶ σὺ Λάμπε, πόδαργε καὶ αἴθων, τουτέστι ταχύτατε καὶ πυρρέ (cf. D; de textu Eustathii Friedl., Nic. p. 39, 10). χρῶνται δὲ πρὸς ἀπόδειξιν καὶ τῷ „ἀποτίνετον" (Θ 186) δυϊκῷ ῥήματι καὶ τῷ „ἐφομαρτεῖτον καὶ σπεύδετον" (Θ 190)· ὡς ἐπὶ συνωρίδος γάρ, φασί, κεῖνται τὰ τοιαῦτα δυϊκά. λέγουσι δὲ καὶ οὐδὲ τεθρίππου χρῆσιν εἶναί ποτε τοῖς ἥρωσιν, ἀλλὰ ξυνωρίσι χρᾶσθαι πάντας (cf. sch. *a*), καί που καὶ παρηόρῳ ἑνί, ὡς ἐφάνη ἐπὶ Νέστορος. ἔτι δέ φασιν ὡς, εἴπερ ἦν τέθριππον, καὶ δύο ἂν εἶχε ῥυμούς, ὡς Αἰσχύλος (fr. 324 N.² = fr. 645 M.) φησίν· 'ἐν διρρυμίᾳ πῶλοι' *a* — εὐήθης (25) ad Τ 400. Ψ 295 (Ariston.); cf. Lehrs Ar.³ 193; Valk II 426; vide ad E 195 *b* (Ariston.) μάχεται (25) — δυϊκά ad Θ 186. 191 (Ariston.); vide ad Θ 109 *a* τὸ ψυχρὸν ἐκεῖνο (26) sq. cf. Eust. 706, 56: οἱ δ' αὐτοί φασι (sc. οἱ παλαιοί, quos 706, 43 commemoraverat; vix recte Valk I 14) ὡς ψυχρόν ἐστι νοεῖν ἐπίθετα μὲν τὰ δύο, τὰ δὲ λοιπὰ κύρια· ἐπεὶ κατὰ Ἡρόδωρον καὶ Ἀπίωνα οἱ σύνδεσμοι παρακείμενοι χωρίζουσιν αὐτὰ ἀπ' ἀλλήλων· κύρια γὰρ πρὸς ἐπίθετα οὐδέποτε συνδεῖται, vide D et Eust. 706, 43 (supra laud.); vid. erravisse Prob.

---

13—6 pone sch. Θ 180 in b 14 δὲ] δὲ καὶ B$E^4$ 15 sq. πιθανὸν b 16 τοῦ] τὸ $E^3E^4$ μνημον. sq. T μεμνῆσθαι τῶν ἀχαιῶν τὴν πρᾶξιν ἐξετευλίζοντα b, fort. μνημονεύει ἐξευτελίζων τῶν ἀχαιῶν τὴν πρᾶξιν 18 le. addidi οὐ] ὁ C πρὸ om. T 19 ἀρνός BC$E^4$ ἀρνειός $E^3$ 20 βαρβ. om. b 21 χρ. διορ. T νίκης τὴν τοῦ πυρὸς διορίζεσθαι χρείαν b, νίκης τὴν χρείαν διορ. Ma., νίκης διορ. χρείαν Vill. 21 sq. τὸ προν. στρατηγικόν ἐστιν b 23 (le.) δῖε Vill., δῖον A 24 ἀθετ. add. Frdl. 25 δυϊκά sc. Θ 186 et 191

ψυχρὸν ἐκεῖνο οὐ δύναται νοεῖσθαι ὅτι δύο μέν ἐστιν ἐπίθετα, δύο δὲ κύρια· ἐπεὶ οἱ σύνδεσμοι παρακείμενοι χωρίζουσιν αὐτὰ ἀπ' ἀλλήλων, τὰ δὲ κύρια πρὸς τὰ ἐπίθετα οὐδέποτε συνδεῖται. **A**

*b*. Ξάνθε τε καὶ σὺ Πόδαργε ⟨καὶ Αἴθων Λάμπε τε δῖε⟩: ἀθετεῖται ὁ στίχος πρῶτόν γε διὰ τὸ σύ, εἶτα διὰ τὰ ὀνόματα· Λάμπος γὰρ τῆς Ἠοῦς ἐστιν ἵππος (cf. ψ 246), Ξάνθος δὲ Ἀχιλλέως (cf. Τ 400), Πόδαργος Μενελάου (cf. Ψ 295), Αἴθη Ἀγαμέμνονος (cf. ib.), ἣν Αἴθωνα νῦν εἶπε μεταθεὶς τὸ γένος. οὐδαμοῦ δὲ τεθρίππῳ κέχρηνται ἥρωες, εἰ μὴ ἐν Ὀδυσσείᾳ ἐπὶ παραβολῆς· „ἡ δ', ὥς τ' ἐν πεδίῳ †τετράωροι† ἄρσενες ἵπποι" (ν 81)· τὸ γὰρ „†τέσσαρας ἀθλοφόρους ἵππους†" (Λ 699) ὑπώπτευται ὡς νόθον, ἢ δύο ἅρματα δηλοῦν βούλεται· „τὸ⟨ν⟩ δ' ἐλατῆρ' ἀφίει ἀκαχημένον" (Λ 702), τὸν ἑκατέρας συνωρίδος. — εἴποι δ' ἄν τις πρὸς τοῦτο ὅτι εἰκός, τῶν ἄλλων τεθρίπποις μὴ χρωμένων, τὸν Ἕκτορα θαρσῆσαι τέσσαρας ἵππους ὑποζεῦξαι πρὸς κατάπληξιν τῶν πολεμίων **b**(BCE³E⁴) **T** διὰ τὸ ἀπόγονον αὐτὸν εἶναι Τρωός, ᾧ Ζεὺς ὑπὲρ Γανυμήδους ἔδωκεν ἵππους, ὅθεν φιλότιμός ἐστι περὶ ἱππικήν· οἶδε γὰρ ἵππος ἀγαθὸς πρὸς ἱππικὴν ἐγείρειν ὡς καὶ πρὸς πόλεμον διάφορα ὅπλα καὶ θηρευτικὴ κύων ἐπὶ κυνηγέσιον ἐξοιστρᾶν τὸν κτώμενον. διὰ τοῦτο τὸν Ἕκτορα „θρασὺν ἡνίοχόν" φησιν Ὅμηρος (sc. Θ 89), καὶ οὐ μόνον τοῦτον θρασύν, ἀλλὰ καὶ τὸν ἡνιοχοῦντα αὐτῷ „Ἰφιτίδην Ἀρχεπτόλεμον θρασύν" (Θ 128, cf. 312)· οὐ τοῦ τυχόντος γὰρ ἦν τέτρωρον ἡνιοχεῖν. — ἀλλ' εἰ τέτρωρον ἦν, φασί, πῶς δυϊκὸν ἐπήγαγε „τὴν κομιδὴν ἀποτίνετον" (Θ 186) καὶ „ἀλλ' ἐφομαρτεῖτον καὶ σπεύδε- *ex.*

Verg. G. 3, 89—91 (App. Serv. 380, 7) ἐπίθετα (27)] de πόδαργε vide ad Π 150 *b* Pio grammatico sch. dubitanter attr. Hiller, Philol. 28, 1869, 99 ἀθετεῖται (31) cf. Eust. 706, 64 Λάμπος γὰρ (32) — τὸ γένος (34) cf. Eust. 706, 62 οὐδαμοῦ δὲ (34) — ἄρσενες ἵπποι (36) cf. Eust. 707, 1 τὸ γὰρ τέσσαρας (36) — συνωρίδος (39) ad Λ 699 (Ariston.) τὸν Ἕκτορα θαρσῆσαι (40) sq. cf. Anon. fig. 155, 21 τὸν Ἕκτορα θαρσῆσαι (40) — φησιν Ὅμηρος (46) cf.

---

27 δύο . . . ἐπίθετα sc. πόδαργε καὶ αἴθων, cf. test. **30** le. T supplevi (auctore Vill.), om. **b** **31** διά[1] T καὶ διὰ **b** τὸ **b** τοῦ T εἶτα] εἶτα καὶ C **32** δὲ om. **b** **34** αἴθονα BE⁴T μετατιθεὶς **b** δὲ] γὰρ E⁴, om. T **36** τετράοροι Hom. ἵππων C **36** sq. τέσσαρες ἀθλοφόροι ἵπποι Hom. **38** τὸν δὲ ἐλ. ἀφ. ἀκ. τὸν om. **b** τὸ T suppl. Bk. δ' ἐλατῆρ' (= Hom.) Ma., δὲ ἐλατῆρα T **39** ἑκατ. T ἐξ ἑκατέρας **b** **41** sq. διὰ τὸ — εἶναι T ἀπόγονος γάρ ἐστι **b** **43** ὅθεν T καὶ **b** οἶδε] εἴωθε Ma. **44** sq. θηρευτικὴν **b** **45** ἐπὶ T καλῶς (καλὸς E³) ἰχνηλατῶν ἐπὶ τὸ **b** ἐξοιστρᾶν τὸν κτώμενον om. **b** διὰ τοῦτο τὸν T, διὸ καὶ τὸν **b** (fort. rectius) **47** sq. ἰφιτ. et θρασύν om. **b** **48** ἦν T ἦν τὸ **b** **49** ἀλλ' εἰ — φασί T φασὶ δὲ εἰ τέτρωρον ἦν **b** δυϊκ. ἐπήγ. T ὡς πρὸς δυϊκὸν ἀποτείνεται καί φησι νῦν μοι **b** **50** ἀλλ' om. **b**

τον“ (Θ 191); ῥητέον δὲ καὶ πρὸς τοῦτο ὅτι πρὸς τὰ συστήματα (δύο γὰρ ζύγιοι καὶ δύο παρήοροι ἦσαν), ὡς τὸ „τόφρα μάλ᾽ ἀμφοτέρων βέλε᾽ ἥπτετο“ (Θ 67)· πρὸς ἑκατέραν γὰρ στρατιάν, καὶ τὸ „ὡς ἀψῖσι λίνου ἁλόντε“ (Ε 487), τὸν Ἕκτορα καὶ τοὺς Τρῶας· φησὶ γὰρ „τύνη δ᾽ ἕστηκας, ἀτὰρ οὐδ᾽ ἄλλοισι κελεύεις ⟨/ ——— /⟩ μή πως ὡς ἀψῖσι λίνου ἁλόντε“ (Ε 485. 487). b(BE$^3$E$^4$) T καὶ τὸ „αἴ κ᾽ ἀποκηδήσαντε φερώμεθα χεῖρον ἄεθλον“ (Ψ 413) τὸ δυϊκὸν ἔχει πρὸς τὸν ἡνίοχον καὶ τοὺς ἵππους. T τρισὶ δὲ ἵπποις ἐχρῶντο οἱ ἥρωες, ἵνα τρωθέντος ἑνὸς τῶν ζυγίων εἰς τὴν τούτου χώραν ὁ παρήορος ἄγηται. οἱ δὲ Ὁμηρικοὶ θεοὶ συνωρίσι χρῶνται, ἐπεὶ τιτρωσκόμενοι οὐχ ὁρῶνται. ὁ δὲ Ἕκτωρ ἐτόλμησε προσθεῖναι τὸν τέταρτον ἅμα μὲν διὰ τὰ προειρημένα, ἅμα δὲ καὶ τοῖν δυοῖν ἵπποιν τρῶσιν ὑφορώμενος. b(BE$^3$E$^4$) T

*ex.(Nic.)* *c.* Ξάνθε τε ⟨καὶ σὺ Πόδαργε καὶ Αἴθων Λάμπε τε δῖε⟩: καθ᾽ ἑκάστην κλητικὴν βραχεῖα διαστολή. οὐκ ἐῶσι δὲ οἱ σύνδεσμοι, ὥς τινες, εἶναι δύο ἐπίθετα καὶ δύο κύρια. b(BE$^3$E$^4$) T

*Ariston.* **186.** ⟨ἀποτίνετον:⟩ ὅτι ἐπὶ δυεῖν ἡ φράσις, ἀλλ᾽ οὐκ ἐπὶ τεσσάρων. A$^{int}$

*ex.* **186—8.** ἦν μάλα πολλήν / Ἀνδρομάχη ⟨——— πυρὸν ἔθηκεν⟩: οἰκονομικὸν καὶ εἰς σωτηρίαν τοῦ ἀνδρὸς τεῖνον, εἴ γε καὶ τὰ

Eust. 706, 51 πρὸς τὰ συστήματα (51) cf. Eust. 706, 58; sch. Ar. pac. 7 (aliter Tz. Ar. nub. 148 a [p. 420, 3 H.]) τρισὶ δὲ ἵπποις ἐχρῶντο (58) sq. cf. sch. δ 590 **186** ad Θ 185 *a* (Ariston.), vide ad Θ 109; cf. Anon. fig. 157, 2

---

**51** sq. πρὸς τὰ — ὡς τὸ T, οὐ πρὸς ἕκαστον ἵππον λέγει, ἀλλὰ πρὸς τὰ ἐξ αὐτῶν συστήματα· δύο γὰρ ζύγιοι ἦσαν καὶ δύο παρήοροι. τοὺς μὲν οὖν ζυγίους ἀνθ᾽ ἑνός, τοὺς δὲ παρηόρους ἀνθ᾽ ἑτέρου λαμβάνει. ὅμοιον δέ ἐστι τῷ b (fort. verum) **53** πρὸς b τὸ πρὸς T γὰρ T γὰρ κἀκεῖνο b καὶ τὸ T καὶ τῷ b **53—6** ὡς ἀψ. — λίνου ἁλόντε (56) T τύνη δ᾽ ἕστηκας, ἀτὰρ οὐδ᾽ ἄλλοισι κελεύεις, μήπως ὡς ἀψῖσι λίνου ἁλόντε· πρὸς γὰρ τὸν ἕκτορα καὶ τοὺς τρῶας b **54** τὸν T, πρὸς τὸν Ma. (cf. b) φησὶ sc. poeta resp. Sarpedo **57** φερόμεθα T em. Bk. **58** τρισὶ] τρωσὶ E$^4$ **59** ἑνὸς b τινὸς T ὁ om. b **60** sq. τιτρ. οὐχ ὁρῶνται sc. equi deorum **62** τῶν δυοῖν ἵππων ὑφορώμενος τὴν τρῶσιν b τρωσὶν T em. Ma. **64** le. T supplevi, om. b **65—6** καθ᾽ ἑκάστην δὲ sq. coni. cum scholio praecedenti (v. τρῶσιν) in b **65** κλητ. βρ. διαστ. b χρῆται βραχεῖαν διαστολήν T **66** ὥς τινες b ὥστε T εἶναι sq. T δύο εἶναι κύρια καὶ δύο ἐπίθετα ὀνόματα b (cf. sch. *a*) **67** le. add. Bk. (Vill.) ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **69** le. T supplevi, om. b (qui sch. ad Θ 187 revocavit) **70** οἰκον. T οἰκονομικὴ γὰρ ἦν b τεῖνον T ἐπισπεύδουσα b

ὅπλα αὐτοῦ δέχεται, ὡς δηλοῖ ὁ Ζεύς· „ὅ οἱ οὔτι μάχης ἐκνοστήσαντι / δέξεται Ἀνδρομάχη κλυτὰ τεύχεα" (Ρ 207—8). **b**(BCE³E⁴) **T** ὡς γυνὴ δὲ παρὰ φύσιν τὸν πυρὸν αὐτοῖς παραβάλλει. καὶ αἱ Διομήδους δὲ ἵπποι „μελιηδέα πυρὸν" (Κ 569) ἔδουσι. παρὰ προτέροις (cf. 188) δὲ διὰ τὸ μὴ ἐπιλαθέσθαι αὐτῶν· ἄλογον γὰρ ὂν τὸ ζῷον ἀφ' ἑαυτοῦ τροφὴν οὐκ αἰτεῖ. **b**(BCE³E⁴)

**188—90** *a.*[1] ⟨ὑμῖν πὰρ προτέροισι ——— εὔχομαι εἶναι:⟩ *ex.* ἀθετεῖται {δὲ} τὸ οἶνόν τ' ἐγκεράσασα (189), ὅτι οὐ σύνηθες οἶνον πίνειν ἵππους, καὶ διὰ τὸ ὅτε θυμὸς ἀνώγοι (189) ψυχρὸν γὰρ καὶ τοῦτο ἐπὶ ἵππων. — ἔστιν οὖν ὑπερβατόν· ὑμῖν προτέροις πυρὸν παρέθηκεν ἢ ἐμοὶ τὸν αὐτὸν πυρὸν ἔθηκεν οἶνόν τ' ἐγκεράσασα πιεῖν ὅτε θυμὸς ἀνώγοι (189), ἵν' ᾖ τὸ πυρὸν ἔθηκεν (188) ἀπὸ κοινοῦ. **b**(BE³E⁴)

*a.*[2] {οἶνον τ' ἐγκεράσασα ἢ ἐμοί:} τὸ ἑξῆς „ἣν μάλα πολλὴν" (Θ 186) / ὑμῖν πὰρ προτέροισιν ἔθηκεν (188) — τί δ' ἔθηκεν; μελίφρονα πυρόν (188) — ἢ ἐμοὶ οἶνον ἐγκεράσασα (190. 189) καὶ τὰ ἑξῆς συναπτέον· ὑπερβατὸν γάρ ἐστιν, ὅτι οὐκ ἔστι σύνηθες ἵππους πίνειν οἶνον. ψυχρὸν δὲ ἐπὶ ἵππων καὶ τὸ ὅτε θυμὸς ἀνώγοι (189). **T**

22 le. T supplevi (auctore Vill.), om. b  οὐχ T  23 διὰ τὴν τοῦ τρόπου b  24 ἀκούειν b  25 νοθία T  πολεμεῖ sc. Teucer  ὁμοφ. b ἀλλοφύλους T  26 νικ. τῇ φιλαδ. T βαρβαρόθεν καὶ αὐτὸς ὤν, ὅτι τῇ φιλαδελφίᾳ μᾶλλον ἡττᾶται b, fort. βαρβαρόθεν καὶ αὐτὸς ὤν, νικώμενος τῇ φιλαδελφίᾳ  31 le. Vill., ἢ τρίποδ' ἠὲ δύω: A, ἢ τρίποδα T, fort. ἢ τρ. — ἠὲ γυναῖκα  διαζευκτικὸς T  32 δύο A  ἠὲ (τρεῖς) Hom.  ἔρυσθε A  33 le. addidi  ὅτι A, ἡ διπλῆ, ὅτι Vill.  35 le. addidi  37 le. add. Ma.  42 le. add. Bk.  ἀντὶ] fort. ἡ διπλῆ, ὅτι τὸ σπεύδοντα ἀντὶ  43 le. addidi (cl. Li, qui habet τί με σπεύδοντα:)  43 sq. τὸ σπ. ἐντ. — δηλοῖ] ἢ κακοπαθοῦντα E$^4$ (fort. sch. vulg.)  45 le. T delevi  46—7 pone sch. *b*$^2$ in T, transposui (auctore Bk.)

*Did.* *b.*¹ {ἐκ τοῦ δὴ τόξοισι} δεδεγμένος: οὕτως αἱ Ἀριστάρχου διὰ τοῦ γ̄ δεδεγμένος. †ἡρωδιανοῦ† διὰ τοῦ χ̄ „δεδεχμένος". καί φησι Διογένης ἐν τοῖς ὑπομνήμασιν ὅτι εἰρωνευόμενος λέγει, οἷον δεξιούμενος τοῖς τόξοις· τὸ γὰρ δέχεσθαι δεξιοῦσθαί ἐστιν. οὐκ ἄχαρις ἡ ἐξήγησις. **A**

*b.*² δεδεγμένος {ἄνδρας ἐναίρω}: αἱ Ἀριστάρχου διὰ τοῦ γ̄, †ἡρωδιανοῦ† διὰ τοῦ χ̄. καί φησιν ὅτι εἰρωνευόμενός φησιν ἀντὶ τοῦ δεξιούμενος αὐτούς· δέχεσθαι γάρ ἐστι τὸ δεξιοῦσθαι. **T**

*b.*³ εἰρωνευόμενος τοῦτό φησιν ἀντὶ τοῦ δεξιούμενος καὶ φιλοφρονούμενος· τοῦτο γὰρ δηλοῖ τὸ δεδεγμένος ἀπὸ τοῦ δέχεσθαι. **b** (BCE³E⁴)

*Ariston.* **299** *a.* ⟨βαλέειν:⟩ ὅτι ἀντὶ τοῦ παῖσαι τὸ βαλεῖν. **A**^im^

*ex.* *b.* κύνα: διὰ τὸ θρασὺ καὶ πολύλαλον· „ἐξ αὖ νῦν ἔφυγες θάνατον, κύον" (Λ 362)· **A b**(BCE³E⁴) **T** „ὡς δ' ὅτε τίς τε κύων συὸς ἀγρίου" (Θ 338). **AT**

*Ariston.* **301.** ⟨βαλέειν:⟩ πρὸς τὸ βαλέειν. **A**^im^

*Did.* **304** *a.* ⟨Αἰσύμηθεν:⟩ Ἀρίσταρχος „Αἰσύμνηθεν" καὶ ἡ Ζηνοδότου καὶ ἡ Ἀριστοφάνους. **A**^im^

*Did.* | *ex.* *b.* ἐξ ΑΙΣΥΜΝΗΘΕΝ: „Αἰσύ⟨μ⟩νηθεν" διὰ τοῦ ν̄ καὶ ἡ Ζηνοδότου καὶ ἡ Ἀριστοφάνους. | „ἐξ Αἰσύμηθεν" ἴσως τῆς Νιρέως Σύμης (cf. B 671). οἱ δὲ „αἰσύμνηθεν" ἀπὸ βασιλικοῦ γένους. **T**

Φ 502 (ex.) *b*¹/*b*² cf. Valk I 431; de Diogene grammatico vide ad Θ 441 *a*; Cohn R.E. 5, 1 (1903), 777 (nr. 52) διὰ τοῦ χ̄ (49 et 54) ad I 191. Ψ 273 (Did.) δεξιούμενος (50 et 55) sq. cf. Eust. 713, 61; sch. *b*³ δέχεσθαι (51 et 55) sq. aliter D **299** *a* ad Δ 527 *b*, vide ad Z 9 *a*. Θ 301. 313 *c*. 322 (Ariston.) *b* — θρασύ (60) cf. Eust. 714, 9 **301** ad Δ 527 *b*, vide ad Θ 299 *a* (Ariston.) **303** diple ante versum in A, fort. erat sch. Aristonici de v. βάλεν, ad Δ 527 *b*, vide ad Θ 299 *a*; cf. Wismeyer 21 **304** *a*/*b* (Did.) cf. Duentzer, Zen. 104, 10; Ludwich, A. H. T. 1, 290, 9; Valk II 201 n. 521 *b* ἐξ αἰσύμηθεν (67) — σύμης (68) pro (Νιρεὺς) αὖ Σύμηθεν v. l. antiqua δ' Αἰσύμηθεν vel δ' Αἰσύμνηθεν in B 671; aliter D, Steph. B. 54, 13, Et. Gen. (B, deest A) Αἰσύμηθεν. Vide Steph. B. 487, 8 οἱ

---

**48** (le.) ἐκ — τόξ. del. Bk. **49** ἡρωδιανὸς Ddf. (ἡρωδιανὸς δὲ Vill.), ἡ ῥιανοῦ Valk **50** φησι Vill., φασι A **51** δέχ. Ldw., δεδέχεσθαι A, erat fort. δεδέχθαι (Vill.) **53** (le.) ἄνδρ. ἐν. eieci **54** ἡρωδιανοῦ vide sch. *b*¹ φησιν ὅτι cf. sch. *b*¹ **55** δέχεσθαι vide sch. *b*¹ **56** φησιν sc. Homerus sec. auctorem hyparchetypi **b** **59** le. add. Bk. ὅτι A, fort. ἡ διπλῆ, ὅτι τὸ Lehrs, καὶ A **60** (le.) κύνα pars explicationis in **b** ἐξ AT ὡς καὶ ἀλλαχοῦ ἐξ **b** αὖ] οὗ A **61** ὡς T, καὶ τὸ ὡς (fort. rectius) A **63** le. addidi (auctore Vill.) πρὸς A, ἡ διπλῆ πρὸς Vill. **64** le. add. Bk. **66** αἰσύνηθεν T suppl. Spitz. ἡ Ma., αἱ T **67** fort. ἐξ αἰσύμνηθεν (cf. test.)

**306—8** *a.* μήκων δ' ὡς ἑτέρωσε ⟨——— βαρυνθέν⟩: ἤτοι τὸ ἑξῆς ἐστιν ἑτέρωσε δὲ κάρη βάλεν ὡς μήκων, ἥτ' ἐνὶ κήπῳ καρπῷ βριθομένη ἐστί (cf. 306—7)· λείπει γὰρ τὸ ῥῆμα τοῦτο, καὶ οὐκ ἔστιν ἡ μετοχὴ ἀντὶ ῥήματος. ἔσται δὲ οὕτως δὶς ἡ ἀνταπόδοσις λεγομένη· καὶ γὰρ ἑξῆς ἐπιφέρει· ὣς ἑτέρωσ' ἤμυσε κάρη (308)· καὶ ἐν ἄλλοις δὲ εἴωθεν. κατὰ δὴ ταύτην τὴν ἐξήγησιν ἐπὶ μὲν τὸ βάλε (306) διαστελοῦμεν, ἐπὶ δὲ τὸ εἰαρινῇσιν (307) ὑποστίξομεν. δύναται δὲ καὶ ὑποστίζεσθαι ἀμφότερα ἐν ὑποκρίσει, ἵνα μία ἀνταπόδοσις ᾖ ἡ ἐπιφερομένη· ἔσται δὲ τὸ ἑξῆς, ὡς δὲ μήκων ἑτέρωσε κάρη βάλε (cf. 306), ὣς ἑτέρωσ' ἤμυσε κάρη (308). ἢ περισσόν ἐστι τὸ ἥ (306) ἄρθρον καὶ ὁ τέ (306) σύνδεσμος· ὁ δὲ λόγος, ὡς δὲ μήκων ἑτέρωσε κάρη βάλε {ὣς ἑτέρωσ' ἤμυσε κάρη βάλλει} καρπῷ βριθομένη, ὣς ἑτέρωσ' ἤμυσε (308). βέλτιον δὲ ⟨δὶς⟩ ὑποστίζειν. **A** *Nic.*

*b.* μήκων δ' ὡς ἑτέρωσε ⟨——— βαρυνθέν⟩: ὅλον ὅλῳ παραβέβληται. ἔστι δὲ διάκενος ἡ μήκων· διὸ βαρεῖται. | ἔστι δὲ κοινὸν τὸ κάρη βάλεν (306). **A b**(BCE³E⁴) **T** *ex.* | *Ariston.(?)*

**307** *a.* καρπῷ βριθομένη: ὅτι ἔξωθεν προσληπτέον τὸ ἔστιν, εἰ μὴ ἡ μετοχὴ ἀντὶ ῥήματος παρείληπται, βριθομένη ἀντὶ τοῦ βρίθεται. ἢ κοινὸν τὸ „κάρη βάλεν" (Θ 306). **A** *Ariston.*

*b.* καρπῷ βριθομένη: λείπει τὸ ἔστιν· οὐ γὰρ ἀναδέχεται ὁ Νικάνωρ (p. 195 Friedl.) τὴν μετοχὴν ἀντὶ ῥήματος. **b**(BCE³E⁴) **T** *ex.(Nic.)*

*c.* νοτίῃσί τε εἰαρινῇσιν: εἰ γὰρ μὴ ἦν ὑγρά, οὐκ ἂν ἐπεκάμφθη, ἀλλ' ἐκλᾶτο. **b**(BCE³E⁴) **T** *ex.*

δὲ (68) sq. cf. Aristarchum ad Ω 347 (ex.) **306—8** diplae ante versus in A; fort. exstabat sch. Aristonici etiam ad Θ 306 pertinens (cf. sch. *b*); diplen ante Θ 306 delendam esse censet Wismeyer 21 ἤτοι (69) — ἀντὶ ῥήματος (72) et ἢ περισσὸν (78) — κάρη βάλε (79) brevius **h**($M^1$ $P^{11}$ $V^3$ $V^{15}$): μήκων δ' ὣς ἑτέρωσε κάρη βάλεν, ἥ τ' ἐνὶ καρπῷ (le. $V^3$, om. cett.)· ἤτοι τὸ ἥ μετὰ τοῦ τ̄ (ε̄ $P^{11}$ $V^3$, fort. τέ) περισσόν (περιττεύει $V^3$, pro ἤτοι — περ. hab. τὸ ἥτε περιττεύει $V^{15}$), ἵν' (ἵνα $P^{11}$) ᾖ ὡς μήκων ἑτέρωσε κάρη βάλεν. ἢ τῷ (scripsi, τὸ codd.) „βριθομένη" ($V^{15}$, cp. $V^3$, βεβρίθεται $M^1$ $P^{11}$) λείπει ῥῆμα, καὶ οὐκ (οὐκ $V^{15}$, om. cett.) ἔστι μετοχὴ ἀντὶ ῥήματος ἤτοι (69) — ἀντὶ ῥήματος (72) ad Θ 307 *b* ἐν ὑποκρίσει (76) cf. Friedl., Nic. 69 (et 196) *b* — παραβέβληται (83) cf. Eust. 715, 7 **307** *a* cf. Eust. 714, 60; Lehrs Ar.³ 361; — ἔστιν (85) ad Δ 400 (Did.), cf. sch. Aesch. Cho. 644 εἰ μὴ (86) — βρίθεται cf. D, Ap. Dysc. pron. 7, 12. 64, 5; sch. Aesch. Eum. 783; Hrd. rhet. fig. 90, 3, sch. D. Thr. (Σ¹, ex Heliodoro) 447, 8; vide ad E 661—2; sch. ν 113 *b* οὐ γὰρ (88) sq. ad Θ 306—8 (Nic.)

---

**69** le. A suppl. Frdl. **75** ὑποστίξωμεν A em. Bk., στίξομεν propos. Frdl. **80** ὣς — βάλλει del. Frdl. **81** δὶς add. Lehrs **82** le. T supplevi, μήκων δ' ὡς: A, om. **b** **83** παραβ.] παραβέβληται μηδενὸς ἐλλείποντος **b** **83** sq. κοινὸν δέ ἐστι τὸ **b** **84** βάλε T βάλλει A **85** ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **88** οὐ γὰρ om. **b** ἀναδέχ. T (cf. Valk I 530 n. 597), ἐκδέχεται **b** ὁ T δὲ **b** **90** le. T, νοτίῃσι δέ, ὅτι coni. cum scholio *b* (v. ῥήματος) **b** γὰρ om. **b** **91** ἐπεκάμφθη T ἐκέκλιτο **b** ἐκλᾶτο T ἐκέκλαστο **b**, fort. ἐκλάσθη

*Ariston.* 308 *a.* ⟨ἐτέρωσ'·⟩ ὅτι τὸ πλῆρες ἑτέρωσε. $A^{im}$

*ex.* *b.* πήληκι βαρυνθέν: Αἰτωλικὸν τὸ πήληξ. T

*Did.* 311 *a.* ⟨ἀλλ' ὅ γε καὶ τόθ' ἅμαρτε·⟩ διχῶς „ἀλλ' ὅ γε τοῦ μὲν ἅμαρτε" καὶ ἀλλ' ὅ γε καὶ τόθ' ἅμαρτε. $A^{im}$

*ex.* *b.* παρέσφηλε⟨ν⟩ γὰρ Ἀπόλλων: καὶ τὸν Ἕκτορα σῴζει καὶ Τεῦκρον ἐπαίρει ὡς μὴ ἀποτυχόντα, ἀλλὰ σφαλέντα. παρέσφηλε δὲ τὸ βέλος ἢ τὸν Τεῦκρον. $b(BCE^3E^4)$ T

*Ariston.* 312 *a.* {ἀλλ'} Ἀρχεπτόλεμον: ὅτι ἐνταῦθα καταλέλοιπε Ζηνόδοτος Ἀρχεπτόλεμον, πεποίηκε δὲ ἄνω (sc. Θ 128) „Ἰφιτίδην Ἐρασιπτόλεμον". A

*ex.* | *ex.* *b.* ἀλλ' Ἀρχεπτόλεμον: ὅτι μόνους τοὺς Ἕκτορος ἡνιόχους ἐποίησεν ἐν τῷ πολέμῳ τιτρωσκομένους, ἄνω μὲν (sc. Θ 119—23) Ἠνιοπέα, νῦν δὲ Ἀρχεπτόλεμον, μετὰ δὲ ταῦτα (sc. Π 737—43) Κεβριόνην· θρασὺς γὰρ ἡνίοχός ἐστιν ὁ Ἕκτωρ (cf. Θ 89—90). διδάσκει οὖν ὅτι βλάπτει ἡ πρὸς τοὺς θρασεῖς φιλία. $b(BCE^3E^4)$ T | τρεῖς δὲ αὐτοῦ ἡνίοχοι ἀναιροῦνται. T

*Nic.* 313 *a.* ⟨ἱέμενον πόλεμον δέ·⟩ βραχὺ διασταλτέον μετὰ τὴν δε συλλαβήν. $A^{im}$

*ex.* *b.*[1] ἱέμενον πόλεμον δέ: ἔδρασεν οὖν ἄν τι χαλεπόν, εἰ μὴ †βέβληται. T

*b.*[2] ἐμφαίνει διὰ τούτου ὅτι ἔδρασεν ἄν τι χαλεπόν, εἰ μὴ ὑπὸ Ἀπόλλωνος μὲν παρεσφάλη, ὑπὸ δὲ Ἕκτορος ἐτρώθη. $b(BCE^3E^4)$

*Ariston.* *c.* ⟨βάλε στῆθος·⟩ πρὸς τὸ βάλε ἀντὶ τοῦ ἔπαισεν. $A^{int}$

*Ariston.* 316 *a.* ⟨Ἕκτορα δ' αἰνὸν ἄχος πύκασε φρένας ἡνιόχοιο·⟩ ὅτι ἐλλείπει ἡ [περί], περὶ ἡ[νι]όχου. $A^{int}$

308 *b* vocem πήληξ neque in titulis Aetoliis neque in inscriptionibus Aeoliis inveni 312 *a* ad Θ 128 (Ariston.) *b* ἡνίοχος (10) vide ad Θ 89 *b* (Ariston.) 313 *b*[2] sch. ab archetypo b male intellectum et amplificatum esse suspicor *c* ad Δ 527 *b*, vide ad Θ 299 *a* (Ariston.) 316 *a* ad A 65 *b*, vide ad Θ 124. 317 (Ariston.)

---

92 le. add. Bk. ὅτι A, fort. ἡ διπλῆ, ὅτι 93 (le.) βαρ. fort. delendum 94 le. add. Vill. 1 le. T suppl. Bk. (Vill.), om. b 2 ἐπαινεῖ b ὡς — σφαλ. om. T ἀποφυγόντα b corr. Bk. (cf. D) 3 τὸ βέλος sq. T ἢ τὸν τεῦκρον ἢ τὸ τόξον b τὸν] an αὐτόν? 4 (le.) ἀλλ' eiecit Bk. ὅτι A, fort. ἡ διπλῆ περιεστιγμένη, ὅτι 7 ὅτι om. b 10 ἐστιν ὁ T ἐστιν b 11 οὖν T δὲ ὁ ποιητής b 13 le. addidi (auctore Frdl.) 15 ἔδρασεν sc. Archeptolemus 16 ἐβλήθη Ma., fort. recte 17 ἔδρασεν sc. Teucer, sed exemplum male intellexit auctor classis b 19 le. addidi (auctore Vill.) ἡ διπλῆ πρὸς Vill. τὸ βάλεν Vill. ἔπεσεν A em. Vill. 20 le. addidi 21 ὅτι A, fort. ἡ διπλῆ, ὅτι v. περί[1] et syllaba νι absc. in A (margo resectus est)

*b.*[1] πύκασε φρένας ἡνιόχοιο: λείπει ἡ περί, ὡς „οἰκτροτάτην ἤκουσα ὄπα Πριάμοιο θυγατρός" (λ 421), οὐ κατ' αὐτῆς ὄπα, ἀλλὰ περὶ αὐτῆς, ἣν ἔλεγε Κλυταιμνήστρα καταβοῶσα Ἀγαμέμνονος ὅτι ἐπαγάγοι αὐτῇ βάρβαρον γυναῖκα. ὁ οὖν ἐξ αὐτῆς ψόγος οἰκτρὸς ἦν τῷ Ἀγαμέμνονι. οὕτως οὖν καὶ ἐνταῦθα λείπει ἡ περί, Ἕκτορα δ' αἰνὸν ἄχος πύκασε φρένας περὶ τοῦ ἡνιόχου. **T** *ex.*

*b.*[2] ⟨ἡνιόχοιο:⟩ περί. **T**[il]

**317.** ⟨καὶ ἀχνύμενός περ ἑταίρου:⟩ λείπει ἡ περί, περὶ ἑταίρου. **A**[im] *Ariston.*

**321** *a.* σμερδαλέα ἰάχων, ὁ δὲ ⟨χερμάδιον λάβε χειρί⟩: ὅτι ὡς περὶ ἑτέρου ὁ δὲ χερμάδιον ἐπὶ τὸ αὐτὸ ἀναφέρων πρόσωπον, ὡς εἰ ἔλεγεν· οὗτος δὲ αὐτὸς χερμάδιον λάβε χειρί. **A** *Ariston.*

*b.* ὁ δὲ χερμάδιον: ὁ δὲ Ὁμηρικὸν ἔθος, ὡς περὶ ἑτέρου λεγόμενον. **AT** *ex.(Ariston.?)*

**322.** ⟨βαλέειν:⟩ ὅτι ἐπὶ τοῦ τρῶσαι. **A**[im] *Ariston.*

**325** *a.*[1] αὐερύοντα ⟨παρ' ὦμον⟩: ὅτι αὐερύοντα σαφῶς εἰς τοὐπίσω ἕλκοντα· καὶ „παλίντονα τόξα" (Θ 266, cf. Κ 459. Ο 443) ἀπὸ τούτου. | οὐ πάντως διασταλτέον ἐπὶ τὸ αὐερύοντα, ὡς ἀξιοῖ Νεοτέλης· ἀμφότερα γὰρ συμβέβηκε πρὸς τὸν ὦμον, καὶ τὸ βληθῆναι αὐτὸν καὶ τὸ ἐρύσαι. ὁ μέντοι Νεοτέλης Σκυθικὴν εἶναι τὴν τοξείαν ἔφασκεν τοῦ τόξου πρὸς τὸν ὦμον ἑλκομένου. **A** *Ariston.|Nic.*

*b* cf. sch. λ 421 **317** ad Α 65 *b*, vide ad Θ 316 (Ariston.) **321** *a*/*b* cf. Eust. 715, 37 *a* ad Ε 734—6 (Ariston.) **322** ad Δ 527 *b*, vide ad Θ 299 *a* (Ariston.) **325** *a*[1] εἰς τοὐπίσω ἕλκοντα (37) ad Α 459, cf. D, D ad Α 459. Θ 266; aliter Schem. Hom. 14 παλίντονα τόξα (38) sq. ad Θ 266 *c* οὐ (39) sq. cf. Porph. 1, 123, 11 (sim. Eust. 715, 25): ἐν τούτοις τοῖς ἔπεσι τοῖς περὶ τοῦ Τεύκρου εἰρημένοις ζητοῦσι, ποίαν χεῖρα τέτρωται ὁ Τεῦκρος (vide ad Θ 328 *c*) καὶ πότερον τὴν νευρὰν ἐπὶ τὸν ὦμον ἕλκει καθάπερ οἱ Σκύθαι· τοῦτο γὰρ ᾤετο Νεοτέλης, ὅλην βίβλον γράψας περὶ τῆς κατὰ τοὺς ἥρωας τοξείας καὶ τοὺς μὲν Κρῆτας φάμενος τὴν νευρὰν ἕλκειν ἐπὶ τὸν μαστόν, τὴν δὲ τάσιν κυκλοτερῆ ποιεῖσθαι (τῶν Σκυθῶν οὐκ ἐπὶ τὸν μαστόν, ἀλλ' ἐπὶ τὸν ὦμον ἑλκομένων), ⟨ὥστε⟩ (e. g. addidi) μὴ προέχειν τὰ εὐώνυμα μέρη τοξεύοντα τὰ δεξιά. ῥητέον δέ· τὸ „αὐερύοντα" οὐ δεῖ συνάπτειν τῷ „παρ' ὦμον", ἀλλὰ στίξαντα ἐν τῷ „αὐερύοντα" τὸ ἑξῆς λέγειν „παρ' ὦμον ὅθι κληῒς ἀποέργει / αὐχένα τε στῆθός τε"· τοῦτο γὰρ τῷ μὲν τὴν νευρὰν ἐπὶ τὸν ὦμον ἕλκειν οὐ συνᾴδει, τῷ δ' ἐμφῆναι βουλομένῳ τὴν παρ' ὦμον πληγήν, ὅπως καὶ πόσε, μάλιστα συνᾴδει· παρὰ γὰρ τὸν ὦμον ἡ κλείς ἐστιν ἀποδιαιροῦσα τὸ στῆθος ἀπὸ τοῦ αὐχένος. τοῦτο μὲν οἶμαι οὕτως λύεται . . ., incertum an horum nonnulla quidem e scholiis fluxerint; Beiträge 31 Σκυθικὴν (41) — τοξείαν vide ad Δ 122—3 (ex.)

---

**23** δ' ἤκουσα Hom. οὐ κατ' susp., οὐ γὰρ Ma. (Bk.), malim οὐκ ἀπ' **28** le. add. Ma. **29** le. addidi (auctore Vill.), ἑταίρου solum add. Bk. λείπει A, ἡ διπλῆ, ὅτι ἐλλείπει Vill. **31—3** pone sch. *b* in A, transposui **31** le. A suppl. Frdl. ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **36** le. add. Bk. ὅτι A, fort. ἡ διπλῆ, ὅτι **37** le. A supplevi (auctore Vill.) ὅτι A, ἡ διπλῆ, ὅτι Vill.

*Nic.(?)* *a.*$^2$ παρ' ὦμον: δύναται ἀμφοῖν συντάσσεσθαι. **T**

*Did.(?)* *b.* {ὅθι κληῒς} ἀποέργει: οὕτω χωρὶς τοῦ ī ἀποέργει. **T**

*ex.* **326.** μάλιστα δὲ καίριόν ἐστιν: διὰ τὸν σύνδεσμον τῆς ὠμοπλάτης πρὸς τὸν ὦμον. καίριον δὲ ὡς πρὸς τοξότην. **b**(BE$^3$E$^4$) **T**

*Ariston.* **328** *a.* ῥῆξε δέ οἱ νευρήν· ⟨νάρκησε δὲ χεὶρ' ἐπὶ καρπῷ⟩: ὅτι ἐν τοῖς ἑξῆς (sc. O 469) τούτου μνημονεύει „νευρὴν δ' ἐξέρ⟨ρ⟩ηξε νεοστρεφέα". καὶ ὅτι οὕτως εἶπε τὸ ἐνάρκησεν ἐν ἴσῳ ⟨***⟩ τὴν χεῖρα κατὰ τὸν καρπόν. **A**

*ex.* *b.* ῥῆξε δέ οἱ νευρήν: προδιέλυσε τὴν ὁρμὴν τοῦ λίθου ἡ νευρὰ κοπεῖσα. **b**(BE$^3$E$^4$) **T**

*ex.* *c.* νάρκησε δὲ χείρ: ποῖος ὦμος βέβληται; δηλονότι ὁ ἀριστερὸς δι' ὧν φησι „τόξον δέ οἱ ἔκπεσε χειρός" (Θ 329). ἄλλως τε τὸν προβεβλημένον ὦμον εἰκὸς πεπλῆχθαι, οὐχὶ τὸν συνεσταλμένον ἐν τῷ τοξεύειν. **A b**(BE$^3$E$^4$) **T**

*Hrd.* *d.*$^1$ χεὶρ ἐπὶ καρπῷ: τινὲς προπεριέσπασαν τὸ χεῖρ, ἵν' ἔχῃ ἐντέλειαν πτώσεως αἰτιατικῆς. ὁ μέντοι Ἀσκαλωνίτης (p. 49 B.) ὀξύνει καὶ εὐθεῖαν παραλαμβάνει, ἵνα καὶ σχῆμα γένηται. **A**

*d.*$^2$ χεὶρ ἐπὶ καρπῷ: τινὲς „χεῖρα" κατ' αἰτιατικήν. **AT**

*ex.* **331** *a.*$^1$ ἀλλὰ θέων περίβη: τὴν προθυμίαν αὐτοῦ δηλοῖ διὰ τοῦ θέων. οὐ γὰρ ἦν πόρρω. **T**

*a.*$^2$ τὴν προθυμίαν καὶ σπουδὴν αὐτοῦ διὰ τοῦ θέων ἐδήλωσεν, ἐπεὶ οὐ μακρόθεν ἦν, ἀλλ' ἐγγύς. **b**(BE$^3$E$^4$)

*Ariston.* *b.* περίβη: ὅτι ἀπὸ τῶν ὑπερμαχούντων τοῖς ἐκγόνοις ζώων, πρὸς τὸ „Χρύσην ἀμφιβέβηκεν" (A 37). **A**

*ex.* **335.** Τρώεσσιν Ὀλύμπιος ἐν μένος ὦρσεν: πάλιν ἐπὶ τὸν Δία τὸ αἴτιον ἀναφέρει τῆς νίκης, **b**(BE$^3$E$^4$) **T** μὴ θέλων μωμῆσαι Ἕλληνας. **b**(BE$^3$E$^4$)

**328** *a* — νεοστρεφέα (49) ad O 470 *a* (Ariston.) καὶ ὅτι (49) sq. ad E 37 *b* (Ariston.) *c* cf. Porph. 1, 123, 24 (unde Eust. 715, 30, vide Beiträge 31, 3); Lehrs Ar.$^3$ 211 not. 132; vide Plut. mor. 739 b **331** *b* ad A 37 (Ariston.)

---

**44** (le.) ὅθι κληῒς delevi **45** διὰ T περὶ **b** **46** πρὸς τ. ὦμον T ἤτοι τὴν ἀκρωμίαν **b** δὲ T δὲ τοῦτο **b** τοξ. καλεῖ **b** **47** le. A supplevi **48** ὅτι A, fort. ἡ διπλῆ, ὅτι ἐξέρηξε A suppl. Bk. **49** νεόστροφον Hom. ἐνάρκ.] fort. νάρκησε lac. indic. Lehrs verbis τῷ ναρκᾶν ἐποίησε supplens **51—2** προδιέλυσε δὲ sq. pone sch. *c* (coni. cum v. τοξεύειν) **b** **52** κοπ. νευρά **b** **53** le. AT, om. **b** ποῖος δὲ ὦμ. pone sch. Θ 326 (coni. cum v. καλεῖ, l. 46) E$^4$ **54** δι' ὧν] διό **b** **55** εἰκὼς A **60** le. scripsi, νάρκησε δὲ χείρ T, om. A τινὲς δὲ sq. pone sch. *c* (coni. cum v. τοξεύειν) in A **65** le. Bk., ἀλλὰ θέων: A ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **66** ἀμφιβέβηκας Hom. **68** τὸ τῆς ν. αἴτ. ἀναφ. **b** **68** sq. μὴ θέλων sq. fort. sch. rec. μωμ.] fort. μωμήσασθαι

**336.** ⟨οἱ δ' ἰθὺς τάφροιο βαθείης ὦσαν Ἀχαιούς:⟩ τῇ ταραχῇ τῶν φευγόντων μονονουχὶ καὶ οἱ ἄριστοι τῇ τάφρῳ φεύγοντες ἐνέπεσον. b(BCE$^3$E$^4$) *ex.*

**337.** Ἕκτωρ δ' ἐν πρώτοισι κίε: αἱ Ἀριστάρχου χωρὶς τοῦ ν̄, AT ,,Ἕκτωρ δὲ πρώτοισι" · A καὶ ἔστιν· ὁ δὲ Ἕκτωρ ἐπὶ τοὺς πρώτους ὥρμα. AT *Did.*

**338—40.** ὡς δ' ὅτε τίς τε κύων ⟨——— δοκεύει⟩: οὐ δεόντως, φασί, τῷ κυνὶ ἓν ζῷον διώκοντι παραβάλλει τὸν Ἕκτορα διώκοντα A b(BCE$^3$E$^4$) T πολλούς. ἄλλως τε οὐκ ἔδει εἰκάζειν τὸν διώκοντα b(BCE$^3$E$^4$) T κυνί, τοὺς δὲ διωκομένους ἀλκιμωτέρῳ ζῴῳ καὶ πρώην λέοντι. ῥητέον δὲ πρὸς μὲν τὸ πρότερον ὅτι ὁ Ἕκτωρ εἴκασται κυνὶ ἑνὶ καὶ ὁ ἀποκτεινόμενος θηρὶ ἑνί· φησὶ γὰρ ,,αἰὲν ἀποκτείνων τὸν ὀπίστατον" (Θ 342). πρὸς δὲ τὸ δεύτερον ὅτι ἡ παραβολὴ οὐ πρὸς ἰσχύν, ἀλλὰ τάχος· κύνες γὰρ ἐν ταῖς θήραις ἐπιτήδειοι πρὸς δίωξιν· διὰ τοῦτο ὁ Ἕκτωρ διώκοντι εἴκασται κυνί. A b(BCE$^3$E$^4$) T τὰ δὲ ἄγρια ζῷα φεύγειν εἴωθε τὰ πολλά. διὰ τοῦτο οἱ ὑποχωροῦντες Ἕλληνες τοῖς φεύγουσιν εἰκάζονται. b(BCE$^3$E$^4$) T ἔπειτα καὶ δεόντως τοῖς ἀλκιμωτέροις ζῴοις φεύγουσι παρέβαλε τοὺς Ἕλληνας· προεῖχον γὰρ τῇ ῥώμῃ καὶ τὰ νῦν δυστυχοῦσι, καὶ ἀεὶ ὁ ποιητὴς εἴωθε κακοπραγοῦντας αὐτοὺς εἰκάζειν θηρσίν· b(BE$^3$E$^4$) T ὁ μὲν γὰρ Ἀντίλοχος θηρί, ,,ἀλλ' ὅ γὰρ ἔτρεσε θηρὶ ⟨κακὸν ῥέξαντι ἐοικώς⟩" (Ο 586), ὁ δὲ Αἴας καὶ τοῦ Διὸς φοβοῦντος αὐτὸν ἀναχωρῶν λέοντι παραβάλλεται (sc. Λ 548—57), οἱ δὲ Τρῶες νεβροῖς (cf. Χ 1). T *ex.*

**339—40.** ἅπτηται ⟨———/ ἰσχία τε γλουτούς τε ἑλισσόμενόν τε δοκεύει⟩: εὖ τὸ ἅπτηται (339)· οὐ γὰρ ἐπιλαμβάνεται, ἐπιπηδᾷ δὲ ὑλακτῶν. εὖ δὲ καὶ τὸ ὄπισθεν· ἐναντίος γὰρ οὐ πρόσεισι τῷ θηρίῳ τὴν ἐμβολὴν αὐτοῦ φοβούμενος. καλῶς δὲ οὐ τῇ πλευρᾷ ἐπίκειται, ἀλλὰ τοῖς γλουτοῖς καὶ τοῖς ἰσχίοις πρὸς τὸ ῥᾳδίως ἐκκλίνειν τὴν ἐπιστροφὴν τοῦ θηρίου· ἐπιφέρει γοῦν ἑλισσόμενόν τε δοκεύει (340). καὶ ἐν τῇ δυστυχίᾳ δὲ ὑψοῦται τὸ Ἑλληνικόν. b(BCE$^3$E$^4$) T *ex.*

**337** ad Ξ 202 *b*. Σ 568 (Did.), cf. sch. ζ 8. π 106 (vide Ludwich, A. H. T. 1, 615, 11) **338—40** cf. Eust. 716, 22

---

**70** le. add. Vill. (ἰθὺς τάφροιο iam Li) **71** τῇ τάφρῳ om. C **73** le. T, ἕκτωρ δ' ἐν πρ.: A αἱ ἀρ. pone ν̄ T **76** le. A supplevi, ὡς δ' ὅτε τις κύων T, om. b (qui et ipse sch. ad v. 338 rettulit) **80** καὶ πρ.] τῷ b, πρώην susp., fort. τοῦτο ὁ om. A **81** ὁ om. C ἀποκτ.] διωκόμενος A **82** τὸ] τὸν A **83** τάχους A, πρὸς τάχος Vill. **85** οἱ om. BE$^4$ **87** φεύγουσι abesse vult Wil. (vix recte) **88** τὴν ῥώμην T **89** θηρσὶν εἰκ. b **90** sq. ἔτρ. θηρὶ T suppl. Ma. **93** sq. le. T supplevi, om. b (ubi sch. ad v. 339 revocatum est) **95** ὄπισθεν] correctius κατόπισθε (339) ἀντίος b πρόεισι T **2** ῥαδίως C

*Did.* **339** ⟨διώκων:⟩ γράφεται „πεποιθώς“. $A^{im}$

*Nic.* **340** *a.*[1] ἰσχία τε γλουτούς τε: τὸ ἡμιστίχιον ἢ τοῖς ἄνω συναπτέον, ἵν' ᾖ σχῆμα „ἅπτηται“ (339) ἰσχία ἀντὶ τοῦ ἰσχίων, ὡς „Ἥρη δὲ μάστιγι θοῶς ἐπεμαίετ' ἄρ' ἵππους“ (Ε 748. Θ 392). ἢ τοῖς ἑξῆς προσδοτέον, ἵνα τὸ δοκεύει κοινὸν ᾖ. **A**

*a.*[2] {ἅπτηται ἰσχία:} ὡς „ἐπεμαίετ' ἄρ' ἵππους“. οἱ δὲ 'δοκεύει ἰσχία καὶ ἑλισσόμενον'. **T**

*Ariston.* *b.* ⟨ἰσχία τε γλουτούς τε:⟩ σημειοῦνταί τινες ὅτι ὑγιῶς διέσταλκεν. $A^{im}$

*Did.* *c.*[1] ⟨ἑλισσόμενον:⟩ οὕτω διὰ τοῦ $\overline{\upsilon}$ ἑλισσόμενον· τὸν γὰρ ὗν ἐπιστρεφόμενον παρατηρεῖ. $A^{int}$

*c.*[2] διὰ τοῦ $\overline{\upsilon}$· περὶ γὰρ τοῦ συὸς λέγει. $T^{il}$

*ex.* **343—4.** αὐτὰρ ἐπεὶ διά τε σκόλοπας ⟨καὶ τάφρον ἔβησαν/ φεύγοντες⟩: τῇ ταραχῇ τῶν φευγόντων καὶ μονονουχὶ ἐμπιπτόντων τῇ τάφρῳ οἰκεῖον τὸ ὑπερβατόν. **T**

*ex.(Ariston.?)* **344.** ⟨πολλοὶ δέ:⟩ ὁ δὲ ἀντὶ τοῦ γάρ. ἔστι δὲ διὰ μέσου. $T^{il}$

*ex.* **345—7.** οἱ μὲν δὴ παρὰ νηυσὶν ⟨———/⟩ ἀλλήλοισί τε κεκλόμενοι καὶ πᾶσι θεοῖσι/ χεῖρας ⟨ἀνίσχοντες——— εὐχετόωντο ἕκαστος⟩: οὐχ ὥσπερ οἱ Τρῶες „πεφυζότες ἠΰτε νεβροί“ (Χ 1)· φιλάλληλον γὰρ καὶ αἰδέσιμον τὸ Ἑλληνικόν. εὔχονται γοῦν θεοῖς καὶ ἀλλήλους παρακαλοῦσιν. **b**($BCE^3E^4$) **T**

*Nic.* **346—7** *a.* ἀλλήλοισί τε κεκλόμενοι ⟨καὶ πᾶσι θεοῖσι / χεῖρας ἀνίσχοντες μεγάλ' εὐχετόωντο ἕκαστος⟩: μετὰ τὸ κεκλόμενοι (346) στικτέον· ἑτέραν γὰρ πεποίηκε περίοδον τὴν ἑξῆς, ὡς εἴ γε διὰ τοῦ $\overline{\delta}$ ἐγράφετο „μέγα δ' εὐχετόωντο“, ἐστίξαμεν ἂν ἐπὶ τὸ ἀνίσχοντες (347). καὶ τάχα γραφικὸν ἁμάρτημα γέγονεν. **A**

**340** *a*[1] — ἰσχίων (8) cf. Eust. 716, 31 **344** ad Ζ 360 *b* (Ariston.) **346—7** *a* cf. sch. $P^3$ (= Par. Graec. 2681, An. Par. 3, 39, 1): στικτέον εἰς τὸ „κεκλόμενοι“, ἵνα μὴ ἡμαρτημένα ᾖ ὅτι τοῖς θεοῖς παρακελευόμενοι· ηὔχοντο γὰρ τοῖς θεοῖς, ἀλλήλους δὲ παρεκελεύοντο, fort. sch. rec., cf. Beiträge 197. Vide ad Ο 368—9

---

**6** le. add. Bk. **8** ἅπτητε A em. Bk. **10** δοκεύειν A em. Bk. **11—2** pone sch. Θ 338—40 in T, transposui **11** le. T delevi **13** le. add. Frdl., ἰσχ. τε γλ. τε ἑλίσσομενόν τε δοκεύει: add. Vill. ὑγιῶς sanum, ad Δ 540 al. **15** le. add. Bk., ἑλισσόμενόν τε ante sch. *c*[2] add. $V^c$ **18** sq. le. T supplevi **21** le. add. Bk. **22—4** le. T suppl. Ma., verba ἀνίσχοντες — ἕκαστος ipse addidi; totum le. om. **b** (qui sch. ad v. 345 revocavit) **24** ὥσπερ οἱ τρ. T κατὰ τοὺς τρῶας **b** ἠΰτε T ἔμενον ἠΰτε **b** **25** καὶ αἰδέσ. om. $E^4$ τὸ $E^4T$ ἀεὶ τὸ $BCE^3$ γοῦν T δὲ **b** **26** παρακαλοῦσι T **27** sq. le. A suppl. Frdl.

*b.* ⟨ἀλλήλοισί τε κεκλόμενοι καὶ ——— /⟩ χεῖρας ἀνίσχοντες μεγάλ' εὐχετόωντο: ἀπὸ μετοχῆς εἰς ῥῆμα μετέβη, ὡς τὸ „ἰοῖσίν τε τιτυσκόμενοι λάεσ⟨σ⟩ί τ' ἔβαλλον" (Γ 80). T *ex.*

348. ἀμφιπεριστρώφα: οὐ περιττὴ ἡ ἑτέρα πρόθεσις, ἀλλ' ἐναργῶς δείκνυσι τὴν ἐν ταὐτῷ γινομένην συνεχῆ τοῦ Ἕκτορος ἐπιστροφὴν ζητοῦντος, κατὰ ποῖον εἰσελάσει τοὺς ἵππους μέρος. b (BCE[3]E[4]) T *ex.*

349 *a.*[1] Γοργοῦς ὄμματ' ἔχων ⟨ἠδὲ βροτολοιγοῦ Ἄρηος⟩: ὁ Ζηνόδοτος γράφει „Γοργόνος ὄμματ' ἔχων ἠὲ βροτολοιγοῦ Ἄρηος". ὁ δὲ Ὅμηρος χωρὶς τοῦ ν λέγει „τῇ δ' ἐπὶ μὲν Γοργώ" (Λ 36) ὡς Σαπφώ· διὸ λέγει Γοργοῦς ὡς Σαπφοῦς. | Ἀρίσταρχος δὲ γράφει σὺν τῷ ι „οἶματ' ἔχων", καί φασι παρὰ τὴν οἶμον γεγενῆσθαι· τὰς ὁδοὺς καὶ τὰ ὁρμήματα. αἱ μέντοι πλείους τὴν δημώδη εἶχον Γοργοῦς ὄμματ' ἔχων, οἷς συλλαμβάνει καὶ τὸ ἀλλαχοῦ λεγόμενον „τῇ δ' ἐπὶ μὲν Γοργὼ βλοσυρῶπις" (Λ 36). χαλεπὸν οὖν τὸ σαφὲς εἰπεῖν. A *Ariston.(?) | Did.*

*a.*[2] Ἀρίσταρχος „Γοργοῦς οἶματ' ἔχων". A[im] *Did.*

*b.* Γοργοῦς ὄμματ' ἔχων: Ζηνόδοτος „Γοργόνος", κακῶς· οὔτε γὰρ ὁ ποιητὴς οὔτε Ἡσίοδος Γοργών φασιν, ἀλλὰ „Γοργώ" (Λ 36, Hsd. scut. 224) b(BCE[3]E[4]) T καὶ „Γοργείη κεφαλή" (Ε 741) καὶ „Γοργούς θ', αἳ ναίουσι" (Hsd. th. 274). T *ex.(Ariston.?)*

*c.*[1] Γοργοῦς ὄμματ' ἔχων: αἱ Ἀριστάρχου „οἴματα", αἱ δὲ πλείους ὄμματα· φησὶ γὰρ „Γοργὼ βλοσυρῶπις" (Λ 36), καὶ ἀπὸ τῶν ὀμμάτων εἴωθε χαρακτηρίζειν, ὡς „ὄμματα καὶ κεφαλήν" (Β 478), „κυνὸς ὄμματ' ἔχων" (Α 225) καὶ „φολκὸς ἔην" (Β 217). T *ex.(Did.)*

*b* ad Γ 80 *a*; vide ad Ο 369 (ex.) 348 cf. D, Eust. 716, 49 349 diple (non diple periestigm.) ante versum in A *a*[1] multo brevius Eust. 716, 53; verba ὁ Ζηνόδοτος (40) — Σαπφοῦς (42) Aristonico attr. Lehrs, Friedl. ὁ δὲ Ὅμηρος (41) — Γοργώ cf. D, He. γ 853 Ἀρίσταρχος (42) — ὄμματ' ἔχων (45) ad Χ 308 (Ariston.) Ἀρίσταρχος (42) — ὁρμήματα (44) cf. D τὰς ὁδοὺς (43) cf. sch. Dem. 18, 4 (p. 264, 7 Ddf.) βλοσυρῶπις (46) de accentu cf. Schwyzer, Gr. Gr. I 463, 5 χαλεπὸν οὖν (46) sq. ad Ζ 76 *b* (Did.) *b* ἀλλὰ Γοργώ (49) at cf. [Hsd.] scut. 230 (Γοργόνες), Eur. Her. fur. 883, vide Et. Gen. (B, deest A) Γοργών (fort. ex Oro) *c* καὶ ἀπὸ τῶν ὀμμάτων (53 et 57) sq. ad Λ 36 *b* (ex.)

---

32 sq. le. T suppl. Nickau 33 ἴοισσί T em. Bk. 34 λάεσί T suppl. Bk. 36 ἐν αὐτῷ C συνεχῆ τ. ἕκτ.] περὶ τὸν ἕκτορα C 37 ἐπιστρ. T συστροφὴν b εἰσελ. μέρος τοὺς ἑαυτοῦ ἵππους b 39 le. A suppl. Vill. 40 ὁ A, fort. ὅτι vel pot. ἡ διπλῆ περιεστιγμένη, ὅτι 41 γοργῶι A em. Vill. 42 λέγει (post διὸ) del. Lehrs 43 οἴμματ' A em. Vill. φασι A, φησι Lehrs (fort. recte) 44 τῶν δημωδῶν Vill. 46 γοργ (ss. ο) βλωσσυρῶπις A em. Vill. 48—50 ζην. sq. T γοργόνος δὲ γράφει ἀρίσταρχος κακῶς· οὔτε κτλ. pone sch. $c^2$ (coni. cum v. ἔχων) in b

c.² Ἀρίσταρχος μὲν „οἴματα“ φησίν, οἱ δὲ ἄλλοι ὄμματα· φησὶ γὰρ „βλοσυρῶπις“, καὶ ἀπὸ τῶν ὀμμάτων δὲ εἴωθε καὶ τοῦ προσώπου χαρακτηρίζειν, ὡς τὸ „κυνὸς ὄμματ᾽ ἔχων“. b(BCE$^3$E$^4$)

*ex.* **350.** τοὺς δὲ ἰδοῦσ᾽ ἐλέησε ⟨θεὰ λευκώλενος Ἥρη⟩: ἀναρτᾷ πάλιν ἡμᾶς ἀπὸ τῶν παρόντων μὴ διηγούμενος τὴν δυστυχίαν τῶν Ἑλλήνων ὡς φιλέλλην. b(BCE$^3$) T

*ex.* **351.** αἶψα δ᾽ Ἀθηναίην: αἶψα δίχα ἐπιλογισμοῦ· διὸ καὶ μεταμεληθήσεται ὕστερον. ἀποτυχοῦσα δὲ Ποσειδῶνος (sc. Θ 198—211) ταύτην πείθει. b(BCE$^3$E$^4$) T

*ex.* **352.** ⟨ὢ πόποι:⟩ οἰκεῖον τῇ σχετλιαζούσῃ τὸ προοίμιον. b (BCE$^3$E$^4$) T$^{il}$

*D* νῶϊ: †ἡμῖν† κοινῇ διαλέκτῳ· Δωριεῖς ——— πτώσεως, †ἡμῶν καὶ ἡμῖν. A

*ex.* **352—3** *a.*¹ οὐκέτι νῶϊ / Ἀργείων ⟨Δαναῶν⟩ κεκαδησόμεθ᾽ ὑστάτιόν περ: οὐκέτι ὕστερον χαριούμεθα †τῶν ἑλλήνων†· ἀπολοῦνται γάρ, ὡς μὴ χρείαν ἔχειν τῆς ἐξ ἡμῶν ἐπικουρίας. τινὲς δὲ κατ᾽ ἐρώτησιν. T

*a.*² κατ᾽ ἐρώτησιν δὲ αὐτῇ διαλέγεται· οὐκέτι, φησί, κἂν ἐσχάτως τῶν Ἀργείων κεκαδησόμεθα Ἑλλήνων; b(BCE$^3$E$^4$)

*Did.(?)* **353** *a.* ⟨ὀλλυμένων:⟩ γράφεται „Ἀργείων“. A$^{im}$

*ex.* | *ex.* | *ex.* *b.* κεκαδησόμεθα: ἀντὶ τοῦ φροντιοῦμεν, παρὰ τὸ κήδεσθαι. b(BCE$^3$) T | ἔχουσιν οὖν ἀπολογίαν διὰ τὸ μὴ περιορᾶν τὴν Ἑλλήνων ἐσχάτην ἀπώλειαν. | ἔστι δὲ μέσος δεύτερος μέλλων καδήσομαι καὶ Αἰολικῷ ἀναδιπλασιασμῷ κεκαδήσομαι. T

*Nic.* *c.* ὑστάτιόν περ: δύναται καὶ τοῖς ἑξῆς συνάπτεσθαι, ἵνα ᾖ ὑστάτιον „οἶτον“ (Θ 354), βέλτιον δέ, ὡς σύνηθες, τοῖς ἄνω. ἡ δὲ διάνοια· οὐκέθ᾽ ἡμεῖς τῶν Ἑλλήνων ἀποστησόμεθα τό γε πανύστατον νῦν. A

**350** μή (60) cf. Kühner-Gerth II³ (Hannoverae 1904), 188. 201 not. 3 **352—3** κατ᾽ ἐρώτησιν (71) cf. Eust. 717, 7 **353** *b* φροντιοῦμεν (76) = D, cf. Eust. 716, 65

59 le. T supplevi (auctore Vill.), om. b **60** sq. ὡς φιλ. τὴν τῶν ἑλλ. δυστυχίαν b **62** αἶψα δίχα ἐπ. T δείκνυσι τὸ αἶψα ὅτι δίχα ἐπιλογισμοῦ τοῦτο ποιεῖ b **64** ἀναπείθει b **65** le. add. LiV$^c$ **69** (le.) ἀργ. T, suppl. Nickau, ὀλλυμένων δαναῶν Hom. (vulg.); κεκαδησόμεθα T em. Ma. **70** χαρ. T m. pr., χατιούμεθα T m. sec. fort. τοῖς ἕλλησι **73—4** κατ᾽ ἐρώτησιν δὲ sq. pone sch. Θ 352 (coni. cum v. προοίμιον) b **74** τῶν ἀργ.] τειρομένων Ddf. ἑλλ. del. Bk. (τῶν ἀργ. servans) **75** le. add. Vill. γράφεται cp. (γρ) A **76** κεκαδ.: ἀντὶ (sq.) cum scholio Θ 352—3 *a*¹ (v. ἐρώτησιν) coni. T, dist. Ma.; τὸ δὲ κεκαδησόμεθα ἀντὶ (ἀπὸ E$^4$) coni. cum scholio Θ 352—3 *a*² (v. ἑλλήνων) in b **76** sq. ἀντὶ — κήδεσθαι] ἀπὸ τοῦ κήδω τὸ φροντίζω E$^4$ παρὰ τὸ T ἀπὸ τοῦ BCE$^3$

*d*. **ὑστάτιον:** ἀντὶ τοῦ ὕστατον, ὡς „†μάλλιον†“ (Tyrt. fr. 9, 6 D.$^3$ = P.) τὸ μᾶλλον. **AT** *ex.*

**355—6.** **ἀνδρὸς ἑνὸς ῥιπῇ, ὁ δὲ μαίνετ⟨αι οὐκέτ' ἀνεκτῶς⟩/ Ἕκτωρ Πριαμίδης:** τεχνικῶς οὐ κατὰ Διὸς αὐτὴν ὀτρύνει, μὴ ἄρα αἰδεσθῇ τῷ πατρὶ ἐναντιοῦσθαι. ἡ δὲ συνιεῖσα τὸ σιωπηθέν φησιν „ἀλλὰ πατὴρ οὑμός“ (Θ 360). ἐμφαντικὴ δὲ ἡ μεταφορά· τὸ γὰρ ῥιπῇ (355) ἐπὶ ἀνέμου καὶ πυρὸς τάττεται, ἄμφω δὲ ἔχει ἐπὶ Ἕκτορος· „ἐν δ' ἔπεσ' ὑσμίνῃ ὑπεραέϊ ἶσος ἀέλλῃ“ (Λ 297) καὶ „μαίνετο δ' ὡς ὅτ' Ἄρης ἐγχέσπαλος ἢ ὀλοὸν πῦρ“ (Ο 605). **b**(BE$^3$E$^4$) **T** *ex.*

**355.** **ἀνεκτῶς:** ὡς ἀνδρικῶς Ἀρίσταρχος περισπᾷ. λέλεκται δὲ ἡμῖν περὶ τῆς προσῳδίας, ὁπότε διελάβομεν περὶ τοῦ „ἦ δὴ λοίγια ἔργα τάδ' ἔσσεται, οὐκέτ' ἀνεκτά“ (Α 573). **A** *Hrd.*

**358—60.** ⟨**καὶ λίην οὗτός γε** ——— **μαίνεται οὐκ ἀγαθῇσι:**⟩ περὶ τούτου μὲν οὖν οὔ μοι μέλει, φησίν· ἀπολεῖται γὰρ ὅσον οὐδέπω. ὁ δὲ πατήρ ἐστιν ὁ ἐμὸς αἴτιος. **b**(BCE$^3$E$^4$) **T**$^{il}$ *ex.*

**358.** **λίην:** ὅσον οὐδέπω. οὕτως ἔχει καὶ τὸ „ἀλλ' ἴομεν· μάλα γὰρ νὺξ ἄνεται“ (Κ 251). **T** *ex.*

**360** *a*. ⟨**οὑμός:**⟩ ὁ μέγας καὶ σεμνός. **T**$^{il}$ *ex.*

*b*. **φρεσὶ μαίνεται:** ἐνθουσιᾷ, ὡς τὸ „μαίνετο δ' ὡς ὅτ' Ἄρης“ (Ο 605). τὸ φιλότιμον δὲ τῆς κακώσεως δηλοῖ. **b**(BCE$^3$E$^4$) **T** *ex.*

**361** *a*. **σχέτλιος:** σημειοῦνταί τινες, ὅτι ἀντὶ τοῦ ἀγνώμων, οὐκ ἐν τῷ καθόλου δέ, ἀλλ' εἰς ταύτην μόνην. **A** *Ariston.*

*b*. ⟨**ἀλιτρός:**⟩ εἰς ἐμὲ ἀλιτρός, διὰ τὰ πεπονημένα εἰς Ἡρακλέα. **T**$^{il}$ *ex.*

*c*. ⟨**ἀπερωεύς:**⟩ ἀποκωλυτής. **T**$^{il}$ *D*

*d* μάλιον (84) cf. He. μ 187, Choer. O. 240, 1 (= Hrd. 2, 548, 9), Eust. 1643, 33 **355—6** ῥιπῇ ἐπὶ ἀνέμου (90) ad Ο 170—1 *a*$^1$ (ex.) **355** ad Λ 610 (Hrd.) ὁπότε διελάβομεν (94) sq. illud sch. desideratur, vide ad Α 573 **360** *b* ἐνθουσιᾷ (7) cf. Eust. 716, 59 **361** *a* — ἀγνώμων (9) ad Κ 164 *b* (Ariston.), cf. D ad Κ 164. Σ 13 = Ap. S. 148, 1 (Apio fr. 127 B.); Lehrs Ar.$^3$ 145; vix recte Roemer, Philol. 70, 1911, 340 *b* ad Θ 362 (ex.)

---

**84—5** ὑστάτιον sq. cum scholio praecedenti coni. A μάλλιον A μᾶλλον T, μάλιον Wil., recte **85** τὸ μ. T τ(ὸν) ἄλλ(ον) a m. pr. e τ(ῶν) ἄλλ(ων) factum in A **86** sq. le. T supplevi, om. b (ubi sch. ad Θ 355 revocatum est) **87** sq. μή πως αἰδ. b, fort. rectius **88** συνίησι τὸ σ. καί φησιν b **90** ἐπὶ πυρὸς καὶ ἀνέμου E$^4$ δ' ἔχει E$^4$, δὲ λέγει Ma. **92** ὅτ' ἄρ ἐχέσπαλος T **95** οὐδέ τ' vel οὐδ' ἔτ' codd. Hom. **1—3** sch. supra Θ 358 exaravit T, ad eundem versum rettulit b **1** sq. le. addidi (καὶ λίην οὗτός γε iam LiV$^c$) **2** περὶ T καὶ μὴν περὶ b οὖν οὔ T οὐδέν b μέλλει T **3** ὁ ἐμὸς] ὁμὸς C **4—5** sch. cum le. λίην propter angustias marginis supra v. Θ 359 scriptum in T (le. χερσὶν ὑπ' ἀργείων V$^c$) **6** le. add. V$^c$, πατὴρ οὑμός: add. Ma. **11** le. add. Ma., αἰὲν ἀλιτρός suppl. V$^c$ τὰ πεπονημένα sc. τὰ ὑπ' ἐμοῦ **13** le. add. Ma. κωλυτής D

*ex.* **362.** οὐδέ τι τῶν μέμνηται: πρὸς μὲν τὸν Δία εὐπρεπὴς ἡ εἰς τὸν Ἡρακλέα τῆς εὐεργεσίας ἀνάμνησις, πρὸς δὲ τὴν Ἥραν οὐκέτι· αὕτη γὰρ ἠναντιοῦτο αὐτῇ σῳζούσῃ τὸν Ἡρακλέα. ἢ ἐκεῖνο ῥητέον ὅτι ἀνθρώπινόν τι ἔχει ἡ εἰκών· πολλὴν γὰρ σπουδήν εἴς τινας εἰσενεγκάμενοι καὶ δι' αὐτῶν τοῖς ἀναγκαίοις εἰς ἀπέχθειαν ἐλθόντες, ἀχαρίστων ὄντων τῶν εὖ πεπονθότων, εἰώθαμεν σχετλιάζοντες εἰσφέρειν πρὸς οὓς ἀπηχθήμεθα τὴν τῶν εὐεργετηθέντων ἀχαριστίαν μεμφόμενοι ἑαυτοὺς ἐπὶ τῇ ἀβούλῳ κρίσει. **b**(BE$^3$E$^4$) **T**

*D* **363.** ⟨ἀέθλων:⟩ κακοπαθειῶν. **T**$^{il}$

*ex.* **364** *a.*[1] ⟨πρὸς οὐρανόν:⟩ αὔξει τὴν ἐπικουρίαν. δηλοῖ δὲ καὶ τὸ εὐσεβὲς Ἡρακλέους. **T**$^{il}$

*a.*[2] τὸ εὐσεβὲς Ἡρακλέους δηλοῖ καὶ τὴν ἑαυτῆς αὔξει ἐπικουρίαν. **b**(BCE$^3$E$^4$)

*ex.* **364—5.** ⟨αὐτὰρ ἐμὲ Ζεύς / ——— προΐαλλεν:⟩ ἀπολογεῖται τῇ μητρυᾷ. **T**$^{il}$

*ex.* **367—8.** εὖτέ μιν εἰς Ἀΐδαο ⟨——— Ἀΐδαο⟩: ἀπὸ τοῦ μείζονος ἄθλου πάντας δηλοῖ. οἶδε δὲ τὸν κύνα καὶ τὴν φύσιν αὐτοῦ. Πίνδαρος (fr. 249 b, p. 75 Sn.) δὲ ἑκατόν, Ἡσίοδος (cf. th. 312) δὲ πεντήκοντα ἔχειν αὐτὸν κεφαλάς φασιν. **A** **b**(BCE$^3$E$^4$) **T**

*ex.* **367.** ⟨πυλάρταο:⟩ διὰ τὸ μηδένα ἀνιέναι. **T**$^{il}$

*D* πυλάρταο: ἰσχυρῶς ——— ἐξ Ἅιδου. **A**

*Ariston.* **368.** ἐξ Ἐρέβευς ἄξοντα κύνα στυγεροῦ Ἀΐδαο: ὅτι τούτου μόνου τοῦ ἄθλου μέμνηται κατὰ τὸ ῥητὸν †τίνες ἦσαν†. καὶ ὅτι κύνα μόνον λέγει, Κέρβερον δὲ οὐκ ὀνομάζει, ὡς οἱ νεώτεροι (e. g. Hsd. th. 311). **A**

**362** ad Θ 361 *b* **364** δηλοῖ (23) sq. cf. Eust. 718, 13 **365** de v. ἀπ' οὐρανόθεν cf. Ap. Dysc. adv. 186, 1, pron. 67, 16, synt. 164, 5, adv. constr. 208, 28; vix credam Apollonium ad Θ 365 scholium legisse, vide ad Θ 19 **367—8** — ἄθλου (30) cf. Bethe, Diss. 43 n. 55 Πίνδαρος δὲ (30) sq. cf. sch. Greg. Naz. or. 4, 115 (p. 234, 15 Piccol.) ἑκατόν (31) cf. Hor. c. 2, 13, 34 (*belua centiceps*) **368** καὶ ὅτι κύνα (36) sq. cf. Eust. 717, 55; Paus. 3, 25, 6 (vide Bacher 70) κύνα (36) — Κέρβερον (37) cf. sch. λ 623; sch. Hsd. th. 311 ὡς

**16** αὕτη E$^3$ T αὐτὴ BE$^4$ ἠναντίωτο **b** **17** ἀνθρ. τι **b** ἀνθρωπίνως T τινας **b** ἰδίας T ἰδίους Valk (I 518; vix recte) **20** ἀπεχήθμεθα T **21** ἑαυτοῖς **b**, fort. melius (at cf. Valk I 507) **22** le. add. Ma., ἄθλων add. V$^c$ **23** le. add. Ma. **27** le. addidi, οὐρανόθεν προΐαλλεν add. V$^c$, αὐτὰρ ἐμὲ ζεύς: add. Bk., ἐμὲ ζεὺς: add. Ma. (sch. supra v. 364 exaravit T) **28** μητρυιᾷ Bk., fort. recte **29** le. T supplevi, om. A**b** (sch. ad Θ 368 rettulit **b**; de A vide notam sq.) **29—32** ἀπὸ δὲ sq. pone sch. Θ 368 (coni. cum v. νεώτεροι) in A **30** οἶδεν A καὶ **b** ἢ T **31** δὲ[1] T μὲν οὖν **b** γοῦν A **32** κεφ. αὐτὸν ἔχ. φησίν **b** **33** le. add. V$^c$ **35** ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **36** τίνες ἦσαν del. Lehrs (Hrd. 457; postea propos. τὴν νέκυιαν vel πρὸς τὴν νέκυιαν, cf. λ 623—6); verba luxata; fort. aliquid excidit, e. g. τοὺς ἄλλους σιωπῶν (vel τοὺς δὲ ἄλλους σιωπᾷ), τίνες ἦσαν

κύνα ⟨στυγεροῦ⟩ Ἀΐδαο: τὸν Κέρβερον. τελεσθέντων ——— Ἅιδου βοῶν ἀπέσφαξεν. A *D*

369. Στυγὸς ὕδατος: Στὺξ μία ——— κρήνη ἐν Ἅιδου. A *D*

αἰπὰ ῥέεθρα: προσάντη καὶ ἄνωθεν καταρρέοντα. b (BCE$^3$E$^4$) T „καὶ τὸ κατειβόμενον Στυγὸς ὕδωρ" (O 37). T τὸν πλοῦν δὲ τοῦ Κωκυτοῦ φησιν, „ὃς δὴ Στυγὸς ὕδατός ἐστιν ἀπορρώξ" (κ 514). b(BCE$^3$E$^4$) T *ex.*

370 *a*. ⟨στυγέει:⟩ οὐκ εἶπεν ὅτι οὐδὲν ἀντευεργετεῖ, ἀλλ' ἠθικῶς ὅτι καὶ μισεῖ με. b(BCE$^3$E$^4$) T$^{il}$ *ex.*

*b.*$^1$ Θέτιδος δ' ἐξήνυσε βουλάς: ἀπέκρυψεν αὐτῆς τὴν χάριν, τὴν δὲ ἰδίαν ὠνείδισεν. T *ex.*

*b.*$^2$ τὴν μὲν Θέτιδος χάριν ἀπέκρυψε λέγουσα δωρεὰν αὐτὴν εὐεργετεῖσθαι, τὴν δὲ ἰδίαν ὠνείδισε εὐεργετουμένη. b(BCE$^3$E$^4$)

371—2 *a*. ἧ οἱ γούνατ' ἔκυσσε ⟨——— πτολίπορθον⟩: ἀθετοῦνται δύο στίχοι, ὅτι οὐκ ἔδει κατὰ μέρος διηγήσασθαι, καὶ ταῦτα πρὸς τὴν καλῶς εἰδυῖαν. καὶ μὴν οὐδὲ ἡμεῖς περισσόν τι προσιστοροῦμεν. A *Ariston.*

*b.*$^1$ ἧ οἱ γούνατ' ἔκυσσε ⟨——— πτολίπορθον⟩: παρὰ Ζηνοδότῳ οὐκ ἦσαν οἱ δύο. T *Did.(?)*

*b.*$^2$ οὐδὲ παρὰ Ζηνοδότῳ ἦσαν. A$^{im}$

373 *a*. ἔσται μάν, ⟨ὅτ' ἂν αὖτε φίλην γλαυκώπιδα εἴπῃ⟩: πρὸς τὸ τῆς ἑρμηνείας ἴδιον, ὡς ἐκεῖ „ἔσσεται ἦμαρ, ὅτ' ἄν ποτ' ὀλώλῃ Ἴλιος ἱρή" (Δ 164. Z 448) ἀντὶ τοῦ ὅτε ὀλεῖται. A *Ariston.*

οἱ νεώτεροι (37) cf. Roemer, Ar. 113 (A = D) τὸν Κέρβερον. τελεσθέντων (39) sq. quae in scholio D de Herculis ultimo labore narrantur, verbatim fere ex [Apoll.] bibl. 2, 122—25 illata sunt **369** — καταρρέοντα (42) cf. Or. 9, 5 (unde Et. Gen. αἰπὰ ῥέεθρα = EM. 37, 40; Et. Gud. 51, 17 Stef.): αἰπὰ ῥέεθρα· παρὰ τὸ αἰπὺ αἰπέα καὶ συγκοπῇ αἰπά (Et. Gud., καὶ κατὰ συγκοπὴν αἰπά EM., om. cod. Or.), ὅθεν τὸ ᾱ βραχύ. „αἰπά" οὖν „ῥέεθρα" τὰ δύσβατα ἀπὸ μεταφορᾶς τῶν ἀκρωτηρίων (EM., Et. Gud., ἀκρωρειῶν cod. Or.)· αἶπος γὰρ τὸ ἀκρωτήριον (EM., Et. Gud., ἀκρώρειον cod. Or.), in sede scholiorum; vide Ep. Hom. (An. Ox. 1, 44, 6) **370** *a* ὅτι καὶ μισεῖ με (47) cf. Eust. 718, 38 **371—2** obeli ante versus in A, deesse vid. diple ante 372, cf. sch. *a* *a* fort. excidit pars notae Aristonici de iunctura Ἀχιλλῆα πτολίπορθον, ad O 56 *a*; vide ad I 328 (test), Φ 550 (Ariston.) *b* sch. Didymo attr. A. Roemer, Jhbb. class. Philol. 25, 1879, 84 **373** *a* ad Δ 164. Vide ad Z 448 (Ariston.)

39 (le.) κύνα ἄδου: A emendavi et supplevi 41 sch. pone sch. Θ 373 *a* in A, trps. et ἄδου A em. Vill. 42 τὸ δὲ αἰπὰ ἀντὶ τοῦ προσάντη καὶ ἄνωθεν ῥέοντα (pone sch. D) E$^4$ 44 δὴ — ἐστιν T ἐστι στυγὸς ὕδατος b 46 le. add. V$^c$ (ἐμὲ μὲν στυγέει add. Li) ὅτι οὐκ ἀντευεργετήθην b 47 ὅτι C ὅτι μᾶλλον BE$^3$E$^4$, om. T μισεῖ με T μεμίσημαι b 52 le. A suppl. Vill. 56 le. T supplevi 59 le. A suppl. Vill. 60 πρὸς A, ἡ διπλῆ πρὸς Vill.

*ex.* *b.* ὅτ' ἂν αὖτε φίλην γλαυκώπιδα: ἠθικῶς πάνυ τῶν φιλοφρονήσεων τοῦ πατρὸς μέμνηται ταῦτα τὰ ὀνόματα εἰποῦσα, οἷς ὑπεκορίζετο αὐτὴν ὁ Ζεὺς πρὸς τὰς χρείας παρακαλῶν. b(BCE³E⁴) T

*ex.* **374.** ἐπέντυε μώνυχας ἵππους: οὐχ ὡς ἥττονι προστάσσει, ἀλλὰ καιρὸν λαμβάνουσα πρὸς τὸν ὁπλισμόν. b(BCE³E⁴) T

*Did.(?)* **376.** ⟨ἴδωμαι:⟩ γράφεται „ἴδωμεν". A^im

*ex.* **377—8.** εἰ νῶϊν Πριάμοιο πάϊς ⟨——— / γηθήσει⟩: ἠθικῶς πρὸς τὸ „ὁ δὲ μαίνεται οὐκέτ' ἀνεκτῶς" (Θ 355). b(BCE³E⁴) T

*Ariston.* **377** *a.*¹ {εἰ} νῶϊ: ὅτι Ζηνόδοτος γράφει σὺν τῷ ν̄ „νῶϊν". τοῦτο δὲ τίθεται ἀντὶ τοῦ ἡμῖν ἢ ἡμῶν· οὐδέτερον δὲ ἁρμόζει· τὸ γὰρ νῶϊ ἐστὶν ἢ ἡμεῖς ἢ ἡμᾶς. A

*a.*² ἀντὶ τοῦ ἡμῶν. A^int

*Did.|Hrd.(?)| Did.|Hrd.(?)* **378** *a.*¹ γηθήσει προφανεῖσα ⟨ἀνὰ πτολέμοιο γεφύρας⟩: Ἀρίσταρχος „προφανέντε" ὡς „πληγέντε κεραυνῷ" (Θ 455), δυϊκῶς. ὁ δὲ Ζηνόδοτος „γηθήσει προφανεῖσας ἰδὼν ἐς δοῦπον ἀκόντων" (cf. Λ 364), συστέλλων τὴν τελευταίαν, | παροξυτόνως προφερόμενος μετ' ἐκτάσεως τοῦ ᾱ. | ἔστι δὲ ἄκρατον Δώριον. | σπάνιον δὲ τὸ τοιοῦτο παρὰ τῷ ποιητῇ. A

*Hrd.(?)* *a.*² γράφεται „προφανεῖσα". A^im

**377** *a* ad Θ 428. Λ 767 *a*¹. N 326 *a*. O 437—8 (Ariston.). Vide ad E 219 *a* (Hrd.) **378** diple periestigm. ante versum in A, fort. erat sch. Aristonici de lectione Zenodoti (cf. Did.; Wismeyer 22) *a*¹ προφανέντε (75) ad Θ 455 *a* (Ariston.); cf. Cobet, Miscell. crit. 400 verba παροξυτόνως (77) — τοῦ ᾱ (78) et σπάνιον δὲ (78) sq. Herodiano dubitanter attribui, cf. Ep. Hom. (An. Ox. 1, 373, 19): λέγει δὲ ὁ Ἀσκαλωνίτης (p. 43 sq. B.)· „οὐκ ἔστιν εὑρέσθαι ἐπὶ θηλυκῶν ὀνομάτων παρὰ τῷ ποιητῇ τοιοῦτο δυϊκόν" (sc. dualem παρειά). προσέθηκε δὲ „ἐπὶ ὀνομάτων" διὰ τὸ „γηθήσει προφανείσα ἀνὰ πολέμοιο (lg. πτολέμοιο) γεφύρας" (vide ad Γ 35 *d*); ergo v. l. προφανεῖσα hoc loco laudata est, fort. teste Ptolemaeo Ascal., cf. Lentz, Philol. 21, 1864, 391; Ludwich, A. H. T. 1, 292, 4; Valk I 548 ἄκρατον Δώριον (78) vide ad Z 262; Ahrens, G. L. D. 2, 172; A. M. Morpurgo-Davies, Glotta 42, 1964, 156 σπάνιον δὲ (78) sq. cf. verba in T a m. sec. in mg. (iuxta versus Θ 377—9) exarata: σπάνιον τοῦτο παρὰ τῷ ποιητῇ *a*² cf. D

---

**62** πάνυ om. b **63** ταῦτα T, αὐτὰ b (fort. rectius) **63** sq. οἷς sq. T οἷς παρακαλῶν αὐτὴν ὁ ζεὺς πρὸς τὰς ἰδίας εἰσεπορίζετο χρείας b **65** προστάσσει T κελεύει b **67** le. add. Bk. (Vill.) **68** le. T supplevi, om. b (qui sch. ad v. 378 revocavit) **69** πρὸς T καὶ τοῦτο πρὸς b **70** (le.) εἰ delevi ὅτι A, ἡ διπλῆ (sc. περιεστιγμένη), ὅτι Vill. **74** le. γηθήσει προφανεῖσα A em. et suppl. Ldw. **75** προφανέντες A em. Vill. **76** προφανείσας A em. Dtz. **77** fort. lac. statuenda ante παροξ., cf. test. **78** δόριον A em. Vill. **78** sq. τῷ τοιούτῳ (τοι supra l. scriptum) A em. Vill. **80** γράφεται cp. (γρ) in A προφανεῖσα A em. Bk.

*b.*$^1$ ⟨γηθήσει⟩ προφανείσα ⟨ἀνὰ πτολέμοιο γεφύρας⟩: δυϊκῶς. Ἀρίσταρχος δὲ „προφανέντε" ὡς „πληγέντε κεραυνῷ" (Θ 455). ὁ δὲ Ζηνόδοτος „γηθήσει προφανεῖσας ἰδὼν ἐς δοῦπον ἀκόντων", συστέλλων τὸ σας ὡς Δωρικώτερον, ὡς τὸ „λαγέτας υἱούς" (cf. Pind. Ol. 1, 89) καὶ „τροπὰς ἠελίοιο" (Hsd. opp. 564. 663). **T** *ex.(Did.)*

*b.*$^2$ προφανείσα δὲ γράφει Ἀρίσταρχος δυϊκῶς, ὁ δὲ Ἡρωδιανὸς „προφανεῖσας" βούλεται συστέλλων Δωρικῶς τὸ α, ᾧ καὶ πειθόμεθα. **b**(BCE$^3$E$^4$)

**379** *a.* ἤ τις {καὶ Τρώων}: περισπαστέον τὸν ἤ σύνδεσμον, ἵνα διαπορητικὸς γένηται. καὶ βεβαιωτικὸς δὲ ἦ περισπασθήσεται. **A** *Hrd.*

*b.* ἤ τις καὶ Τρώων κορέσει ⟨κύνας⟩: περισπαστέον τὸ⟨ν⟩ ἦ· διαπορητικὸς γάρ ἐστιν. | τὸ δὲ τίς ἢ περισσόν, ἢ τὶς ἐκ τῶν Τρώων. εἰ δὲ ἐπὶ Ἕκτορος, οὗτος ὁ νοῦς· 'ὡς ἄλλος τις κορέσει κύνας'. **T** *Hrd.* | *ex.*

**385—7** *a.*$^1$ πέπλον μὲν κατέχευεν ⟨——— νεφεληγερέταο⟩: ἀθετοῦνται στίχοι τρεῖς, ὅτι ἐν τῇ τοῦ Διομήδους ἀριστείᾳ (sc. Ε 734—6) καλῶς ἐπεξείργασται· πράττεται γάρ τινα. ἐνταῦθα δὲ πρὸς οὐδὲν ἀναλαμβάνει τὴν παντευχίαν. | ἠθέτει δὲ καὶ Ἀριστοφάνης. Ζηνόδοτος δὲ οὐδὲ ἔγραφεν. **A** *Ariston.* | *Did.*

*a.*$^2$ {πέπλον μὲν κατέχευε:} Ἀριστοφάνης ἠθέτει τοὺς τρεῖς, Ζηνόδοτος δὲ οὐδὲ ἔγραψεν. **T** *Did.*

**385.** ⟨κατέχευεν:⟩ θαυμασίως οὐ γυμνοῖ τὴν παρθένον. **T**$^{il}$ *ex.*

**389** *a.*$^1$ λάζετο {δ' ἔγχος}: Πτολεμαῖος ὁ τοῦ Ὀροάνδου ἐν τῷ Περὶ Ὁμηρικοῦ χαρακτῆρος διὰ τοῦ υ προφέρεται „λάζυτο". καὶ ἔστιν οὐκ ἀδόκιμος ἡ φράσις. **A** *Did.*

**379** *a* — γένηται (91) ad Α 190—2 καὶ βεβαιωτικὸς sq. ad Α 156 *a* *b* ὡς ἄλλος τις (94) sq. cf. T m. sec. in mg.: ἵνα ᾖ· ἤ (fort. ὥς) τις ἄλλος τῶν Τρώων ὁ Ἕκτωρ **385—7** ad Ε 734—6 (Ariston.); excidit pars scholii Aristonici, qui docebat Iovem arma sua supra ipsum induisse, ad Θ 43 *a* (Ariston.) ἐνταῦθα (3) — παντευχίαν (4) cf. Bachmann, Ar. 33 **385** at vide ad Ε 734 *a* (ex.); cf. Bolling, A. L. 112 (improbabiliter)

---

**81** sq. le., προφανεῖσα T em. Ma., ipse supplevi **83** προφανείσας T em. Ma. **84** ὡς δωρ. supra l. add. T m. pr. λαγέτᾱς Pind. **85** ἠελ. Heyne, ἐξόδοιο T **87** προφ. δὲ pone sch. Θ 377—8 (coni. cum v. ἀνεκτῶς) in **b** προφανεῖσα **b** em. Bk. **88** προφανείσας **b** em. Ddf. **90** (le.) καὶ τρ. eiecit Bk. **91** ἤ A, ὧν Bk. (fort. melius) **92** le. T supplevi (ἤ τις T emendavi) **93** τὸ T supplevi διαπορρητικὸς T em. Ma. **94** οὕτως T em. Ma. **1** sq. le. A suppl. Frdl. **6** le. T delevi **8** le. add. Ma., μὲν κατέχευεν add. V$^c$ **9** (le.) δ' ἔγχος del. Bk. **10** οι et λάζοιτο A corr. Bk. **11** φράσις A, γραφή Bk. (cf. sch. $a^2$)

*a.*² {λάζετο δ' ἔγχος:} Πτολεμαῖος διὰ τοῦ ῡ. καὶ ἔστιν οὐκ ἄκαιρος ἡ γραφὴ „λάζυτο". T

*Ariston.* 390—1. βριθὺ μέγα ⟨——— ὀβριμοπάτρη⟩: ἀθετοῦνται καὶ οὗτοι, ὅτι ἀκαίρως ἐκεῖθεν (sc. ex E 746—7) μετηνέχθησαν. A

*Ariston.* 393 *a.* πύλαι μύκον οὐρανοῦ: ὅτι πύλας οὐρανοῦ τὰ νέφη ὑποτίθεται· τὸν γὰρ ὑπὲρ τὰ νέφη τόπον ὁμωνύμως τῷ στερεμνίῳ οὐρανὸν καλεῖ. πρὸς τὰ περὶ 'Ολύμπου. A

*ex.* | *ex.(?)* *b.* μύκον: οὕτω λέγει ἐπὶ τῶν θυρῶν, b(BCE³E⁴) T ἀεὶ ταύτην μιμούμενος τὴν φωνήν· b(BCE³E⁴) „τὰ δ' ἀνέβραχεν ἠΰτε ταῦρος ⟨/ βοσκόμενος λειμῶνι⟩· τόσ' ἔβραχε καλὰ θύρετρα" (φ 48—9). b(BCE³E⁴) T | τὸ δὲ μύκον ἀντὶ τοῦ ἀνεῴχθησαν. T

*ex.* 396. ⟨τῇ:⟩ ἀντὶ τοῦ ἐκεῖ. T^il

*Ariston.* 399 *a.* βάσκ' ἴθι Ἶρι ταχεῖα: ὅτι οὐκ ἔστι κοινὸν νῦν ἐπίθετον τὸ ταχεῖα, ἀλλὰ πορεύου ταχεῖα. A

*ex.* *b.* βάσκ' ἴθι, Ἶρι, ταχεῖα: ἀντὶ τοῦ ταχέως — „λῦσεν δ' ἀγορὴν αἰψηρήν" (T 276) b(BCE³E⁴) T ἀντὶ τοῦ αἰψηρῶς, T καὶ „ταχέες δ' ἱππῆες ἄγερθεν" (Ψ 287) b(BCE³E⁴) T καὶ „βράχε δ' εὐρεῖα χθών" (Φ 387) —· ἀελλόπους γάρ (cf. Θ 409 al.). T

*ex.* 399—400 *a.*¹ μηδ' ἔα ἄντην ⟨/ ἔρχεσθ' ——— πτόλεμον δέ⟩: μηδὲ ἔα εἰς τὸ ἐναντίον τῆς ἐμῆς κελεύσεως ἔρχεσθαι αὐτάς· οὐ γὰρ καλῶς εἰς τὸν πόλεμον σπευσόμεθα. T

*a.*² λέγει δὲ ὅτι μὴ συγχώρει αὐτὰς ἐξ ἐναντίας τῆς ἐμῆς κελεύσεως ἔρχεσθαι· οὐ γὰρ καλῶς ὑποστραφήσονται. b(BCE³E⁴)

*Did.* 401. ⟨ὡς καὶ τετελεσμένον ἔσται:⟩ γράφεται „τὸ δὲ καὶ τετελεσμένον ἔσται". A^im

*ex.* 402 *a.* γυιώσω μέν σφωϊν ⟨——— ὠκέας ἵππους⟩: βλάψω, ὅ ἐστι χωλανῶ, καὶ κενοὺς εἰς τὴν πορείαν ποιήσω. T

390—1 ad E 746—7 (Ariston.) 393 *a* ad E 749 (Ariston.), cf. Lehrs Ar.³ 163 τὸν γὰρ (17) sq. ad B 458 (Ariston.) *b* cf. D 399 *a* ad Δ 182 *a* (Ariston.) *b* ad T 276; cf. Ap. S. 150, 7 399—400 καλῶς (32) cf. Eust. 719, 64 402 *a* — χωλανῶ (38) cf. D, D ad Z 265, Eust. 720, 13; Or. in Et. Gen. (AB) ἀμφίγυια

12 le. T delevi 14 le. A suppl. Frdl. 16 le. Bk. (Vill.), αὐτόμαται δὲ πύλαι: A ὅτι A, ἡ διπλῆ, ὅτι Vill. 19 le. scripsi, πύλαι μύκον T, om. b οὕτως b 20 τὰ δ' b τὸ δ' T 21 ταῦρος τόσ' suppl. Ma. τόσ' T τόσσον b 23 le. add. Ma., δι' αὐτάων add. V^c, Bk. 24 ὅτι A, ἡ διπλῆ, ὅτι Vill. 25 ταχεῖα²] ταχέως Ddf. (cl. A ad Λ 186), fort. ταχεῖα ἀντὶ τοῦ ταχέως 26 λῦσεν T, ὡς τὸ λῦσε b 29 ἀελλόπουν T em. Ma. 30 sq. le. T supplevi 32 καλῶς — πολ. T, fuisse καλὸν εἰς πόλεμον ci. Wil. σπευσούμεθα (pot. qu. σπευσοίμεθα) T em. Ma. 33—4 coni. cum scholio Θ 399 *b* (v. ἄγερθεν) in b 35 le. add. Bk. γράφ. cp. (γρ) in A 37 le. T supplevi, fort. rectius γ. ὠκ. ἵππ.:

*b*. σφωϊν: ἐγκλιτικὴ νῦν ἐστιν ἡ ἀντωνυμία· τρίτου γὰρ προσώπου, τὰ δὲ τρίτα δυϊκά, τό τε σφωέ καὶ σφωΐν, ἐγκλιτικά ἐστι⟨ν⟩. ὅτε μέντοι δευτέρου γίνεται τὸ σφωϊν, προπερισπᾶται· ὀρθοτονεῖται γὰρ τὸ „γυιώσειν μὲν σφῶϊν" (Θ 416). **A** *Hrd.*

405 *a*. ἕλκε' ἀπαλθήσεσθον: ἐν τῇ ἑτέρᾳ τῶν Ἀριστάρχου „ἕλκε' ἀπαλθήσονται"· καὶ μήποτε κρεῖττον, τὰ ἕλκη ἀπαλθήσονται. **A** *Did.*

*b*. ἀπαλθήσεσθον: ἀποθεραπευθήσεσθον· ἀλθαίνω γὰρ τὸ θεραπεύω. **T** *ex.*

406—8. ὄφρ' εἰδῇ ⟨——— ὅττι κεν εἴπω⟩: ὅτι τῷ τοῦ Διὸς προσώπῳ ἁρμόζουσιν οἱ λόγοι, τῷ δὲ τῆς Ἴριδος (sc. Θ 420—2) οὐκέτι. **A** *Ariston.*

406. ὄφρ' εἰδῇ γλαυκῶπις, ⟨ὅτ' ἂν ᾧ πατρὶ μάχηται⟩: καίπερ ὀργιζόμενος οὐ τὴν ἀρχὴν οὐδὲ τὴν ἰσχύν, ἀλλὰ τὴν φύσιν προβάλλεται. **b**(BCE³E⁴) **T** *ex.*

407. Ἥρῃ δ' οὔτι ⟨τόσον⟩ νεμεσίζομαι: τὰ μὲν θεῖα ἐᾷ, σκοπεῖ δὲ τὰ βιωτικά· ἐναντιοῦνται γὰρ ἀλλήλοις ἄνδρες καὶ γυναῖκες. **b**(BCE³E⁴) **T** *ex.*

408 *a*.¹ ἐνικλᾶν, ὅττι νοήσω: ἐνικλᾶν ἐμποδίζειν. ἡ μεταφορὰ ἀπὸ τῶν εἰς τὰς ἀσπίδας ἀποθραυομένων δοράτων. **A b** (BCE³E⁴) **T** | οὕτως δὲ γραπτέον „ὅττι κεν εἴπω", οἷον κατακάμπτειν καὶ μὴ ἐᾶν τὰ ὑπ' ἐμοῦ εἰρημένα. καὶ πάλιν ἑξῆς, ἐν οἷς ἡ Ἶρίς φησιν, „ὅττι κεν εἴπῃ" γράφεται (Θ 422). **A** *ex.* | *Did.*

*a*.² ⟨ὅττι νοήσω:⟩ Ἀρίσταρχος „ὅττι κεν εἴπω". **A**ⁱᵐ *Did.*

(Reitzenstein, Gesch. 35, 14)　*b* ad A 336, cf. Ap. Dysc. pron. 111, 9, synt. 228, 5 (locus ad A 8 *a* exscriptus est); — προσώπου (40) ad Λ 627. O 155 *b*. Ψ 281 (Hrd.), cf. sch. δ 28　τὰ δὲ τρίτα (40) — ἐγκλιτικά ἐστιν cf. Ap. Dysc. pron. 92, 5, synt. 249, 1; Hrd. 1, 478, 22　σφωέ (40) ad A 8 *a* (Ariston.)　ὅτε μέντοι (41) sq. cf. sch. π 171. φ 212. De casibus vocis σφωΐν vide Ap. Dysc. pron. 89, 14. 91, 8. 111, 6　405 *b* — ἀποθεραπευθήσεσθον (46) cf. D, Eust. 720, 18; He. α 5744　**408** *a*¹ ἐμποδίζειν (57) cf. D, Ap. S. 69, 14; sch. Ap. Rh. 3, 306—07 (test.)　οὕτως

39 le. Bk., γυιώσω μὲν σφῶϊν ὑφ' ἅρμασιν ὠκέας ἵππους· A　ἐγκλητικὴ A em. Vill.　41 ἐστι A suppl. Bk.　44 κρείττων A em. Vill.　48 le. A suppl. Frdl.　ὅτι A, οἱ ἀστερίσκοι, ὅτι Vill.　51 le. T supplevi (auctore Vill.), om. b　54 le. T suppl. Ma. (ἥρῃ δ' οὔτι τόσον iam Li), om. b　57 le. scripsi, αἰεὶ γάρ μοι ἔωθεν ἐνικλ. ὅ ν.: A, ἐνικλᾶν T, om. b　ἐνικλᾶν alt. A, om. bT　ἐμπ. AT ἐμποδίζειν. εἴληπται δὲ BCE³, om. E⁴　62 le. addidi

*ex.* 409. ἀελλόπος: κατ' ἔλλειψιν τοῦ ῡ, ἀελλόπους, ταχεῖα, ἀέλλαις κατὰ τὸ τάχος παραπλησία. A

*Ariston.* 411 *a.* πρώτῃσιν δὲ πύλῃσι: οὐχ ὡς καὶ ἄλλων οὐσῶν, ἀλλ' ἀντὶ τοῦ ἄκραι, ὡς τὸ „ἄξαντ' ἐν πρώτῳ ῥυμῷ" (Z 40. Π 371) ἀντὶ τοῦ ἄκρῳ. A

*ex.(Ariston. + ex.?)* *b.* πρώτῃσιν δὲ πύλῃσι: ἄκραις, ὡς „πρώτῳ ῥυμῷ" (Z 40)· οὐ γὰρ πολλαὶ πύλαι τοῦ Ὀλύμπου. πολὺ δὲ τάχος ὑποφαίνεται Ἴριδος. b(BCE$^3$E$^4$) T

*ex.* 413. πῇ μέματον: καλῶς μηδὲ προσφωνήσασα αὐταῖς τοῦ πράγματος ἄρχεται. οἰκεῖον δὲ τῇ ἐπιπλησσούσῃ πολλαῖς ἀρχαῖς κεχρῆσθαι. b(BCE$^3$E$^4$) T

*Did.* 415 *a.*[1] εἰ τελέει περ: εἰ ἀντὶ τοῦ ὡς, ἵν' ᾖ σύμφωνον τῷ „ὧδε γὰρ ἐξερέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται" (Θ 401). αἱ δὲ Ἀριστάρχου διὰ τοῦ η̄, „ἦ τελέει περ"· καὶ γὰρ ὁ Ζεύς φησι „τὸ δὲ καὶ τετελεσμένον ἔσται" (Θ 401). A

*a.*[2] Ἀρίσταρχος διὰ τοῦ η̄, „ἦ τελέει περ". A$^{im}$

*a.*[3] Ἀρίσταρχος διὰ τοῦ η̄. καὶ ἔστιν ἀντὶ τοῦ ὡς, ἵν' ᾖ σύμφωνον τῷ „ὧδε γὰρ ἐξερέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται". b(BCE$^3$E$^4$)

*Ariston.* 420—4 *a.* ὄφρ' εἰδῇς, γλαυκῶπι, ⟨——— ἔγχος ἀεῖραι⟩: ἀθετοῦνται στίχοι πέντε, ὅτι ἐκ τῶν ἐπάνω (sc. e Θ 406—8) μετάκεινται. ἱκανὸν δὲ ἦν εἰπεῖν ὅτι οὐκ ἐᾷ ὁ Ζεύς, καὶ ἀποσυνίσταται ἐπιεικὲς ὂν τὸ τῆς Ἴριδος πρόσωπον· οὐ γὰρ ἂν εἶπεν κύον ἀδδεές (423). A

δὲ (59) sq. ad Θ 422 (test.) **409** nescio an sch. Herodiani fuerit de accentu vocis ἀελλόπος, ad I 505 *b* (Hrd.) κατ' ἔλλειψιν τοῦ ῡ (63) cf. Eust. 720, 53. 768, 47. 1264, 27; sch. Pind. N. 10, 114 a (test.); Choer. Th. 1, 243, 16; vide ad Λ 648. Ω 77 ταχεῖα (63) sq. cf. D; EM. 20, 6 **410** nullum signum ante versum in A; tamen sch. Aristonici de v. δ' ἐξ fuisse credam, ad Λ 196 (Ariston.), O 79 (T), 169 (Ariston.) **411** diple ante versum in A *a* ad E 729; vide ad Π 371 *c* (Ariston.) **415** *a* cf. Leaf ad l.; Valk I 540 **420—4** *a* cf. Bolling, A. L. 113 ἐπιεικὲς ὂν (83) vide ad O 166—7 (Ariston.)

---

**66** ἄκραι vel ἄκραις Frdl. **68** ὡς T ὡς τὸ ἐν b **69** ἀποφαίνεται B **70** τῆς ἴριδος b, fort. rectius **71** αὐτὰς Bk. **72** ἐπιπληττούσῃ b **74** τῷ Vill., τὸ A **79** ἔστιν sc. τὸ ᾖ? **81** le. A suppl. Frdl. **82** sq. ὅτι — μετάκεινται fort. decurtatum, cf. test.; vide ad Θ 423—4 **83** ἀποκαθίσταται Lehrs (Hrd. 460), προσυνίσταται Cob. (at ἀποσυν. idem valet quod συνίσταται) **84** οὐ γὰρ A, exspectes οὐκ ἄρ(α), nisi supra scribendum οὐκ ἐπιεικὲς ὄν. Sed tradita defendi possunt

*b.* ὄφρ' εἰδῇς ——— ἀεῖραι: οὐκ ἔδει, φασί, ταῦτα πρὸς τῆς Ἴριδος λέγεσθαι, ἀλλὰ μόνον τὰ τῆς ἀπειλῆς (sc. Θ 414—9)· ταῦτα γὰρ σχετλιάζων ἀναπεφώνηκεν. ἢ οὐ σχετλιάζων, ἀλλ' ἐντέχνως τὴν ὁμόνοιαν αὐτῶν διϊστάς, δι' ὧν τὴν μὲν ἀεὶ ἐναντιοῦσθαι αὐτῷ λέγει, τὴν δὲ νῦν πρῶτον, ἵνα αἰδεσθῇ μεταβάλλεσθαι. b(BCE$^3$E$^4$) T *ex.*

**423—4.** ἀλλὰ σύ γ' αἰνοτάτη, κύον,——— ἀεῖραι: ἀθετοῦνται διὰ τὸ τραχύ. ὅσῳ δὲ δεινά ἐστι, τοσούτῳ τὴν κηδομένην ἐμφαίνει. θεραπεύεται δὲ καὶ διὰ τοῦ εἰ ἐτεόν γε / τολμήσεις· οὐ γὰρ ἄντικρυς αὐτὴν ἀναιδῆ λέγει, ἀλλ' εἰ ἐθελήσεις μάχεσθαι τῷ Διΐ. πιθανῶς δὲ οὐκ ἤρκεσεν αὐτῇ ἀπαγγεῖλαι μόνον τὰ παρὰ Διός, ἀλλὰ καὶ παρ' αὐτῆς τι προσέθηκεν. τοιαύτη δὲ ὁρᾶται καὶ ὅτε πρὸς τὸν Ποσειδῶνα πέμπεται, οὐ μόνον τὴν τοῦ ἀγγέλου, ἀλλὰ καὶ τὴν τοῦ συμβούλου ἀποπληροῦσα χώραν (cf. Ο 178—83 et 201—4). b(BCE$^3$E$^4$) T *ex.*

**423** *a.*[1] ⟨ἀλλὰ σύ γ', αἰνοτάτη, κύον ἀδδεές:⟩ οὕτως „σύ" διὰ τοῦ ῡ, τὸ δὲ „ἀδεές" δι' ἑνὸς δ̄ ὁ Ἀρίσταρχος. A$^{im}$ *Did.*

*a.*[2] {ἀλλὰ σύ:} „σύ" ἄνευ τοῦ γέ, καὶ „ἀδεές" δι' ἑνὸς δ̄. T

**424.** Διὸς ἄντα: ῥητορικῶς ἀμφοτέρας ἐνέθηκε τὰς προσηγορίας, ἐκεῖ μὲν ἐντρέπουσα „σῷ πατρί" (Θ 420), νῦν δὲ ἐκδειματοῦσα Διὸς ἄντα φησίν. καὶ ἡ μὲν καθ' Ἕκτορος ὁρμᾷ, ἡ δὲ ἀλλοιωτικῇ στάσει χρωμένη κατὰ Διός φησιν αὐτὴν πολεμεῖν. b(BCE$^3$E$^4$) T *ex.*

**425.** ἡ μὲν ἄρ' ὣς εἰποῦσ' ἀπέβη: οὐ περιμένει τὴν ἀπόκρισιν, ἀλλ' ἐν ταῖς ἀπειλαῖς αὐτὰς καταλείπει πρὸς κατάπληξιν μείζονα. b (BCE$^3$E$^4$) T *ex.*

**426** *a.*[1] αὐτὰρ Ἀθηναίην Ἥρη ⟨πρὸς μῦθον ἔειπεν⟩: Ἥρη ἡ καὶ προκαταρξαμένη τῆς νουθεσίας. T *ex.*

*a.*[2] ἡ καὶ τῆς συμβουλῆς προκατάρξασα. b(BCE$^3$E$^4$)

*b* μόνον τὰ τῆς ἀπειλῆς (87) cf. Serv. Verg. A. 9, 801 **422** fort. exstabat sch. Didymi de v. l. ὅττι κεν εἴπῃ pro ὅττι νοήσῃ (vulg.), vide ad Θ 408 $a^1$ **423—4** sch. Pio attr. Hiller, Philol. 28, 1869, 101. Aliter Eust. 721, 11 **423** δι' ἑνὸς δ̄ (5 et 6) at cf. Et. Gen. (B, deest A) ἀδδεές; vide ad E 203 $a^1$ (Hrd.) **426** vide ad B 156—69 (Ariston.)

---

**86** le. scripsi, ἤρῃ δ' οὔτι τόσον T (scholio ad Θ 421 relato), om. b (ubi sch. ad v. 420 revocatum est) φησὶ b **88** γὰρ T δὲ b ἀναπεφ. T (sc. Iuppiter), φησὶν b **89** αὐτ[.] T suppl. m. sec., αὐτῷ b **90** πρῶ[. . .] T suppl. m. sec., καὶ πρῶτον b μεταβ. bV, μεταβ[ T **91** le. scripsi, ἀλλὰ σὺ κύον αἰνότατε T, om. b **93** fort. θεραπεύει **94** θελήσεις E$^4$ ἐθελήσειε T **1** αὐτῆς b προσέθηκε b **3** ὥραν T **4** le. (= A$^{cont}$) addidi **6** ἀλλὰ σύ: σὺ sq. cum scholio praecedenti coni. T, dist. Bk.; le. delevi **7** le. Bk., διὸς ἄντα πελώριον T, om. b **9** φησίν abesse malim **9** sq. συστάσει C **10** αὐτήν φησι b **11** κατάκρισιν C **14** le. T supplevi (auctore Vill.)

*Ariston.* 428 *a.* ⟨νῶϊ:⟩ ὅτι τινὲς γράφουσι σὺν τῷ ν̄, κακῶς. $A^{int}$

*Did.* *b.*[1] ⟨νῶϊ:⟩ οὕτως νῶϊ χωρὶς τοῦ ν̄. $A^{im}$

*b.*[2] †διχῶς† τοῦ ν̄ τὸ νῶϊ. $T^{il}$

*ex.* *c.* Διὸς ἄντα βροτῶν ἕνεκα: τὸν ἐναντιούμενον ηὔξησε καὶ τὴν αἰτίαν ἐμείωσεν, ἕνεκεν ἀνθρώπων λέγουσα μὴ δεῖν διαφέρεσθαι τῷ Διΐ, **b**($BCE^3E^4$) **T** ὡς ἐκεῖ „εἰ δὴ σφὼ ἕνεκα θνητῶν ἐριδαίνετον" (Α 574). **T**

*ex.* 429. τῶν ἄλλος μὲν ἀποφθίσθω: ὅταν εἰς τὴν ἀξίαν ἀτενίσῃ τῶν θεῶν, τότε φησὶν αὐτοὺς μὴ κινεῖσθαι περὶ θνητῶν ὡς οὐδὲ ἂν ἡμεῖς περὶ μυρμήκων. ὅταν δὲ ἐπιλογίσηται τὴν ποιητικήν, ἕπεται τοῖς μύθοις καὶ τὴν ὑπόθεσιν ἐκτραγῳδεῖ, **b**($BCE^3E^4$) **T** συμμαχίας καὶ θεομαχίας παράγων. **A b**($BE^3E^4$) **T**

*ex.* 433 *a.*[1] τῇσιν δ' Ὧραι μὲν λῦσαν: ὅτι οὐκέτι μέλλουσιν ἐναντιοῦσθαι τῷ Διΐ, αἱ Ὧραι ὑπηρετοῦσιν αὐταῖς. **T**

*a.*[2] διὰ τοῦτο αὐταῖς αἱ Ὧραι ὑπηρετοῦσιν, ὅτι οὐκέτι τῷ Διὶ μέλλουσιν ἐναντιοῦσθαι. **b**($BCE^3E^4$)

*D* 434. κάπῃσιν: φάτναις ——— ὅ ἐστιν ἐσθίειν. **A**

*Ariston.* 435 *a.* ⟨ἅρματα:⟩ ὅτι τὰ ὀχήματα ἅρματα λέγουσι. $A^{int}$

*Nic.* | *Ariston.* *b.* ⟨ἅρματα δ' ἔκλιναν⟩ πρὸς ἐνώπια παμφανόωντα: βραχὺ διασταλτέον ἐπὶ τὸ πρὸς ἐνώπια, ἵνα ᾖ ἅρματα παμφανόωντα. | ἰστέον δὲ ὅτι τὰ ὀχήματα ἅρματα λέγει. **A**

*ex.* *c.* ἐνώπια παμφανόωντα: τοὺς παροδίους τοίχους· οὗτοι γὰρ μόνοι φαίνονται τοῖς παριοῦσιν. τινὲς δὲ τὸ ἑξῆς ἅρματα παμφανόωντα· **A b**($BCE^3E^4$) **T** τί οὖν ἐστι τὸ „τόξον μὲν πρὸς σταθμὸν ἔκλινε πρὸς ἐνώπια παμφανόωντα" (cf. χ 120—1); **T**

428 diple (non periestigm.) ante versum in A, fort. error scribae *a* ad Θ 377 *a* (Ariston.); cf. Cobet, Miscell. crit. 256; Griesinger 55; Valk II 72 *c* τὴν αἰτίαν ἐμείωσεν (21) ad Α 574 **429** cf. Antisth. (= fr. 58 C.) ap. Dion. Chrys. or. 53, 4—5 = Zenon. (St. V. Fr. I) fr. 274; Wehrli Diss. 65 **435** *a* excidit pars scholii Aristonici, qui quaesivit, ad utrum nomen v. παμφανόωντα pertineret; ad Ψ 509 (Ariston.), vide sch. *b* et *c* ὅτι τὰ ὀχήματα (34) sq. ad Δ 226 *b*, vide ad Θ 441 *b* ad Ν 261 *a* (Nic.), cf. sch. *a*; Friedl., Nic. 89 *c* — παμφανόωντα (40) cf. Eust. 722, 8; Tryph. fig. 203, 28; — παριοῦσιν (39) ad Ν 261 *b*; aliter D; D ad

---

**17** le. add. Vill. ὅτι A, ἡ διπλῆ (fort. rectius δ. περιεστιγμένη), ὅτι Vill. τινὲς] Ζηνόδοτος Cob., cf. test. σὺν τῷ ν̄ sc. νῶϊν **18** le. addidi (auctore Ldw.) οὕτως Schm., ὅτι οὕτως A **19** debuit δίχα **21** ἀντιφέρεσθαι C **24** le. AT, om. b **25** φασὶν A περὶ b (Bk., Ma.), τῇ περὶ T οὐδ' ἂν $E^4$ **29** (le.) λύσαν em. Ma. **34** le. add. Bk. ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **35** le. A suppl. Frdl. **38** le. AT, om. b παριδίους A **39** παροῦσι A **40** παμφανόωντα οὐκ εὖ A **41** πρ. σταθμ. εὐσταθέος μεγάροιο / ἔκλιν' ἑστάμεναι πρὸς Hom.

**439** *a.* {οὔλυμπον δὲ} δίωκε: ὅτι κυρίως διώκειν λέγεται, ὅταν προφεύγῃ τις, νῦν δὲ ἐπὶ τοῦ συντόνως ἐλαύνοντος. A *Ariston.*

*b.* ἐδίωκε: οὐκ εἶπεν ἤλαυνεν, ἀλλ' ἐδίωκεν ἐμφαντικῶς διὰ τὸ ταχύ, ὡς „ῥίμφα διωκομένη" (ν 162) b(BCE$^3$E$^4$) T ἤτοι ἐπειγομένη. b(BCE$^3$E$^4$) *ex.*

**440** $a.^1$ ἵππους μὲν λῦσε κλυτὸς ἐννοσίγαιος: ἐπεὶ ἵππιός ἐστιν ὁ θεός. ἱκανὸν δὲ πρὸς φιλαδελφίαν τοῦτο. T *ex.*

$a.^2$ διὰ φιλαδελφίαν τοῦτο, οὐ διὰ τὴν τοῦ Διὸς ποιεῖ ἐνδοξότητα. b(BCE$^3$E$^4$)

**441** $a.^1$ ⟨ἀμβωμοῖσι:⟩ οὕτως Ἀρίσταρχος „†βωμοῖσι†". A$^{im}$ ἐν τοῖς Διογένους „ἀμβώνεσσι". A$^{int}$ *Did.*

$b.^1$ ἀμβωμοῖσι: Χρύσιππος (St. V. Fr. III, fr. 771) ὑφ' ἓν προφέρεται, ὁ μέντοι Ἀρίσταρχος δύο μέρη λόγου παραλαμβάνει καὶ προπερισπᾷ· λέγει γοῦν καὶ ἀλλαχοῦ „χρύσειοι δ' ἄρα κοῦροι ἐϋδμήτων ἐπὶ βωμῶν" (η 100). χρὴ μέντοι γινώσκειν ὅτι διὰ τοῦ μ̅ γράφεται, κἂν παράθεσις ᾖ, ὁμοίως τῷ „ἂμ φόνον, ἂν νέκυας" (Κ 298). | τὸ δὲ αἴτιον ἐν τοῖς Περὶ ὀρθογραφίας εἴρηται (2, 408, 20). A *Hrd.* | *Hrd.* ὀρθ.

$b^2/a.^2$ ἂμ βωμοῖσι: διὰ τοῦ μ̅ ἡ γραφή· ὅμοιον γάρ ἐστι τῷ „ἂμ φόνον". φησὶ δὲ „ἐϋδμήτων ἐπὶ βωμῶν". | Ἀρίσταρχος „†βωμοῖσι†", Διογένης „†ἀμβώνεσι†", | τοῖς ἀναβαθμοῖς. T *Hrd.* | *Did.* | *D*

*c.* κατὰ λῖτα πετάσσας: μεταπλασμός ἐστιν, ἔνθεν βαρύ- *Hrd.* | *ex.(?)*

N 261, sch. δ 42, sch. Eur. Andr. 729. Nescio an olim plura fuerint, cf. He. ε 3470: ἐνώπια· τὰ κατ' ἀντικρὺ τοῦ πυλῶνος φαινόμενα μέρη, ἃ καὶ διεκόσμουν ⟨ἕνεκα⟩ (add. Musurus) τῶν παριόντων. ὁ δὲ Κράτης τὰς φλιὰς ἀπέδωκεν (Latte, παρέδωκεν cod.) †ἐνίνοχος (ἐν Ἰλιάδος Schm., ἐν Ἰλιάδος ὑπομνήματι Latte) **439** *a* ad Χ 158 (Ariston.); cf. Lehrs Ar.$^3$ 147 νῦν δὲ (43) sq. cf. Eust. 722, 20; sch. *b* *b* ἤλαυνεν (44) = D; cf. sch. *a* **441** diple ante versum in A, fort. exstabat sch. Aristonici de v. ἅρματα, ad Δ 226 *b*, vide ad Θ 435 *a*; cf. Wismeyer 22 *a* Διογένους (52) vide ad Θ 296 *b* $b^1$ — νέκυας (57) Et. Gen. (AB) ἀμ βωμοῖσι (pone D), fort. ex hyp. Iliad.; ad Π 248 *a*, cf. sch. ε 329—30 $b^2/a^2$ τοῖς ἀναβαθμοῖς (61) cf. sch. η 100, Amm. 113 (p. 28, 1 Nick.) *c* ad Σ 352 (Hrd.), cf. sch.

---

42 (le.) οὐλ. δὲ del. Bk. ὅτι A, ἡ διπλῆ, ὅτι Vill. 43 συντόμως A corr. Bk. 44 le. scripsi, οὔλυμπον δ' ἐδίωκε T, om. b 45 διὰ τὸ ταχύ om. T ὡς τὸ b 49 διὰ alt. om. E$^3$ ποιεῖ pone τοῦτο E$^4$ 51 le. add. Bk. βωμοῖσι A, ἂμ βωμοῖσι Pfeiffer (ad Call. fr. 75, 34) 52 διογ. ὑπομνήμασιν ἀμβ. Villoison XXX 53 le. Lehrs, ἅρματα δ' ἂν βωμοῖσι: A 54 περιλαμβάνει Et. Gen. (A) 55 προπισπᾶται Et. Gen. (A, cp. B) 56 μέντοι om. Et. Gen. 56 sq. γράφονται Et. Gen. (A, cp. B) 57 τῷ Et. Gen. (A, ὁμ. τῷ om. B), τὸ A ἂμ φόνον Et. Gen., ἂν φόνον A 61 βωμοῖσι vide ad sch. $a^1$ ἀμβώνεσι cf. sch. $a^1$ 62 le. Vill., κατὰ λῖτα: A, fort. κ. λ. πετάσσας: λῖτα

νεται, ἐπεὶ πᾶσα αἰτιατικὴ ἑνικὴ ἀπαθὴς εἰς ᾱ λήγουσα βαρύνεται, ὑπεσταλμένης τῆς τινά. ἀπαθὴς διὰ τὸ εὐφυᾶ διφυᾶ καὶ τὰ τοιαῦτα. | τὸ δὲ ἑξῆς ἐστι καταπετάσας καὶ καλύψας λιτῷ περιβολαίῳ. A

*ex.* *d.* λῖτα: ὡς θῆτα, „λιτί" (Σ 352) δὲ ὡς θητί. ἔστι δὲ μεταπλασμός· διὸ βαρύνεται. ἔστι δὲ ἁπαλὸν καὶ τρυφερὸν λινοῦν ἱμάτιον. T

*Ariston.* **444** *a.* {αἱ δ' οἶαι} Διὸς ἀμφίς: πρὸς τὴν καθέδραν, ὅτι ἑκατέρωθεν τοῦ Διὸς Ἥρα καὶ Ἀθηνᾶ. A

*ex.* *b.* Διὸς ἀμφίς: χωρίς, οὐκ εἰς τὴν συνήθη ἕδραν· ἀλλαχοῦ γοῦν „πλησίαι αἵ γ' ἥσθην" (Δ 21)· ὅθεν φησὶν „οὐδ' εἴ κε τὰ νείατα πείραθ' ἵκηαι" (Θ 478). b(BCE³E⁴) T

*ex.* **446.** αὐτὰρ ὁ ἔγνω: ἐκ τῆς καθέδρας ἢ τῆς σκυθρωπότητος. b (BCE³E⁴) T

*ex.* **447.** τετίησθον: καταπέπληχθε, ὡς τὸ „φίλον τετιημέναι ἦτορ" (Θ 437), „ἶζον ⟨δ'⟩ εἰν ἀγορῇ ⟨τετιηότες⟩" (I 13). T

*ex.* **448—9.** οὐ μέν θην κάμετόν ⟨γε μάχῃ ἔνι κυδιανείρῃ / ὀλλῦσαι Τρῶας⟩: τινὲς ἐν ἐρωτήσει, καὶ περὶ τῆς προτέρας νοοῦσι μάχης, οἷον 'οὐκ ἀπήρκεσεν ὑμῖν ἐκεῖνα;'. οἱ δὲ ἐν ἀποφάσει καὶ περὶ τῆς νῦν κερτομικῶς. A b(BCE³E⁴) T

*Ariston.* **448.** {οὐ μέν θην} κάμετον {γέ}: ὅτι Ζηνόδοτος γράφει „κα-

*d*; — τινά (64) cf. Eust. 722, 35 μεταπλασμός ἐστιν (62) cf. sch. α 130 ἔνθεν βαρύνεται (62) — λήγουσα βαρύνεται (63) eadem fere EM. 568, 1 (fort. ex A) τὸ δὲ ἑξῆς (65) sq. cf. D; Eust. 722, 28 *d* cf. sch. *c* **443** diple ante versum in A; fort. exstabat sch. Aristonici de v. Ὄλυμπος (vide ad A 44 *a*) vel de iunctura μέγας . . . Ὄλυμπος (vide ad Θ 199 *c*) vel de v. τῷ (pro τοῦ, vide ad A 24); cf. Wismeyer 22 **444** *a* ad Δ 21 (Ariston.), cf. Ap. S. 29, 1; at vide sch. *b* *b* — χωρίς (71) cf. Eust. 722, 49; D, D ad Ψ 393; Ap. S. 29, 19 **447** — καταπέπληχθε (76) cf. D, Eust. 722, 51; vide ad I 13 (D), P 664 (A), Ω 283 (ex.) **448** Eust. 722, 58: ἔστι δὲ καὶ ἑτεροίας ἐκδόσεως γραφὴ ὑποδύσκολος καθ' Ἡρακλείδην (fr. 16 Co., cf. Eust. 1726, 27) αὕτη· „οὐ μέντον κάμετόν γε" ἀντὶ τοῦ οὐ μέντοι. καὶ ἔστιν κατ' αὐτὸν τὸ „οὐ μέντον" Ἀργείων καὶ Κρητῶν γλώσσης, οἳ πολλάκις ἐξαιροῦντες, φησί, τὸ ῑ ἐντάττουσι τὸ ν̄, τὴν εἰς πρόθεσιν ἔνς λέγοντες . . . καὶ τὸ οὐ μέντοι οὐ μέντον κτλ. Fort. Heraclides Mil. scholio deperdito Didymi usus est; cf. Wackernagel I 801 ὅτι Ζηνόδοτος (82) sq. ad K 545 *a* (Ariston.), Λ 782

64 εὐφυᾶι A em. Vill. 69 (le.) αἱ δ' οἶοι del. Bk. πρὸς A, ἡ διπλῆ πρὸς Vill. 71 οὐχ' T 71 sq. ἀλλ. γοῦν T ἀλλ' ἀλλαχοῦ b 72 πλησ. αἵγ' T πλησίον b κε T καὶ b 73 πείρ. ἵκ. om. T 74 le. T, ἔγνω BCE³, om. E⁴ ἐκ T διὰ BCE³ ἢ διὰ E⁴ 76 φίλον τετ. Ma., τετιημένοι φίλον T 77 δ' adiecit Ma. τετ. addidi 78 sq. le. T supplevi, οὐ μέν θην: A, om. b (qui et ipse sch. ad v. 448 rettulit) 80 ἀπήρκησεν T 82 (le.) οὐ μέν θ. et γε delevi ὅτι A, ἡ διπλῆ (rectius δ. περιεστιγμένη), ὅτι Vill.

μέτην" διὰ τοῦ η̄ ἀντὶ τοῦ ἔκαμον. τὸ δὲ κάμετον πρὸς τὸ πρόσωπον ἀντὶ τοῦ ἐκάμετε, ὃ καὶ συμφωνεῖ. **A**

**449.** ⟨τοῖσιν κότον:⟩ Ἀρίσταρχος „τοῖον κότον", καὶ ἔχει τινὰ ἔμφασιν. **A**$^{\mathrm{im}}$ *Did.*

**450—6.** πάντως, οἷον ἐμόν γε μένος ⟨καὶ χεῖρες ἄαπτοι, / οὐκ ἂν . . ./ἂψ ἐς Ὄλυμπον ἵκεσθον⟩: ὡς ἔχω χειρὸς καὶ δυνάμεως, οὐκ ἂν ἐπανήλθετε. **T** *ex.*

**450—1.** ⟨πάντως, οἷον ἐμόν γε μένος καὶ χεῖρες ἄαπτοι / οὐκ ἄν με τρέψειαν:⟩ ἀντὶ τοῦ ἐκ παντὸς τρόπου οὐκ ἄν με τρέψειαν. **A**$^{\mathrm{im}}$ *ex.*

πάντως, οἷον ἐμόν γε μένος καὶ τὰ ἑξῆς: εἰ δὲ τοῦ——— καταγωνισθῆναι. **A** *D*

**454.** ⟨τὸ δέ κεν τετελεσμένον ἦεν:⟩ ἐν ἄλλῳ „καί κεν τετελεσμένον ἔπλεν". **A**$^{\mathrm{im}}$ *Did.(?)*

**455** *a.* {οὐκ ἂν ἐφ' ὑμετέρων ὀχέων} πληγέντε: ὅτι ἀρσενικῶς τὸ δυϊκὸν ἐσχημάτισται, πληγέντε **A** ἀντὶ τοῦ πληγεῖσαι. **AA**$^{\mathrm{int}}$ καὶ Ἡσίοδος „προλιπόντ' ἀνθρώπων" (opp. 199) ἐπὶ Αἰδοῦς καὶ Νεμέσεως, ἀντὶ τοῦ προλιποῦσαι. **A** *Ariston.*

*b.* πληγέντε κεραυνῷ: ὡς „καλυψαμένω χρόα καλόν" (Hsd. opp. 198). **T** *ex.*

**459.** ⟨ἀκέων:⟩ ὅτι ἀντὶ τοῦ ἀκέουσα. **A**$^{\mathrm{int}}$ *Ariston.*

**460.** σκυζομένη: παρὰ τὸ ἐπεισάγειν τὸ ἐπισκύνιον. **A**$^{\mathrm{im}}$**T** *ex.*

**462** *a.* αἰνότατε Κρονίδη: οὐκ ἔδει λέγειν 'Ζεῦ πάτερ' (οὐ γὰρ φιλοφρονεῖται), οὐδὲ αἰνότατε Κρονίδη πρὸς τὸ μὴ ἐρεθίσαι αὐτόν. αὐτοῦ οὖν ἄρχεται τοῦ πράγματος. καὶ ἡ Ἀθηνᾶ δὲ ταῦτα ἔλεγεν, ἀλλὰ φιλοφρόνως (διὸ ἐδάμασε τὸν Δία), ἡ δὲ ἐπιτεταμένως. *ex.*

(Did.). Vide test. ad Λ 776 ἐκάμετε (84) cf. D **455** *a* cf. Eust. 723, 15; Polyb. barb. 287, 6; Anon. barb. sol. 292, 3 (= Hrd. sol. 308, 2); vide ad Θ 378 (Did.) ἐσχημάτισται (3) sq. cf. Ap. Dysc. synt. 294, 3 ἀντὶ τοῦ πληγεῖσαι (3) = D ἀντὶ τοῦ προλιποῦσαι (5) cf. sch. Hsd. opp. 199 a (test.) **459** ad Δ 22 (Ariston.), cf. D (ἡσυχάζουσα); aliter Eust. 723, 25 **460** cf. sch. Theocr. 16, 8; vide ad Δ 23, D ad P 136 **462** *a* οὐδὲ (11) — ἐπιτεταμένως (13) cf. Eust.

---

**83** ἀντὶ A, ἔστι δὲ ἀντὶ Lehrs πρὸς τὸ πρ. A, δευτέρου προσώπου propos. Cob. (non necessarium, vide ad Δ 223. 429 al.) **85** le. add. Bk. **87** sq. le. T supplevi **90** sq. le. addidi **95** le. add. Vill. (= A$^{\mathrm{cont}}$), possis καί κεν τετελεσμένον ἔσται (= vulg.) **2** (le.) οὐκ — ὀχέων del. Bk. ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **3** ἀντὶ τ. πληγεῖσα Bk. **4** ἀνθρώπους Hsd. **5** προλιπούσα Uhlig **6** (le.) κερ. fort. delendum **8** le. add. Bk. ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **9** le. T, om. A ἐπισυνάγειν Wil. **11** οὐδ' b αἰνότα[. .] T suppl. m. sec. κρον. om. T **12** αὐτόν. αὐτοῦ οὖν ἀρχ.] fort. αὐτόν, ἀλλ' αὐτοῦ ἄρχεσθαι οὖν] an γοῦν? ταὐτὰ C **13** ἐντεταμένως Bk. (recte ut vid.)

b(BC$E^3E^4$) T λέγω δὴ τὸ „ἔμπης Δαναῶν ὀλοφυρόμεθα“ (Θ 33 = 464)· T διὸ ἐπιτείνει τὴν ὀργὴν Διός. b(BC$E^3E^4$) T

*ex.* *b.* ⟨ποῖον τὸν μῦθον:⟩ τὸν ποῖον μῦθον. $T^{il}$

*Ariston.* **463—5.** ⟨εὖ νυ καὶ ἡμεῖς ——— ὄλωνται:⟩ ὅτι ἐντεῦθεν ἄνω (sc. Θ 32—4) μετάκεινται. $A^{im}$

*Did.* **463.** ⟨οὐκ ἀλαπαδνόν:⟩ γράφεται „οὐκ ἐπιεικτόν“ (Θ 32). $A^{int}$

*Ariston.* **470** *a.* ἠοῦς δή: ὅτι Ζηνόδοτος γράφει „ἄας δή“ {καὶ μᾶλλον} ἀντὶ τοῦ ἐσαύριον. ἔστι δὲ ἡ λέξις οὐχ Ὁμηρική. A

*ex.* *b.* ⟨ἠοῦς:⟩ ἅμα ἡμέρᾳ, οἱονεὶ ὄρθρου, σημαίνει δὲ τὸ αὔριον. $A^{int}$

*D* *c.* ἠοῦς: ἕωθεν, ὄρθρου, τῇ ἐπιούσῃ ἡμέρᾳ. T

*ex.* **470—6.** ⟨ἠοῦς ——— θανόντος:⟩ κινητικὰ μὲν ταῦτα τῶν ἀκουόντων. ἀλλ' ὁρίζων τὸ πέρας παραμυθεῖται τὴν ἀτυχίαν. b (BC$E^3E^4$) T

*Did.* **471.** ⟨αἴ κ' ἐθέλῃσθα:⟩ ἐν ἄλλῳ „ἢν ἐθέλῃσθα“. $A^{im}$

*ex.* **473** *a.*[1] οὐ γὰρ πρὶν ⟨πολέμου ἀπο⟩παύσεται ὄβριμος Ἕκτωρ: τὸ ὄβριμος προσέθηκε πρὸς τὸ λυπεῖν αὐτήν. T

*a.*[2] τὸ οὐκ ἀποπαύσεται καὶ τὸ ὄβριμος πρὸς τὸ ἔτι λυπεῖν προστέθεινται. b(BC$E^3E^4$)

*Hrd.* **474** *a.* {πρὶν} ὄρθαι: ἀπὸ βαρυτόνου τοῦ ὄρω κέκλιται. ὅτι δὲ ἔστι βαρύτονον τὸ ὄρω, πρόδηλον ἐκ τοῦ „ὅτε τ' ὤρετο“ (Μ 279), „ὦρτο πολὺ πρῶτος μέν“ (Η 162). A

*D* *b.* ⟨ὄρθαι:⟩ διεγερθῆναι. $A^{im}T^{il}$

723, 59 *b* ad Θ 209 *c* (ex.) **463—5** asterisci ante versus in A ὅτι (17) sq. ad Θ 32—4 (Ariston.); vide ad Θ 28 **466—8** cum hi versus in vulgata desint, haud verisimile est scholium Didymi vel Aristonici exstitisse; qui eos hoc loco certe non admisissent, vide ad Θ 28 (Ariston.); at cf. Valk II 428. Scholium recens codicis Mus. Brit. Harleiani 1771 (s. XV) τρεῖς στίχοι παρ' ἐνίοις ἀθετοῦνται nullius pretii esse cognovit Merkelbach, Gnom. 27, 1955, 273 **470** nullum signum ante versum in A, fort. error scribae *a* ἄας cf. He. α 23 (Diog.): ἐς αὔριον Βοιωτοί. οἱ δὲ εἰς τρίτην (fort. Θ 470 enarratur); Lobeck, Rhem. 253; Bechtel, Voc. 93; Pasquali, Storia 203. 237; Lesky, Wien. Stud. 63, 1948, 23 (= Ges. Schriften, Bernae 1966, 27); Valk II 49; Schwarz 15 *b* cf. Eust. 724, 2

---

**15** τὴν τοῦ διὸς ὀργήν b **16** le. add. Ma. **17** le. addidi ὅτι A, οἱ ἀστερίσκοι, ὅτι Frdl. **19** le. add. Vill. **20** ὅτι A, fort. ἡ διπλῆ περιεστιγμένη, ὅτι καὶ μᾶλλον eieci **22** le. add. Vill. **25** le. addidi κινητικὰ sq. ad v. 472 revocavit b, cum scholio praecedenti (v. ἡμέρᾳ) coni. T μὲν ταῦτα b δὲ T **28** le. add. Bk. **29** sq. le. T suppl. Ma. **31** τὸ[1]] τὸ δὲ (coni. cum scholio Θ 470—6, v. ἀτυχίαν) $E^4$ **33** (le.) πρὶν damn. Bk. **35** ὦρτο Lehrs (= Hom.), ὤρετο A **36** le. add. Ma. (πρὶν ὄρθαι iam $V^c$) ἐγερθῆναι A

**475—6.** ἤματι τῷ, ὅτ' ἂν ——— θανόντος: ἀθετοῦνται στίχοι δύο, ὅτι διὰ τοῦ ἤματι τῷ (475) πλείονος χρόνου ὑπέρθεσιν σημαίνει, τῇ δὲ ἑξῆς ἐπὶ τὸν τάφρον παράγει τὸν Ἀχιλλέα (cf. Σ 215—29). καὶ ἀκριβολογεῖν οὐκ ἀναγκαῖον, κατὰ τίνα καιρὸν ἐξαναστήσεται, ἀρκεῖ δὲ „πρὶν ὄρθαι παρὰ ναῦφι ποδώκεα Πηλείωνα" (Θ 474). τό τε ἐπιφερόμενον ψεῦδός τι ἔχει· οὐ γὰρ ἐν τῷ στείνει μάχονται. | στείνει (476) δὲ εἴωθε λέγειν ——— στενοχωρίαν. | αἰνοτάτῳ (476) δὲ τῷ χαλεπῷ διὰ τὸν φόβον. **A** *Ariston.* | *D* | *D*

**476** *a*. στείνει {ἐν αἰνοτάτῳ}: τὴν τῶν πραγμάτων στενοχωρίαν δηλοῖ. ἅμα δὲ καὶ στενός ἐστι τόπος οὕτω καλούμενος. **T** *ex.*

*b*. ⟨θανόντος:⟩ γράφεται „πεσόντος". **A**$^{\text{int}}$ *Did.(?)*

**477.** ὡς γὰρ θέσφατόν ἐστι: τὸ μοιρίδιον προβάλλεται, ἵνα μὴ δοκῇ τυραννεῖν. **b**(BCE$^3$E$^4$) **T** *ex.*

**478—9.** πείραθ' ἵκηαι / γαίης καὶ πόντοιο: δείκνυσιν ὁ ποιητὴς ὅτι συναπολήγει γῆ καὶ θάλασσα, ὡς ἂν τοῦ ὕδατος περικεχυμένου τῇ γῇ σφαιρικῶς καὶ καλύπτοντος αὐτὴν πλὴν τῶν ἀνεχουσῶν ἠπείρων, ἐν αἷς κατοικοῦμεν. **A b**(BCE$^3$E$^4$) **T** *ex.*

**479.** ⟨Ἰαπετός:⟩ εἷς τῶν Τιτάνων. **A**$^{\text{im}}$ *D*

⟨Ἰαπετός τε Κρόνος τε:⟩ Διὸς μεταστήσαντος ——— ὅρος ἐπιθεὶς †άφ οὗ Ὀφιώνιον προσηγορεύθη. **A** *D*

**480.** ⟨ὑπερίονος ἠελίοιο:⟩ τοῦ ὑπὲρ ἡμᾶς ὄντος ἡλίου. **A**$^{\text{im}}$ *ex.*

Ὑπερίονος: τοῦ ἡλίου. ἤτοι ——— τὰ ὅλα συνέχεται. **A** *D*

**484.** τὸν δ' οὔτι προσέφη λευκώλενος: ἐν καιρῷ ἡ ἀποσιώπησις· οὔτε γὰρ ἐπαινεῖν ἔχει τὰ λεχθέντα οὔτε ἀντιλέγειν πρὸς ὀργὴν τοιαύτην. **b**(BCE$^3$E$^4$) **T** *ex.*

**485** *a*. ἐν δ' ἔπεσ' Ὠκεανῷ ⟨λαμπρὸν φάος ἠελίοιο⟩: ὅτι αὐτὸς μὲν εἰς Ὠκεανὸν δύνοντα καὶ ἐξ Ὠκεανοῦ ἀνίσχοντα λέγει τὸν ἥλιον, ἐξ ἡρωϊκοῦ δὲ ⟨προσώπου⟩ οὐκέτι. **A** *Ariston.*

*b*. ἐν δ' ἔπεσ' Ὠκεανῷ ⟨λαμπρὸν φάος ἠελίοιο⟩: τῷ ὁρίζοντί φησιν, ὃς διατειχίζει τοῦ κόσμου τὸ φανερὸν καὶ ἀφανές. οὐκ ἀληθῆ οὖν δηλοῖ ἔμπτωσιν τοῦ ἡλίου, ἀλλὰ φαντασίαν δίδωσιν, ὡς ἐπὶ τὸν Ὠκεανὸν ἔρχεται ἐπὶ τὴν δύσιν ἐλθών. **b**(BCE$^3$E$^4$) **T** *ex.*

**475—6** τό τε ἐπιφερόμενον (41) sq. ad Θ 213 *e* (Nic.)  **476** cf. D  ἅμα δὲ καὶ (46) sq. ad M 66 (ex.)  **480** τοῦ — ὄντος cf. D  **485** *a* ad H 422 (Ariston.);

---

37 le. Frdl. (Vill.), στείνει ἐν αἰνοτάτῳ: A  39 fort. τὴν τάφρον  42 fort. ἐν τῷ  45 (le.) ἐν αἰν. del. Bk.  47 le. add. Bk.  50 le. Ma., πείρατα γαίης ἵκηαι καὶ πον (ss. τ) T, γαίης καὶ πόντοιο: A, om. b (qui et ipse sch. ad Θ 479 relegavit)  54 le. add. Vill.  55 le. addidi (cl. D)  57 le. addidi  62 le. A suppl. Vill.  ὅτι A, ἡ διπλῆ, ὅτι Vill.  64 προσ. add. Bk., cf. test.  65 le. T supplevi (auctore Vill.), om. b  66 ἀφανές] τἀφανές propos. Nickau  67 οὖν Ma., οὖν οὖν T δὲ b  68 ἐπὶ τὸν] ὑπὸ τὸν Ma.

*ex.* 486. ἕλκον νύκτα μέλαιναν ⟨ἐπὶ ζείδωρον ἄρουραν⟩: ἕλκον T τῇ ἀσθενείᾳ τοῦ φωτὸς τῶν ἀκτίνων. εὖ δὲ καὶ τὸ παρατατικόν· σφαιροειδὴς γὰρ οὖσα ἡ γῆ οὐ πᾶσα ὑφ' ἓν σκιάζεται, b ($BCE^3E^4$) T ἀλλὰ κατὰ μικρόν. T

*ex.* 487—8. Τρωσὶ μὲν ῥ' ἀέκουσι ⟨——— ἐρεβεννή⟩: βραχεῖαν ταύτην τὴν μάχην ἐποίησεν, ἐγχρονίζειν ταῖς τῶν Ἑλλήνων δυστυχίαις οὐ θέλων· ὅθεν τινὲς αὐτὴν καλοῦσι †κῶλον. b($BCE^3$) T

*Ariston.* 488 *a*. τρίλλιστος: ὅτι τὰ τρία ἐπὶ πλήθους τάσσει. τρίλλιστος οὖν πολυλιτάνευτος. A

*ex.* *b*.[1] ⟨τρίλλιστος:⟩ πολυλιτάνευτος. πλεονάζει δὲ τὸ λ̄. $T^{il}$

*b*.[2] πλεονάζει τὸ λ̄. ὁ πολυλιτάνευτος. $A^{int}$

*ex.* 490. νόσφι νεῶν ἀγαγὼν ποταμῷ ἔπι δινήεντι: συνελάσας μέχρι τῶν νεῶν αὐτοὺς ἀφίσταται παρὰ τὸν ποταμὸν b($BCE^3E^4$) T ὡς προβλήματι χρησόμενος τῷ ῥείθρῳ καὶ T πρὸς τὸ μὴ ἐξακούεσθαι τοῖς πολεμίοις καὶ μὴ μακρὰν ἀπεῖναι τῆς πόλεως. b($BCE^3E^4$) T

*Ariston.* 491 *a*. ἐν καθαρῷ, ὅθι δὴ ⟨νεκύων διεφαίνετο χῶρος⟩: ὅτι οὐκέτι γέγονε νεκρῶν ἀναίρεσις. πρὸς Ἴστρον (cf. FGrHist 334, 70). A

*ex.(?)* *b*. ⟨ὅθι δὴ νεκύων διεφαίνετο χῶρος:⟩ ἀμέτοχος ἦν καὶ καθαρός. $A^{im}$

*D* ἐν καθαρῷ ὅθι δὴ νεκύων: ἔξωθεν δεῖ λαβεῖν ——— τῶν νεκρῶν. A

cf. Lehrs Ar.[3] 173; — τὸν ἥλιον (63) cf. Eust. 724, 50 **486** aliter Eust. 724, 52; vide etiam Strab. 3, 2, 12 (p. 149) **488** *a*/*b* πολυλιτάνευτος = D *a* — τάσσει (76) ad Ξ 38 *a* (Ariston.), cf. Ap. S. 154, 35: τρίλλιστος· πολυλιτάνευτος· τὰ γὰρ τρία ἀρχὴν πλήθους σημαίνει, ὅθεν καὶ „τρισμάκαρες Δαναοί" (ε 306), Eust. 725, 20; vide Strab. 1, 2, 36 (p. 44), sch. Theocr. 15, 86 a *b* cf. Eust. 725, 11 **491** *a* ad K 199. 298 *b* (Ariston.). Vide ad K 469 (Ariston.), sim. ad A 4 *d*. H 328. K 349—50; cf. Hofmann, Ar. 40 *b* fort. sch. rec., cf. D; aliter Eust. 725, 49: „ἐν καθαρῷ ὅθι δὴ νεκύων διεφαίνετο χῶρος" ἤγουν ἔνθα τόπος ἦν καθαρεύων νεκρῶν· συντάσσεται γὰρ καθ' ὑπερβατόν, ἐν καθαρῷ νεκρῶν, ὅπου διεφαίνετο χῶρος ἤτοι διαφανὴς ἦν. ἕτεροι δὲ οὕτως· ὅθι νεκύων ἤγουν ἔνθα τῆς τῶν νεκρῶν πτώσεως ἦν διαφαινομένη ἡ γῆ, ὅπερ ἐστὶν ἑρμηνεία τοῦ ἐν καθαρῷ. ἄλλοι δὲ τὸ „διεφαίνετο" γενικῇ συντάξαι τολμήσαντές φασιν· ἔνθα διεφαίνετο νεκύων ὁ χῶρος ἤγουν ἔνθα καθαρὰ νεκύων ἦν ἡ γῆ, originis incertae, fort. partim e scholiis, vide

---

**69** le. T supplevi (auctore Vill.), om. b **70** τοῦ — ἀκτ. T τοῦ τῶν ἀκτίνων φωτὸς ἐφέλκεται ἡ νὺξ b **70 sq.** ὁ παρατατικός b **73** le. T supplevi, om. b (ubi sch. ad Θ 486 relatum est) **74 sq.** οὐ θέλων ante ταῖς b **75** ὅθεν sq. T ὅθεν μέρος μάχης καλεῖται b κόλον Ma. (cf. inscr. libri Θ) **76** le. Bk., ἀσπασίη τρίλληστος: A ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **78** le. add. $V^c$ **82 sq.** μὴ ἐξ. — καὶ μὴ T μήτε τοῖς πολεμίοις ἐξακούεσθαι μήτε b **84** le. A suppl. Vill. ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **86** le. addidi **88—9** pone sch. Θ 493 *a* in A, trps. Vill.

493 *a*. τόν ῥ' Ἕκτωρ: ὅτι Ζηνόδοτος περιγράφει ἀπὸ τούτου τέσσαρας στίχους κατὰ τὸ ἑξῆς (sc. Θ 493—6) διὰ τὸ καὶ ἐν ἄλλῳ τόπῳ γεγράφθαι (cf. Ζ 318—20). ὁ δὲ Ἀρίσταρχος οἰκειότερον ἐνταῦθα κεῖσθαι λέγει διὰ τὸ ἐν τῷ στρατεύματι διαλέγεσθαι. A *Ariston.*

*b*. Διῒ φίλος: οὐδαμοῦ μᾶλλον ὁ Ἕκτωρ ἐν καιρῷ ἐλέχθη Διῒ φίλος ἢ νῦν, εἴ γε καὶ θεοῖς ἀπέχθεται δι' αὐτόν. b(BCE³E⁴) T *ex.*

494 *a*.¹ ἔγχος ἔχε: ὡς ἐν πολέμῳ δημηγορῶν ἀντὶ σκήπτρου τῷ δόρατι χρῆται, τὰ σημεῖα τῆς ἀνδρίας προβαλλόμενος. T *ex.*

*a*.² καλῶς οὐ σκῆπτρον κατέχων δημηγορεῖ, ἀλλὰ τὰ τῆς ἀνδρίας σημεῖα προβαλλόμενος. b(BCE³E⁴)

496. ⟨ἔπεα Τρώεσσι μετηύδα:⟩ γράφεται „ἔπεα πτερόεντ' ἀγόρευε". A^im^ *Did.(?)*

497. κέκλυτέ μευ, Τρῶες: ὑπερηφανίας μεστὸς ὁ λόγος· οὐ γὰρ εὔνους θέλει ποιήσασθαι τοὺς ἀκροωμένους, ἀλλὰ μόνον καυχᾶσθαι, οὐχ ὡς τὸ „ὦ φίλοι, ἥρωες Δαναοί" (Β 110). b(BCE³E⁴) T *ex.*

498—9 *a*.¹ νῦν ἐφάμην νῆάς ⟨τ'⟩ ὀλέσας ⟨———/ ἂψ ἀπονοστήσειν⟩: πάλιν οἰκειοῦται τὸ κατόρθωμα καὶ ἐν τοῖς ἑξῆς „ἔλπομαι εὐχόμενος ⟨———/⟩ ἐξελάαν ἐνθένδε κύνας κηρεσ⟨σ⟩ιφορήτους" (Θ 526—7). T *ex.*

*a*.² καὶ πάλιν δὲ τὸ κοινὸν οἰκειοῦται κατόρθωμα καὶ πάλιν τῇ νίκῃ γαυριᾷ. b(BCE³E⁴)

499. ⟨Ἴλιον ἠνεμόεσσαν:⟩ ὅτι θηλυκῶς τὴν Ἴλιον. A^im^ *Ariston.*

500. ἀλλὰ πρὶν κνέφας ἦλθε: εὐέλπιδας καὶ ἐπιθυμητὰς ἐποίησεν αὐτοὺς τῆς ἠοῦς. T *ex.*

501. ἐπὶ ῥηγμῖνι θαλάσσης: ὅτι Ζηνόδοτος γράφει „ἐπεὶ Διὸς ἐτράπετο φρήν". ἐξ ἄλλου δὲ στίχου (sc. Κ 45) τὸ ἡμιστίχιόν ἐστι νῦν ἀναρμόστως προστεθειμένον· οὐ γὰρ κατὰ Διὸς προαίρεσιν νὺξ ἐγένετο. A *Ariston.*

ad Κ 199 *b* **493** diplae periestigm. ante versus Θ 493—5, rasura ante versum Θ 496 in A ὅτι Ζηνόδοτος (90) sq. vide ad Ζ 318—20 *a* cf. Reinhardt, Ilias 182 *b* cf. Eust. 726, 22 **494** cf. Eust. 725, 57 **497** ad Β 110 *b* **498—9** ad Θ 526 *a* (Ariston.), 527 *a* (ex.) **499** ad Γ 305 *b* (Ariston.) **501** ad Κ 45

---

**90** ὅτι A, ἡ διπλῆ περιεστιγμένη, ὅτι Vill. **91** τέσσ. sc. etiam v. Θ 496, qui cum tribus praecedentibus cohaereat **92** possis καὶ οἰκειότερον **95** δι' αὐτ. (αὐτῶν C) ἀπέχθ. b **4** ἀνδρείας CE⁴ **5** le. (= A^cont^) add. Bk. (Vill.) **5** sq. πτερόεντα προσηύδα vulg. **7—9** ὑπερηφ. sq. sch. ad v. Θ 498 relatum in b **8** καυχήσασθαι b **10** sq. le. T supplevi **12** εὐχόμενος ἐξελάαν et κηρεσιφορήτους T suppl. Ma. **14—5** καὶ πάλιν δὲ sq. coni. cum scholio Θ 497 (v. δαναοί) in b **16** le. add. Frdl. ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **19** le. Bk., ἀργείους καὶ νῆας: A ὅτι A, ἡ διπλῆ (περιεστιγμένη), ὅτι Vill.

*ex.* **502.** ἀλλ' ἤτοι νῦν μὲν πειθώμεθα νυκτί: τοῦτο, ἐπεὶ ἧσσον ἦν, ἐκοινοποίησε πρὸς αὐτούς. T

*Ariston.* **503.** ⟨ἐφοπλισόμεσθα:⟩ ὅτι Ζηνόδοτος γράφει „ἐφοπλίζεσθον". συγχεῖ δὲ τὸ δυϊκόν. $A^{int}$

*ex.* **503—4.** ἀτὰρ καλλίτριχας ἵππους ⟨/———ἐδωδήν⟩: στρατηγικῶς πρὸ αὐτῶν τῶν ἵππων φροντίζει, ὃ καὶ Ἀνδρομάχη ποιεῖ· „ὑμῖν πὰρ προτέροισι μελίφρονα πυρὸν ἔθηκεν" (Θ 188). b(BC$E^3E^4$) T

*Ariston.* **505** *a.* ⟨ἄξεσθε:⟩ ὅτι οὐ μέλλοντα σημαίνει τὸ ἄξεσθε, ἀλλ' ἐν ἴσῳ τῷ ἄγετε. $A^{int}$

*ex.(?)* *b.* ⟨ἴφια:⟩ εὔχρηστα. οἱ δὲ ἰσχυροποιά. ἢ εὐθηνοῦντα καὶ λιπαρά. $A^{im}$

*ex.* **507.** σῖτόν τ' ἐκ μεγάρων: οὐκ ἔστιν ἐπὶ τοῦ σίτου κοινὸν τὸ „ἄξεσθε" (Θ 505)· οὐδὲν γὰρ τῶν ἀψύχων ἄγεται, φέρεται δὲ μᾶλλον. προσυπακουστέον οὖν τὸ φέρετε. A b(BC$E^3E^4$) T

*ex.* **509.** καίωμεν πυρὰ πολλά: πρὸς ἀσφάλειαν μὲν ἑαυτῶν, κατάπληξιν δὲ τῶν πολεμίων. b(BC$E^3E^4$) T

*ex.* **510—1.** μή πως καὶ διὰ νύκτα ⟨———/⟩ φεύγειν ὁρμήσωνται: στρατηγικῶς εὐέλπιδας αὐτοὺς ποιεῖ διὰ τῆς τῶν πολεμίων φυγῆς. b(BC$E^3E^4$) T

*D* **510.** ⟨διὰ νύκτα:⟩ διὰ νυκτός. $A^{im}$

*Ariston.* **512.** ⟨μὴ μὰν ἀσπουδί γε:⟩ ὅτι ἀντὶ τοῦ μὴ ῥᾳδίως, μήπως χωρὶ⟨ς⟩ σπουδῆς. $A^{im}$

(Ariston.) **503** ad A 567 *a* (Ariston.), vide ad I 66. Non liquet, num fuerit sch. de syllaba finali vocis ἐφοπλισόμεσθα, cf. sch. Arat. 1 (p. 334, 17): τὸ δὲ „ἀρχώμεσθα" μετὰ τοῦ σῖγμα· ἔστι γὰρ καὶ ἀρχαϊσμός. Ὅμηρος „δόρπον ἐφοπλισόμεσθα" (cf. Θ 503. I 66) **505** *a* ad Γ 103 *a*. Vide ad Θ 545 (Ariston.) *b* cf. D ad E 556. Θ 545. I 406. 466; Ap. S. 93, 19; vide Eust. 728, 38 **507** vide ad I 367 (test.) οὐδὲν (36) — μᾶλλον ad N 213 (Ariston.) προσυπακουστέον (37) sq. ad K 407 *a*. M 267—8. 320, cf. sch. ι 166; Porph. 1, 330, 21; aliter Eust. 726, 35. Vide ad M 328 *a* (Ariston.) **509** κατάπληξιν (38) sq. cf. Eust. 726, 42 **512** ad O 476 *a*. X 304 (Ariston.); cf. Eust. 726, 46; vide ad B 99 *a* (Ariston.) χω-

---

25 le. add. Bk. ὅτι A, ἡ διπλῆ περιεστιγμένη, ὅτι Vill. 27 le. T supplevi, om. b (qui et ipse sch. ad v. 503 revocavit) 31 le. addidi (auctore Frdl.) ὅτι A, ἡ διπλῆ, ὅτι Vill. ἄξεσθαι A em. Bk. 33 le. add. Vill. 35 le. AT, om. b (le.) μεγάροιο T 36 ἄξ. Bk., ἄξεσθαι AT ἄξασθε b 37 προσυπ. (πρὸς ὑπακουστέον A) οὖν AT, ὅθεν προσυπακουστέον b 38 ἑαυτῶν BC$E^4$, αὐτῶν ss. ἑ $E^3$, αὐτῶν T 40 sq. le. T suppl. Ma., om. b 41—2 στρατ. δὲ εὐέλπιδας sq. coni. cum scholio praecedenti (v. πολεμίων) in b 43 le. add. Vill. 44 le. add. Frdl. ὅτι A, ἡ διπλῆ, ὅτι Vill. 45 χωρίσπουδῆς A dist. et suppl. Vill.

513 *a.*$^1$ ⟨ἀλλ' ὥς τις τούτων γε βέλος καὶ οἴκοθι πέσσῃ:⟩ αἱ 'Αριστοφάνους „πέσσοι". Παρμενίσκος δὲ ἐν τῷ α' Πρὸς Κράτητα (fr. 2 Br.) ὡς 'Αριστάρχειον γραφὴν προφέρεται „ἀλλ' ὥς τις κείνων γε". A *Did.*

*a.*$^2$ {ἀλλ' ὅστις τούτων γε:} 'Αρίσταρχος δὲ „κείνων γε". T

*a.*$^3$ 'Αριστοφάνης „πέσσοι". $T^{il}$

*b.* {ἀλλ' ὥς τις τοῦτόν γε} βέλος: ὅτι βέλος εἴρηκε τὸ τραῦμα ὁμωνύμως τῷ τιτρώσκοντι. A *Ariston.*

*c.*$^1$ {ἀλλ' ὥς τις τούτων γε} βέλος: βέλος νῦν τὸ βεβλημένον μέρος, τὸ τραῦμα τὸ ἐκ βολῆς· „ὡς δ' ὅταν ὠδίνουσαν ἔχῃ βέλος" (Λ 269). T *ex.(Ariston.)*

*c.*$^2$ τὸ ἐκ βολῆς τραῦμα, ὡς τὸ „ὡς δ' ὅταν ὠδίνουσαν ἔχῃ βέλος". b(BC$E^3E^4$)

*d.* ⟨οἴκοθι πέσσοι:⟩ καὶ μέχρις οἴκου κατάσχοι τὴν πληγήν. $A^{int}$ *ex.*

515 *a.* ⟨νηὸς ἐπιθρώσκων:⟩ γράφεται „νηὸς ἀποθρώσκων". $A^{im}$ *Did.(?)*

*b.* ἵνα τις στυγέῃσι καὶ ἄλλος: ἀλαζονείαν ἔχει ὁ λόγος βαρβαρικήν. T *ex.*

517. ⟨ἀγγελλόντων:⟩ ὅτι ἀντὶ τοῦ ἀγγελλέτωσαν. $A^{int}$ *Ariston.*

518. παῖδας πρωθήβας ⟨πολιοκροτάφους τε γέροντας⟩: πᾶς γὰρ ἱκανὸς ἀπὸ τείχους ἀμῦναι. καὶ οἱ μὲν παῖδες μεθ' ἡδονῆς φιλονεικῶς ἀγρυπνοῦσιν, οἱ δὲ γέροντες πρὸς ὕπνον ἀλλοτρίως ἔχουσιν. T *ex.*

519 *a.* λέξασθαι προτὶ ἄστυ ⟨θεοδμήτων ἐπὶ πύργων⟩: ὅτι ἀντὶ τοῦ ἐγκοιμηθῆναι. | θεοδμήτων δέ, καθὸ ὑπὸ θεῶν ᾠκοδομήθη τὸ τεῖχος τῆς 'Ιλίου. A *Ariston.* | *ex.(?)*

ρὶς σπουδῆς (45) cf. D, D ad O 476 (Ap. S. 45, 20) 513 *a* αἱ 'Αριστοφάνους (47) cf. sch. ε 83 (Did.) ὡς 'Αριστάρχειον (48) sq. cf. Wachsmuth, Crat. 20, 1 *b* Su. β 234: βέλος· καὶ τὸ τραῦμα ὁμωνύμως τῷ τιτρώσκοντι παρ' 'Ομήρῳ, ad Ξ 439 *a* (Ariston.), cf. Lehrs Ar.$^3$ 59. Vide ad M 458 *b* $c^1$ νῦν (54) — τραῦμα (55) = D 515 *a* cf. Eust. 726, 51: τὸ δὲ νηὸς ἐπιθρώσκειν ἀνάπαλιν ἔχει πρὸς τὸ νηὸς ἀποθρώσκειν 517 ad B 438; vide ad Θ 521 (Ariston.) ἀντὶ τοῦ sq. = Ep. Hom. (An. Ox. 1, 398, 1), cf. EM. 6, 55 ἀγγελλέτωσαν = D, cf. Eust. 726, 55 519 *a* — ἐγκοιμηθῆναι (70) cf. Or. 92, 1: λέξασθαι· τὸ κοιμηθῆναι, παρὰ τὸ λέχριον πεσεῖν. κυρίως ἐπὶ ἀνθρώπου. καταχρηστικῶς δὲ ἐπὶ ἀλόγων, fort. partim quidem e scholiis; cf. Roemer, Philol. 70, 1911, 328 (improbabiliter) θεο-

46—9 pone sch. *b* (coni. cum v. τιτρώσκοντι) in A, auctore Bk. transposui 46 le. add. Ldw. 47 αἱ] ἡ Nck. ἀριστοφ. A, ἀριστάρχου Lehrs, at vide sch. $a^3$ 50 le. T delevi 52 (le.) ἀλλ' — γε damnavi ὅτι A, ἡ διπλῆ, ὅτι Vill. 54 (le.) ἀλλ' — γε eieci 59 le. add. Bk. 61 le. add. Vill. γράφεται cp. (γρ) A 65 le. add. Bk. (Vill.) ὅτι A, ἡ διπλῆ, ὅτι Vill. 66 le. T supplevi 69 le. A suppl. Frdl. (le.) προτὶ A, fort. περὶ 70 ὅτι A, ἡ διπλῆ, ὅτι Vill.

*ex.* *b.*[1] λέξασθαι: παρὰ τὸ λέχος. καὶ „ξύλα †λέγετε“ (cf. Θ 507), συλλέγεσθε†. καὶ „Σύλλογος Ἀχαιῶν“ (cf. T.G.F. p. 161 N.[2] = Soph. frgg. I p. 97 P.). „Τρῶας λέξασθαι“ (cf. B 125), ἀριθμηθῆναι· ὅθεν λογάδες. **T**

*b.*[2] παρὰ τὸ λέχος. καὶ ξύλα λέξασθαι καὶ „Τρῶας μὲν λέξασθαι“ (B 125), ὅθεν καὶ λογάδες καὶ „Σύλλογος Ἀχαιῶν“. **b**(BCE³)

*Did.(?)* *c.* ⟨προτὶ ἄστυ:⟩ γράφεται „περὶ ἄστυ“. $\mathbf{A}^{im}$

*ex.* *d.* θεοδμήτων: ἀπαρκεῖ πρὸς φυλακὴν ἡ ἄχρηστος ἡλικία· ἀφ' ἑαυτῶν γὰρ τὸ ὀχυρὸν ἔχουσι τὰ τείχη, θεόδμητα ὑπάρχοντα. **T**

*ex.* **520.** θηλύτεραι: τῶν ἄλλων ζῴων, ἢ τῶν παρθένων. αἱ τετοκυῖαι τὴν συνήθη, φησίν, οἰκουρίαν προσεχέτωσαν ἅμα συνεργοῦσαι κατὰ δύναμιν τοῖς κακοπαθοῦσιν. **b**(BCE³E⁴) **T**

*D* θηλύτεραι: αἱ πρὸς τὰ ἀφροδίσια ——— πλησιάζουσιν. **A**

*Ariston.* **521.** ⟨καιόντων: ***⟩ ἀντὶ τοῦ $\mathbf{A}^{im}$ καιέτωσαν. $\mathbf{A}^{im}\mathbf{T}^{il}$

*ex.* **523** *a.*[1] ὧδ' ἔστω, Τρῶες: τυραννικῶς ἀπειλεῖ· ὅθεν καὶ „χαλεπὴν ἀποθέσθαι ἐνιπήν“ (E 492). **T**

*a.*[2] τυραννικῶς αὐτοῖς, οὐχὶ βασιλικῶς διαλέγεται ἐπηρμένος τῇ ἀλαζονείᾳ. **b**(BCE³E⁴)

*Ariston.* **524—5.** μῦθος δ' ὃς ⟨——— ἀγορεύσω⟩: ἀθετοῦνται δύο στίχοι, διότι τῇ ἑξῆς οὐδὲν λέγει καὶ τὸ ὑποτακτικὸν ἄρθρον ἀντὶ προτακτικοῦ παρείληπται, ὃς μέν (524) ἀντὶ τοῦ ὁ μέν. ὁ δὲ νοῦς ἐστι τοιοῦτος· περὶ μὲν τῶν νῦν καὶ τήμερον συντετέλεσταί μοι ὁ λόγος καὶ οὐδὲν παραλέλειπται, περὶ δὲ τῶν εἰς αὔριον ὑπὸ τὴν ἕω μηνύσω. **A**

δμήτων δὲ (70) sq. cf. sch. *d*; D, Eust. 727, 28 *b* ad B 125 *b/c*. 435 *a* et *c*; cf. Apion. 74, 245, 19 Ldw.; Lehrs Ar.³ 147 *b*¹ Τρῶας (74) — ἀριθμηθῆναι cf. D ad B 125 **520** cf. Porph. ap. Eust. 727, 32 (vide Porph. 1, 125, 2 Schr.) τῶν ἄλλων (81) — παρθένων aliter Ap. S. 87, 32 τῶν ἄλλων ζῴων (81) cf. D **521** diple ante versum in A ἀντὶ τοῦ sq. ad B 438; vide ad Θ 517 (Ariston.) ἀντὶ τοῦ καιέτωσαν = D, cf. Eust. 726, 56 **523** ad Ξ 107 *b* (ex.) **524—5** cf. E⁴ (fol. 73ᵛ, unde Le): μῦθος δ' ὃς μὲν νῦν· οὗτος μὲν δὴ ὁ λόγος, (= D) | ὁ μὲν νῦν μῦθος. ὑποτακτικὸν ἄρθρον ἀντὶ προτακτικοῦ. ὁ δὲ νοῦς ἐστι τοιοῦτος· περὶ μὲν τῶν νῦν καὶ σήμερον συντετέλεσταί μοι ὁ λόγος. καὶ οὐδὲν παραλέλειπται. περὶ δὲ τῶν εἰς αὔριον ὑπὸ τὴν ἕω μηνύσω. ἢ ὑπισχνούμενος λόγον εἶπεν οὐδαμοῦ· διὸ καὶ ἀθετοῦνται οὗτοι οἱ στίχοι νόθοι ὄντες τοῦ ποιητοῦ· ὅθεν καὶ ἀστερίσκοι καὶ ὀβελίσκοι περιφέρονται, originis incertae, fort. sch. **h**; vide Valk II 434 n. 269 τὸ ὑποτακτικὸν (91) — ὁ μέν (92) ad N 278 *b*, cf. Anon. sol. 201; Polyb. barb. 287,

---

**72** ξύλα] ξύλα πολλὰ Hom. **73** sq. λέγεσθε, συλλέγετε Ma. **74** τρ. μὲν λέξ. Hom. **74** sq. ἀριθμ. T, debuit ἀριθμήσασθαι **78** le. (= $A^{cont}$) add. Ddf. (Vill., Bk.) γράφ. cp. (γρ.) A **82** φησὶ τὴν συν. ἐπικουρίαν **b** πρασσέτωσαν **b** ἅμα om. **b** **83** κακοπαθοῦσι C **85** le. add. Bk., tum lac. indicavi verbis ἡ διπλῆ, ὅτι (ἀντί, Vill.) vel verbo ὅτι (ἀντί, Ddf.) supplendam **87** δ' ἀποθ. Hom. **90** le. A suppl. Frdl. (Vill.) **91** τῇ ἑξῆς sc. ἡμέρᾳ

524 *a.*$^1$ ⟨ὑγιής:⟩ ὁ ἀπαραποίητος καὶ ἀπαράβατος. b(BCE$^3$) *ex.*
*a.*$^2$ ἀπαράβατος ὑμῖν. T$^{il}$

525. τὸν δ' ἠοῦς ⟨———⟩ ἀγορεύσω: τὸν δὲ ἑξῆς αὔριον ἐρῶ. πάντως δὲ περὶ διανομῆς σκύλων. T *ex.*

526 *a.* εὔχομαι ἐλπόμενος: ὅτι Ζηνόδοτος γράφει „ἔλπομαι εὐχόμενος". οὐ κατὰ τὸν Ἕκτορα δὲ τὸν οὕτως ἐπηρμένον λέγει, ἐλπίζω εὐχόμενος τοῖς θεοῖς· ἐπιεικὲς γάρ· τοὐναντίον γὰρ οἰκεῖον, εὔχομαι ἐλπόμενος, καυχῶμαι ἐλπιδοποιούμενος ὑπὸ τοῦ Διὸς καὶ τῶν ἄλλων θεῶν. A *Ariston.*

*b.* ⟨εὔχομαι ἐλπόμενος:⟩ οὕτως ἡ γραφή, εὔχομαι ἐλπόμενος, οὐ τὸ ἐναντίον. A$^{im}$ *Did.*

*c.* εὔχομαι ἐλπόμενος: ἀντὶ τοῦ καυχῶμαι. T *ex.*

527 *a.* ἐξελάαν ἐνθένδε κύνας κηρεσ⟨σ⟩ιφορήτους: ὑφ' ἓν Ἀρίσταρχος. T | ὅρα δὲ τὸ παλίμβολον Ἕκτορος· τῇ γυναικὶ ἔλεγεν „ἔσσεται ἦμαρ ὅτ' ἄν ποτ' ὀλώλῃ Ἴλιος ἱρή" (Ζ 448)· ἐκεῖ μὲν γὰρ τῶν Τρώων ἡττωμένων δύσελπις ἦν, ἐνταῦθα δὲ τῇ μάχῃ κρατῶν ἐλπίζει τὰ χρηστά. b(BCE$^3$E$^4$) T *Hrd.* | *ex.*

*b.* κηρεσσιφορήτους: συνθέτως ἀνέγνω ὁ Ἀρίσταρχος καὶ οἱ πλείους, ἴσως δέ, ἐπεὶ ἀναλύει αὐτὸ „οὓς κῆρες φορέουσιν" (Θ 528)· ἔθος γὰρ αὐτῷ πολλάκις τὰ σύνθετα ἀναλύειν. οὐδέποτε δὲ δοτικὴ ἐπεκτεταμένη κατ' ἀρχὴν συντέθειται, οἷον πᾶσι καὶ πάντεσσι, „πασιμέλουσα" (μ 70), οὐχὶ παρὰ τὴν πάντεσσι ἡ σύνθεσις· „Ναυσικάα" (ζ 17 al.), „Ναυσίθοος" (ζ 7 al.), „ἐγχεσίμωροι" (Η 134 al.), „τειχεσιπλήτης" (cf. Ε 31. 455). κατ' ἀρχὴν δὲ προσέθηκα διὰ τὸ παρ' Ἐπιχάρμῳ (fr. 218 K.) κατὰ τέλος συντεθειμένον „γυναικάνδρεσσι ποθεινοί". εἴπερ οὖν τοῦτο ἀληθές, δηλονότι παράλογον τὸ κηρεσσιφορήτους κατὰ σύνθεσιν †ἀναγνωστέον†. ἀλλ' ὅμως ἐπεκράτησεν ἡ Ἀριστάρχειος, δι' ὃν εἴπομεν λόγον. A *Hrd.*

1. Vide ad Α 388  524 *a*$^1$ ἀπαραποίητος Eust. 727, 39  526 *a* ad Ξ 45 *a* (Ariston.); cf. Roemer, Zen. 697; at vide Cobet, Miscell. crit. 286; Valk II 76  οὐ κατὰ τὸν Ἕκτορα (4) sq. ad Θ 498—9 (ex.), 535—7. Ξ 366 *a*  ἐλπιδοποιούμενος (6) cf. D, vide He. ε 2213  ὑπὸ (6) sq. „i. e. ut dativus sit pro ὑπὸ cum genetivo" Friedl., Ariston. p. 151; ad Ζ 398 (Ariston.)  *c* cf. D  527 *a*/*b* cf. Ap. Dysc. synt. 11, 2  *a* ἐλπίζει (15) ad Θ 498—9  *b* — ποθεινοί (24) cf. Eust. 727, 47  πασιμέλουσα (20) cf. sch. μ 70; Classen, Beob. 67

95 le. add. Bk. (cl. Li, qui habet νῦν ὑγιής:)  1 le. T suppl. Ma.  3 le. A, fort. correctius εὔχομαι ἐλπόμενος διΐ τ' ἄλλοισίν τε θεοῖσιν: (cf. test.)  ὅτι A, ἡ διπλῆ (περιεστιγμένη), ὅτι Vill.  5 ἐπιεικὲς γάρ (sc. τοῦτο ἦν)  τοὐν. γὰρ A, malim τοὐν. δὲ  8 le. addidi (auctore Ldw.)  11 le. T suppl. Ma., om. b  11 sq. ὑφ' ἓν cf. sch. *b*  12 δὲ om. b  13 ἔσσ. ἦμ. om. T  14 ἐκεῖ T ὧδε δὲ ἄλλως· ἐκεῖ b  18 sq. δοτικῆι ἐπεκτεταμένηι A em. Bk.  20 πᾶσι μέλουσα A em. Bk.  21 ἐγχεσίμοροι A em. Bk.  23 γυναῖκ' ἄνδρεσσι A em. Bk.  25 ἀναγνωσθέν Bk., recte ut vid.

*Ariston.* | *Did.* 528. οὓς κῆρες φορέουσι ⟨μελαινάων ἐπὶ νηῶν⟩: ἀθετεῖται, ὅτι περισσός· ἐν γὰρ τῷ „κηρεσσιφορήτους" (Θ 527) τὸ αὐτὸ συντόμως εἴρηκεν. | ὁ δὲ Α Ζηνόδοτος οὐδὲ ἔγραφεν αὐτόν. AT[il]

*Did.(?)* 529. ⟨ἐπὶ νυκτί:⟩ γράφεται „ἐπὶ νύκτα". A[int]

*Ariston.* 532. εἴσομαι: ὅτι τὸ εἴσομαι πολλὰ σημαίνει, νῦν μὲν γνώσομαι, ἐν ἄλλοις δὲ πορεύσομαι, „εἴσομαι ἐξ ἀλόθεν" (Φ 335)· καὶ ἀντὶ τοῦ ἐφάνη, „εἴσατο ⟨δ'⟩ ὡς †ὅτε ἐρινεός" (ε 281). A

*ex.* 532—4 *a*. αἴ κέ μ' ὁ Τυδείδης ——— φέρωμαι: ἐντέχνως ἐφ' ἑαυτοῦ μὲν εἶπεν ὅτι οὐκ ἀπωσθήσεται, ἐπὶ δὲ τοῦ Διομήδους ὅτι ἀναιρεθήσεται καὶ ὅτι σκῦλα παρέξει αὐτῷ ἀποθανών. b(BCE[3]E[4]) T

*ex.* *b*. αἴ κέ μ' ὁ Τυδείδης ⟨——— φέρωμαι⟩: στρατηγικῶς παραθαρσύνει αὐτούς· δεδίασι γὰρ Διομήδην διὰ τὴν ὑπόγυον ἀριστείαν. καὶ τὸ Τυδείδης (532) προσλαβὸν τὸ ἄρθρον οὐκ ἀργὴν ἔχει τὴν ἀναφοράν. b(BCE[3]E[4]) T

*Did.(?)* 534. ⟨φέρωμαι:⟩ ἐν ἄλλῳ „φεροίμην". A[im]

*Ariston.* | *Ap. H.(?)* 535—7. αὔριον ἣν ἀρετὴν ⟨——— ἑταῖροι⟩: ὅτι ἢ τούτους δεῖ τοὺς τρεῖς στίχους μένειν, οἷς τὸ ἀντίσιγμα παράκειται, ἢ τοὺς ἑξῆς τρεῖς, οἷς αἱ στιγμαὶ παράκεινται (sc. Θ 538—40)· εἰς γὰρ τὴν

528 cf. Bolling, Ext. Ev. 112; Valk II 512 τὸ αὐτὸ συντόμως εἴρηκεν (28) cf. Eust. 727, 45 530 fort. exstabat sch. de vocibus πρῶϊ δ' ὑπηοῖοι, cf. Ap. Dysc. adv. 162, 31: τούτῳ γὰρ τῷ λόγῳ (sc. quod adverbia in ῑ exeuntia barytona esse solent) καί τινες ἀνέγνωσαν τὸ „πρῶϊ δ' ὑπηοῖοι" ἐν βαρείᾳ τάσει, cf. Ep. Hom. (An. Ox. 1, 293, 29. 312, 10); aliter Io. Alex. 32, 7. Neque tamen Eust. 727, 57 (ἰστέον δὲ καὶ ὅτι σπάνια τῶν ἀντιγράφων γράφουσιν „πρωῒ δ' ὑπ' ἠοῖ", ἵνα ἐκ παραλλήλου ταὐτολογῆται τὸ πρωῒ καὶ τὸ ἠοῖ) sch. vetus adhibuisse videatur 532 ad Μ 118. Ν 45 *b*. 191 *a*. Φ 335 (Ariston.), cf. D ad Μ 118, Ap. S. 62, 25, Porph. 1, 175, 4. 2, 64, 4; Lehrs Ar.[3] 147. Vide ad Ο 544. Φ 424 (Ariston.) γνώσομαι (31) = D, cf. sch. Ar. Ach. 332; vide ad Ν 216 (ex.) 535—41 antisigmata ante versus Θ 535—7, stigmae ante versus Θ 538—40, cf. Pluygers 3 et 6; Ludwich, A. H. T. 1, 295, 21; Bolling, Ext. Ev. 112; Schadewaldt 101, 3; Valk II 428. 467 (qui versum Θ 540 genuinum esse putat Aristonicoque assentitur dicenti Aristarchum versum Θ 541 aut cum versu Θ 537 aut cum versu Θ 540 coniunxisse).

---

27 le. A suppl. Vill., om. T 28 ἐν γὰρ τῷ Vill., ἐν γὰρ τοῦ A, possis διὰ γὰρ τοῦ 29 γράφει τοῦτον T 30 le. add. Bk. 31 le. scripsi (auctore Vill.), εἴσσομαι: A ὅτι A, ἡ διπλῆ, ὅτι Vill. 32 fort. ἐξ ἀλ. χαλεπὴν ὄρσουσα θύελλαν (= Hom.) 33 δ' (= Hom.) add. Frdl. ὅτε ῥινόν codd. Hom., ὅτ' ἐρινόν Aristarchus 34 le. scripsi, αἴ κέ μ' ὁ τυδείδης πρὸς τεῖχος ἀπώσεται ἤ κεν ἐγὼ τὸν χαλκῷ δῃώσας T, om. b (scholio ad Θ 532 relato) 35 ἀπώσθ(εται) T (ut. vid.) 37 le. T (coni. cum scholio praecedenti) supplevi, om. b (qui sch. cum voce ἀποθανών [sch. *a*] coniunxit) 37 sq. στρατηγικῶς δὲ παραθ. b 38 ὑπόγυιον b 39 προσλαβὼν T 39 sq. τὴν ἀν. ἔχει BCE[3] 40 ἐπιφοράν E[4] 41 le. add. Bk. 42 le. A supplevi (auctoribus Frdl., Ldw.) 44 τρεῖς] τέσσαρας Bk. (vix recte) 44 post παράκ. verba ἢ τοὺς ἑξῆς τρεῖς A (expuncta)

αὐτὴν γεγραμμένοι εἰσὶ διάνοιαν. ἐγκρίνει δὲ μᾶλλον ὁ Ἀρίσταρχος τοὺς δευτέρους διὰ τὸ καυχηματικωτέρους εἶναι τοὺς λόγους. ὁ δὲ Ζηνόδοτος τοὺς πρώτους τρεῖς οὐδὲ ἔγραφεν. | τὰ αὐτὰ δὲ λέγει περὶ τῶν στίχων τούτων ὁ Δίδυμος (p. 115 Schm.), ἃ καὶ ὁ Ἀριστόνικος· διὸ οὐκ ἐγράψαμεν τὰ Διδύμου. A

537 *a.*¹ ⟨κείσεται οὐτηθείς,⟩ πολέες δ' ἀμφ' αὐτὸν ἑταῖροι: κοινὸν ληπτέον τὸ 'κείσονται'. T *ex.*

*a.*² ἀπὸ κοινοῦ ληπτέον τὸ 'κείσονται'. b(BCE³E⁴)

538—9 *a.* εἰ γὰρ ἐγὼν ὣς ⟨/ εἴην ἀθάνατος καὶ ἀγήρως⟩: οὕτως διὰ τοῦ εἰ γὰρ ἐγὼν ὥς, καὶ τὸ ἀγήρως διὰ τοῦ ω̄. A *Did.*

*b.* αἲ γὰρ ἐγὼν ⟨——— /⟩ εἴην ἀθάνατος: βαρβαρικὸν τὸ εὔχεσθαι τὰ ἀδύνατα. b(BCE³E⁴) T *ex.*

542. ἐπὶ δὲ Τρῶες κελάδησαν: καλῶς ἐπὶ μὲν Ἑλλήνων φησὶν „Ἀργεῖοι δὲ μέγ' ἴαχον, A b(BCE³E⁴) T ἀμφὶ δὲ νῆες / σμερδαλέον" (B 333—4), AT ἐπὶ δὲ τῶν Τρώων κελάδησαν λέγει· θορυβῶδες γὰρ τὸ βαρβαρικόν. A b(BCE³E⁴) T *ex.*

545. ἄξοντο: τὸ ἄξοντο οὐ τὸν μέλλοντα σημαίνει, ἀλλ' ἀντὶ τοῦ †ἄγοντο. A *Ariston.*

Vide etiam Eust. 728, 7; ad usum signorum cf. rationem Aristophanis Byz. in sch. Ar. ran. 153 expeditam; h. Hom. 3, 136—9; signa ad Θ 532—7 rettulit Wecklein, Zusätze 52 **535—7** ἐγκρίνει δὲ μ. (45) sq. at cf. Duentzer, Zen. 164 καυχηματικωτέρους (46) ad Θ 526 *a* **542** cf. Eust. 728, 13 ἐπὶ δὲ τῶν Τρώων (59) sq. ad Δ 433. H 306—7 *b*¹ **543—7** cf. Eust. 728, 58: ἰστέον δὲ καὶ ὅτι ὥσπερ τὰ περὶ ἵππων καὶ ἀνδρῶν ὑφ' Ἕκτορος παρηγγελμένα τετέλεσται, οὕτω χρὴ νοῆσαι καὶ τὰ ἐπὶ φυλακῇ τῆς πόλεως, εἰ καὶ ὁ ποιητὴς αὐτὸ σιγᾷ, εἰωθὼς οὕτω ποιεῖν, ἐφ' ὧν οὐ ψεκτὸν ἡ σιωπή. Sch. huius argumenti exstitisse suspicatur Meinel 17 **545** nullum signum ante versum in A, fort. error scribae τὸ ἄξοντο (61) sq. ad Ω 163 *a*; vide ad Γ 103 *a*. Θ 505 (Ariston.); cf. Cobet, Miscell. crit. 363 **548—52** versus 548 (cf. B 306) et 550—2 (cf. Ω 27. Δ 47 al.) solo ab auctore dialogi pseudoplatonici Alcib. II 149 d/e laudantur, nescio an ab Homero alieni, cf. Wilamowitz, Il. Hom. 30; Schadewaldt 99, 1; aliter Cantarella 131; Valk, Text. Crit. 87; eund. II 527. In scholiis vix umquam commemorati sunt

---

**46. 47** verba τοὺς δευτ. et τοὺς πρώτ. inter se commutavit Wecklein (cf. test.) **50** le. T suppl. Ma. (auctore Vill.) **53** le. A supplevi (le.) ὣς A em. Bk. **55** le. T suppl. Ma., om. b (qui sch. ad Θ 539 revocavit) **56** τὸ om. T **57** le. AT, om. b μὲν bT, μὲν τῶν A (fort. rectius) **58** sq. σμερδαλέον κονάβησαν (= Hom.) Ma. **59** τῶν om. b **60** τὸ AT ἀεὶ τὸ b **61** le. scripsi (auctore Vill.), ἐκ πόλιος δ' ἀκάχοιντο: A τὸ ἄξαντο A corr. Frdl. **62** ἤγοντο Frdl., ἠγάγοντο Cob.

*Nic.* 553 *a.* {οἱ δὲ μέγα φρονέοντες} ἐπὶ πτολέμοιο γεφύρῃ: προηγουμένως μὲν τοῖς ἑξῆς συναπτέον· τὸν γὰρ τόπον, ἐν ᾧ ἡ τοῦ πολέμου συμβολὴ γίνεται, γέφυραν εἶπε πολέμου· ἢ τὰς διαβάσεις αὐτάς, αἷς ἐν τοῖς πολέμοις ἐχρῶντο. λόγον δὲ ἔχει καὶ τοῖς ἄνω συνάπτειν, ἵν' ᾖ περίφρασις, πολέμοιο γεφύρῃ ἀντὶ τοῦ τῷ πολέμῳ· ὁ δὲ λόγος, μέγα φρονοῦντες ἐπὶ τῷ πολέμῳ, τουτέστι τῷ κεκρατηκέναι κατὰ τὸν πόλεμον. **A**

*Did.(?)* *b.* ⟨γεφύρας:⟩ γράφεται „γεφύρῃ". **A**[im]

*ex.* *c.* ἐπὶ πτολέμοιο γεφύρῃ: τὸν μεταξὺ τῶν στρατιωτῶν τόπον. **T**

*Ariston.(?)* 555 *a.* ὡς δ' ὅτ' ἐν οὐρανῷ ἄστρα φαεινὴν ἀμφὶ σελήνην: †οὕτως† οὐ τὴν τότε οὖσαν φαεινήν, ἀλλὰ τὴν καθόλου φαεινήν. ἀεὶ δὲ τὰ φαινόμενα ἐν οὐρανῷ φησι καὶ οὐκ Ὀλύμπῳ. **A**

*ex.* *b.*¹ φαεινὴν ἀμφὶ σελήνην: οἱ μὲν ἄρτι φαίνεσθαι ἀρχομένην, οἷον νέαν ἐν τῷ φάει· οἱ δὲ λεπτήν, „μάστιγα φαεινήν" (Κ 500)· οἱ δὲ τὴν φύσει φαεινήν, καὶ „ζέσ⟨σ⟩εν ὕδωρ ἐνὶ ἤνοπι χαλκῷ" (Σ 349) καὶ „εὐμελίω Πριάμοιο" (Δ 47) καὶ „Σκαμανδρίῳ ἀνθεμόεντι" (Β 467). προσφυῶς δὲ τῷ νυκτερινῷ φωτὶ αὐτὰ ἀπεικάζει. **T**

*b.*² οἱ μὲν ἄρτι φαίνεσθαι ἀρχομένην, οἱ δὲ λεπτήν, ὡς τὸ „μάστιγα φαεινήν", οἱ δὲ τὴν φύσει φαεινήν. προσφυῶς δὲ τῷ νυκτερινῷ φωτὶ παρεικάζει αὐτά. **b**(BCE³E⁴)

553 *a* cf. Eust. 728, 62; — ἐχρῶντο (66) cf. Valk II 82 ἢ τὰς διαβάσεις (65) — ἐχρῶντο (66) cf. sch. *c* *b* cf. Valk II 624 *c* cf. D ad Δ 371. Υ 427 554 fort. exstabat sch. Herodiani, cf. h(M¹ P¹¹ V³ V¹⁵): πύρα (om. V³ V¹⁵)· βαρυτόνως ἀναγνωστέον, ἵνα μὴ συνεμπέσῃ τῷ πυρρά (πυρά M¹ V¹⁵) τῷ σημαίνοντι τὰ φλογοειδῆ, Arcad. 153, 12 555 diple ante versum in A, fort. excidit sch. vel pars scholii Aristonici, qui adnotaverat epithetum lunae datum hoc loco non aptum esse, ad Γ 352 *a* (Ariston.); vide sch. *a* (ubi haec ambiguitas resolvitur) *a* οὕτως (74) — φαεινήν ad Φ 218. Ψ 304 (Ariston.); cf. Friedl., Zoil. 67, 1; Parry 150; Sir M. Bowra, Heldendichtung (Stutgardiae 1964), 262; N. Himmelmann-Wildschuetz, Erzählung und Figur in der archaischen Kunst, in: Akad. d. Wissenschaften u. d. Literatur in Mainz, Geisteswiss. Kl., 1967, 2 (Ad Fontes Mattiacos 1967), 79 et 87 ἀεὶ δὲ τὰ φαινόμενα (75) sq. ad Α 44 *c*. Vide ad Θ 46 *a* *b*¹ Eust. 729, 20: . . . ἐν τῷ „φαεινὴν ἀμφὶ σελήνην" οὐ τὴν πλησιφαῆ νοητέον καὶ πληροσέληνον· ἐν αὐτῇ γὰρ ἀμαυρά εἰσι τὰ ἄστρα ὡς ὑπεραυγαζόμενα, καθὰ καὶ ἡ Σαπφώ πού φησι (fr. 34 L.-P.)· „ἀστέρες μὲν ἀμφὶ κάλαν †σελάναν (lg. σελάνναν) / ἄψ †ἀποκρύπτουσι φαεινὸν (lg. ἀποκρύπτοισι φάεννον) εἶδος, / †ὅποτ' ἂν (lg. ὄπποτα) πλήθοισα μάλιστα λάμπῃ / γᾶν". ἀλλὰ φαεινὴν λέγει κατὰ Ἀρίσταρχον τὴν φύσει τοιαύτην, κἂν μὴ πλήθουσα εἴη φωτός. οὕτω καὶ Ναυσικάα εἰς πλυνοὺς ἰοῦσα φέρει „ἐσθῆτα φαεινήν" (ζ 74), οὐ τὴν τότε φαεινήν (πλυνθῆναι γὰρ αὐτὴν

---

63 (le.) οἱ δὲ μ. φρον. damn. Bk. 65 sq. ἢ τὰς — ἐχρῶντο del. Frdl. („ab aliquo adscripta sunt, qui acc. plur. in textu habuit") 70 le. (= A[cont]) addidi γράφ. cp. (γρ) in A 74 οὕτως A, ὅτι Roe., recte ut vid. 78 ζέσεν T suppl. Bk. 79 εὐμελίοιο T em. Ma., ἐϋμμελίω Bk. 80 αὐτὰ sc. τὰ πυρά 81—2 οἱ μὲν — φύσ. φαειν.] τὴν φύσει φαεινὴν οὐχ ὥς τινες τὴν ἄρτι φαίνεσθαι ἀρχομένην ἢ τὴν λεπτὴν E⁴ 82 οἱ δὲ τ. φ. φαεινὴν om. CE³

557 *a*. ἔκ τ' ἔφανεν πᾶσαι ⟨σκοπιαὶ καὶ πρώονες ἄκροι⟩: ἀθετεῖται, ὅτι οἰκειότερον ἔχει κατὰ τὴν Πατρόκλου ἐπιφάνειαν (sc. Π 299). καὶ ὁ ἑξῆς (= Π 300) δὲ συναθετεῖται αὐτῷ· ἐκεῖ γὰρ αἰφνίδιον βούλεται ἐπίλαμψιν παραστῆσαι αἰφνιδίως Πατρόκλου ἐπιφανέντος, ἐνταῦθα δὲ παρατεταμένην νηνεμίαν κατ' εὐδίαν. | οὐκ ἐφέροντο δὲ οὐδὲ παρὰ Ζηνοδότῳ. ἠθέτει δὲ καὶ Ἀριστοφάνης. A *Ariston.* | *Did.*

*b*. πρώονες: ὡς σώφρονες· τὸ γὰρ πρῶνες πληθυντικὸν διῃρέθη, καὶ εἰς ὀξεῖαν καὶ βαρεῖαν ἡ περισπωμένη μετηνέχθη. A *Hrd.*

*c*. πρώονες: ἀπὸ τοῦ ὁ πρών πρῶνες, καὶ κατὰ διαίρεσιν πρώονες· εἰσὶ δὲ ὄρους ἐξοχαί. T *ex.*

557—8. ἔκ τ' ἔφανεν ——— αἰθήρ: οὐκ ἐφέροντο †τὰ γ'† παρὰ Ζηνοδότῳ. ἠθέτει δὲ καὶ Ἀριστοφάνης †τὰ γ'†. T *Did.*

559. ⟨δέ τ':⟩ ἄνευ τοῦ τέ. T[il] *Did.*

560 *a*. τόσσα μεσηγὺ νεῶν ⟨ἠδὲ Ξάνθοιο ῥοάων⟩: ἡ διπλῆ, *Ariston.*

ἔδει), ἀλλὰ τὴν κατά τι ἴδιον λαμπράν· εἰς γὰρ τὴν ἰδιότητα τῆς ἐσθῆτος ἐκεῖ ἀναφέρεται ἡ λέξις. τινὲς δέ, ὡς ἐν τοῖς Ἀπίωνος καὶ Ἡροδώρου φέρεται, διχοτομήσαντες τὴν σελήνην ἐν τῷ „φαεινήν" τὸ μὲν φάει παρώξυναν, τὸ δὲ νῆν περιέσπασαν εἰπόντες τὴν τῷ φάει νῆν, ὅ ἐστι νέην ἤγουν ἄρτι φωτίζεσθαι ἀρξαμένην, ὅτε αὐτῆς ἀμυδρὸν φαινούσης ἀριπρεπῆ τὰ ἄστρα φαίνεται, fort. ex hyp. Iliad., cf. Ap. S. 161, 20: . . . ἐν δὲ τῇ Θ τῆς Ἰλιάδος „φαεινὴν ἀμφὶ σελήνην" ἐζήτησαν, πῶς τότε ἡ σελήνη δύναται φαεινὴ εἶναι (φ. εἶν. Lehrs, φάναι cod.), ὅτε τὰ ἄστρα λαμπρὰ φαίνεται. ὅθεν ὁ Ἀρίσταρχος τοῦτο λύων φησὶ φαεινὴν οὐ τὴν τότε λαμπράν, ἀλλὰ τὴν φύσει λαμπράν, ὥσπερ καὶ ἐπὶ τῆς ἐσθῆτος τῆς Ναυσικάας „φέρεν δ' ἐσθῆτα φαεινήν", ἣν διὰ τὸ ἐρρυπῶσθαι εἰς τοὺς πλυνοὺς παρακομίζει. ἀλλὰ δῆλον, φησίν, ὅτι ⟨καὶ⟩ (add. Lehrs) ἐνταῦθα ἀκουστέον τὴν φύσει λαμπράν, sch. ζ 74: ἐσθῆτα φαεινήν· οὐ τὴν τότε οὖσαν φαεινήν (ἐρρύπωτο γάρ), ἀλλὰ τὴν φύσει καθαράν, sch. ζ 58; Beiträge 423; — φάει (77) Cyr. (An. Par. 4, 190, 9); cf. Dahlmann 22 λεπτήν (77) cf. D ad K 500, Et. Gen. (= EM. 786, 30) οἱ δὲ τὴν φύσει (78) sq. cf. D; Porph. 1, 125, 9. 2, 60, 5; vide ad B 467. M 283 *b*. O 371 **557** *a* — εὐδίαν (88) ad Π 299—300 (Ariston.) ἐνταῦθα δὲ (88) — εὐδίαν vide Koerner, Sinnesempf. 16 οὐκ ἐφέροντο (88) sq. haec verba Didymo attr. Roemer, Jhbb. class. Philol. 25, 1879, 85; vide ad Θ 557—8 *b* ad Π 299 (Hrd.). At cf. Theogn. 37, 30; Choer. Th. 1, 279, 17 (κατὰ πλεονασμὸν τοῦ ō), unde Et. Gen. (= EM. 692, 49); sim. Et. Gud. 484, 39 *c* ἀπὸ τοῦ ὁ πρών (92) sq. at cf. Eust. 729, 38 εἰσὶ δὲ (93) sq. cf. D, Eust. 729, 48 **557—8** ad Θ 557 *a*; cf. Valk II 459 **560**

---

**84** le. A suppl. Vill. **91** διηρέθηι A em. Vill. **94** le. scripsi (auctore Ldw.), πάντα δέ τ' εἴδεται ἄστρα T **94. 95** τὰ γ' utrumque deleam, fort. τὰ δύο (sc. ἔπη) **1** le. (= vulg.) add. Ma. (auctore Ldw.) ἄνευ τοῦ τέ h. e. δὲ εἴδεται **2** le. A suppl. Vill.

ὅτι τῷ „ὡς" (Θ 555) ὁμοιωματικῷ ὄντι ἀκαταλλήλως ἀποδίδοται τὸ τόσσα ποσότητος ὂν δηλωτικόν· διὸ καί τινες γράφουσιν „ὡς τὰ μεσηγὺ νεῶν". τὸ μὲν οὖν παραβολικὸν τὸ τῆς ἀντεικασίας ἔχει, τὸ δ' ἀνταποδιδόμενον τὸ τοῦ πλήθους παρεμφαίνει. καὶ ὅτι οὐ †τὸν Σκάμανδρον Ξάνθον καλεῖ, ἀλλὰ διὰ τῶν ἑξῆς „ὃν Ξάνθον καλέουσι θεοί, ἄνδρες δὲ Σκάμανδρον" (Υ 74). **A**

*Did.* *b.* ⟨τόσσα μεσηγύ:⟩ γράφεται καὶ „τοῖα μεσηγύ" καὶ „ὡς τὰ μεσηγύ". **A**[im]

*ex.* *c.* τόσ⟨σ⟩α μεσηγὺ νεῶν: ἄλλως ἐσχημάτισε τὸν λόγον, οὐκ ἐπενεγκὼν τῷ „ὡς δ' ὅτ' ἐν οὐρανῷ ἄστρα" (Θ 555) τὸ 'οὕτω μεταξὺ νεῶν'. **b**(BCE[3]E[4]) **T**

*Ariston.* 562. χίλι' {ἄρ}: ὅτι Ζηνόδοτος γράφει „μύρια". ἐπιφέρει δὲ „ἐν δὲ ἑκάστῳ / εἵατο πεντήκοντα σέλᾳ" (Θ 562—3) ὥστε γίνεσθαι μυριάδας πεντήκοντα, ἐὰν δὲ γράφηται χίλια, πέντε μυριάδας, συμφώνως· διὰ παντὸς γὰρ τοὺς βαρβάρους ἐλάσσονας τῶν Ἑλλήνων συνίστησιν. **A**

*ex.* 562—3 *a.* πὰρ δὲ ἑκάστῳ ⟨/ εἵατο πεντήκοντα σέλα⟩: τὸ ἑξῆς παρὰ ἑκάστῳ σέλᾳ εἵατο πεντήκοντα ἄνδρες· ἀποκοπὴ γάρ ἐστι τοῦ σέλαϊ. τὸ φιλότιμον δὲ τῶν ἀριθμῶν καὶ ἐν Ὀδυσσείᾳ „πεντηκόσιοι δ' ἀν' ἑκάστῃ" (γ 7) καὶ „νῆες μέν μοι ἕποντο δυώδεκα" (ι 159). **T**

*ex.(?)* *b.* ⟨πὰρ δὲ . . . σέλα:⟩ πρὸς τῷ σέλα. **b**(BE[3])

diple periestigm. ante versum in A, an error scribae? *a/c* h(M[1] P[11]): τόσσα· ἐνταῦθα ἡ ἀπόδοσίς ἐστι τῆς παραβολῆς· λείπει γὰρ τὸ ὡς (ω̄ς codd.), fort. sch. rec. *a* καὶ ὅτι (6) sq. ad Ξ 434 *a* (Ariston.). Vide ad Ζ 4 ἀλλὰ διὰ τῶν (7) sq. ad Υ 40. 74 (Ariston.) *b* altera lectio (sc. ὡς τὰ μ.) Zenodoti esse dub. suspicatur Ludwich, A. H. T. 1, 296, 20 **561** de accentu vocis πρό in iunctura Ἰλιόθι πρό vide ad Ξ 472 (test.). Non est, cur censeamus ad versum 561 sch. Herodiani umquam fuisse **562** ad Θ 56 *a*. Vide ad Β 128. 130—3 **562—3** h(M[1] P[11] V[3] V[15]): τῷ (τὸ V[15]) „ἑκάστῳ" τὸ „σέλᾳ" συναπτέον (συν. τὸ σέλ. V[15]), ἵν' ᾖ παρ' ἑκάστῳ σέλαϊ, fort. sch. rec.

---

**6** οὐ τὸν A, οὐ προσυστήσας τὸν Lehrs (Hrd. 460; cf. test., impr. ad Υ 40), οὐ προσυστήσας τὸν αὐτὸν ποταμὸν ξάνθον καὶ σκάμανδρον ὄντα τὸν Roe. (Ar. 135), improbabiliter **9** le. addidi (auctore Ldw.) **11** le. T, om. b (le.) τόσσα V, τόσα T; μεσσηγὺ T em. Ma. ἄλλως b, om. T, possis ἀκαταλλήλως **12** τῷ b τὸ T οὕτως b **14** (le.) ἄρ damn. Bk. ὅτι A, ἡ διπλῆ (sc. περιεστιγμένη), ὅτι Vill. **19** le. T supplevi **20** σέλᾳ T, fort. σέλα (= vulg.) πεντ. scripsi, ν' T **22** δ' ἐν Hom. **23** le. addidi; possis πὰρ δὲ ἑκάστῳ:, tum πρὸς τὸ σέλας (cf. test.)

**563.** εἵατο πεντήκοντα: ἀφορμὴν λαβὼν καὶ τὸν τῶν Τρώων ἡμῖν ἀριθμὸν ἐδήλωσεν ὅτι ἀμφὶ τὰς πέντε μυριάδας ἐστὶν αὐτῶν τῶν πολιτῶν· b(BCE$^3$) T οἱ γὰρ ἐπίκουροι καθεύδουσι, Τρωσὶ τὴν φυλακὴν ἐπιτρέψαντες. b(BCE$^3$E$^4$) T *ex.*

εἵατο πεντήκοντα σέλαι πυρός: παρ' †ἑκάστῃ† δὲ σέλᾳ πυρός, τουτέστι παρ' ἑκάστῃ δὲ πυρᾷ, πεντήκοντα ἐκαθέζοντο ἄνδρες. ἐκ τούτων ——— πέντε μυριάδες ἦσαν. A *D*

**564.** κρῖ λευκόν: εἰ ἦν ἀπὸ τοῦ κριθή, λευκὴν ἂν ἐπήγαγεν. T *ex.*

Παράκειται τὰ Ἀριστονίκου σημεῖα καὶ τὰ Διδύμου Περὶ τῆς Ἀρισταρχείου διορθώσεως, τινὰ δὲ καὶ ἐκ τῆς Ἰλιακῆς προσῳδίας Ἡρωδιανοῦ καὶ ἐκ τῶν Νικάνορος Περὶ στιγμῆς. A

**563** cf. D **564** ἀπὸ τοῦ κριθή cf. D, aliter Eust. 730, 2; vide ad E 196 *a* (ex.)

---

**24** (le.) πεντ. scripsi, ν' T (le. om. b) **24 sq.** τὸν ante ἀριθμὸν b **25** αὐτῶν T ὁ b **28** erat fort. ἑκάστῳ **32—4** sub ipso textu Iliadis exaravit A

# I

## Pap. VII (ad I 447?)

. . . . . . . . . . . .

]ο̣υφο[
447 **οἷον ὅτε πρ]ωτον λίπ[ον Ἑλλάδα: Φοῖ-**
νιξ ὁ Ἀμύ]ν̣τορος κα[
. . . . . . . ]εις ὑπὸ τ.[
. . . . ὅπω]ς̣ μισῇ του[
. . . . . . κ]α̣τὰ τοῦ Φο[ίνικος
. . . . . . . γ]εννῆσαι̣[
. . . . . . . ]ς παραγει̣[
. . . . . . . ]σ̣μενως[
. . . . . . . . ]τίθεται[

. . . . . . . . . . . .

447 cf. D ad I 448; Eust. 762, 41; Tz. Lyc. 421; vide test. ad I 447 exscripta, praeterea [Apoll.] bibl. 3, 175, sch. Plat. lgg. 11, 931 b

---

Pap. Lit. Lond. 142 (Mus. Brit. 1605 C = Pack[2] 1188), secundo p. Chr. n. saeculo scriptam primum edidit H. J. M. Milne in libro, qui inscribitur Catalogue of the Literary Papyri in the British Museum (Londinii 1927), p. 121. Versum I 447 in testimonium vocatum et enarratum esse cognovit R. Pfeiffer (Philol. 92, 1937, 16 = Ausgewählte Schriften, Monaci 1960, 39), cui supplementa potiora debentur. Ipse papyrum contuli Londinii a. D. 1952. Cf. tabulam phototypicam huic volumini affixam.

Notes quaeso pro certo affirmari non posse, quot litteras singulae lineae olim continuerint. Nam ambigitur, utrum verba versus Homerici, a quibus in lacunarum longitudine computanda proficiscendum est, ἐκθέσει scripta (h. e. in partem sinistram promota) fuerint necne. Praeterea nescimus, num vox novissima versus I 447 (sc. in linea secunda) laudata sit; quo evenit, ut longitudines lacunarum, quibus dextera pars columnae hausta est, definiri nequeant. Tamen Pfeiffer, quippe qui coniecerit in fine lineae secundae non plus ca. duodecim litteras amissas esse, mihi quidem rem acu tetigisse videatur.

Valde doleo, quod discerni non potest, cuius generis in libris hoc fragmentum numerandum sit (cf. Praef. p. XXXIX et infra ad l. 1). Si quidem titulus erat Περὶ τοῦ Φοίνικος (de quo Pfeiffer inter alia cogitavit), commentariis quibusdam mythologicis, qui Narrationes (ἱστορίαι) inscribi solebant, attribuendum esse censeo, e nostra autem editione prorsus removendum.

1 τ]οῦ φό[νου dub. Milne, περὶ τ]οῦ φο[ίνικος vel ὁ τ]οῦ φο[ίνικος λόγος Pfeiffer, qui tamen suo iure secum consideravit l. prima novissima verba scholii praecedentis contineri posse    2 sq. suppl. Pfeiffer

3 ]ν incertiss. 3 sq. κα[λῇ πατρὸς παλλα- | κῇ, πεισθ]εὶς Pfeiffer, sed notes ceteros auctores (cf. test.) mulierculae pulchritudinem, quae in hac fabula nullius fere momenti est, non commemorasse 4 ε[ vel σ[ vel ω[ vel ο[, fort. η[ 4 sq. τῆ[ς μη- τρός, μείγ- | νυται Pfeiffer 5 ]. tantummodo punctulum summis litteris adaequatum, ]σ verisim., neque ]υ neque ]α μισητου pap., dist. Pfeiffer 5 sq. [γέροντος ἔρωτα. | ὁ δ' ἀρὰς κ]ατὰ Pfeiffer, malim [γέροντος τὸν ἔ- | ρωτα. ὁ δὲ κ]ατὰ 6 φο[ suppl. Milne, Croenert, tum ἀρᾶται Pfeiffer, malim ἐπαρᾶται 7 γ] suppl. Milne, μὴ παῖδας γ] Pfeiffer .[ vestigium partis sinistrae hastae in dexteram partem curvatae, possis σ[, fort. ι[ 7—10 post v. γεννῆσαι aegritudo Phoenicis et fuga ad Peleum videntur narratae esse 8 .[ pars hastae verticalis, ι[ verisim., ν[ legi potest, non τ[; θυμὸ]ς παράγει[ vel ]σ παρὰ γεί[τονι πηλεῖ? Pfeiffer, possis et ]ς παραγεν[όμενος vel ]ς παραγ{ε}ί[νεται 9 ς[ certum, ἀ]σμένως[ e. g. Milne 10 ὑπερ]τίθεται [τὸν υἱὸν ἀχιλλέα e. g. Pfeiffer

*ex.* 0 *a*. Λιτὰς μὲν τὴν ῥαψῳδίαν καλοῦσιν. ἐπειδὴ δὲ οἱ Τρῶες ἐκ παραδόξου νικῶσι βέλεσι Διός, οὐκ οἰκείᾳ δυνάμει, παντὶ πόνῳ τὴν τύχην φυλάττουσιν, παρεμβολὴν ἐπὶ τῷ ναυστάθμῳ ποιούμενοι. τοῖς δὲ Ἕλλησιν ἅπαντα δυσχερῆ, b(BC$E^3E^4$) T πρῶτα μὲν ἐν καιρῷ μὴ παρόντος ἀγαθοῦ συμμάχου, εἶτα καὶ μετὰ παράβασιν τοσοῦτον εὐτυχούντων ⟨τῶν⟩ Τρώων· ⟨εἶτα⟩ οἱ κεραυνοὶ τοῦ Διός. μάλιστα δὲ πάντων ὁ τὴν αἰτίαν ἔχων Ἀγαμέμνων ἄχθεται. b(BC$E^3E^4$) ὅταν δὲ ἄλλων πραγμάτων ἄρχεσθαι μέλλῃ, παραγραφὰς ἐμβάλλει, ὡς οἱ νόμοι τῶν ἱστοριογράφων· b(B$E^3E^4$) T μεταβαίνων γὰρ ἐπὶ τὰ Ἑλλήνων ἀπεκορύφωσε τὸν λόγον. b(B$E^3E^4$)

*ex.(?)* *b*. ἡ I τῆς Ἰλιάδος ἐπιγράφεται Λιτή, ὅτι Ἀγαμέμνων Νέστορος συμβουλεύσαντος πρὸς τὸν Ἀχιλλέα ἄνδρας λίσσεσθαι ἔπεμψεν ἀρίστους, Φοίνικα Ὀδυσσέα Αἴαντα. A

*ex.* 1—2. ⟨Τρῶες φυλακὰς ἔχον· αὐτὰρ Ἀχαιούς / . . . ἔχε φύζα:⟩ ὅρα τὸ ἀντίθετον πῶς ἐδήλωσεν ἑνὶ ῥήματι, Τρῶες ἔχον (1), Ἀχαιοὺς ἔχε (1—2). A b(BC$E^3E^4$) T

*D* ὣς οἱ μὲν Τρῶες φυλακὰς ἔχον: καλῶς εἶπεν· οἱ μὲν γὰρ Τρῶες ——— ὑπὸ τοῦ δέους. A

*ex.* 2 *a*. ⟨θεσπεσίη:⟩ ἡ βουλήσει θεῶν †προγεγενημένη†, b(BC$E^3$ $E^4$) T$^{il}$ ὡς καὶ ἀλλαχοῦ „ἢ καὶ θεσπεσίῃ πόλιν οὐκ ἀλαπάξεις / ἢ ἀνδρῶν κακότητι" (B 367—8). T$^{il}$

*Ariston.* | *ex.* *b*. θεσπεσίη ἔχε φύζα, ⟨φόβου κρυόεντος ἑταίρη⟩: φύζα σημαίνει τὴν μετὰ δέους φυγήν, ὅθεν καὶ „φυζακινῆς ἐλάφοισι" (N 102)· νῦν δὲ ἔκπληξις. | ἀπολογεῖται δὲ ὅτι ἐκ θεῶν. κρυόεις δὲ φόβος ὁ

0 *a* παραγραφὰς (8) ad A 304 *a* (ex.) *b* cf. arg. pr. in D, Eust. 731, 7 1—2 cf. Eust. 731, 22 2 *a* cf. Porph. 1, 126, 29; — προσγεγενημένη (19) cf. D; vide Buttmann I 157 ὡς καὶ (20) sq. vide ad B 368; Lehrs, Quaest. ep. 56 *b* cf. Eust. 731, 29; — ἔκπληξις (24) Ap. S. 164, 8: φόβος· Ἀρίσταρχος σεσημείωται ὅτι συνήθως φόβος ἐπὶ τῆς φυγῆς, φύζα δὲ ἐπὶ τῆς μετὰ δειλίας φυγῆς, D,

---

1—10 pone sch. I 2 *c* in T 1 μὲν om. T, fort. recte 3 τύχην b ψυχὴν T φυλάττουσιν b φυλα ss. τ T 6 τῶν et εἶτα add. Vill. 8 παρεγγραφὰς T 8—9 ὡς οἱ νόμιμοι (δόκιμοι ci. Ddf.) τῶν ἱστ. pone μέλλῃ b 14 sq. le. add. Ma. (Ddf.), ὡς οἱ μὲν τρῶες φυλακὰς ἔχον add. V, φυλακὰς ἔχον add. Li (sch. ad I 1 rettulerunt bT; de A vide notam sq.) 15—6 ὅρα δὲ (τὸ) — ἔχε pone sch. I 2 *b* (coni. cum v. δεδιότας) A 15 πῶς τὸ ἀντίθετον b ἑνὶ ἐδ. ῥήμ. b ἑνὶ ῥήμ. ἐδ. A 19 le. add. Vill. (θεσπεσίη ἔχε add. Li) ἡ b ἢ T προσγεγενημένη Bk. 20 ἢ (ante καὶ)] εἰ codd. Hom. (at vide test.) 22 le. A suppl. Vill., φύζα T, om. b 22 sq. φύζα — φυγήν A, ἀεὶ μὲν ἡ μετὰ δέους φυγή T, φύζα δὲ ἀεὶ μὲν ἡ μετὰ δέους φυγή (coni. cum scholio *a*, v. προγεγενημένη) b, ἡ διπλῆ, ὅτι φύζα σημαίνει τὴν μετὰ δέους φυγὴν Vill. 23 φυζακεινῆς T ἐλάφοισιν A 24 ὁκρυόεις δὲ ὁ φόβος ὁ A φόβος om. b

ψυχρός· τὸ θερμὸν γὰρ ἐπιλείπει τοὺς δεδιότας. A b(BCE³E⁴) T

*c*. ὀκρυόεντος: φρικτοῦ, φοβεροῦ· συμβαίνει γὰρ τοὺς δεδιότας συγκρούειν τοὺς ὀδόντας. T *D*

3 *a*. πένθεϊ δ' ἀτλήτῳ ⟨βεβολήατο πάντες ἄριστοι⟩: οἱ μὲν ἄλλοι περὶ φυγήν, οἱ δὲ ἄριστοι ἐν πένθει· ἀνάξιον γὰρ Ἑλληνικῶν ἀρχηγῶν ἡ φυγή. μάλιστα δὲ αὐτῶν ἅπτονται αἱ συμφοραί, ἐπεὶ καὶ τὴν αἰτίαν τῶν κατορθωμάτων ἐπὶ τούτους ἀνάγομεν. b (BCE³E⁴) T | τὸ μὲν οὖν βεβολήατο ἐπὶ ψυχῆς, τὸ δὲ „βεβλήατο" (Ξ 28) ἐπὶ σώματος. b(BCE³E⁴) *ex.* | *x*

*b*. ⟨ἀτλήτῳ:⟩ ἀνυπομονήτῳ, ἀφορήτῳ. T^il *D*

*c*. {πένθεϊ δ' ἀτλήτῳ} βεβολήατο: ⟨ὅτι⟩ ἔνιοι „βεβλήατο", καὶ Ζηνόδοτος οὕτως. ἐπὶ δὲ τῆς κατὰ ψυχὴν τρώσεως καὶ ἀλγηδόνος ἀεὶ τοῦτο τάττει, ἐπὶ δὲ τῆς κατὰ σῶμα πληγῆς οὐκέτι οὕτως. | τὸ βεβολήατο ἔκτασιν ἔχει ποιητικὴν τοῦ ε̄ εἰς τὸ η̄ διὰ τὴν ἐπαλληλίαν τῶν βραχέων. τοιοῦτόν ἐστι καὶ τὸ „πεφοβήατο δινήεντα" (Θ 206) καὶ τὸ „ἦ ῥά νύ τοι πολλοὶ δεδμήατο κοῦροι Ἀχαιῶν" (Γ 183). A *Ariston.* | *Ep. Hom.*

4 *a*.¹ ὡς δ' ἄνεμοι δύο: διττὰ γὰρ αὐτοὺς ἐλύπει, ἔκπληξις τῶν παρόντων καὶ δέος τῶν μελλόντων. οἱ δὲ „Ζηνός τε νόος καὶ Τρῶες ἀγαυοί" (Π 103). T *ex.*

*a*.² καὶ γὰρ καὶ τὰ τούτους λυποῦντα διττά, ἡ τῶν παρελθόντων ἔκπληξις καὶ δέος τῶν μελλόντων. b(BCE³E⁴)

ὡς δ' ἄνεμοι δύο: καλῶς δύο ἀνέμους παρέλαβεν ——— λύπης τε καὶ φόβου. A *D*

*b*.¹ ⟨ἄνεμοι: ἡ⟩ Ἀριστοφάνειος „ἀνέμω" δυϊκῶς. A^im *Did.*

Porph. 1, 127, 11, sch. Ar. Ach. 263; Lehrs Ar.³ 77. Vide ad B 767 *a*. N 102 **3** diple non periestigm. ante versum in A, fort. neglegentia scribae *a* — πένθει (29) cf. Eust. 731, 50 τὸ μὲν οὖν (32) sq. cf. h(M¹ P¹¹ V³ V¹⁵): βεβολήατο· (om. M¹ V³ V¹¹) ἐπὶ μὲν σώματος βεβλήατο, ἐπὶ δὲ ψυχῆς βεβολήατο, vide sch. *c*, Porph. 1, 127, 14 τὸ μὲν οὖν (32) — ψυχῆς cf. D *b* — ἀνυπομονήτῳ cf. D ad T 367, Ap. S. 46, 30 *c* ἐπὶ δὲ (36) — οὕτως (37) ad I 9 *b* (Ariston.); cf. Amm. 99; vide sch. *a* τὸ βεβολήατο (37) sq. An. Ox. 1, 96, 27; vide ad Γ 183 *b*; Zenob. in Et. Gen. (AB) βεβολήατο ἔκτασιν ἔχει (38) sq. cf. Schem. Hom. 29 **4** cf.

---

**25** ψυχρός] φοβερός T τὸ γὰρ θερμὸν b δεδηότας A **26** le. Bk., ὀκρυόαντος T, fort. κρυόεντος (ut D) **28** le. T supplevi (auctore Vill.), om. b **29** περὶ φ. Ma., περὶ φυγῆς T, ἐν φυγῇ b **30** ἀρχόντων b **30 sq.** ἐπεὶ — κατορθ. T καὶ γὰρ τὰς τῶν κατορθωμάτων αἰτίας b **34** le. add. Ma., ἄλλως· ἀτλήτῳ add. V^c **35** (le.) π. δ' ἀτλ. eiecit Bk. ὅτι add. Ddf., ἡ διπλῆ (debuit δ. περιεστιγμένη), ὅτι Vill. **36** οὕτως Vill., ου ss. τ A **42** παρόντων cf. sch. *a*² οἱ δὲ T, οἱ δύο Wil. (vix recte), καὶ δάμνα perperam Ma. **44** διτταί E³ **48** le. add. Bk. (Vill.), ἡ add. Vill.

*b.*² ὡς δ' ἄνεμοι: ἢ ὡς Ἀριστοφάνης „ὡς δ' ἀνέμω ⟨. . ./⟩ ἐλθόντ' ἐξαπίνης" (I 4 et 6). T

*Nic.* | *D* 5—6 *a.* Βορέης καὶ Ζέφυρος, ⟨τώ τε Θρήκηθεν ἄητον/ ἐλθόντ' ἐξαπίνης⟩: ἤτοι συναπτέον ἄητον / ἐλθόντ' ἐξαπίνης, ἢ ὑποστικτέον ἀνυποκρίτως ἐπὶ τὸ ἄητον (5), ἵν' ᾖ τὸ ἑξῆς· Βορέης καὶ Ζέφυρος (5) ἐξελθόντες ἐξαπίνης (6). | πῶς δὲ ἀμφοτέρους ——— ἀπὸ Θρᾴκης πνεῖ. A

*ex.* *b.* τώ τε Θρήκηθεν ⟨ἄητον/ ἐλθόντ' ἐξαπίνης⟩: οἱ μὲν συνεκδοχικῶς, ὡς „ὅσοι βεβλήατο χαλκῷ" (Ξ 28). οἱ δὲ ὅτι οἰκητήριον τῶν ἀνέμων ἡ Θρᾴκη· εὐωχοῦνται ⟨γ⟩οῦν παρὰ Ζεφύρῳ ἐν Θρᾴκῃ (cf. Ψ 200—1)· ἔστιν οὖν ἐλθόντε ἀπὸ Θρᾴκης ἄητον (5), ὅθεν ἑκάτερος εἴωθε πνεῖν. ἢ ὅτι ἡ τῶν Θρᾳκῶν γῆ σιγματοειδῶς κεῖται καὶ ἐπὶ πολὺ διήκει μέχρι τῆς δύσεως· ἀφ' ἑκατέρου οὖν μέρους τῶν ἀνέμων ἔχει ἑκάτερον. T

*ex.* 5. ⟨Ζέφυρος:⟩ ὁ τὰ πρὸς τὸ ζῆν φέρων· ἔαρος γὰρ ἄρχεται πνεῖν. T[il]

*ex.* 6 *a.* ⟨ἐξαπίνης:⟩ σφοδρότεραι γὰρ αἱ αἰφνίδιοι τῶν ἀνέμων ἐμβολαί. A[im]T

*Hrd.* *b.*¹ ἄμυδις: Νικίας (fr. 10 B.) καὶ Πάμφιλος δασύνουσι τὸ ἁμυδις, ἐπεὶ παρὰ τὸ ἅμα ἐγένετο. ὁ δὲ Ἀσκαλωνίτης (p. 49 B.) καὶ οἱ περὶ Ἀλεξίωνα (fr. 35 B.) ψιλοῦσιν, πολὺ δὲ πρότερον καὶ οἱ περὶ Ἀρίσταρχον, καθότι, φασί, φιλεῖ πως τὰ ἀπὸ δασέων {πως} πολλάκις

Porph. 1, 126, 18 5—6 *a* — ἐλθόντ' ἐξαπίνης (52) cf. D *b* cf. D συνεκδοχικῶς (57) ad N 761 *a*. Ξ 28 *b* (Ariston.), cf. Porph. 1, 127, 24; sim. Hrd. rhet. fig. 100, 11; de Borea cf. sch. Lyc. 925. 1015, sch. Hsd. opp. 507—18 (Procl.) οἱ δὲ (57) — ἡ Θρᾴκη (58) cf. Eust. 732, 18; sch. Theocr. 7, 111 a ὅθεν ἑκάτερος εἴωθε πνεῖν (59) cf. Gell. N. A. 2, 22, 16 ἢ ὅτι ἡ τῶν Θρᾳκῶν γῆ (60) sq. cf. Strab. 1, 2, 20 (p. 28) σιγματοειδῶς (60) cf. Eust. 732, 21 5 cf. Eust. 732, 16; Ecl. (An. Ox. 2, 442, 26), fort. e Seleuco (vide Reitzenstein, Gesch. 172): Ζέφυρος· ὁ τὸ ζῆν ἡμῖν φέρων· κατὰ γὰρ τὴν τοῦ ἔαρος ὥραν „ζεφυρίη πνείουσα τὰ μὲν φύει, ἄλλα δὲ πέσσει" (η 119). τινὲς δὲ ὁ μεγάλως φυσῶν, παρὰ τὸ ζα ἐπιτατικόν, sim. Et. Gen. (EM. 408, 44, Et. Gud. 230, 35); vide Or. 66, 20; aliter ad Φ 334, sch. ε 295 6 *a* cf. Eust. 732, 27 *b*¹ ad A 576. Y 114 (Hrd.); cf. Lehrs

**49** sq. sch. cum scholio *a*¹ coni. T, dist. Ma. **50** ἐλθ. ἐξαπ. abesse malim **51** sq. le. A suppl. Frdl. **53** ἀνυποκρήτως A em. Vill. **56** le. T supplevi **57** βεβλήαται T (Li) em. Vill. **58** οὖν T suppl. Wil. **62** ἑκάτερον Ma. (e D), ἑκάτερος T **63** le. add. Bk. (βορέης καὶ ζέφυρος add. V[c]) **65** le. add. Vill. σφοδρότεραι γὰρ sq. cum scholio I 4 *b*² (v. ἐξαπίνης) coni. T αἰφνήδιοι A **69** πολὺ Bk., πολλοὶ A **70** πως² del. Lehrs

μετασχηματιζόμενα ψιλοῦσθαι, ἡμέρα „ἦμαρ" (Α 592 al.), ἡδονή „ἦδος" (Α 576 al.). πρόδηλον δὲ κἀκ τῆς συναλιφῆς· „πάντ' ἄμυδις κεφαλῆς" (Μ 385). ἐχρῆν δὲ αὐτοὺς προσθεῖναι ἐκεῖνο ὡς ὅτι τὸ „ἄλλυδις" (Λ 486 al.) καὶ ἄμυδις τρίτην ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν καὶ τῇ παραληγούσῃ ἐξαιρέτῳ ἐχρήσαντο, ᾗ διὰ τὸ ῡ ἐξηνέχθησαν. ἐχρῆν οὖν ἀμάδις τι εἶναι ὡς „χαμάδις" (Γ 300 al.). τροπὴ δὲ τοῦ ᾱ ἐγένετο εἰς τὸ ῡ, ὡς τὸ σάρκες σύρκες. καὶ ἐπεὶ Αἰολικὴ ἡ τροπή, καὶ ὁ τόνος Αἰολικὸς καὶ τὸ πνεῦμα. **A**

*b.*[2] ἄμυδις: ψιλωτέον τὸ ἄμυδις· Αἰολικὸν γὰρ καὶ πνεῦμα καὶ τόνον ἀνεδέξατο **b**(BCE³E⁴) **T** ὁμοίως τῷ „ἄλλυδις". **T**

*c.* ⟨ἄμυδις:⟩ ἅμα τῷ πνεῦσαι τοὺς ἀνέμους. **b**(BCE³E⁴) **T** *ex.*

*d.* ⟨κελαινόν:⟩ μέλαν | ἢ φοβερόν. **T**^il^ *D* | *ex.(?)*

7 *a.* πολλὸν δὲ παρὲξ ἅλα φῦκος ἔχευαν: τὸ παρὲξ παρὰ τῷ *Hrd.* ποιητῇ καὶ δύο μέρη λόγου ἐστὶ καὶ ἐγκλίνονται αἱ δύο προθέσεις· διὸ καὶ πολλάκις εὑρίσκεται καὶ εἰς κ̄ λήγουσα ἡ ἔξ· „παρὲκ μέγα τειχίον αὐλῆς" (π 165. 343). ἔστι δὲ ὅτε τὸ νοητὸν ἐπικρατεῖ τῆς ἔξ προθέσεως, ἔσθ' ὅτε καὶ τῆς παρά· „ἀλλὰ παρὲξ τὴν νῆσον ἐλαύνετον" (μ 276), „ὡς ἄρα φωνήσαντε παρὲξ ὁδοῦ" (Κ 349). ἐνθάδε μὲν οὖν ἡγεῖται ὁ Ἀσκαλωνίτης (p. 49 B.) παρέλκειν τὴν παρά, ἵν' ᾖ ἐξ ἁλός. ἄλλοι δὲ τὴν παρά κυρίως κεῖσθαι, ἵνα γένηται παρ' ἅλα φῦκος, καὶ τὴν

Ar.³ 327; Wackernagel II 1162; S. U. 41 ἐχρῆν δὲ αὐτοὺς (73) — ἐξηνέχθησαν (75) de regula cf. Ep. Hom. (An. Ox. 1, 438, 32, Et. Gud. 560, 56, EM. 806, 5) ἐχρῆν οὖν (75) sq. cf. Or. 11, 18 (unde Et. Gen. [AB] ἄμυδις, Et. Gud. 119, 15 Stef. [test.]) in sede scholiorum, sim. Or. 31, 10 (unde Et. Gud. 119, 1 Stef.) *b*² cf. Eust. 732, 30. 806, 49. 1212, 5 7 *a* plura Ep. Hom. (An. Ox. 1, 379, 10): παρέξ· παρὰ τῷ ποιητῇ καὶ δύο μέρη λόγου ἐστὶν καὶ ἐγκλίνονται αἱ δύο προθέσεις· ὅτε πολλάκις καὶ ἡ ἔξ εἰς κ̄ τρέπει τὸ ἑαυτῆς ξ̄· οἷον „παρὲκ μέγα τειχίον αὐλῆς" (π 165), „παρὲκ νόον ἤγαγεν Ἕκτωρ" (Κ 391), παρελκούσης τῆς ἔξ. εἰ δὲ φωνῆεν καὶ μὴ σύμφωνον ἐπενεχθῇ, δῆλον ὅτι τὸ ξ̄ μένει· οἷον „παρὲξ ἅλα φῦκος ἔχευεν" (τὸ γὰρ ἑξῆς παρὰ τὴν ἅλα φῦκος ἔχευεν), „ὡς ἄρα φωνήσαντε παρὲξ ὁδοῦ" (Κ 349), „νῆχε παρὲξ ⟨ἐς⟩ (addidi ex Hom.) γαῖαν" (ε 439), „ἀλλὰ παρὲξ εἴποιμι" (δ 348), „δῆμον ἐόντα παρὲξ ἀγορευέμεν" (Μ 213). ἐν τούτοις δέ ἐστιν τὸ νοητὸν ὅτε ἐπικρατεῖ τῆς ἔξ προθέσεως, ἔστιν ὅτε καὶ τὸ τῆς παρά. εἰσὶ δὲ οἳ ἓν μέρος λόγου παρειλήφασι τὸ πάρεξ σημαῖνον τὸ ἐκτός· καὶ ἡμῖν δὲ οὕτως δοκεῖ, ὅτε τὸ ξ̄ φυλάττεται ἐπιφερομένου συμφώνου· „ἀλλὰ πάρεξ τὴν νῆσον" (μ 276), „στῆ δὲ πάρεξ· Τρῶες δὲ διέτρεσαν" (Λ 486) καὶ „ἄλλα πάρεξ μεμνώμεθα" (ξ 168)· καὶ δῆλον ὅτι ἐπίρρημά ἐστι· καὶ οὐκέτι ὀφείλει τὸ ξ̄ τρέπεσθαι εἰς κ̄· οὐ γάρ ἐστι πρόθεσις, ἀλλ' ἐπίρρημα βαρύτονον· ἀφ' οὗ χωριστικὸν ἐπίρρημα οἱ περὶ (scripsi, παρὰ cod.) Ἡρόδοτον

74 τρίτην A, καὶ ἐξαιρέτως τρίτην Lehrs 79 ψιλωτέον δὲ sq. pone sch. *c* (coni. cum v. ἀνέμους) b 79 sq. καὶ τόνον καὶ πνεῦμα b 80 ἐδέξατο b ἄλλυδις Eust., ἄμυδις T 81 le. add. Bk. 82 le. add. Ma. 83 le. Vill., πολλὸν δὲ παρὲξ ἅλα: A 87 παρὲξ A, codd. Hom., παρὲκ Nck. ἐλαύνετε Hom. 89 ἵν' ᾖ Vill., ἵνα ᾖ A ἔξαλος Lehrs, Ptolemaeum vocem ἔξαλα in I 7 (ab ἔξαλος declinatam) pro adverbio usurpasse ratus, vix recte

ἒξ συντάσσεσθαι πρὸς τὸ ἔχευαν, ὅπερ καὶ βέλτιον· παρ' ἁλὶ φῦκος ἐξέχευαν. μετὰ γοῦν τῆς διά οὖσα ἡ ἔξ οὐ τρέπει τὸ ξ· „διὲξ σωλῆνος εἰς ἄγγος" (Archil. fr. 213 T.). Τυραννίων (fr. 16 P.) δὲ ἓν μέρος λόγου ἤκουσεν, ἵν' ᾖ ἐπίρρημα, καὶ βαρύνει· καὶ ἔχει λόγον, ὡς Ἡρόδοτος ἐν δ' (46, 1)· „πάρεξ τοῦ Σκυθικοῦ ἔθνους". παρὰ δὲ τῷ ποιητῇ τὸ παρέξ δύο μέρη λόγου εἰσὶ καὶ ἐγκλίνονται αἱ δύο προθέσεις. A

*ex.(Hrd.)* *b*. παρέξ: δύο εἰσὶ προθέσεις. ἀμέλει καὶ τρέπεται τὸ ξ εἰς κ̄, „παρὲκ μέγα" (π 165. 343), „παρὲκ νόον" (Κ 391. Υ 133), **b**(BCE³ E⁴) **T** „παρὲξ ὁδοῦ" (Κ 349), „παρὲξ εἴποιμι" (ρ 139), „παρὲξ ἀγορευέμεν" (Μ 213). **T** τινὲς δὲ ἓν μέρος λόγου, ὅπερ ἐστὶν ἐπίρρημα· ἔστι δὲ καὶ πάρεξ, ὃ γενικῇ θέλει συντάσσεσθαι. **b**(BCE³E⁴) **T** μετὰ τὴν διά δὲ οὖσα ἡ ἔξ οὐδέποτε τρέπει τὸ ξ. τὸ δὲ ἑξῆς οὕτω· πολλὸν δὲ παρὰ τὴν ἅλα φῦκος ἐξέχευαν. **b**(BCE³) **T**

*Did.* *c*. ⟨ἔχευεν:⟩ διχῶς, καὶ διὰ τοῦ ᾱ. A[int]

*D* 8. ⟨ἐδαΐζετο:⟩ ἐταράσσετο, διεκόπτετο. T[il]

ἐποίησαν ὁμοίως ὑφ' ἕνα τόνον βαρυτόνως, ὡς Λέλεξ· ὅπερ οὐκ ἔστι παρὰ τῷ ποιητῇ· ὁμοίως τῷ πλήν· τοῦτο γὰρ καὶ γενικῇ φιλεῖ συντάσσεσθαι, ἧς ἐστι χωριστικόν· „πάντες (scripsi, πάντας cod.) παρεγένοντο πλὴν Ἀπολλωνίου", πάρεξ Ἀπολλωνίου. οὕτως ἔχει καὶ τὸ παρ' Ἡροδότῳ (4, 46, 1)· „οὔτε ἄνδρα λόγιον οἴδαμεν γενόμενον πάρεξ τοῦ Σκυθικοῦ ἔθνους καὶ Ἀναχάρσιος". καὶ παρὰ Πλάτωνι (Epin. 976 d 1)· „πάρεξ τῶν εἰρημένων". | φησὶν δὲ ἐν τῇ Καθόλου ὁ Τεχνικὸς αὐταῖς λέξεσιν (1, 510, 9)· „Τὸ πάρεξ βαρυνόμενον καὶ γενικῇ συντασσόμενον ἔχει τι παράσημον, ὡς καὶ παρὰ δύο προθέσεις ἐγένετο· ὁπότε γὰρ ὀξύνεται, οὔ φαμεν εἶναι ἐπίρρημα, ἀλλὰ δύο προθέσεις", cf. Hrd. μον. 2, 931, 32: πάρεξ· οὐδὲν εἰς ε̄ξ ἐπίρρημα βαρυνόμενον ἐκ δύο προθέσεων συνεστηκός, ὅπερ καὶ γενικῇ θέλει συντάττεσθαι, ἀλλὰ μόνον τὸ πάρεξ· καὶ γὰρ ἡ συνήθεια οὕτως ἔσθ' ὅτε φησὶ „πάρεξ Ἀπολλωνίου"· ὃν τρόπον καὶ Ἡρόδοτος ἐν τῇ τετάρτῃ ἔφη „πάρεξ τοῦ Σκυθικοῦ ἔθνεος". παρὰ μέντοι τῷ ποιητῇ ἕτερόν ἐστι τὸ ὀξυνόμενον „ἀλλὰ παρὲξ τὴν νῆσον ἐλαύνετε" (μ 276), „παρὲξ περιμήκεα δοῦρα" (μ 443). εἴρηται δὲ περὶ αὐτοῦ ἐν τῇ Ὁμηρικῇ προσῳδίᾳ, Et. Gen. (AB) πάρέξ, sch. ε 439. μ 276. 443. ο 199; — ἐξέχευαν (92) et παρὰ δὲ τῷ ποιητῇ (95) sq. brevius Eust. 732, 44 et 46 (. . . Ἀπίων δὲ καὶ Ἡρόδωρός φασιν) παρέλκειν (89) vide ad Ε 178 (Hrd.), sch. Ap. Rh. 2, 972—75 b τὴν παρά κυρίως κεῖσθαι (90) ad Λ 486 *a*/*b* διὲξ σωλ. εἰς ἄγγος (92) = Archil. fr. 5 *B* D.³ Τυραννίων (93) sq. eadem fere **h**(M¹ P¹¹ V³ V¹⁵), cf. Ep. Hom. (An. Ox. 1, 160, 21, sim. Et. Gen. = EM. 652, 38, Et. Gud. 453, 44) καὶ βαρύνει (94) cf. sch. Ap. Rh. 2, 342—44 c; Wackernagel, Vorl. über Syntax II (Basil. 1928), 231. *b* vide ad Λ 486 *a*/*b* 8 διεκόπτετο cf.

---

**91** ἔχευαν Vill., ἔχευεν A **92** lac. ante μετὰ indic. Lehrs διὲκ A em. Vill. (cl. EM. 324, 17), cf. test. **93** ἐς Bgk. **94** sq. ἡρ. ἐν δ' **h** (itaque Lehrs), ἡρωδιανὸς ὡς ἕνα A **95** ἔθνεος Hdt. **2** εἰς τὸ κ̄ **b** **5** post λόγου ca. 50 litt. erasae in T, ubi m. sec. haec suppl. ἀλλὰ παρὲξ τὴν νῆσον (μ 276), στῆ δὲ παρέξ, τρῶες δέ (Λ 486) **7** οὕτως **b** **8** ἔχευαν C **9** le. add. Vill. διὰ τοῦ ᾱ sc. ἔχευαν **10** le. add. V (fort. V[c])

9 *a.* ἄχεϊ μεγάλῳ: τῇ ἀλάλῳ λύπῃ. TT^il καὶ ἑξῆς· „ἷζον δ' εἰν ἀγορῇ τετιηότες" (I 13)· πένθους γὰρ ὄψιν γράφει τοῦ στρατοῦ. T *ex.*

*b.* ⟨βεβολημένος ἦτορ:⟩ ὅτι πάλιν τὸ βεβολημένος τὸ διὰ τοῦ σ̄ ἐπὶ ψυχῆς λέγει. A^im *Ariston.*

11. ⟨κλήδην εἰς ἀγορὴν κικλήσκειν ἄνδρα ἕκαστον:⟩ τὸ μὲν πλῆθος οὐ συνάγει, ἐπεὶ ἐν ταῖς δυσπραγίαις ὀργίζονται τοῖς ἄρχουσιν, ἐπ' ἐκείνους τὴν αἰτίαν τῆς συμφορᾶς ἀναφέροντες, ἄλλως τε, εἰ μηδὲν δυστυχήσαντες οὕτω πρώην ἐδέξαντο τὴν φυγήν, πολλῷ μᾶλλον νῦν δυστυχήσαντες· κατ' ὄνομα δὲ τοὺς ἀρίστους συνάγει, ἵνα μὴ ἔκπυστα γένηται τοῖς πολεμίοις τὰ πρασσόμενα, ἢ καὶ πρὸς τὸ μὴ ταράξαι τοὺς οἰκείους. οὐδὲ ἐν ταῖς δυσπραγίαις οὖν ἐξίσταται τῶν πρακτέων ὁ βασιλεύς. b(BCE^3E^4) T *ex.*

12 *a.* μηδὲ βοᾶν: ἀντὶ τοῦ μὴ βοᾶν δέ, ὡς „δόλῳ οὐδὲ βίηφιν" (ι 408) ἀντὶ ⟨τοῦ⟩ βίᾳ δὲ οὔ. T *ex.*

*b.* μετὰ πρώτοισι πονεῖτο: ταὐτὰ ποιεῖ τοῖς κήρυξι πρὸς τὸ δυσωπεῖν ἐκείνους, καὶ εἰκότως· ἡ γὰρ συμφορὰ ταπεινοῖ καὶ τὰ μεγάλα φρονήματα. b(E^3) T *ex.*

*c.* ⟨πονεῖτο:⟩ ὅτι τὸ πονεῖν ἀεὶ ἐπὶ τοῦ ἐνεργεῖν τίθησιν. | νυκτὸς δὲ οὔσης ——— καλεῖ, ἵνα μή τις ταραχὴ γένηται. A^int *Ariston.* | *D*

13. ⟨τετιηότες:⟩ τετιμωρημένοι ἢ λυπούμενοι. T^il *D(ad I 30)*

14 *a.* ἵστατο δακρυχέων: ἵνα ἐλεεινὸς γεγονὼς μὴ καταλειφθῇ παρ' αὐτῶν. b(BCE^3) T *ex.*

*b.* ὥστε κρήνη μελάνυδρος: ὅτι Ζηνόδοτος γράφει „μετ⟨ὰ δ'⟩ Ἀργείοισιν ἔειπεν (14) / ὦ φίλοι Ἀργείων" (I 17). περιήρηκε δὲ πάντα τὰ κατὰ τὴν παράθεσιν (sc. I 15—6). ἀναγκαῖα δέ ἐστιν εἰς αὔξησιν. A *Ariston.*

μελάνυδρος: πολύυδρος. φύσει γὰρ ——— τὸ βάθος. A *D*

Bechtel, Lex. 91 9 *a* — λύπῃ (11) cf. D *b* πάλιν (14) ad I 3 *c* (Ariston.), cf. D 11 cf. D ad I 12 κατ' ὄνομα (20) — συνάγει cf. He. κ 2945 ἵνα μὴ (20) — πρασσόμενα (21) cf. Eust. 732, 56 12 *c* — τίθησιν (29) ad A 467 *a* (Ariston.), cf. Eust. 732, 64 13 ad Θ 447 (test.) 14 *b* περιήρηκε (35) sq. cf.

---

11—3 pone sch. I 15 *b* in T, trps. Bk. 11 le. om. T^il 12 ὄψις T em. Wil. 14 le. addidi ὅτι A, ἡ διπλῆ, ὅτι Vill. 16 le. add. Vill. (κλήδ. εἰς ἀγ. add. V, ἄνδρα ἑκ. add. Li) 19 εἰ T καὶ b πολλῷ T πόσῳ b 21 τοῖς πολ. γένηται E^3 22 δυσπρ. T, δυστυχίαις b (fort. rectius) 25 τοῦ ins. Nickau 26—8 sch. ad I 10 (v. φοίτα) rettulit E^3 26 εἰκότως ταὐτὰ E^3 27 καὶ εἰκότως om. E^3 29 le. addidi ὅτι A, ἡ διπλῆ, ὅτι Vill. 31 le. add. V^c 32 ἵνα T τοῦτο δὲ ποιεῖ ἵνα pone sch. I 16 *b* (coni. cum v. ὕδωρ) in b 34 le. Bk., ἵστατο δακρυχέων: A ὅτι A, ἡ διπλῆ (debuit δ. περιεστιγμένη), ὅτι Vill. 34 sq. μετ' A suppl. Bk. 36 παράθ. A, παραβολὴν Cob. (parum probabiliter)

*D* 15 *a*. αἰγίλιπος: ὑψηλῆς, ἣν καὶ αἶξ ἂν ἀπολίπῃ διὰ τὸ ἄγαν ὑψηλὸν **AT** καὶ δύσβατον· ἐν γὰρ τοῖς κρημνοῖς αἱ αἶγες ὡς ἐπίπαν νέμονται. **A** ἡ δὲ παραβολὴ πρός τε τὸ πλῆθος τῶν δακρύων εἴληπται καὶ τῶν στεναγμῶν. **AT**

*D* | *ex.* *b*. δνοφερόν: μέλαν. | ἢ **T** μετὰ δονήσεως φερόμενον· τῷ δὲ ψόφῳ ὁ στεναγμὸς εἴκασται. **b**(BCE³E⁴) **T**

*Ariston.* 16 *a*. ὥς ὁ βαρὺ στενάχων: ὅτι τινὲς γράφουσιν „ὥς ὅγε δακρυχέων" διὰ τὸ ἀκαταλλήλως πρὸς τὰ δάκρυα (cf. I 14) τὸ στενάχων ἀποδεδόσθαι. ἔστιν δὲ ἐν τῷ στενάχειν καὶ δακρύειν ἀπὸ προηγουμένου νοούμενον. **A**

*ex.* *b*. ὥς ὁ βαρὺ στενάχων: ἀλλ' εἶπε „δάκρυ χέων ὥς τε κρήνη" (I 14), εἰ μὴ λέγοις ὅτι **T** διὰ τοῦ βαρέως στενάζειν τὸ δακρυχέειν δηλοῦται, ὡς τὸ „ἑζόμενοι λεύκαινον ὕδωρ" (μ 172). **b** (BCE³) **TT**[il]

*Ariston.* | *Nic.* 17 *a*. ὦ φίλοι, Ἀργείων ⟨ἡγήτορες ἠδὲ μέδοντες⟩: ἡ διπλῆ, ὅτι ἐνθάδε ⟨οὕτως⟩ γραπτέον· πρὸς γὰρ τοὺς ἀρίστους, οὐ πρὸς τὸ πλῆθος ὁ λόγος. ὅταν δὲ ἀπόπειραν τῷ πλήθει προσάγῃ, προσφυέστερον γράφεται „ὦ φίλοι ἥρωες Δαναοί, θεράποντες Ἄρηος" (B 110). | διασταλτέον δὲ ἐπὶ τὸ φίλοι διὰ τὴν ἀντέμφασιν· ἑαυτῷ μὲν γὰρ προσφιλεῖς, Ἀργείων δὲ ἡγήτορας αὐτοὺς λέγει. **A**

*ex.* | *ex.* *b*. ὦ φίλοι, Ἀργείων ἡγήτορες: οὐ πρὸς τὸ πλῆθος ἀποτείνεται, ἐπεὶ καὶ ἡγεμόνες μόνοι εἰσὶν οἱ παρόντες. **b**(BCE³E⁴) **T** | τὴν μὲν πρώτην πεῖραν ὁ Ἀγαμέμνων σύμπαντος τοῦ πλήθους ἐποιεῖτο καὶ „ὦ φίλοι ἥρωες Δαναοί, θεράποντες Ἄρηος" (B 110) ἔλεγεν. νῦν δὲ ταύτην δευτέραν πεῖραν εἰς τοὺς Ἀργείων ἡγεμόνας φέρει δεδοικὼς

Bolling, Ext. Ev. 117, Von der Muehll 161, 5 15 *a* — νέμονται (41) cf. D ad Π 4; — δύσβατον (40) cf. Eust. 733, 36 *b* cf. Eust. 733, 38; — φερόμενον (43) ad Π 4, aliter sch. Ap. Rh. 4, 14; Athen. 2, 41 d/e; — μέλαν (43) = D ad Π 4 *b*, pap. Hamb. 128, 36, cf. He. δ 2084, Or. 43, 6. Vide Ap. S. 59, 20: δνοφερόν· μέλαν, | ἐξ οὗ σημαίνει τὸ πολύ· „δνοφερὸν χέει ὕδωρ", originis incertae 17 *a* — Ἄρηος (56) ad B 110 *a*; — λόγος (55) cf. Porph. 1, 132, 29; Eust. 732, 65 (εἰς δημηγορίαν), vix recte Ludwich, Homervulg. 91, sim. Von der Muehll 161 *b*

---

39 ὑψηλῆς om. A ἣν T (= D), ἧς ἂν A ἂν ἀπολίπῃ T, ἀπολείπεται ἂν A 43 φερόμενον om. T 45 ὅτι A, ἡ διπλῆ, ὅτι Vill. 50—1 διὰ τοῦ βαρέως sq. ad I 14 relatum in b (vide ad I 14 *a*) 50 διὰ] ἄλλως· ὡς ὁ βαρυστενάχων: διὰ V[c] 50 sq. δακρὺ χέειν Ma., at vide ad A 357 δηλ. τὸ δακρυχ. T[il] 53 le. A suppl. Vill. 54 οὕτως add. Frdl. 57 τὸ Bk., τῶι A 59—60 οὐ — παρόντες pone sch. I 18 *c* (coni. cum v. ἑαυτὸν) in b πλῆθος δὲ ἀποτείνεται b 60 καὶ ἡγ. μόν. T μόνοι ἡγεμόνες b οἱ παρ. εἰσί b

μὴ καὶ τούτων τὴν γνώμην ἡ γενομένη ἧττα καὶ ὁ παρὰ τοῦ Διὸς φόβος ἀνέτρεψεν· ὅτι γὰρ ἀποπειρωμένου καὶ ἡ σύνοδος αὕτη, δῆλον μὲν καὶ ἐξ ὧν Ἀγαμέμνων τὴν τοῦ Διομήδους ἐπίπληξιν φέρει οὐκ ἐνεγκὼν τὴν τοῦ κρείττονος Ἀχιλλέως δικαιολογίαν, δῆλον δὲ καὶ ἐξ ὧν ὁ Νέστωρ, ὡς τὴν τοῦ βασιλέως γνώμην ἐπιστάμενος, τὸν Διομήδην ἐπαινεῖ (cf. I 53—6), πρότερον ἐπιτιμήσας Ἀχιλλεῖ (sc. A 277—81). b(B$E^3E^4$) T

18 $a.^1$ ⟨μέγα:⟩ Ἀρίσταρχος σὺν τῷ σ̄ „μέγας". $A^{int}$ *Did.*

$a.^2$ {ζεύς με} μέγα: σὺν τῷ σ̄ „μέγας". T

*b.* {ζεύς με} μέγα: ὅτι μέγα δεῖ γράφειν ἀντὶ τοῦ μεγάλως *Ariston.* ὡς „σάφα" (B 192 al.). ἀδόκιμος δὲ πάνυ ἡ μετὰ τοῦ σ̄, „μέγας". A

*c.* ⟨ἄτῃ ἐνέδησε:⟩ ἀπαλλάσσει τῶν κατηγοριῶν ἑαυτόν. *ex.* b(BC$E^3$) T

19 *a.* ⟨ὃς πρὶν μέν μοι:⟩ Ἀρίσταρχος „ὃς τότε μέν μοι". $A^{int}$ *Did.*

*b.* ὃς πρὶν μέν μοι: ὅτι νῦν οὕτως γραπτέον „ὃς τότε μέν *Ariston.* μοι"· ἀναφέρει γὰρ ἐπὶ τὸ πρώην κατὰ τὸν ὄνειρον. ἐν ἐκείνοις (sc. B 112) μέντοι „ὃς πρὶν μέν μοι"· χρόνια γὰρ ἐσήμαινε τὰ κατὰ τὴν πρώτην ἔξοδον τῶν Ἑλλήνων. A

$c.^1$ ὃς πρὶν μέν μοι: „ὃς τότε μέν μοι" οὕτως Ἀρίσταρχος· *ex.* ὅτε τὸν ὄνειρον ἔπεμψεν. ἐκεῖ δὲ (sc. B 112) „πρίν" διὰ τὸ „ἀστράπτων ἐπιδέξια" (B 353). γράφεται δὲ καὶ ἐνταῦθα ὃς πρὶν μέν μοι. T

$c.^2$ τότε δέ μοι, φησίν, ὑπέσχετο καὶ κατένευσε τὴν Ἴλιον ἐκπορθήσαντα ἀναστρέψαι, ὅτε αὐτῷ ἐν Αὐλίδι τὰς θυσίας ἐποιοῦμεν καὶ τὸ τέρας ἡμῖν ὑπέφηνεν ἀκριβῶς. b(BC$E^3E^4$)

21. καί με κελεύει {δυσκλέα}: κελεύει διὰ τοῦ κεραυνοῦ (cf. *ex.* Θ 133—6). T

ἐπεὶ καὶ (60) — παρόντες at cf. sch. *a* (test.) 18 *a* ad B 111 (Did.) *b* Aristonicum errare apparet, cf. Lehrs Ar.³ 28; Friedl., Ariston. 154; Ludwich, A. H. T. 1, 297, 20 *c* aliter Eust. 733, 43 19 *b* ad B 112 (test.)

---

65 sq. καὶ ἡ σύν. — ἐξ T ἣν καὶ ἐξ αὐτῆς τῆς συνόδου μανθάνομεν καὶ ἐξ b 66 τοῦ om. b ἐπίπληξ. διομ. $E^4$ 67 ἐνεγκὼν T ἐνεγκὼν τὸ πρῶτον b 68 ἐπιστ. T εἰδὼς b 68 sq. ἐπαινεῖ τὸν διομ. $E^4$ 69 τῷ ἀχ. b 71 le. add. Bk. 72. 73 (le.) ζεύς με delevi 73 ὅτι A, ἡ διπλῆ, ὅτι Vill. 75 le. add. $V^c$ ἀπαλλάττει b τῆς κατηγορίας Bk. 77 le. addidi (auctore Ldw.) 78 le. scripsi (auctore Vill.), σχέτλιος: A, fort. rectius ὃς τότε μέν μοι: ὅτι A, ἡ διπλῆ, ὅτι Vill. 85—7 cum scholio I 17 *b* (v. παρόντες εἰσί, l. 60) coni. b (verbis scholii $c^1$ male intellectis) 88 (le.) δυσκλέα eieci

*Did.* 23—5 *a.* οὕτω που Διὶ μέλλει ⟨——— τοῦ γὰρ κράτος ἐστὶ μέγιστον⟩: παρὰ Ζηνοδότῳ οὐκ ἐφέροντο. καὶ Ἀριστοφάνης δὲ ἠθέτει. A$^{\text{int}}$T

*Ariston.* *b.* οὕτω που Διὶ μέλλει ⟨——— τοῦ γὰρ κράτος ἐστὶ μέγιστον⟩: ἀθετοῦνται στίχοι τρεῖς, ὅτι ἄμεινον ταῦτα λέγειν ἐν τῇ ἀποπείρᾳ (sc. B 116—8). νῦν δὲ οὐκ ἀποπειρᾶται, ἀλλὰ περὶ ἀποστάσεως ἀληθῶς λέγει ἐγκεκυρηκὼς τοῖς τοῦ Διὸς ἐλαττώμασιν. A

*ex.(Ariston.?)* 25 *a.*$^1$ ἢ δ' ἔτι καὶ λύσει: ὑπόψυχρον διστάζειν περὶ τῆς ἁλώσεως τῆς Τροίας ἐν τοιαύτῃ περιστάσει ὄντα. T

*a.*$^2$ ὑπόψυχρόν ἐστι τὸ διστάζειν περὶ τῆς ἁλώσεως Τροίας ἐν τοιαύτῃ δεινῇ συγκεκλεισμένον τῇ περιστάσει. b(BCE$^3$E$^4$)

*Ariston.* 26—31. ἀλλ' ἄγεθ' ——— ἀγαθὸς Διομήδης: ὅτι Ζηνόδοτος ἦρκε τοὺς στίχους πρὸς οὐδὲν ἀναγκαῖον, ἀλλ' ἕνεκα τοῦ κατ' ἄλλους τόπους φέρεσθαι. τοιοῦτος δέ ἐστιν ἐπὶ τῶν διφορουμένων. τὴν δὲ συνέπειαν οὕτως ποιεῖ· „δυσκλέα Ἄργος ἱκέσθαι, ⟨ἐπεὶ πολὺν ὤλεσα λαόν⟩ (I 22)./ ἦτοι ὅγ' ὣς εἰπὼν κατ' ἄρ' ἕζετο θυμὸν ἀχεύων (~ A 68 al. + E 869 al.)./ τοῖσι δ' ἀνιστάμενος μετέφη κρατερὸς Διομήδης" (= A 58 al. + Δ 401). A

23—5 *a/b* cf. Wilamowitz, Il. Hom. 33, 1 *b* ad B 116—8 (Ariston.) **26—31** diplae periestigm. ante versus I 29—31 in A, desunt ante versus 26—8, fort. errore scribae, qui lemmate falso deceptus est ὅτι Ζηνόδοτος (6) sq. cf. Duentzer, Zen. 147 et 164; Lehrs Ar.$^3$ 337; Wilamowitz, Il. Hom. 33; Bolling, Ext. Ev. 117; Von der Muehll 161, 5 ἦρκε (7) vide e. g. ad Π 89. 93; Bolling, Ext. Ev. 50

---

**90** sq. le. T supplevi auctore Vill., om. A **91** παρὰ τῷ ζην. T ἐφέροντο οἱ τρεῖς T, fort. rectius ἀριστοφ. B ἀριστοτέλης T **92** ἀθετεῖ T **93** sq. le. A suppl. Frdl. **6—12** le. scripsi, ὡς ἔφαθ' A. Notam Aristonici ad v. I 29 relatam ad versus 26—8 revocavit Dtz., ad I 23—31 Bk.; solis de versibus I 29—31 auctorem agere putabat Vill. At manifestum est Zenodotum versus I 23—8 aut omisisse aut obelis notasse, versus I 29—31 immutasse. Aristonicus autem, quod benigne me monuit K. Nickau, Zenodotum de versuum iteratorum omissione reprehendens versus I 23—5 (= B 116—8) respicere non potuit, quippe qui et ab Aristarcho eadem de causa hoc loco obelis notati (vide supra ad I 23—5 *b*) et a Zenodoto in libro B (116—8, una cum versibus 111—5) plane omissi essent; ceterum Aristonicus de iis solis Zenodoti omissionibus et athetesibus agere solebat, quae Aristarcho non placuissent; quo factum est, ut supra (ad I 23—5 *b*) nullum verbum de Zenodoto apud eum legas. Ergo Aristonici nota ad I 26—31 (= B 139—41. I 693. 695—6, i. e. κατ' ἄλλους τόπους [l. 7 sq.]) pertinet **6** ὅτι A, fort. αἱ διπλαῖ περιεστιγμέναι, ὅτι (ἡ διπλῆ, ὅτι Vill.) **9** sq. ἐπεὶ — λαόν perspicuitatis causa addidi, quamquam scio grammaticos in versibus laudandis supra prima verba saepe non progressos esse **10—2** ἦτοι ὅγ' ὡς sq. haec verba Zen. pro versibus I 29—31 scripsisse e contextu apparet **11** μετέφη A, προσέφη Bk.

29 *a*. ἀκή⟨ν⟩: ἄγη τίς ἐστιν· οἱ γὰρ ὑπερβάλλοντες θαυμασμοὶ ἐκπλήσσουσι, πᾶσα δὲ ἔκπληξις σιωπὴν ἄγει, ὡς καὶ τὸ „βῆ δ' ἀκέων" (Α 34) ἀντὶ τοῦ ἐκπλαγείς. ἢ ἀχή τίς ἐστι παρὰ τὴν †ἀχανίαν, A b(BCE$^3$E$^4$) T „οὔτ' ἄν τι χανεῖν δέον" (fr. com.?), ὅθεν καὶ „προχάνα" (Call. h. 6, 73). T *ex.*

*b*. ἀκὴν ἐγένοντο: τὸ εὐσταθὲς καὶ ἐν ταῖς συμφοραῖς τῶν Ἀχαιῶν δεδήλωται. T *ex.*

30. δὴν δ' ἄνεῳ ἦσαν: οὔτε γὰρ μένοντες χρηστὴν εἶχον ἐλπίδα οὔτε φεύγειν εὐκλεὲς ἡγοῦντο. ἅμα δὲ καὶ τὴν προτέραν πεῖραν εἰδότες ὑποπτεύουσι, τίς ὁ νοῦς τοῦ λέγοντος. ἔοικε δὲ αὐτὸς ὁ ποιητὴς διστάζειν, τίνα ἀντιτάξει τῇ ῥητορείᾳ Ἀγαμέμνονος εὖ ἐχούσῃ καὶ κηδεμονικῶς. b(BCE$^3$E$^4$) T *ex.*

31. ὀψὲ δὲ δὴ μετέειπε ⟨βοὴν ἀγαθὸς Διομήδης⟩: οἰκεία Διομήδους ἡ ῥητορεία· τὸν γὰρ παραιβάτην Ἕκτορος ἐφόνευσε (cf. Θ 120—3), τὴν σώσασαν Ἀλέξανδρον ἔτρωσε (cf. Ε 335—40), τοὺς Αἰνείου ἵππους ἔλαβε (cf. Ε 323—7), χρύσεα ὅπλα ἔσχεν (cf. Ζ 234—6), Ἰδαίῳ μόνος ἀντεῖπε (cf. Η 400—2), τοὺς κεραυνοὺς μόνος ὑπέμεινεν (cf. Θ 133—50), ἔφυγεν ὕστερος (cf. Θ 99—100), ὑπέστρεψε πρῶτος (cf. Θ 254—5), ὀνειδισθείς τε ὑπὸ Ἀγαμέμνονος (cf. Δ 370—400) εὐκαίρως αὐτῷ νῦν ἀντονειδίζει μετὰ τὴν ἀριστείαν, b *ex.*

29 *a* cf. Or. 11, 13 (unde Et. Gen. [B, deest A] ἀκήν· παρὰ τὴν ἄγην, τὴν ἔκπληξιν, ἥτις οἶδε ποιεῖν ἀφωνίαν· τροπὴ οὖν τοῦ γ̄ εἰς κ̄ ὡς λυκόφως παρὰ τὸ λύγον (λυγαῖον Larcher) τὸ σκοτεινόν. τινὲς δὲ παρὰ τὸ μὴ χαίνειν, τροπῇ τοῦ χ̄ εἰς κ̄, in sede scholiorum; Ep. Hom. (An. Ox. 1, 33, 19 [cf. 1, 23, 6], Et. Gud. 64, 14 Stef., EM. 47, 11); aliter Or. 8, 3 (Et. Gud. 64, 25 Stef.) **31** οἰκεία (25) — παρώξυνται (33) cf. Eust. 733, 26: οἰκεία δέ, φασίν, ἡ τοιαύτη μεγαλόφρων ῥητορεία τῷ Διομήδει· παρώξυνται γὰρ οὐ μόνον φιλοτιμίᾳ καὶ θυμῷ, ἀλλὰ καὶ ἀρετῇ· ἔτρωσε γὰρ τὴν τὸν Ἀλέξανδρον σώσασαν, ἀνεῖλε Πάνδαρον, ἔλαβε τοὺς ἵππους Αἰνείου, χρύσεα ὅπλα ἔσχεν, Ἰδαίῳ τῷ ἐκ Τροίας κήρυκι μόνος ἀντεῖπε, κεραυνοῖς ἀντέσχεν, ἔφυγεν ὕστερος, ὑπέστρεψε πρῶτος, καὶ διὰ ταῦτα ὑπέρφρων γίνεται, Plut. mor. 29 b/c εὐκαίρως (32) — ἀντονειδίζει cf. Eust. 733, 21 μετὰ τὴν

---

**13** le. A suppl. Vill., ἀκήν T (tamquam pars explicationis scriptum), om. b ἄγη τις A ἄγη T ἀπὸ τοῦ ἄγη b, fort. ἀκή ἄγη τις ἐστιν] γίνεται b **14** καὶ om. C **15** ἢ — ἐστι A ἢ ἀχὴν T ἄγη δὲ b ἀχ.] ἀχανίαν ἄχη καὶ ἄγη b, ἀχάνειαν Ma. **16** χαν(ὼν) T ut vid., em. Ma. **17** πρόχανα T emendavi, προχανά Ma. (at cf. Call. fr. 72) **18—9** ἀκὴν sq. cum scholio praecedenti coni. TV, dist. Bk. **20—4** οὔτε οὖν μένοντες sq. cum scholio I 29 *a* (v. καὶ ἄγη) coni. b **21** εὐκλεὲς b εὐκλεῶς T **23** ῥητ. bT, ῥητορία novavit T m. sec. **25** le. T supplevi (auctore Vill.), om. b **26** ῥητορία novavit T m. sec. (cf. l. 23) παραβάτην C **27** σώζουσαν b **28** χρύσεια b **30** ὕστατος Bk. **30** sq. ἐπέστρεψε T πρῶτος ante ὑπέστρ. E$^4$ **31** τε T δὲ b **32** αὐτὸν b

(BCE$^3$E$^4$) T ἀρετῇ δὲ καὶ θυμῷ καὶ φιλοδοξίᾳ παρώξυνται. εἰ δὲ ἦν γέρων, ἐδόκει ἐκγελᾶν ἀλλοτρίους πόνους· εἰ δὲ ἀσύνετος ἐτύγχανεν, ὑπωπτεύετο πάντως τῆς ἀσφαλείας καταφρονῶν. b(BCE$^3$E$^4$)

*Did.* 32 *a.* ⟨μαχήσομαι:⟩ Ἀρίσταρχος διὰ τοῦ η, μαχήσομαι. A$^{im}$

*ex.* *b.*$^1$ σοὶ πρῶτα μαχήσομαι: δῆλον ὡς καὶ τοῖς ἄλλοις μέμφεται ὡς συναινοῦσι τῇ φυγῇ διὰ τοῦ σιωπᾶν. μάχην δέ φησι τὴν ἐναντίωσιν τοῦ λόγου. T

*b.*$^2$ εἰπὼν τὸ πρῶτα δηλοῖ ὡς καὶ τοῖς ἄλλοις ἐπιμέμφεται τῇ φυγῇ διὰ τῆς σιωπῆς συναινοῦσι. b(BCE$^3$E$^4$) μάχην δέ φησι τὴν τοῦ λόγου ἐναντίωσιν. b(BCE$^3$)

*D* | *Nic.* 33 *a.* ἡ θέμις ⟨ἐστίν, ἄναξ, ἀγορῇ⟩: ὡς νόμος ἐστὶν ——— ἐν δημοκρατίᾳ. | ἐπὶ δὲ τὸ ἀγορῇ στικτέον, ὡς νόμος ἐστὶν ἐκκλησίας μετὰ παρρησίας λέγειν. Σέλευκον (fr. 13 M. = fr. 12 D.) μέντοι φασὶν ἐπὶ τὸ ἄναξ διαστέλλειν. A

*ex.* *b.* ἡ θέμις ἐστίν, ἄναξ, ⟨ἀγορῇ· σὺ δὲ μή τι χολωθῇς⟩: προδιόρθωσις, ἐπειδὴ σφοδρότερον αὐτοῦ μέλλει καθάπτεσθαι ὡς ἐφιεμένου μὴ ἄλλοτε, ἐν δὲ ταῖς ἐκκλησίαις ἀντιλέγειν τοῖς βασιλεῦσιν. προπαραιτεῖται δὲ τὴν ὀργήν, ἀξιῶν δέξασθαι τὴν πρὸς τὸ συμφέρον ἀλήθειαν καὶ δηλῶν ὡς τοῖς εἰρημένοις, οὐκ αὐτῷ ἀπέχθεται. b(BCE$^3$E$^4$) T

*ex.* *c.*$^1$ ⟨ἡ θέμις ἐστὶν . . . ἀγορῇ:⟩ τὸ παρρησιάζεσθαι τὸ δοκοῦν. T

*c.*$^2$ θέμις δὲ τῆς δημηγορίας τὸ τὸ δοκοῦν παρρησιάζεσθαι. b(BCE$^3$E$^4$)

*ex.* *d.*$^1$ σὺ δὲ μή τι χολωθῇς: ἀξιοπίστως. εἰ καὶ οἶδε καταθύμια αὐτῷ λέξων, ὅμως ἀναφέρει πρὸς τὸ „†στυγέει† δὲ καὶ ἄλλος" (A 186). T

*d.*$^2$ εὖ δὲ καὶ τὸ μή τι χολωθῇς ἀξιοπίστως εἰρημένον· εἰ γὰρ καὶ οἶδε τὰ καταθύμια αὐτῷ λέξων, ὅμως ἀναφέρει πρὸς τὸ „†στυγέει† δὲ καὶ ἄλλος". b(BCE$^3$E$^4$)

ἀριστείαν (32) cf. [Dion. Hal.] rhet. 8, 13 (p. 315, 16 Us.-R.) **32** *a* ad A 298 (Did.); alii μαχέσσομαι scripsisse putandi sunt **33** *b* cf. Eust. 733, 5. 55 προδιόρθωσις (48) cf. Hrd. rhet. fig. 95, 22, Alex. rhet. 14, 25 al. *c* cf. Eust. 733, 54 (vide 733, 47)

---

**35** πάντ(α) B (ut. vid.) **36** le. add. Vill. **41** συναινούσῃ C **43** le. A suppl. Vill. **47** le. T supplevi (auctore Vill.), om. b **48** προδιόρθωσίς ἐστιν b αὐτοῦ (αὐτοὺς C) σφοδρ. b **49** ἐν δὲ τ. ἐκκλ. T ἢ ἐν ταῖς δημηγορίαις b βασιλεῦσι b **53** le. addidi, ἡ θέμις ἐστίν add. V$^c$ **55** θέμις δὲ sq. coni. cum scholio *d*$^2$ (v. ἄλλος) in b **57** εἰ καὶ cf. sch. *d*$^2$ **58** στυγέει T m. pr., στυγέῃ m. sec., Hom. **60—2** εὖ δὲ καὶ τὸ sq. coni. cum scholio *b* (v. ἀπέχθεται) in b **61** sq. στυγέει cf. sch. *d*$^1$ (l. 58)

34 *a*. ⟨ἀλκὴν μέν μοι πρῶτον ὀνείδισας ἐν Δαναοῖσιν:⟩ ὅτι τῶν κατὰ τὴν ἐπιπώλησιν πλη⟨κ⟩τικῶς εἰρημένων (sc. Δ 370—400) μέμνηται. A$^{im}$ *Ariston.*

*b.*$^1$ ἀλκὴν μέν μοι πρῶτος ⟨ὀνείδισας ἐν Δαναοῖσιν⟩: πρῶτος ἀντὶ τοῦ εἷς καὶ μόνος. | ὃν δὲ βαρύτατα φέρων ἠνέσχετο ψόγον δειλίας, περὶ τούτου πρῶτον ἔρρηξε φωνήν· ὁ θυμὸς γὰρ καὶ ἡ φιλοδοξία τοιοῦτον· †παρεὶς τὴν ὑπὲρ ἑαυτοῦ παρρησίαν †πρῶτος† εἰσήγαγεν. T *ex.* | *ex.*

*b.*$^2$ οὐ „πρῶτον“, ἀλλὰ πρῶτος. δηλοῖ δὲ τὸ μόνος, οἷον μετὰ σεαυτοῦ μὴ ἔχων ἕτερον· οὐ γάρ τίς με, φησί, καὶ ἄλλος ὕβρισεν, ἀλλὰ σὺ πρῶτος ἤτοι μόνος αὐτὸς καὶ τέλος καὶ ἀρχή. | ὃν δὲ βαρύτατα φέρων ἠνέσχετο ψόγον δειλίας, περὶ τούτου πρῶτον ἔρρηξε φωνήν· ἐκ γὰρ θυμοῦ καὶ φιλοδοξίας τὰ συμβουλευόμενα παρεὶς τὴν ὑπὲρ ἑαυτοῦ παρρησίαν πρῶτον εἰσήγαγεν. b(BCE$^3$E$^4$)

ἀλκὴν μέν μοι πρῶτον ὀνείδισας: περὶ τῆς δυνάμεώς μου ὠνείδισας ἐν τοῖς Ἕλλησιν ὡς ἀσθενεστάτου. ἤτοι δὲ ἐν ——— πτώσσεις; A *D*

*c*. ⟨ἐν Δαναοῖσι:⟩ τὸ ἐν Δαναοῖσιν ἴσως τις ἀξιώσει τοῖς ἑξῆς συνάπτειν. ἀλλ' οὐ κατεπείγει. A$^{im}$ *Nic.*

36 *a*. ⟨ἠμὲν νέοι ἠδὲ γέροντες:⟩ οὕτως Ἀρίσταρχος ἠμὲν νέοι ἠδὲ γέροντες. γράφεσθαι δέ φησι καὶ „ἡγήτορες ἠδὲ μέδοντες“. A$^{im}$ *Did.*

*b*. ἠμὲν νέοι ἠδὲ γέροντες: ὅτι Ζηνόδοτος γράφει „ἡγήτορες ἠδὲ μέδοντες“. βέλτιον δὲ καθολικώτερον γεγράφθαι· καταλείπεται γὰρ ἐν πᾶσιν ἡ δόξα τἀνδρός. καὶ ὅτι νῦν γέροντας τοὺς καθ' ἡλικίαν, ἐπεὶ μικρῷ πρότερον τὸν Νέστορα αὐτὸς ἐσεσώκει ἐν τῷ πολέμῳ (sc. Θ 90—171). A *Ariston.*

**34** *a* cf. D, vide ad Δ 402 (ex.) *b*$^1$ — μόνος (67) aliter Eust. 733, 60 **36** nullum signum ante versum in A, fort. neglegentia scribae *a* cf. Ludwich, A. H. T. 1, 298, 12 *b* cf. Duentzer, Zen. 107 καὶ ὅτι νῦν γέροντας (86) sq. cf. D τοὺς καθ' ἡλικίαν (86) cf. sch. β 14

**63** le. addidi **64** ὅτι A, fort. ἡ διπλῆ, ὅτι πληττικῶς A suppl. Ddf., ἐπιπληκτικῶς Cob. **66** le. T supplevi (πρῶτος scripsi, πρω ss. τ T) **69** παρεὶς cf. sch. *b*$^2$, erat fort. τὴν ὑπόθεσιν vel τὰ βουλευόμενα παρεὶς πρῶτος] ος in ras. a m. pr. scriptum in T **80** le. add. Vill., ἀλκὴν μὲν — ἀνάλκιδα: add. Frdl. **82—3** sch. sub infimo versu textus scriptum in A **82** le. add. Ldw. **83** φησι sc. Didymus (Lehrs), at cf. test. **84** le. scripsi (auctore Vill.), ἴσασ' ἀργείων: A ὅτι A, ἡ διπλῆ (immo διπλῆ περιεστιγμένη), ὅτι Vill. **86** τἀνδρός sc. Diomedis (τ' ἀνδρὸς A em. Bk.) τοὺς καθ' ἡλικίαν „non ut saepe principes“ (Lehrs) **87** τὸν νέστ. αὐτὸς Lehrs, ὁ νέστωρ αὐτὸν A

*ex.* c. ἦ μὲν νέοι ἠδὲ γέροντες: ἀνεπαχθῶς διὰ τὸ σῷσαι Νέστορα· διό φησι· „πολέμῳ ἔνι καρτερός ἐσσι" (I 53). b(BCE$^3$E$^4$) T νέοι δὲ διὰ τὸν Σθένελον· ὅτι δὲ ἡνίοχος ἦν τοῦ Διομήδους καὶ τὰς ἀριστείας ἑώρα αὐτοῦ· καὶ γάρ φησι· „μήτι φόβον δ' ἀγόρευε" (E 252). T

*ex.* 37 *a.* σοὶ δὲ διάνδιχ' ἔδωκε: τὴν τιμὴν εἰς δύο διελὼν καὶ μερίσας τὸ ἕτερόν σοι ἔδωκε· λέγει δὲ τὸ βασιλεύειν. A

*ex.* *b.* διάνδιχα: διῃρημένως τὸ ἕτερον τῶν δυεῖν, οὐχ ἑκάτερον. b(BCE$^3$E$^4$) T

*ex.* 38. ⟨σκήπτρῳ μέν τοι:⟩ προθεραπεύει μέλλων ὡς δειλοῦ καθάπτεσθαι. b(BCE$^3$E$^4$) T$^{il}$

*ex.* 39 *a.* ἀλκὴν δ' οὔ τοι δῶκεν: καὶ Ἀχιλλεὺς ταῦτα ὀνειδίζει (sc. A 225—8). οὐ πειστέοι δὲ ἀντιπολιτευόμενοι· τὰ δὲ ἀπαθῆ τῶν προσώπων ἱκανὰ πρὸς μαρτύρησιν, „ἀμφότερον βασιλεύς τ' ἀγαθὸς κρατερός τ' αἰχμητής" (Γ 179) καὶ „ἢ αὐτὸν βασιλῆα" (H 180). b(BCE$^3$E$^4$) T

*ex.* *b.* ὅ τε κράτος ἐστὶ μέγιστον: τὸ ἄμφω κεκτῆσθαι, ὡς οὐ τέλειος εἴη βασιλεὺς ὁ μὴ ἔχων τὰ δύο· καὶ ὅτι ἡ μὲν δύναται βασιλείαν περιποιεῖν, ἡ δὲ βασιλεία πρὸς κτῆσιν ἀλκῆς ἀδύνατος. δύο δέ εἰσι, τὸ μὲν ἐκ τύχης, τὸ δὲ ἐξ ἀρετῆς, ὅπερ ἀποδέχεται ὁ ποιητής, b (BCE$^3$E$^4$) T ὡς μὴ δεήσοντος πόνου. b(BCE$^3$E$^4$)

*ex.(?)* c. ⟨ὅ τε:⟩ τὸ ὅ τε ἀντὶ τοῦ ὅπερ. A$^{im}$

*ex.* 40. ⟨δαιμόνι':⟩ εὔκαιρος ὁ ἔπαινος διὰ τὰ εἰρημένα κατ' αὐτοῦ. b(BCE$^3$E$^4$) T$^{il}$

37 *a*/*b* cf. D; vide Eust. 734, 1 39 *a* — ὀνειδίζει (5) cf. Eust. 734, 10 *b* — ἀδύνατος (12) aliter Eust. 734, 6. 12 ὅπερ (13) — ποιητής cf. Valk I 473 n. 324 *c* cf. D 40 ὁ ἔπαινος (16) cf. D ad B 190

---

89 διὰ T τοῦτό φησι διὰ b σῶσαι τὸν b 90 φησι T, κἀκεῖνος λέγει b (fort. rectius) κρατερὸς b 91 ὅτι δὲ susp. (sed fort. excidit verbum fin. post v. ἑώρα αὐτοῦ), ὅτι καὶ Ma., exspectes οὗτος γὰρ 1 le. scripsi, σοὶ δὲ διάνδιχα T, τὸ δὲ διάνδιχα ἀντὶ τοῦ (coni. cum scholio I 36 *c*, v. ἐσσί) E$^4$, om. BCE$^3$ 3 le. add. Li V$^c$ μέλλ. ὡς δειλοῦ T διὰ τούτου ὡς δειλοῦ μέλλων b 5—8 καὶ ἀχιλλεὺς οὖν (καὶ ἀχ. δὲ C) ταῦτα sq. coni. cum scholio *b* (v. πόνου) in b 5 ταυτὰ E$^4$, ταὐτὰ Ddf., Ma. 6 πιστέοι T, πιστευτέοι Vill. 6 sq. τῶν προσώπων om. b 7 πρὸς μαρτ. ἱκανὰ b ἀμφ. T οἷον τὸ b 7 sq. κρατ. τ' αἰχμ. om. b 8 καὶ τὸ b 11 ἡ b ὁ T, fort. τὸ δύν. T δύναμις b 12 περιποιεῖ b 13 ἐκ] ἐκ τῆς B 14 ὡς μὴ δεήσ. πόνου fort. additamentum byz. 15 le. addidi (auctore Vill.) 16 le. add. Li εἰρ. κατ' αὐτοῦ scripsi, κατ' αὐτοῦ εἰρημένα b εἰρημένα κατὰ τοῦ στρατοῦ T

**41.** ⟨καὶ ἀνάλκιδας ὡς ἀγορεύεις:⟩ προενεχυριάζων αὐτῶν τὴν ἀλκήν φησιν. $T^{il}$ *ex.*

**43—5.** ἔρχεο· πάρ τοι ὁδός ⟨———/⟩ ἀλλ' ἄλλοι μενέουσι: πικρὰ μὲν τῷ ἀκούεσθαι, ἥδιστα δέ ἐστι τῷ νοεῖν· ταῦτα γὰρ ἀκούειν ἐθέλει Ἀγαμέμνων παρὰ τῶν Ἀχαιῶν ὡς ἐθελονταὶ τὸν κίνδυνον ἀναδέχονται ὡς δημοκρατούμενοι, οὐ βιαζόμενοι. b(BC$E^3E^4$) T *ex.*

**43** *a.* ⟨πάρ τοι ὁδός:⟩ εὐμαρής ἐστί σοι ὁδός. $A^{im}$ *ex.*

*b.* νῆες δέ τοι ἄγχι θαλάσσης: ὅτι ἀπὸ κοινοῦ τοῦ πάρ τοι ὁδός τὸ πάρεισί σοι· ὅπερ οὐ συνέντες τινὲς προστεθήκασι τὸν ἑξῆς. A *Ariston.*

**44** *a.* ἑστᾶσ', ⟨αἵ τοι ἕποντο Μυκήνηθεν μάλα πολλαί⟩: ἀθετεῖται, ὅτι περισσός ἐστι καὶ μὴ προσκειμένου αὐτοῦ ἐμφαντικώτερος ὁ λόγος γίνεται· ἐφορμοῦσιν αἱ νῆες πορευσόμεναι. οἱ δὲ γράφουσιν (sc. in I 43) „νῆες †μέν τοι† ἀμφιέλισσαι" ὥστε παντελῶς ἀποκρίνεσθαι τὸν στίχον. A *Ariston.*

*b.* αἵ τοι ἕποντο Μυκήνηθεν: τούτων γὰρ ἄρχει μόνων, οὐχ Ἑλλήνων. πῶς δὲ οὐκ αἰσχρὸν ἐλθόντα πολλῷ στόλῳ μάταιον ὑποχωρεῖν; b(BC$E^3E^4$) T *ex.*

**45.** ἀλλ' ἄλλοι μενέουσι: ῥητορικῶς προενεχυριάζει αὐτῶν τὴν γνώμην. b(BC$E^3E^4$) T *ex.*

**46—7** *a.*[1] εἰ δὲ καὶ αὐτοί / φευγόντων ⟨σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν⟩: ἄνωθεν καὶ ἐκ παλαιοῦ τὰ τῆς ἀναγνώσεως ἐζήτηται. καὶ οἱ μὲν λείπειν φασὶ τὸ θέλουσιν ὑποστίζοντες ἐπὶ τὸ αὐτοί (46). οἱ δὲ κοινὸν ἄνωθεν λαμβάνουσι τὸ „ἐπέσσυται ὥστε νέεσθαι" *Nic.*

---

41 aliter Eust. 734, 25 43—5 cf. [Dion. Hal.] rhet. 8, 13 (p. 315, 19 Us.-R.) 43*a* cf. D 44 *a* cf. Wilamowitz, Il. Hom. 34, 1; — πορευσόμεναι (30) cf. Lehrs ap. Friedl., Ariston. 155: „Proprie: adest via, adsunt tibi naves prope mare, in quo inest: speculantur quodammodo, cupide exspectant iter ingredi volentes, inhiant itineri" *b* πολλῷ στόλῳ (34) cf. D; at vide Eust. 734, 28 46—7 *a*[1] οἱ μὲν (40) — αὐτοί ad I 262 (Nic.), cf. D, Eust. 734, 35

---

18 le. addidi, solum ἀνάλκιδας: add. Ma. 20 le. T suppl. Ma., om. b (qui sch. ad I 43 revocavit) 21 εἰσι τῷ νοεῖσθαι C 22 ὡς T ὅτι b ἐθελονταὶ T ἐθελοντὶ C ἐθελοντ(ὴς) $E^3$ ἐθελοντεῖς B$E^4$ 24 le. add. Ddf. 25 le. scripsi (auctore Vill.), ἔρχεο πάρ τοι ὁδός: A ὅτι A, ἡ διπλῆ, ὅτι Vill. 26 προστεθείκασι Bk. 28 le. A suppl. Vill. 30 ἐφορμῶσιν A em. Bk. 31 μέν τοι A, δέ τοι Frdl. (recte ut vid.) 31 sq. ὥστε... ἀποκρίν. i. e. secernatur resp. damnetur 34 σὺν πολλῷ ἐλθόντα στόλῳ b 36 προανεχυριάζει T προενεχυρίζει C αὐτῶν post ῥητορ. b 38 sq. le. A supplevi (auctore Frdl.) 40 τὸ αὐτοί Bk., τῶι αὐτῶι A

(Ι 42), εἶτα φευγόντων σὺν νηυσί (47) ἀντὶ τοῦ φευγέτωσαν. ἄμεινον δὲ ὑφ' ἓν ἀναγινώσκειν, εἰ δὲ καὶ αὐτοί / φευγόντων, στίζειν δὲ ἐπὶ τὸ γαῖαν (47), ἵνα λέγηται μὲν ἀποφα⟨ν⟩τικῶς, τὸ δὲ λεγόμενον τοιοῦτον ᾖ· 'ἄγε δὴ καὶ οὗτοι φευγέτωσαν εἰς τὰς πατρίδας'· εἴρηται γὰρ ὡς ὁ εἴ σύνδεσμος ἔχει τινὰ δύναμιν παρακελευστικήν, ὡς ἐκεῖ „ἀλλ' εἴ τις καλέσειε θεῶν Θέτιν" (Ω 74) τοῦ εὐκτικοῦ ἀντὶ προστακτικοῦ κειμένου, ὡς κἀκεῖ „ἐξελθὼν τις ἴδοι" (ω 491) ἀντὶ τοῦ ἰδέτω· ἀπρεπὲς γὰρ εὔχεσθαι τὸν Δία. τάχα δὲ καὶ τὸ παρὰ τοῖς Ἀττικοῖς παρακελευστικὸν ἐπίρρημα εἶα ἀπὸ τούτου γέγονε περιττεύοντος τοῦ ᾱ. ἄλλως τε καὶ συντάττεται τῷ ἄγε ἐπιρρήματι· „εἰ δ' ἄγε νῦν, φίλε Φοῖβε" (Π 667)· οὐδὲν γὰρ πλέον τοῦ ἄγε δή. καὶ ἐνθάδε 'ἄγε δὴ καὶ οὗτοι φευγέτωσαν'. **A**

*a.*$^2$ {εἰ δὲ καὶ αὐτοί}: τὸ εἴ παρακελευστικόν φησιν ὁ Νικάνωρ (p. 198 Friedl.). ὡς τὸ „εἰ δὲ σὺ μέν μευ ἄκουσον" (Ι 262), „ἀλλ' εἴ τις καλέσειε", „εἰ δ' ἄγε νῦν, φίλε Φοῖβε"· φησὶν οὖν 'ἄγε δὴ καὶ αὐτοὶ φευγέτωσαν· ἐγὼ γὰρ καὶ Σθένελος μαχούμεθα' (cf. Ι 48). **T**

*Nic. | ex.* *b.* ἄλλως· εἰ δὲ καὶ αὐτοί / φευγόντων: ὑποστικτέον εἰς τὸ αὐτοί (46), καὶ λείπει τὸ θέλουσι φυγεῖν. ἢ κοινὸν τὸ „ἐπέσσυται ὥστε νέεσθαι (Ι 42)." b(BCE$^3$E$^4$) **T** | κομματικῶς δὲ εἶπε μιμούμενος τὸν θυμούμενον. b(BE$^3$E$^4$) **T**

*Ariston.* 47 *a.* ⟨φευγόντων:⟩ ὅτι Ἀττικῶς ἀντὶ τοῦ φευγέτωσαν. **A**$^{im}$

*ex.* *b.* ⟨φευγόντων:⟩ αἰσχρῷ ὀνόματι αὐτὸ εἶπεν. **T**$^{il}$

*ex.* 48 *a.*$^1$ ἐγὼ Σθένελός τε: οὐκ ἐδίστασε προτρεπόμενος. **T**

*a.*$^2$ προτρεπόμενος αὐτοὺς οὐκ ἐδίστασεν, ἀλλὰ προθύμως φθέγγεται ταῦτα. b(BCE$^3$E$^4$)

*ex.* 49. σὺν γὰρ θεῷ εἰλήλουθμεν: τῶν λόγων τὸ ὑψηλὸν τῇ θείᾳ ῥοπῇ λύει. ἔστι δὲ ὅμοιον τῷ „πειθόμενοι τεράεσσι θεῶν" (Δ 408). b(BE$^3$) **T**

εἴρηται (45) sq. ad Κ 222—3. Ω 74 (Nic.), cf. Anon. fig. 157, 20; Friedl., Nic. p. 30 εἴρηται γὰρ (45) „fort. ad Ζ 376. Θ 18" (Friedl.), cf. sch. β 178, Eust. 1416, 40; Carnuth, Nic. 24. 29. 68 τάχα δὲ καὶ (49) sq. aliter Choer. O. 213, 14, id. ap. Eust. 107, 29, sim. Et. Gud. 410, 1 Stef. (test.); vide ad Π 667 (c. test.) 47 *a* ad Β 438 (Ariston.), cf. Eust. 734, 36 49 ad Θ 146 (ex.)

---

44 ἀποφατικῶς A supplevi 48 τις εἴδοι A em. Vill. εἰδέτω A em. Vill. 50 εἶα A em. Bk. 54 le. T delevi 58—61 sch. cum scholio praecedenti coni. T 58 ἄλλως et le. T, om. b (ubi sch. ad Ι 46 relatum est) 59 ἐπεσσυνται T 62 le. add. Ddf. ὅτι A, fort. ἡ διπλῆ, ὅτι 63 le. add. Ma., ἄλλως· φευγόντων add. V$^c$ ταὐτὸ Ma. (cf. Ι 43), fort. recte 65—6 προτρεπ. sq. pone sch. Ι 49 in BE$^3$ (supra paraphrasim v. Ι 48 scriptum in E$^4$) 66 φθεγγ.] δέχεται E$^4$ 67—8 ante sch. Ι 48 *a*$^2$ in b 68 ῥοπῇ T προνοίᾳ b θεῶν om. T

50—1. ⟨ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ——— / μῦθον ἀγασσάμενοι:⟩ θαυμαστὴ τῶν λόγων ἡ δύναμις συγχέουσα καὶ διαστέλλουσα τὴν ψυχήν. b($BE^3$) $T^{il}$ *ex.*

52 *a.* ⟨τοῖσι δ' ἀνιστάμενος μετεφώνεεν:⟩ „τοῖσι δὲ καὶ μετέειπε Γερήνιος". A *Did.(?)*

*b.* μετεφώνεεν ἱππότα Νέστωρ: καλῶς μετὰ τὸ μαθεῖν τὴν γνώμην τῶν Ἀχαιῶν ἐπάγει τὸν λόγον ὁ Νέστωρ. b($BCE^3E^4$) T *ex.*

*c.* μετεφώνεεν ⟨———⟩ Νέστωρ: ἡ σιωπὴ Ἀγαμέμνονος ἀπόπειραν δευτέραν ἔχει τῶν Ἑλλήνων. οὔτε δὲ ἀντιπράσσει Διομήδει (θυμήρη γὰρ εἶπεν) οὔτε ὡς ἡδόμενος συναινεῖ, ἵνα μὴ πρὸς τὸ μέλλον ἄπιστον ἑαυτὸν καταστήσῃ τοιοῦτόν τι τεχνάσασθαι. b($BCE^3$ $E^4$) T *ex.*

53—4 $a.^1$ περὶ μὲν πολέμῳ ἔνι καρτερός ἐσσι / καὶ βουλῇ παρὰ πάντας ὁμήλικας ⟨ἔπλευ ἄριστος⟩: οἷς ἀμφοῖν ἐλοιδόρησε τὸν βασιλέα, τούτοις αὐτὸν προὔχειν φησίν, ἀλλ' οὐκ ἄκρως· οὔτε γὰρ 'καρτερώτατος' εἶπεν, ἵνα μὴ τοὺς ἄλλους τοὺς τῆς ἀνδρίας ἀντιποιουμένους λυπήσῃ, ἀλλὰ μετὰ πάντας ὁμήλικας (54), ἵνα μὴ τοὺς πρεσβυτέρους ἀνιάσῃ. ἄλλως τε καὶ ἀνατρέψαι αὐτοῦ τὸν λόγον βούλεται· διὸ †οὐ† συνετώτατον αὐτὸν καλεῖ. b(B, C [bis], $E^3E^4$) T *ex.*

$a.^2$ {τυδείδη περὶ μὲν πολέμωι ἔν καρτερός ἐσσι}: οἷς ἀμφοῖν τὸν βασιλέα ἐλοιδόρησε, τούτοις αὐτὸν προὔχειν εἰπών, ἀλλ' οὐ καθ' ὑπεροχήν· οὔτε γὰρ αὐτὸν καρτερώτατον εἶπεν οὐδὲ συνετώτατον. A

53. ⟨περί:⟩ ὅτι τὸ περί ἀντὶ τοῦ περισσῶς. $A^{int}$ *Ariston.*

53 ad B 831 *b* (Hrd.), cf. sch. μ 279; Friedl., Ariston. p. 28. Vide ad Ξ 316

---

70 sq. le. addidi, ἄρα πάντες add. $V^c$ (sch. supra v. 50 exaratum in T; de b vide notam sq.) 71—2 θαυμαστὴ sq. cum scholio I 49 (v. θεῶν) coni. b 72 τὴν ψυχὴν om. T, fort. recte 73 le. add. Bk. (= vulg.) τοῖσι² A, ἐν ἄλλῳ· τοῖσι Vill. 75 καλῶς T καλῶς δὲ post sch. *c* (coni. cum v. τεχνάσασθαι) b 76 γνώμην super γ ss. α' T 77 le. T suppl. Ma., om. b 78 sq. τῷ διομήδει b 79 θυμήδη T 82 sq. le. T supplevi, om. b (qui sch. ad I 53 rettulisse vid.) 82 (le.) κρατερός T em. Ma. 83—8 totum sch. sub contextu iterat C 85 καρτερ. scripsi, καρτερότατος T κρατερώτατος $BE^4$ κρατερώτατον $CE^3$ 85 sq. τούς² — λυπ. T λυπήσῃ καὶ αὐτοὺς τῆς ἀνδρίας (ἀνδρείας $CE^4$, vide ad Θ 494) ἀντιποιουμένους b 86 ἀλλὰ (ἀλλὰ καὶ b) susp., fort. οὔτε βουλῇ ἄριστος, ἀλλὰ 88 οὐ T καὶ οὐ b, οὐδὲ Ma. καλεῖ αὐτόν C (utroque loco), $BE^4$ 89 le. A del. Ddf. εἰς ἄμφω A em. Ddf. 90 fort. εἶπεν 91 οὐδὲ A, οὔτε Ddf. (sine necessitate) 92 le. addidi (duce Frdl.) ὅτι A, fort. ἡ διπλῆ, ὅτι

*ex.* 55 *a.*[1] ⟨οὔ τίς τοι τὸν μῦθον ὀνόσσεται:⟩ δύο γὰρ ἀκυροῦσι λόγον, ἐναντίωσις καὶ μέμψις. $T^{il}$

*a.*[2] δύο γὰρ τὰ ἀκυροῦντα πάντα, ἥ τε τῶν λόγων ἐναντίωσις καὶ ἡ μέμψις. b($BCE^3E^4$)

*D* οὔ τίς τοι τὸν μῦθον ὀνόσσεται: οὐδείς σου τὸν λόγον ——— κἀκεῖνος εἰσηγεῖται. A

*Ariston.* | *Ariston.* 56—7. οὐδὲ πάλιν ἐρέει ⟨——— / ἦ μὲν καὶ νέος ἐσσί, ἐμὸς δέ κε καὶ πάϊς εἴης⟩: ὅτι οὐχ ἁρμόζει τῷ τρεῖς γενεὰς βεβιωκότι λέγειν 'ἐμὸς ἂν παῖς εἴης' (cf. 57) κατὰ τὴν ἡλικίαν. πρὸς ἐπιτίμησιν τοῦ πολέμου. | τὸ δὲ πάλιν (56) οὐκ ἔστιν ἐκ δευτέρου, ὡς ἡμεῖς, ἀλλ' ἀντὶ τοῦ ἔμπαλιν ἐρεῖ, ἐναντίως. A

*ex.(?)* 56. οὐδὲ πάλιν ἐρέει. ⟨ἀτὰρ οὐ τέλος ἵκεο μύθων⟩: οὐδὲ ἀντερεῖ. τὸ δὲ τέλος οὐκ ἐπέθηκας τοῖς λόγοις. $A^{int}$

*D* ἀτὰρ οὐ τέλος ἵκεο μύθων: οὐ μὴν τέλος ——— ἅτινα αὐτὸς ἀναπληροῖ. A

*Nic.* 57—8. ἦ μὴν καὶ νέος ἐσσί, ⟨ἐμὸς δέ κε καὶ πάϊς εἴης / ὁπλότερος γενεῆφιν⟩: ἡ συνήθεια στίζει μετὰ τὸ ἐσσί (57), τὸ δὲ ἑξῆς συνάπτει. ἐπεὶ δὲ ἀξιοῦσί τινες ὑπερβατὸν ποιεῖν ἦ μὴν καὶ νέος ἐσσὶ ὁπλότερος γενεῆφι, δῆλον ὅτι τὰ διὰ μέσου λεγόμενα ἐμὸς δέ κε καὶ πάϊς εἴης τῆς ἐοικυίας διορθώσεως τεύξεται. A

*Did.* 57 *a.* ⟨ἦ μήν:⟩ διὰ τοῦ ε̅ αἱ 'Αριστάρχου, „ἦ μέν" {καὶ νέος}. $A^{im}$

*ex.* *b.* ⟨νέος ἐσσί:⟩ ἀπολογεῖται τοῦ μὴ τελέσαι τὸν λόγον. $T^{il}$

*ex.* *c.* ἐμὸς δέ κε ⟨καὶ⟩ πάϊς ⟨εἴης⟩: τῷ τῆς συγγενείας ὀνόματι τὴν ἐξ αὐτοῦ ἐπισπᾶται εὔνοιαν. b($BCE^3E^4$) T

*Did.(?)* 58 *a.*[1] ⟨ὁπλότατος:⟩ γράφεται „ὁπλότερος". $A^{im}$

*a.*[2] ⟨ὁπλότερος:⟩ γράφεται „ὁπλότατος". $T^{il}$

56—7 diplae ante versus in A    κατὰ τὴν ἡλικίαν (6) at cf. sch. D. Thr. ($\Sigma^m$ ex Heliodoro) 371, 38, ib. ($\Sigma^l$ ex Heliodoro) 535, 10    τὸ δὲ „πάλιν" (7) sq. cf. D ad N 3. Vide ad B 276 *a* (Ariston.)    56 cf. D; vide ad N 3 *a*    57 *a* ad A 77—8 (Hrd.)    58 h($M^1$ $P^{11}$, pone D): βάζειν δὲ τὸ φράζειν κατὰ συγγένειαν τοῦ φ̅ πρὸς τὸ β̅, originis incertae, fort. sch. rec.

---

93 le. addidi (οὔ — μῦθον add. $V^c$)    4 sq. le. A supplevi    5 ὅτι A ἡ (δὲ) διπλῆ, ὅτι Vill., fort. αἱ διπλαῖ, ὅτι    6 πρὸς A, an ἀλλὰ πρὸς?    7 πολέμου sc. ἐπιδημίου (cf. I 63—4). Verba πρὸς — πολέμου ab Aristonico abiud. Frdl., vix recte. Sch. mutilum esse vid.    9 le. A suppl. Vill.    11—2 sch. pone sch. I 57—8 in A, trps. Bk. (Vill.)    13 sq. le. A suppl. Frdl.    14 ἡ A, ἡ μὲν Bk.    18 le. add. Bk.    καὶ νέος del. Bk.    19 le. add. Bk. (ἦ μὴν καὶ νέος add. $V^c$)    20 le. T supplevi (auctore Vill.), om. b    22 le. (= $A^{cont}$) add. Vill.    γράφ. cp. (γρ) A    23 le. (= $T^{cont}$, vulg.) add. $V^c$, Ma.

*b.* ἀτὰρ πεπνυμένα βάζεις: ὁρᾷς ὅσοι οἱ ἔπαινοι· σχεδὸν γὰρ αὐτῷ ἀπονέμει τὸ πᾶν τῆς συμβουλῆς, b(BCE$^3$E$^4$) T ὀλίγα αὐτὸς προσθήσειν ἐρῶν. T *ex.*

58—9 *a.*$^1$ ἀτὰρ πεπνυμένα βάζεις ⟨/ Ἀργείων βασιλῆας, ἐπεὶ κατὰ μοῖραν ἔειπες⟩: τὸ Ἀργείων βασιλῆας (59) δύναται καὶ τοῖς ἄνω συνάπτεσθαι καὶ τοῖς ἑξῆς. καὶ τὸ αὐτὸ μὲν σχῆμα ἐν ἀμφοτέροις· τοὺς Ἀργείων βασιλεῖς εἶπεν ἢ περὶ βασιλέων ἢ εἰς βασιλεῖς. εἴτε οὖν τοῖς ἄνω συνάπτοιτο, γίνεται βασιλεῖς βάζεις, εἴτε τοῖς ἑξῆς, γίνεται βασιλεῖς ἔειπες. A *Nic.*

*a.*$^2$ {ἐπεὶ κατὰ μοῖραν ἔειπας:} τοῦτο ἀμφοῖν δύναται συνάπτεσθαι. T

60. ὅς σεῖο γεραίτερος: ἀνεπιφθόνως οὐ τὴν σύνεσιν, ἀλλὰ τὴν ἡλικίαν προβάλλεται, διὰ ταύτης κρεῖσσον ἔχειν ἀξιῶν, οὐ λογιώτερον. b(BCE$^3$E$^4$) T *ex.*

61 *a.* ⟨διΐξομαι:⟩ διελεύσομαι τὰ πράγματα ἀπ' ἀρχῆς μέχρι τέλους. A$^{int}$ *ex.(?)*

*b.*$^1$ διΐξομαι: δασυντέον τὸ διΐξομαι· ἀπὸ γὰρ τοῦ ἵκω ἐγένετο. †ἐπιφέρει γοῦν† „ἀτὰρ οὐ τέλος ἵκεο μύθων" (I 56). A *Hrd.(?)*

*b.*$^2$ δασυντέον δὲ τὸ ⟨δι⟩ΐξομαι· ἀπὸ γὰρ τοῦ ἵκω ἐγένετο ἀντὶ ⟨τοῦ⟩ 'διεξέλθω πάντα'. T

*c.* ἐξείπω καὶ πάντα διΐξομαι: πρὸς τὸ „ἀτὰρ οὐ τέλος ἵκεο μύθων" (I 56). b(BCE$^3$E$^4$) T

61—2. οὐδέ κέ τίς μοι / μῦθον ἀτιμήσει οὐδὲ κρείων Ἀγαμέμνων: πρὸς τὸ μὴ ἀντειπεῖν Διομήδην τοῖς λεχθησομένοις. οἶδε δὲ Ἀγαμέμνονα εἰπόντα „εἰ δέ ποτ' ἔς γε μίαν βουλεύσομεν" (B 379). b(BCE$^3$E$^4$) T *ex.*

*b* cf. D 58—9 *a*$^1$ εἰς βασιλεῖς (30) cf. Eust. 735, 36 61 *a* διελεύσομαι (38) = D, cf. Eust. 735, 38 *b* La Roche, H. T. 419; sch. satis recens esse iudicat Lehrs Ar.$^3$ 311, vix recte

24 ὁρ. ὅσοι T ὅρα δὲ ὁπόσοι (coni. cum scholio I 57 *c*, v. εὔνοιαν) b 25 ἀπένεμε b 26 προσθήσειεν T em. Bk. 27 sq. le. A suppl. Frdl. 28 βασιλείας A em. Bk., βασιλεῖς Vill. 33 le. T delevi τοῦτο sc. τὸ ἀργείων βασιλῆας 36 τὸ κρεῖττον post ἀξιῶν b οὐ T καὶ b 38 le. add. Bk. 41 fort. ἀναφέρεται πρ(ὸς) τὸ vel ἐπιφέρει γὰρ τῷ 42—3 δασυντέον δὲ τὸ sq. pone sch. *c* (coni. cum v. μύθων) in T, transposui 42 ἵξομαι . . . ἥκω T suppl. et em. Ma. 43 τοῦ ins. Nickau 44 πρὸς T τοῦτο πρὸς b 45 μύθων T μύθων ἀντιπαρατέθειται b, fort. rectius 46 (le.) ἀτιμήσει' Ma. (auctore Bentley) 47—8 sch. ad I 62 revocavit b 47 διομ. ἀντειπ. b οἶδε b ᾄδει T 48 εἰπόντα τὸ b

*ex.* **63—4.** ἀφρήτωρ ⟨——— ὀκρυόεντος⟩: ὁ μὲν μένειν παρήγγειλεν, ὁ δὲ τοὺς συμμάχους ὁμονοοῦντας †ἔχει†. διδάσκει δὲ ὡς εἶναι μὲν πολεμικὸν δεῖ, δι' ὧν φησιν „οἷς οὔτι μέλει πολεμήϊα ἔργα" (Β 338), οὐ μὴν φιλοπόλεμον· ἀνατρέπει γὰρ τοῦτο πᾶσαν πολιτείαν. Διομήδης δὲ νῦν μὲν οὐκ ἀντεῖπεν, ἵνα μὴ ἀφρήτωρ δοκῇ. ὅτι δὲ οὐκ ἠρέσθη τῇ γνώμῃ, δηλοῖ διὰ τοῦ „μὴ ὄφελες λίσσεσθαι" (Ι 698). b(BCE$^3$E$^4$) T καὶ τὸ μὲν κεφάλαιον τῆς συμβουλῆς ἐπὶ τοῦ πλήθους εἶπεν, μὴ ὑπέρθηται τὰς λιτὰς ὁ Ἀγαμέμνων, τὸ δὲ κατὰ μέρος ἐπὶ τῶν †δείπνων† (sc. Ι 112—3. 163—73). καὶ Ἰσοκράτης ἐν τῷ Πανηγυρικῷ (sc. or. 4, 15—7), τῶν ῥητόρων συμβουλευόντων πλεῖν ἐπὶ Ἀσίαν, ἔλεγε πρῶτον διαλλάσσειν τὰς Ἑλληνίδας πόλεις καὶ κοινῇ τὴν ὁρμὴν ποιεῖσθαι. b(BE$^3$E$^4$) T διὰ δὲ τῆς τῶν ὀνομάτων ὑπερβολῆς δυσωπεῖ Ἀγαμέμνονα, μηδὲ βασιλέα ἔσεσθαι αὐτὸν καλὸν στρατοῦ, ἀλλ' οὐδὲ κοινῆς ἑστίας, εἰ ἀντείποι ταῖς λιταῖς. T

*ex.* **63** *a.* ⟨ἀφρήτωρ:⟩ κοινῶς ⟨ὁ⟩ φρατρίας καὶ συγγεν⟨ε⟩ίας μὴ μετέχων, ἀπάνθρωπος. A$^{int}$

*D(~)* ἀφρήτωρ: ἄπολις καὶ συγγένειαν οὐκ ἔχων· φρατρία γὰρ ἡ συγγένεια. κυρίως δέ ἐστι τρίτον μέρος φυλῆς. A

*ex.* *b.*$^1$ ἀθέμιστος: θηριώδης, ἄνομος, ὅπου καὶ Κύκλωπες θεμιστεύουσι „παίδων ἠδ' ἀλόχων" (ι 115), οἱονεὶ τὸ περὶ τὴν συγγένειαν φυλάσσουσι δίκαιον. b(BE$^3$E$^4$) T

*D | ex.* *b.*$^2$ ἄδικος | καὶ ἄνομος καὶ θηριώδης, ὅπου καὶ οἱ Κύκλωπες θεμιστεύουσι καὶ νόμοις χρῶνται τοῖς τῶν θεῶν. A

*ex.* *c.* ἀνέστιος: ὁ γὰρ ἑστίαν νέμων καὶ βίον ἑδραῖον τιμῶν τῆς πρὸς τοὺς οἰκείους ἀπέχεται στάσεως· b(BE$^3$E$^4$) T ἐπιδήμιος (cf. Ι 64) γὰρ πόλεμος ὁ ἐμφύλιος. T

**63—4** — πολιτείαν (53) cf. Philod. De regno Hom. col. 10, 4 **63** *a* cf. D, Eust. 735, 44 *b*$^1$ θηριώδης, ἄνομος (68) cf. Aristot. pol. 1, 2 p. 1253 a 3; Schulze 205 ὅπου καὶ (68) sq. cf. sch. ι 106. 115, Ap. S. 12, 20; Lehrs Ar.$^3$ 181 *c* ἐπιδήμιος γὰρ (74) sq. cf. D ad Ι 64, Eust. 736, 4

---

**50** le. T supplevi, om. b (scholio ad versum 63 relato) **50 sq.** παρήγγειλε T **51** ἔχειν Bk. **52** μέλλει BE$^3$E$^4$T **54** διομήδους C οὐκ] οὐχ T **55** λίσεσθαι T **57** μὴ T ὅπως μὴ b ὁ om. b τὰ δὲ b, fort. rectius **58** συνδείπνων Ma. **59 sq.** πλεῖν — ἔλεγε Ma., πλεῖν ἐπὶ ἀσίας ἔλεγε T ἐν τῷ πάντας πλεῖν ἐπὶ ἀσίαν δεῖν ἔλεγε b **60** διαλλ. — πόλεις Ma., διαλλάξειν τὰς ἑλλ. πόλεις T (in mg. ὅρα περὶ περσῶν m. sec.), τὰς ἑλλ. διαλλάσσειν (δ. E$^3$, διαλλάξειν BE$^4$) πόλεις b **63** exspectes ἀλλὰ μηδὲ **64** le. add. Bk. (Vill.) κοινῶς Vill., κοινῆς A ὁ add. Vill. συγγενίας A suppl. Vill. (συγγένειαν D) **67** φυλῆς Bk. (= D), φυλακῆς A **68** ἀθέμιστος δέ ἐστιν ὁ θηρ. pone sch. Ι 63—4 (coni. cum v. ποιεῖσθαι, l. 61) b ἄνομος om. b **69** οἱονεὶ T ἤτοι b τὴν om. b **71—2** ἄδικος sq. cum scholio D (A = D, v. φυλακῆς, l. 67) coni. A, dist. Ddf. **73—5** ὁ γὰρ ἑστ. sq. cum scholio *b*$^1$ (v. δίκαιον) coni. b

64. ⟨ἔραται:⟩ ἐπιθυμεῖ. ἡ λέξις Ἰωνική. A$^{im}$ *ex.(?)*

65. ⟨ἀλλ' ἤτοι νῦν μέν:⟩ τοῦ καιροῦ στοχάζεται καὶ προδείξας τὸ ὠφελοῦν σιωπᾷ τέως τὴν θεραπείαν. b(BCE$^3$E$^4$) T$^{il}$ *ex.*

66 *a*. δόρπα τ' ἐφοπλισόμεσθα: ἄξιον γὰρ προνοεῖν τῆς θεραπείας τοῦ σώματος τοὺς κάμνοντας. οἱονεὶ δὲ ὅπλα τῆς μάχης ποιησώμεθα τὰ δόρπα. b(BCE$^3$E$^4$) T *ex.*

*b*. φυλακτῆρες: Ἀρίσταρχος διὰ τοῦ $\overline{α}$ „φυλακτῆρας", AT τοὺς φύλακας. A *Did.*

67 *a*. ⟨λεξάσθων:⟩ διαταγήτωσαν. A$^{int}$ *ex.*

*b*. ⟨λεξάσθων:⟩ ὅτι ἀντὶ τοῦ λεξάσθωσαν. A$^{int}$ *Ariston.*

*c*. ⟨παρὰ τάφρον:⟩ γράφεται καὶ „περὶ τάφρον". A$^{im}$ *Did.(?)*

*d*. τείχεος ἐκτός: ἵνα ὁρμώμενοι τοῖς πολεμίοις καταπλήσσοιεν αὐτούς, ἔσω δὲ ὄντες τῆς τάφρου †ἀσφαλῶς ὦσιν. b(BCE$^3$E$^4$) T *ex.*

69. ⟨ἄρχε:⟩ ἀντὶ τοῦ σύναγε ἡμᾶς. T$^{il}$ *ex.*

70 *a*. δαίνυ δαῖτα γέρουσιν· ⟨ἔοικέ τοι, οὔ τοι ἀεικές⟩: ἔθος μὲν ἦν. ἀλλ' οἴεται αὐτὸν παραλείψειν τῇ ἐπιπλήξει τὸ ἔθος. ἄριστος δὲ ὁ καιρὸς ἐπὶ ὀλίγων, ἔνθα τὸν ἔλεγχον προσδέξεται· νῦν μὲν γὰρ οἱ τῶν Ἀργείων ἡγήτορες καὶ μέδοντές εἰσι συνειλεγμένοι, ἐπὶ δὲ τὸ δεῖπνον οἱ γέροντες μόνοι συνάγονται, ἐφ' ὧν ἤνεγκεν ἂν τὴν τοῦ γέροντος παρρησίαν b(BCE$^3$E$^4$) T ὁ Ἀγαμέμνων. T | καὶ ἄλλως· ἐν οἴνῳ ῥᾴους ἑαυτῶν ἐσμεν, ἥ τε ὁμοτράπεζος κοινωνία πάντας φίλους ποιεῖ· διὸ καὶ Πέρσαι μεθύοντες συμβουλεύονται, νήφοντες δ' ἐπικρίνουσιν. καὶ τὸ μὲν πλῆθος ἀπαλλάσσει χρηστὰς ὑπογράψας ἐλπίδας περὶ *ex.* | *ex.*

**64** cf. D, D ad Γ 446; vide Valk I 66 **66** nullum signum ante versum in A; tamen excidisse vid. nota Aristonici de v. l. Zenodoti ἐφοπλίζεσθον, ad Θ 503; cf. Duentzer, Zen. 8 n. 30 *b* τοὺς φύλακας (83) cf. D, Eust. 736, 16 **67** *a* cf. D *b* ad B 438 (Ariston.), cf. D **69** aliter D (ἡγοῦ, ἡγεμόνευε) **70** *a* cf. Plut. Quaest. conv. 7, 9 (mor. 714 a—c) νῦν μὲν γὰρ (92) — παρρησίαν (95) et καὶ τὸ μὲν πλῆθος (3) — δώρων (5) cf. Plut. mor. 29 c ἐν οἴνῳ ῥᾴους (1) sq. cf. Eust. 736, 57 διὸ καὶ Πέρσαι (2) — ἐπικρίνουσιν cf. Hdt. 1, 133, 3, Strab.

**76** le. add. Vill. **77** le. add. Li, νῦν μέν add. Bk. **77—8** τοῦ καιροῦ sq. supra versum I 64 scriptum in T (ὃς πολέμου ἔραται le. in V$^c$) **79** (le.) ἐφοπλισώμεσθα T em. Ma. (Bk.), le. om. b **79** sq. τοὺς κάμν. ante προνοεῖν b **80** οἱονεὶ δὲ T φησὶ δὲ ὅτι οἱονεὶ b **82** le. Bk., φυλακτῆρες δὲ ἕκαστοι T, δορπά τε: A διὰ τοῦ $\overline{α}$ A δὲ T **84** le. addidi (auctore Bk.) **85** et **86** le. addidi (auctore Vill.) **85** ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **87** sq. καταπλήσσοιεν vide ad H 114 $b^2/a^2$ **88** ἀσφαλέως b, ἀσφαλεῖς Ddf. ὦσιν T εἰσίν b, ἔχωσιν ci. Ge **89** le. add. Bk., σὺ μὲν ἄρχε add. V$^c$ **90** le. T supplevi (auctore Ddf.), om. b **91** παραλ. τῇ ἐπιπλ. Ma., παραλ. ἐπιπλήξει T τῇ ἐπιπλ. παραλ. b **92** sq. μὲν γὰρ T, γὰρ πάντες b (fort. rectius) **95** ὁ T ῥᾷον ὁ ci. Bk. **1** ῥᾴους b ῥᾷον T φίλ. πάντας E$^4$ **2** πέρσ.] ὅρα περὶ περσῶν in mg. add. T m. rec.

τῶν λιτῶν, οὐ μὴν ἀναγκάσας ἐπ' αὐτῶν τὸν βασιλέα ἀντιφωνῆσαι περὶ τῶν δώρων· πιέζοντος γὰρ ἦν τὸν καιρόν. καὶ ὁ Ῥοδίων δὲ νόμος κελεύει ταῖς μεγίσταις ἀρχαῖς συσσιτεῖσθαι τοὺς ἀρίστους, περὶ τῶν ἔωθεν πρακτέων βουλευομένους. b(BE³E⁴) T

*ex.* *b.* δαίνυ δαῖτα γέρουσι: παρασκεύαζε τὴν εὐωχίαν τοῖς ἐντίμοις ἢ ἐφ' ⟨ἑσ⟩τίασιν ἄγε τοὺς πρωταγωνιστάς. A

*Ariston.* 71. πλεῖαι {τοι οἴνου κλισίαι}: ὅτι πλεῖαι ἀντὶ τοῦ πλήρεις. πρὸς τὸ „παρῴχηκε⟨ν⟩ δὲ πλέω νύξ" (Κ 252) ἀντὶ τοῦ πλήρης. A

*ex.* 72. ⟨ἠμάτιαι:⟩ ἀνὰ ἑκάστην ἡμέραν ἢ διὰ μιᾶς ἡμέρας. A^int

*Hrd.* | *Hrd.* καθ. | *Did.* 73 *a.*¹ {πᾶσά τοι ἔσθ'} ὑποδεξείη, ⟨πολέεσσι δ' ἀνάσσεις: ὑποδεξείη⟩ ὡς „Ἀργείη" (Δ 8 al.). τὸ δὲ ἀκόλουθον ὤφειλεν εἶναι κοινὸν ὑποδεξία ὡς παρὰ τὸ ἀνόρεκτος ἀνορεξία. ταῦτα ἐν τῇ Προσῳδίᾳ (Hrd. 2, 63, 18). | ἐν μέντοι τῇ Καθόλου (Hrd. 1, 292, 22) οὕτως· „ʽπᾶσά τοί ἐσθ' ὑποδεξίη' ἕνεκα μέτρου ἔκτασιν ἔπαθε τοῦ ῑ. ἀγνοίᾳ μέντοι τἀκριβοῦς διὰ τῆς ει̅ διφθόγγου τὴν γραφὴν ποιοῦνται". | †καὶ οὕτως ἔχει ἡ τῶν ἀντιφάνους† παράδοσις. αἱ δὲ Ἀριστάρχου οὕτως εἶχον διὰ τοῦ γάρ, „πολέσιν γὰρ ⟨ἀνάσσεις⟩". ἔχει δέ τι Ὁμηρικὸν καὶ ἡ διὰ τοῦ δέ. A

15, 3, 20 (p. 734) *b* ἢ ἐφ' ἑστίασιν (9) cf. D 71 ad K 579; vide ad Δ 262. K 252 *a* (Ariston.), cf. Porph. 1, 147, 21; Lehrs ap. Friedl., Ariston. p. 156: „. . . additque (sc. ipse Aristonicus) adnotationem hanc pertinere ad illud K 252, quod ibi forma quae non posset nisi comparativa esse, a quibusdam neglecto discrimine acciperetur pro πλήρης". Illi igitur πλέω idem esse quod πλέα censebant; quorum fuisse etiam Aristarchum suo iure affirmat Valk II 232 n. 668. Cf. praeterea Ep. Hom. (An. Ox. 1, 352, 1, Et. Gud. 469, 27, plura Et. Gen. = EM. 675, 4) 72 cf. D; — ἡμέραν cf. Eust. 736, 43; M. L. West ad Hsd. th. 597 73 *a*¹ — τοῦ ῑ (17) Et. Gen. (B, deest A) ὑποδεξίη· ὡς ἀεργίη. ὤφειλεν εἶναι ὑποδεξία ὡς παρὰ τὸ ἀνόρεκτος ἀνορεξία (καὶ ἀσπιδοποιὸς ἀσπιδοποιΐα καὶ ἀεργὸς ἀεργία, οὕτως καὶ ὑπόδεκτος ὑποδεξία). ἀλλ' ἕνεκα μέτρου ἐξέτεινε τὸ ῑ (ῑ deest B, ubi spat. quatt. litt.), fort. ex hyp. Iliad.; cf. Eust. 736, 55 (τὸ „ὑποδεξίη" διὰ τὸ μέτρον ἔκτασιν τῆς παραληγούσης ἔπαθεν). In Et. Gen. (B, deest A) sequitur canon fort. Choerobosci (cf. Choer. O. 269, 18). Vide Beiträge 134 κοινὸν ὑποδεξία (15) cf. Choer. O. 269, 18 ἕνεκα μέτρου (17) ad B 518; cf. Cobet, Miscell.

4 sq. περὶ τῶν δώρων ἐκφωνῆσαι b 6 κελεύει post ἀρχαῖς b 9 τίασιν A (initio lineae) suppl. Vill. 10 (le.) τοι οἴν. κλ. delevi ὅτι A, ἡ διπλῆ, ὅτι Vill. 11 παρῴχηκε A suppl. Ddf. 12 le. add. Vill. 13 (le.) π. τοι ἐσθ' delevi, πολ. δ' ἀν. (et ὑποδ. in explicatione [l. 14]) addidi 14 τὸ δὲ Lehrs, τὸ εἰ A ὤφειλεν Et. Gen., ὄφειλεν A 17 ὑποδεξίηι et ἀγνοία A em. Vill. ἕνεκα] fort. τὸ ὑποδεξίη ἕνεκα 18 sq. καὶ — ἀντιφ. locus frustra temptatus, καὶ οὕτως ἔχ. ἡ τοῦ ἀριστοφάνους (Wolf, ἡ τῶν ἀντιγράφων Lehrs, ἡ Ldw.) παράδ. Bk. Ddf. Ldw., οὕτως ἔχει ἡ παράδοσις. ἡ ἀριστοφάνους „πολέεσσι δ' ἀνάσσεις", (αἱ δὲ) aut πολέεσσι δ' ἀνάσσεις· οὕτως ἔχει ἡ ἀριστοφάνους, (αἱ δὲ) Cob., malim πολέεσσι δ' ἀνάσσεις· οὕτως ἔχει ἡ ἀριστοφάνους ὥσπερ καὶ ἡ παράδοσις, (αἱ δὲ) 20 πολ. γάρ. Vill., πολέεσσι γὰρ A ἀν. add. Vill. 21 δὲ] δέ, πολέεσσι δ' ἀνάσσεις Vill.

*a.*$^2$ 'Ἀρίσταρχος „πολέσιν γὰρ ἀνάσσεις". A$^{im}$ *Did.*

*b.*$^1$ πᾶσά τοί ἐσθ' ὑποδεξίη: ἡ πρὸς ὑποδοχὴν χορηγία. τινὲς δὲ οὕτως, ὅτι καὶ πάντας, ἣν θέλῃς, εὐχερῶς ὑποδέξῃ. b(BCE$^3$ E$^4$) T *ex.*

*b.*$^2$ πᾶσά τοί ἐσθ' ὑποδεξείη: πρὸς ὑποδοχὴν ηὐτρέπισταί σοι χορηγία. A

*c.* πολέεσσι δ' ἀνάσσεις: ἐπαίρει τὸν βασιλέα, εἰς τὸ μετέπειτα αὐτὸν ὑπήκοον σχήσων. A b(BCE$^3$E$^4$) T *ex.*

74—5. πολλῶν δ' ἀγρομένων τῷ πείσεαι ⟨ὅς κεν ἀρίστην/ βουλὴν βουλεύσῃ⟩: μετρίως οὐκ ἀποδίδωσιν 'ἑαυτῷ'. διδάσκει δὲ τὸν στρατηγὸν πολλῶν μὲν ἀκούειν, αἱρεῖσθαι δὲ τὸ κράτιστον. b(BCE$^3$E$^4$) T *ex.*

75—6 *a.* μάλα δὲ χρεὼ πάντας 'Ἀχαιούς ⟨/ ἐσθλῆς καὶ πυκινῆς⟩: πρὸς τὸ πεῖσαι 'Ἀχιλλέα· οἶδε γὰρ αὐτοῦ τὸ φιλότιμον. b(BCE$^3$E$^4$) T *ex.*

*b.* χρεὼ ⟨——⟩ 'Ἀχαιούς/ ἐσθλῆς: „χρεὼ βουλῆς ἐμὲ καὶ σέ" (K 43) ἀντὶ τοῦ δεῖ. T *ex.*

75. ⟨χρεώ:⟩ χρεία καταλαμβάνει. A$^{int}$ *ex.*

76. ⟨ὅτι δήϊοι:⟩ οὕτως γράφεται ὅτι δήϊοι. A$^{im}$ *Did.*

76—7. ἐγγύθι νηῶν/ καίουσιν πυρά: δέδια σκοπῶν ἐγγὺς νεῶν πυρά. ἐπὶ δὲ 'Ἑλλήνων „ἔνθα δὲ πῦρ κήαντο" (I 88). T *ex.*

77 *a.* τίς ἂν τάδε γηθήσειεν: προσυπακουστέον τὸ {ὁρῶν καὶ βλέπων γελάσῃ} καὶ οὐ μὴ μᾶλλον θρηνήσει καὶ κόψεται; καὶ ὅτι {τὸ} ἔξωθεν τὸ ἰδών. A *Ariston.*

crit. 415 *b* — χορηγία (23) cf. D 74—5 διδάσκει δὲ (31) sq. cf. Eust. 736, 56 75—6 *b* ad K 43 76 cf. Ludwich, A. H. T. 1, 299, 18 (nonnulli legerunt ὅτε δή) 76—7 ad I 88 (ex.) 77 *a* ad N 344 (Ariston.), cf. Friedl., Ariston. 156 καὶ ὅτι ἔξωθεν (44) sq. ad K 13 *a*. Π 559. Φ 570. Ω 45 (Ariston.);

23 ἡ om. T χορηγία καὶ ἀφθονία E$^4$ 28 le. T, om. Ab 28—9 ἐπαίρ. sq. cum scholio *b*$^1$ (v. ὑποδεξίη) coni. b, cum scholio praecedenti coni. A 28 τὸν βασ. T, δὲ τὸν βασιλέα A, δὲ αὐτὸν διὰ τοῦ πολέεσσι δ' ἀνάσσεις b 28 sq. μετέπειτα] μετὰ ταῦτα b 29 αὐτὸν — σχήσ. Vill., αὐτὸν ὑπήκουον (ὑπ. T, ὕπηκον A) σχήσων AT σχήσων ὑπήκοον b 30 sq. le. T supplevi, om. b (ubi sch. ad I 74 relatum est) 31 οὐχ ἑαυτῷ ἀποδ. b 34 sq. le. T supplevi (auctore Vill.), om. b (qui sch. ad I 76 revocavit) 39 le. add. Ddf. 40 le. (= A$^{cont}$, vulg.) add. Ldw., possis ὅτε δήϊοι γράφ. cp. (γρ) A, γραπτέον dub. Ldw. 41 δέδιε propos. Nickau σκοπῶν scripsi, ἀκούων T 42 ἐπὶ δὲ ἑλλ. sc. ἑνικῶς φησιν 43 le. Frdl., καίουσιν πυρὰ πολλά: A προσυπ. A, ὅτι προσυπακουστέον Ddf., ἡ διπλῆ, ὅτι προσυπακουστέον Vill. τὸ A, fort. τὸ ἀντικείμενον vel τὸ ἐναντίον Lehrs (vide ad A 330) 43 sq. ὁρῶν — γελάσῃ del. Lehrs (Hrd. 458) 45 τὸ del. Vill.

*ex.* *b.*[1] τίς ἂν τάδε γηθήσειεν: οὐ λείπει τὸ ὁρῶν, ἀλλ' ἔστι παλαιὰ συνήθεια· „ἀλλ' ἕτερον ἤσθην" (Ar. Ach. 13) καὶ ἐν Πανόπταις Κρατῖνος (fr. 158 K.)· „γέγηθε τὸν ἄνδρα". καὶ ἔστιν ἐξ ἀντικειμένου· τίς οὐκ ἂν κλαύσειεν; ἔοικε δὲ προσκρούειν Διομήδει λέγοντι „νῶϊ δ', ἐγὼ Σθένελός ⟨τε⟩" (I 48). T

*b.*[2] οὐ λείπει τὸ ὁρῶν, ἀλλ' ἔστι παλαιὰ συνήθεια ἢ ἐξ ἀντικειμένου, οἷον τίς οὐκ ἂν κλαύσειε; b(BCE$^3$)

*Did.* 78 *a.* ⟨διαρραίσει:⟩ δι' ἑνὸς $\overline{\rho}$ αἱ Ἀριστάρχου. A$^{im}$

*ex.* *b.* ἠὲ διαρραίσει στρατὸν ἠὲ σαώσει: ἐν τῷ πεῖσαι Ἀχιλλέα τὴν σωτηρίαν τίθεται· τί γὰρ ἕτερον πράσσειν νυκτὸς ἠδύναντο; b(BCE$^3$E$^4$) T

*ex.* 80. ἐκ δὲ φυλακτῆρες σὺν τεύχεσιν ἐσ⟨σ⟩εύοντο: ἄτοπον γὰρ περὶ πρώτου λέγειν τοῦ συμποσίου. T

*ex.* 81. ἀμφί τε Νεστορίδην: εὖ τοῦ περὶ φυλακῆς εἰσηγησαμένου πρῶτος ἀριθμεῖται ὁ υἱός. καὶ ὅτι ὁ παρὼν καιρὸς οὐκ εὐτελεῖς ἄνδρας ἐπέτρεπε φυλάσσειν. b(BCE$^3$E$^4$) T

*Did.* 86. ⟨ἅμ' ἔστειχον:⟩ Ἰακῶς τὸ „στεῖχον" A$^{im}$T$^{il}$ αἱ Ἀριστάρχου, „ἅμα στεῖχον". A$^{im}$

*ex.* 88 *a.* πῦρ κήαντο: πυρκαϊὰν τοῦ δεῖπνον ποιῆσαι· ἀσφαλέστερον γὰρ ἦν αὐτοῖς τὸ ἀπὸ σκότους ὁρᾶν τοὺς πολεμίους. b(BCE$^3$E$^4$) T

*ex.* *b.* ἄλλως· ἐνθάδε πῦρ κήαντο, τίθεντο δὲ δόρπον ἕκαστος: ἐπὶ μὲν τῶν κατεπτηχότων ψιλὴ καὶ ἡ τοῦ δείπνου παρασκευή, καὶ ἑνικῶς πῦρ φησιν, ἐπὶ δὲ τῶν εὐημερούντων βαρβάρων καὶ τὰ τῆς εὐωχίας μετὰ πολλῆς ἐπεξεργασίας δεδήλωται, „ἐκ πόλιος δ' ἄξαντο βόας καὶ ἴφια μῆλα" (Θ 545), καὶ λαμπρότερα τὰ τῆς φυλακῆς, b(BCE$^3$E$^4$) T „μέγα φρονέοντες ἀνὰ πτολέμοιο γεφύρας/ εἵατο παννύχιοι, πυρὰ δέ σφισι καίετο πολλά" (Θ 553—4). ἔστι δὲ ὅλα γραφικά. T

alia exempla in scholiis ex.; cf. D $b^1$ — ἄνδρα (48) cf. Eust. 737, 1 καὶ ἔστιν ἐξ ἀντικειμένου (48) — κλαύσειεν (49) cf. sch. Ar. Ach. 86 78 *a* δι' ἑνὸς $\overline{\rho}$ ad I 154. K 216; vide ad I 210. 299. 574. K 258. M 26 *a*. O 31 $b^1$. 123 *b*. Φ 262. Ψ 417 86 Ἰακῶς (62) vide ad A 162 88 incertum an sch. Didymi de v. κήαντο exstiterit, cf. Eust. 737, 12: διὰ διφθόγγου δὲ καὶ νῦν τὸ „κείαντο" (= vulg.) παρὰ παλαιοῖς ἀντιγράφοις *a*/*b* ad I 76—7

---

**50** τε add. Bk. **51** οὐ om. C **53** le. add. Bk. **55** τὸν ἀχιλλέα b τί T οὐδὲν b **55 sq.** ἐδύνατο b **57** (le.) ἐσεύοντο T suppl. V (V$^c$?) **59** ἡγησαμένου b **62** le. add. Bk. (Vill.) **64** πυρκαϊὰν — ποιῆσαι T ταύτην τὴν πυρκαϊὰν πρὸς τὸ ποιῆσαι δεῖπνον εὐτρεπίζουσιν (παρασκευάζουσιν E$^4$) b **66—73** ἄλλως sq. cum scholio praecedenti coni. T **66** (le.) τίθοντο T em. Ma. (le. om. b) **67—71** ἐπὶ μ. οὖν τῶν sq. coni. cum scholio *a* in b **69** πολλῆς τῆς ἐπ. b **70** καὶ ἴφ. μῆλα om. b **70 sq.** λαμπρ. post φυλακῆς b **71** ἀνὰ T, ἐπὶ Hom.

*c.*[1] τίθεντο δὲ δόρπον ἕκαστος: διὰ τοῦ ᾱ „δόρπα" αἱ Ἀριστάρχου. ἄκαιρος δὲ Ζηνόδοτος γράφων „τίθεντο δὲ δαῖτα θάλειαν"· ἄτοπον γὰρ θαλιάζειν τοὺς πένθει ἀτλήτῳ (cf. I 3) τὴν ψυχὴν βεβλημένους. A *Did.*

*c.*[2] Ἀρίσταρχος μετὰ τοῦ ᾱ „δόρπα". $A^{im}$

⟨δόρπον:⟩ ἄριστον μὲν τὸ πρωϊνὸν ἔμβρωμα, †δόρπος δὲ τὸ νῦν ἄριστον, ἢ δεῖπνον†, μεθ' ὃ τὰ δόρατα ἔπαυον. A *D ad B 381(?)*

89. ⟨γέροντας ἀολλέας ἦγεν Ἀχαιῶν:⟩ Ἀρίσταρχος „γέροντας ἀριστέας $A^{im}A^{int}$ ἦγεν Ἀχαιῶν". $A^{int}$ *Did.*

92. ⟨ἐξ ἔρον ἕντο:⟩ τὴν ἐπιθυμίαν ἐπλήρουν. $A^{int}$ *ex.*

93. πάμπρωτος: οἷον προφθάσας τοὺς ἀπαιτοῦντας αὐτοῦ τὴν γνώμην. b($BCE^3E^4$) T *ex.*

94. Νέστωρ, οὗ καὶ πρόσθεν ⟨ἀρίστη φαίνετο βουλή⟩: ὅτε παρῄνει Ἀγαμέμνονι παύσασθαι τῆς πρὸς Ἀχιλλέα ὀργῆς· „Ἀτρείδη, σὺ δὲ παῦε τεὸν μένος" (A 282)· b($BCE^3E^4$) T ὃ καὶ νῦν φησιν· „οὔτι καθ' ἡμέτερόν γε νόον" (I 108). T καὶ ὅτε τὸ μονομάχιον ἦν καὶ ἤγειρε τοὺς ἀρίστους (cf. H 124—60). b($BCE^3E^4$) *ex.*

97—9 *a.*[1] ⟨ἐν σοὶ μὲν λήξω ——— βουλεύησθα:⟩ καταπτήξαντα ἀνακτᾶται τοῖς ἐγκωμίοις καὶ πρὸς πειθὼ παρακαλεῖ. $T^{il}$ *ex.*

*a.*[2] καταπτήξαντα αὐτὸν τῇ τῶν πολεμίων ὁρμῇ καὶ τῇ τῶν συμμαχικῶν λόγων ταραχῇ καὶ συγχύσει ἀνακτᾶται καὶ πρὸς πειθὼ παρακαλεῖ διὰ τῶν ἐγκωμίων. b($BE^3E^4$)

*a.*[3] {ἐν σοὶ μὲν λήξω:} σύ μοι ἀρχὴ καὶ τέλος τῶν λόγων πάλιν γενήσῃ. | ἀνακτᾶται δὲ αὐτὸν τοῖς ἐγκωμίοις, πρότερον καταπτοήσας. A *D | ex.*

*b.* ἐν σοὶ μὲν λήξω, σέο δ' ἄρξομαι ⟨——— βουλεύησθα⟩: πρὸς τὸ μὴ δοκεῖν ἐπιτάσσειν κύριον αὐτὸν τῆς ἁπάντων ἀπο- *ex.*

*c* δόρπα (74 et 78) cf. Valk II 162. „Nonne Aristarchus legerit etiam ἕκαστοι?" Lehrs ap. Ludwich, A. H. T. 1, 299, 26, cf. Wilamowitz, Il. Hom. 37, 1 $c^2$ sch. Aristonico attribuendum esse suspicatur Kayser, Philol. 21, 1864, 324 **89** cf. Lehrs ap. Ludwich, A. H. T. 1, 299, 31 (de v. l. ἀριστέας); Valk I 477 n. 351 **92** cf. D ad N 638 **97—9** *a* cf. sch. Arat. 14

---

**79** le. addidi, δόρπα add. Ddf. **79** sq. turbata, debuit δεῖπνον δὲ τὸ νῦν ἄριστον καὶ δόρπον, μεθ' ὃ κτλ. **81** le. add. Valk **81** sq. γέροντας om. $A^{int}$ **82** ἀριστῆας $A^{int}$ **83** le. addidi (auctore Vill.) **84** sq. τοὺς ἀπ. αὐτ. τ. γνώμ. T ἐκείνους τοὺς τὴν γνώμην αὐτοῦ ἀπαιτοῦντας b **86** le. T supplevi, πρόσθεν δὲ (ὅτε) coni. cum scholio praecedenti (v. ἀπαιτοῦντας) b **87** ἀγαμέμνονα C ἀχιλλέως B ὀργῆς T ὁρμῆς b **91** le. addidi **93—5** sch. ad I 97 rettulit b **94** πειθῶ $BE^4$ **1** le. delevi **4** sq. le. T supplevi, om. b (scholio ad v. 97 revocato) **5** sq. ἀποφαίνει ante τῆς C

φαίνει γνώμης, προσεκτικόν τε αὐτὸν ἀπεργάζεται ὡς ὅλου τοῦ πράγματος ἐπ' αὐτῷ κειμένου. ἢ ἐπεὶ τότε εἰς αὐτὸν ἔληξε λέγων· „λίσσομ' Ἀχιλλῆϊ μεθέμεν χόλον" (A 283), ἐκείνην τὴν λῆξιν ἀρχὴν ποιεῖται τοῦ νῦν διαλόγου. **b**(BCE³E⁴) **T**

*D* **98.** ⟨ἐγγυάλιξε:⟩ ἐνεχείρισεν. **T**[il]

*ex.* **99** *a.* σκῆπτρόν ⟨τ'⟩ ἠδὲ θέμιστας: σκῆπτρον διὰ τὸ κράτος, θέμιστας διὰ τὸ δίκαιον· οὔπω γὰρ εἶχον γραπτοὺς νόμους, ἀλλὰ τὸ πᾶν ἦν ἐν τοῖς κρατοῦσιν· ὅθεν καὶ „δικασπόλοι, **b**(BCE³E⁴) **T** οἵ τε θέμιστας ⟨/ πρὸς Διὸς εἰρύαται⟩" (A 238—9). **T** †εὐγενῆ† δ' αὐτὸν ποιεῖ τὰς εὐτυχίας ἐξαριθμούμενος, καὶ ἄξια δὲ τῆς ἰδίας δόξης ποιεῖν ὑποτίθεται. καὶ ὅτι πρώτη ἀρετῶν ἐστιν ἡ φρόνησις. **b**(BCE³) **T**

*ex.* *b.* σκῆπτρόν τ' ἠδὲ θέμιστας, ἵνα σφίσι βουλεύησθα: ἵνα τούτοις χρώμενος προβουλεύῃς τῶν ὑποτεταγμένων. ὡς τοῦ βασιλέως δὲ καὶ τῶν θεμίστων κρατοῦντος· οὐδέπω γὰρ ἐχρῶντο γραπτοῖς νόμοις. **A**

*ex.* **100.** περὶ μὲν φάσθαι ἔπος ἠδ' ἐπακοῦσαι: ἵνα ἐξ ἁπάντων αἱροῖτο τὸ χρήσιμον. ἅμα δὲ καὶ ἀναιρεῖ τὴν δόξαν τῆς ἥσσης, καθ' ἣν τινες οἴονται ἀδοξεῖν τοῖς πλησίον πειθόμενοι. **b**(BCE³E⁴) **T**

*ex.* **101.** ⟨κρηῆναι δὲ καὶ ἄλλῳ:⟩ καὶ ἄλλου δέ τινος ἐπιτελέσαι καὶ βεβαιῶσαι τὴν γνώμην. **A**[im]

*D* | *Hrd.* **102** *a.* σέο δ' ἕξεται, ⟨ὅττι κεν ἄρχῃ⟩: ἤτοι ἐν τῇ σῇ ἐξουσίᾳ ——— ἀνενεχθήσεται. | τὸ ἕξεται δασυντέον· ἀπὸ γὰρ τοῦ ἕξω μέλλοντος δασυνομένου μέσος ἐστίν. **A**

**99** diple ante versum in A, fort. exstabat sch. Aristonici, qui aut commemoravit Aristarchum v. θέμιστας explicavisse (vide ad Π 387 *c*, cf. Wismeyer 22) aut docuit versum B 206 spurium esse (vide ad B 205) *a* οὔπω (12) — νόμους cf. sch. *b*; R. Hirzel, Ἄγραφος νόμος, Abh. K. Sächs. Ges. Wissensch. (phil.-hist. Cl.) 20, 1, Lips. 1900, 52; eund. Them. 43, 3 **101** cf. D, Eust. 737, 51. 738, 13 **102** *a* τὸ ἕξεται δασυντέον (28) cf. Lex. spir. 217

---

**6** αὐτὸν om. **b**, fort. recte **7** ἐπ' αὐτῷ T ἐπ' αὐτὸν BCE³ Le, ἐπ' αὐ[ (absc.) E⁴ **8** ἀχ. T ἀχιλῆ[ϊ] B, suppl. m. rec., ἀχιλῆα CE³ ἀχιλλῆα E⁴ τὴν T δὲ τὴν **b** **10** le. add. V[c] post ἐνεχ. add. T m. sec. γυῖα γὰρ αἱ χεῖρες **11** le. T suppl. Ma., om. **b** **13** ἦν post κρατοῦσιν **b** **14** πρὸς δ. εἰρ. add. Ma. εὐγενῆ] εὐμενῆ Wil. δ' T δὲ **b** **15** δὲ om. **b** τῆς ἰδ. δόξης om. T **16** ἀρετή **b** **19** προβουλεύεις A em. Vill. **20** θεμιτ(ων) A em. Vill. **23** αἱροῖτο vide ad H 114 *b²*/*a²* ἥττης C **24** τοῖς πλ. πειθ. T, τῷ πλησίον εἴς τι πειθόμενοι χρηστόν **b**, fort. rectius **25** le. add. Vill. **27** le. A suppl. Vill.

*b.* σέο δ' ἕξεται, ὅττι κεν ἄρχῃ: ἴσον ἀπέφηνε τῷ συμβούλῳ τὸν βασιλέα †λέγων† κυροῦντα τὸ τέλος, ὅπως μὴ φθονοίη ταῖς ἀγαθαῖς ὑποθήκαις· οἶδε γὰρ φθόνῳ καὶ θυμῷ καὶ ζηλοτυπίαις ἀδίκοις πολλὰς πράξεις ἀγαθὰς ἀνῃρημένας. τὸ πέρας οὖν τῶν λεγομένων ἐπὶ τὸν κορυφοῦντα ἀναφέρει. b(BC$E^3E^4$) T *ex.*

*c.* ἄλλως· ὅττι κεν ἄρχῃ: ὃ δή ποτε τῆς παραινέσεως πρωτεύῃ καὶ ἐπικρατυνθῇ, ἐκ σοῦ γίνεται. καὶ ἀλλαχοῦ „Ἀλκινόου δ' ἐκ τοῦδ' ἔχεται ἔργον τε ἔπος τε" (λ 346). b(BC$E^3E^4$) T *ex.*

**103.** ὥς μοι δοκεῖ εἶναι ἄριστα: προσεκτικὸν μὲν τὸν ἀκροατὴν ποιεῖ, δι' ὧν ἄριστα ὑπισχνεῖται ἐρεῖν, εὔνουν δέ, ὅτι μεθ' ὑποστολῆς τὸ δοκεῖ προσέθηκεν. b(BC$E^3$) T *ex.*

**104** *a.* οὐ γάρ τις νόον ⟨ἄλλος ἀμείνονα τοῦδε νοήσει⟩: ἐπὶ διαλλαγὰς τὸν βασιλέα φέρων οὐκ ἐν ἐπιτιμήσεως μέρει τὴν Ἀχιλλέως ἔχθραν προφέρει, ἀλλὰ μόνον ἄριστα συνεωρακέναι φησὶν ἑαυτόν· b(BC$E^3E^4$) T φησὶ γοῦν „πολλάκι δή μοι τοῦτον" (Τ 85). τὸ δὲ νοήσει ἀντὶ τοῦ νοήσειεν. T *ex.*

*b.* ⟨ἄλλος: γράφεται⟩ καὶ „ἄλλον". $A^{im}$ *Did.(?)*

**105.** ⟨οἷον ἐγὼ νοέω, ἠμὲν πάλαι ἠδ' ἔτι καὶ νῦν:⟩ εἰ τὰ μέλλοντα προέγνω Νέστωρ, πῶς περὶ τῶν ἐνεστώτων οὐκ ὀφείλει πείθειν; b(BC$E^3$) $T^{il}$ *ex.*

**106.** διογενεῦς: {προ}περισπωμένως ἀναγνῶμεν· συναίρεσιν γὰρ ἔπαθε τοῦ διογενέος καὶ διογενοῦς, καὶ τροπῇ τοῦ ο̄ εἰς ε̄ διογενεῦς· γενικῆς γάρ ἐστι πτώσεως. A *Hrd.*

*c* πρωτεύῃ καὶ ἐπικρατυνθῇ (35) cf. D **103** ὅτι μεθ' ὑποστολῆς (39) sq. cf. Eust 737, 57 **105** cf. Friedl., Zoil. 75; vide ad I 108—13 *a*[2] **106** incertum an sch Didymi de v.l. διογενές exstiterit, cf. Eust. 738, 46: ἰστέον δὲ ὅτι τὸ „ὅτε διογενές" καὶ ἑξῆς γράφεται καὶ „ὅτε διογενεῦς" ὁμοίως τῷ Ὀδυσσέος Ὀδυσσεῦς περισπωμένως (50) sq. cf. Choer. Th. 1, 387, 3; sch. Herodiano attr. Valk II 142; — διογενοῦς (51) eadem fere D (D ex Herodiano pendeat)

---

**30—4** ἴσον δὲ ἀπέφηνε sq. post sch. *c* (coni. cum v. ἔπος τε) b **31** λέγων T τὸν b, λόγων Wil., possis λόγῳ **33** ἀγαθὰς om. T **35—7** ἄλλως sq. scholio praecedenti adi. T **35** δή ποτε T δὴ b; ἄν ποτε Wil., fort. recte **35** sq. πρωτεύει T em. Ma., ἄρχει b **36** γίν.] ἄρχ̇ε γίνεται $E^3$ **40** προστέθειται b **41** le. T supplevi (auctore Vill.), om. b **43** sq. συν. φησὶν ἑαυτόν BC$E^3$ συνεωρακέναι ἑαυτόν T φησὶν συνεωρακέναι αὐτόν $E^4$ **44** φησὶ sc. Agamemno (antea mente suppleas 'litem enim multos regi vitio vertisse contenderunt interpretes') τοῦτον T, fort. τοῦτον ἀχαιοὶ μῦθον ἔειπον / καί τέ με νεικείεσκον **45** νοῆσαι (post δὲ) T em. Ma. **46** le. add. Ddf., γράφ. add. Vill. **47** le. add. Vill., ἠμὲν πάλαι: add. Bk. **48** προγινώσκει ὁ ν. b περὶ T καὶ περὶ b οὐκ T καλῶς οὐκ b **48** sq. πείθειν T νοεῖν b **50** προπερισπ. A em. Bk.

*ex.* 108—13 $a.^1$ ⟨οὔ τι καθ' ἡμέτερόν γε νόον ——— μειλιχίοισι:⟩ προτρεπτικῶς δὲ αὐτῷ διαλέγεται καὶ τὴν πειθὼ τοῖς χείλεσι συνεπάγεται· τοῦτο γὰρ τῆς φρονήσεως ἴδιον. b($BCE^3E^4$)

$a.^2$ ἐντρεπτικῶς· †εἰ γὰρ καὶ τότε προέγνω τὰ μέλλοντα, πῶς οὐχ ὑπὲρ τῶν παρόντων πείσει;† $T^{il}$

*ex.* 108—9. οὔτι καθ' ἡμέτερόν γε νόον· μάλα γάρ τοι ἔγω⟨γε / ⟩ πόλλ' ἀπεμυθεόμην: εὐμάθειαν ἐργάζεται· ὁμολογῶν γὰρ ὅτι οὐκ ἠρέσκετο τῇ εἰς τὸν Ἀχιλλέα ἀτιμίᾳ δῆλός ἐστι τὸν λόγον ὑπὲρ τοῦ τιμῆσαι τοῦτον συνιστάς. T οὐκ ὀνειδίσαι δὲ τὴν ἁμαρτίαν θέλει, ἀλλὰ παρακελεύεται μὴ δεύτερον ἐξαμαρτάνειν. b($BCE^3E^4$) T

*D* 108. ⟨οὔτι καθ' ἡμέτερόν γε νόον:⟩ ἀντὶ τοῦ οὐ κατὰ τὴν ἐμὴν γνώμην. $A^{im}$

*Did.* 109. ⟨ἀπεμυθεόμην:⟩ οὕτως Ἀρίσταρχος ἀπεμυθεόμην. $A^{im}$

*D* ἀπεμυθεόμην: ἀπηγόρευον, ἐκώλυον. γράφεται δὲ καὶ „†ἀπεμυθευόμην†", ἵν' ᾖ ἀπελογιζόμην. A

*ex.* 109—10. σὺ δὲ σῷ μεγαλήτορι θυμῷ ⟨/ εἶξας⟩: δεξιῶς ὑπήλλαξε τὰ ὀνόματα, τὴν αὐθάδειαν μεγαλοφροσύνην καλῶν καὶ τὸ προπετὲς εἶξαι λέγων. b($BCE^3E^4$) T

*Nic.* 110 *a.* εἶξας ⟨ἄνδρα φέριστον ὃν ἀθάνατοί περ ἔτισαν⟩: ὁ λόγος αἱρεῖ διαστέλλειν ἐπὶ τὸ εἶξας, ὑποστίζειν δὲ ἐν ὑποκρίσει ἐπὶ τὸ ἔτισαν. A

*ex.* $b.^1$ ⟨ἄνδρα φέριστον, ὃν ἀθάνατοί περ ἔτισαν:⟩ συνθέμενος ἐν συντόμῳ τὰ κατορθώματα Ἀχιλλέως εἶπεν. $T^{il}$

$b.^2$ ἐν συντόμῳ δὲ καὶ τὰ Ἀχιλλέως εἰσφέρει κατορθώματα. b($BCE^3E^4$)

**108—13** $a^2$ vide ad I 105 **108** cf. sch. Theocr. 7, 39 b; Wackernagel, Vorles. über Syntax I (Basileae 1926) 99 **109** ἀπεμυθεόμην (66) — ἀπελογιζόμην (67) eadem fere Ap. S. 38, 7 (He. α 5964); Et. Gen. (p. 37 Mill.), unde Et. Gud. 162, 15 Stef.; vide Valk I 238 (improbabiliter) **109—10** cf. Eust. 738, 42; Plut. mor. 73 e/f **110** cf. Friedl., Nic. p. 64

---

**53** sq. le. addidi **54—5** προτρ. δὲ sq. pone sch. I 108—9 (coni. cum v. ἐξαμαρτάνειν) in b **54** fort. ἐντρεπτικῶς (cf. Valk I 521) πειθῶ $BE^4$ **56** sq. sch. supra versum 108 scriptum in T; librarius post primum verbum in textum scholii ad I 105 incidisse videatur **58** sq. le. T suppl. Ma., om. b **61** sq. οὐκ — θέλει T, οὐκ ὀνειδίσαι θέλει τὴν ἁμαρτίαν αὐτῷ b (sch. relato ad I 106) **63** le. add. Vill. **65** le. add. Bk. (Vill.) οὕτως sq. sub $A^{cont}$ scriptum in A **67** ἐπεμυθεόμην Spitz. (cl. Ap. S.) **68** le. T supplevi (auctore Vill.), om. b (ubi sch. ad I 109 relatum est) **71** le. A suppl. Vill. **74** le. addidi **76** ἐν συντόμῳ sq. pone sch. I 109—10 (coni. cum v. λέγων) in b

**111—2.** ἀλλ' ἔτι καὶ νῦν / φραζώμεσθ', ⟨ὥς κέν μιν ἀρεσσάμενοι πεπίθοιμεν⟩: προσποιεῖται τὴν παράκλησιν, ὅπως μὴ αἰσχυνθῇ ὁ βασιλεύς (τὸ γὰρ φράζου πικρότερον ἦν καὶ προστάξεως ἐχόμενον, καλαὶ δὲ αἱ λιταὶ διὰ τὸ ὁμοειδές), καὶ ἵνα προμαλαχθῇ Ἀχιλλεύς. b(BCE³E⁴) T *ex.*

**112** *a.*¹ ⟨πεπίθοιμεν:⟩ Ἀρίσταρχος „πεπίθωμεν"· ἔστιν γὰρ π⟨ε⟩ίθωμεν. A^im *Did.*

*a.*² διὰ τοῦ ω̅ ἡ γραφή. T

*b.* φραζώμεσθ' ⟨—— πεπίθοιμεν⟩: δεῖ γὰρ τὸν προαδικήσαντα παρακαλεῖν. b(BCE³E⁴) T *ex.*

**113** *a.*¹ δώροισίν τε ⟨. . .⟩ ἔπεσσί τε: ἴσην ὑποτίθησι κτῆσιν χρημάτων καὶ λόγων πρὸς πειθώ. T *ex.*

*a.*² ἴσην τῶν χρημάτων καὶ μείζονα πρὸς πειθὼ τὴν τῶν λόγων ὑποτίθησι κτῆσιν. b(BCE³E⁴)

*b.* μειλιχίοισι: δεητικοῖς, οὐ δικαιολογουμένοις· τὰ γὰρ τοιαῦτα ἀνάπτει τὸν θυμόν. T *ex.*

**115** *a.* ⟨ὦ γέρον, οὔ τι ψεῦδος ἐμὰς ἄτας κατέλεξας:⟩ ὦ γέρον, φησίν, οὐδέ⟨ν⟩ ψευσάμενος τὰς ἐμὰς ἀδικίας ἀπηριθμήσω, βλάψαι με βουλόμενος, ὡς ᾠήθης. | ἐπὶ δὲ τὸ τέλος τοῦ στίχου στικτέον· τὸ γὰρ ψεῦδος ἀντὶ τοῦ ψευδῶς. A *ex.* | *Nic.*

*b.* οὔτι ψεῦδος ἐμὰς ἄτας: ὁμολογεῖ πρᾶξαι, ἵνα μὴ αἰσχύνοιτο παρακαλῶν· διὸ ἡμαρτηκέναι φησὶ οὐκ ἀδικεῖ τε εὔνοιαν ποριζόμενος ἑαυτῷ. ἁπλοῦς δὲ ὁ τρόπος· τὸ μὲν γὰρ ἐπίκαιρον ἔχειν νοῦν μακάριον, τὸ δὲ χρόνῳ μετανοῆσαι οὐκ ἄχαρι. b(BCE³E⁴) T *ex.*

*c.*¹ ἄλλως· οὔτι ψεῦδος ἐμὰς ἄτας κατέλεξας: συναπτέον ὅλον. T *ex.(Nic.)*

**113** *b* Ge (e T): μειλιχίοισι· τουτέστι δεητικοῖς — θυμόν **115** *a* et *c*² ἀντὶ τοῦ

---

**78** sq. le. T (φραζώμεσθα emendavi) suppl. Ma. (qui dedit πεπίθωμεν pro πεπίθοιμεν), om. b (ubi sch. ad I 112 revocatum est) **79** ὅπως T ἵνα b **81** δὲ] τε Ma. **83** le. add. Bk. **84** πίθωμεν A supplevi **85** διὰ τοῦ ω̅ ἡ γρ. post sch. *b* (coni. cum v. παρακαλεῖν) in T, transposui **86** le. φραζώμεσθα T emendavi et supplevi, om. b δεῖ γὰρ T δεῖ δὲ (coni. cum scholio I 111—2, v. ἀχιλλεύς) b **87** παρακ. ἀεί b **88** le. T suppl. Ma. (om. b) **90** ἴσην] ὅσην C πειθῶ B πειθ[ (absc.) E⁴ **92** μειλ.: δεητ. scripsi, μειλιχίοισι· τουτέστι δεητικοῖς Ge, μειλιχίοισι δὲ δεκτικοῖς (coni. cum scholio *a*¹, v. πειθώ) T **93** ἀν. T μᾶλλον ἀνάπτει Ge **94** le. add. Vill. **94** sq. ὦ γέρον φησιν: tamquam lemma scriptum in A **95** οὐδὲ A suppl. Bk. **1** sq. στικτ. A στικτέον. φαῦλοι δὲ οἱ μετὰ τὸ ψεῦδος στίζοντες Frdl., cf. sch. *c*² **3** πρᾶξαι T τὴν πρᾶξιν b **4** διὸ T καὶ b οὐκ ἀδ. τε T καὶ οὐκ ἀδικεῖται b, fort. οὐκ ἀδικεῖ δὲ **5** ἐπίκ. ἔχειν T ἀεὶ χρηστὸν ἔχειν τὸν b **6** δὲ T δὲ καὶ b **7—8** ἄλλως sq. cum scholio *b* coni. T, dist. Ma.

*c.*² τὸ δὲ ψεῦδος ἀντὶ τοῦ ψευδῶς. τὸν ὅλον δὲ συναπτέον στίχον. μὴ στικτέον εἰς τὸ ψεῦδος, ὥς τινες κακῶς. b(BCE³E⁴)

*Ariston.* 116 *a.* {ἀασάμην, οὐδ' αὐτὸς ἀναίνομαι} ἀντί νυ πολλῶν: ὅτι τὸ ἀντί ἐπὶ τοῦ ἴσου ἐστί· τὸ γὰρ λεγόμενον· ἴσος ἐστὶ πολλοῖς ὁ εἷς ἀνήρ, ὅταν ᾖ θεοφιλής. A

*Ariston.* | *ex.* *b.* ἀντί νυ πολλῶν: ἀντὶ τοῦ ἴσος. | προτρεπτικὸν δὲ εἰς εὐσέβειαν. T

*Did.(?)* 118. ⟨ἔτισεν, ὄλεσσε δὲ λαὸν Ἀχαιῶν:⟩ γράφεται ,,ἔτισε, δάμασσε δὲ λαὸν Ἀχαιῶν". A^im

*Ariston.* 119 *a.* λευγαλέῃσι: ὅτι οἱ νεώτεροι λευγαλέον τὸ δίυγρον ἐπὶ τοῦ Ἀχιλλέως· ,,νῦν δέ με λευγαλέον θάνατον" (Φ 281). ἔστι δὲ λευγαλέον τὸ ὀλέθριον παρὰ τὸν λοιγόν. A

*ex.* *b.*¹ ⟨φρεσὶ⟩ λευγαλέῃσι ⟨πιθήσας⟩: ὅ ἐστιν ὀργῇ πεισθείς· †ὀλοθρεύει† γὰρ αὕτη τὰς φρένας· ,,φρένας ἔφθιεν" (Σ 446). T

*b.*² οἱονεὶ λοιγαλέῃσιν ἀπὸ τοῦ λοιγός. λέγει δὲ τῇ ὀργῇ πεισθείς· ὀλεθρεύειν γὰρ ὁ θυμὸς τὰς φρένας εἴωθεν. b(BCE³E⁴)

*ex.* 120 *a.* ἐθέλω ἀρέσαι: ἐλευθερίως ὁμολογεῖ, ὃ Νέστωρ ἐκοινοποιήσατο. b(BCE³E⁴) T

*ex.* *b.* ἀπερείσια: ἵνα μὴ σμικροψυχίας ἕνεκεν δοκῇ τὸν στρατὸν ἀποστερεῖν συμμαχίας. b(BCE³E⁴) T

*ex.* 121. ⟨ἐν πάντεσσι περικλυτὰ δῶρ' ὀνομήνω:⟩ δῆλον ὡς καὶ προεσκέπτετο τὰς λιτάς. T^il

ψευδῶς (2 et 9) cf. D *c* cf. Eust. 739, 23 **116** *a* ad Φ 75, cf. D; Carnuth, Ariston. 5 (ad α 21), Lehrs Ar.³ 114. Vide ad Θ 163 *c* ἴσος ἐστὶ (12) sq. Su. α 2687 **119** fort. exstabat sch. Didymi de versu 119 a, cf. Athen. 1, 11 a: καὶ Ἀγαμέμνων δὲ λέγει που περὶ αὐτοῦ· ,,ἀλλ' ἐπεὶ ἀασάμην φρεσὶ λευγαλέῃσι πιθήσας (= 119) / ἢ οἴνῳ μεθύων, ἤ μ' ἔβλαψαν θεοὶ αὐτοί" (= 119 a), εἰς τὴν αὐτὴν τιθεὶς πλάστιγγα τὴν μέθην τῇ μανίᾳ (οὕτω δὲ καὶ τὰ ἔπη ταῦτα προηνέγκατο Διοσκουρίδης ὁ Ἰσοκράτους μαθητής [fr. 25, p. 105 Weber]). καὶ ὁ Ἀχιλλεὺς δ' ὀνειδίζων τῷ Ἀγαμέμνονί φησιν· ,,οἰνοβαρές, κυνὸς ὄμματ' ἔχων" (Α 225), Ludwich, Homervulg. 167; Wilamowitz, Il. Hom. 66, 2; Valk II 485; vide ad T 137 *a* ad Y 109. Φ 281 (Ariston.) τὸ δίυγρον (18) cf. sch. ε 312; Apion. 74, 245, 23; Dimpfl 12 ὀλέθριον (20) cf. D, D ad N 723. Φ 281; vide ad Y 109. Φ 281 (ex.) παρὰ τὸν λοιγόν (20) cf. sch. *b*²; Et. Gen. (= EM. 561, 28) *b*² οἱονεὶ (23) —

---

**9—10** τὸ δὲ ψεῦδος sq. cum scholio *b* (v. ἄχαρι) coni. **b** **11** (le.) ἀασ. — ἀναίν. eiecit Bk. ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **12** sq. ὁ εἷς ἀνὴρ ante πολλοῖς Su. **16** le. (= A^cont) addidi (auctore Vill.) γράφ. cp. (γρ) A **18** le. Bk., ἀλλ' ἐπεὶ ἀασάμην: A ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **18** sq. ἐπὶ τοῦ A, ἀπὸ τοῦ ἐπὶ τοῦ Lehrs **19** λευγαλέῳ θανάτῳ Hom. (et sic fort. Ariston.) **20** λυγόν A corr. Bk. **21** le. T suppl. Ma. **22** debuit ὀλεθρεύει (cf. sch. *b*²) **25** ὃ T, ὃ ὁ **b** (fort. rectius) **25** sq. ἐκοινώσατο **b** **27** le. T, ἀπερείσια δὲ (coni. cum scholio *a*, v. ἐκοινώσατο) **b** **28** ἀποστ. συμμ. T τῆς συμμαχίας ἀποστερεῖν ἀχιλλέως **b** **29** le. add. Ma., ἐν πάντεσσι add. V^c **30** προεσκ. Wil., περιεσκέπτετο T, προέσκεπτο Ma.

122—56. ⟨ἕπτ' ἀπύρους τρίποδας——θέμιστας:⟩ διήρηται ἡ ὑπόσχεσις εἰς δύο τόπους καὶ χρόνους. διὰ δὲ τῆς ποικιλίας τῶν δώρων θηρεύειν οἴεται Ἀχιλλέα, εἴτε φιλότιμος, διὰ τῶν ἵππων, εἴτε φιλοχρήματος, πολὺν χρυσὸν καὶ χαλκὸν διδούς, εἴτε φιλογύνης εἴη, θυγατέρα πρὸς γάμον. b(BCE³E⁴) T *ex.*

122—3. ἀπύρους ⟨——/ αἴθωνας⟩: ὡς πρὸς σύγκρισιν τῶν ἐμπυριβητῶν. αἴθωνας δὲ τοὺς εἰς πῦρ βαλλομένους· „ὡς δὲ λέβης ζεῖ ἔνδον" (Φ 362). b(BCE³E⁴) T | αἴθων δὲ ἀπὸ τοῦ ὑπαίθεσθαι ἤτοι ὑποκαίεσθαι. b(BCE³) *ex.* | *ex.(?)*

122. ἕπτ' ἀπύρους: τοὺς μὴ εἰς πῦρ —— ἐν τῷ οἴκῳ. A *D*

τάλαντα: τὰ νῦν †ἑξακισχιλίων λέγει† παρὰ —— ταῦτα δὲ χρυσίου †τάλαντα. A *D*

123 *a*.¹ δώδεκα δ' ἵππους: ἱπποτρόφοι †Θεσσαλοί. καλῶς δὲ ὁ ἄρτιος τῶν ἵππων ἀριθμὸς ἱκανὸς πρὸς ἐπίζευξιν. T *ex.*

*a*.² καλῶς δὲ καὶ τὸν ἄρτιον τῶν ἵππων ἀριθμὸν τίθησιν· b (BCE³E⁴) ἱκανῶς γὰρ ταῦτα πρὸς ἐπίζευξιν τυγχάνει. ἱπποτρόφοι δὲ οἱ Θεσσαλοὶ ἀεί. b(BE³E⁴)

124 *a*. πηγούς {ἀθλοφόρους}: μέλανας· τούτους γὰρ ἀρίστους φασὶν οἱ περὶ ἵππων γράψαντες. b(BCE³E⁴) T ὁμοίως καὶ „κύματι πηγῷ" (ε 388. ψ 235), εἴγε ἀλλαχοῦ φησι „μέλαν τέ ἑ κῦμ' ἐκάλυψεν" (Ψ 693, cf. ε 353). T τινὲς δὲ μεγάλους, εὐτραφεῖς, ὑψαύχενας. b(BCE³) T *ex.*

λοιγός fort. e scholio *a* (Ariston.) depromptum **122—56** cf. Ge (e T ut vid.), relatum ad I 122: διῄρηνται αἱ δόσεις, ἵν' εἰ μὲν φιλότιμος ὁ Ἀχιλλεύς, διὰ τῶν ἵππων ⟨ἐπ⟩αχθῇ, εἰ δὲ (εἰ δὲ Nicole, εἴτε Ge) φιλοχρήματος, διὰ τοῦ πολλοῦ χρυσοῦ, εἰ δὲ (εἰ δὲ Nicole, εἴτε Ge) φιλογύνης, διὰ τῆς τοῦ Ἀγαμέμνονος θυγατρός. Vide ad I 135—41 (ex.) διήρηται (31) — χρόνους (32) cf. app. crit. εἴτε φιλότιμος (33) sq. cf. Eust. 739, 19 (quem plura legisse negaverim): λέγουσι δὲ οἱ παλαιοὶ ἐν τούτοις ὡς, εἰ μὲν φιλοχρήματος ὁ Ἀχιλλεύς, πολλὰ τὰ ἐξ Ἀγαμέμνονος δῶρα, εἰ δὲ φιλογύνης, ἔχει τῶν βασιλέως θυγατέρων, ἣν ἂν ἕλοιτο, εἰ δὲ φιλότιμος, ἔχει καὶ τὸ τιμᾶσθαι διά τε τὸ βασιλικὸν κῆδος καὶ τὰς πόλεις, ἃς προῖκα λήψεται **122—3** cf. Eust. 739, 57; — ἐμπυριβητῶν (37) aliter Paus. 4, 32, 1; Bacher 81 αἴθωνας (37) sq. cf. D, Ap. S. 40, 33. 154, 30; Athen. 2, 37 f; vide sch. α 184 **124 *a*** cf. sch. ε 388. ψ 235; EM. 669, 25 (fort. e libro Περὶ πολυσημάντων λέξεων, cf. Reitzenstein, Gesch. 336, 3); — ἐκάλυψεν (51) cf. Porph. 1, 57, 23; brevius Eust. 740, 50; vide ad Γ 197 εὐτραφεῖς (51) cf. D, Et. Gen. (p. 242 Mill.), Et. Gud.

---

**31—5** pone sch. I 124 *a* (coni. cum v. ὑψαύχενας, l. 52) in T, sine le. relatum ad I 122 in b **31** le. addidi **32** τόπ. καὶ χρόν. Ma. (sc. 122—34. 135—56), τόπους χρόνους T εἴς τε τόπους καὶ χρόνους b τῆς om. T **33** θηρεύσειν b, fort. rectius **36** le. T supplevi, ἀπύρους δὲ τρίποδας pone sch. I 122—56 (coni. cum v. γάμον) b **37** ἐμπυρ. T ἐν πυρὶ λεβήτων b αἴθ. δὲ τοὺς T, τοὺς b (altera parte scholii ad versum 123 relata) **43** debuit ἱππ. οἱ θεσσ., cf. sch. *a*² **45—7** καλῶς δὲ καὶ sq. pone sch. I 122—3 (coni. cum v. ὑποκαίεσθαι) BCE³ **45** δὲ καὶ om. E⁴ **48** (le.) ἀθλοφ. T (V) del. Bk. (le. om. b) **49** ἱππικῶν Nck. (Mus. Rhen. 6, 1848, 340, 2), ἱππικῆς Porph.

*ex.* *b.* οἳ ἀέθλια ποσ⟨σ⟩ὶν ἄροντο: οὐκ ἐν Πελοποννήσῳ εἰσὶν οἱ ἵπποι ἠγωνισμένοι (εἶεν γὰρ ἂν ἤδη γέροντες), ἀλλ' ἐν Ἰλίῳ νενικήκασιν ἐπιταφίους ἀγῶνας b(BCE$^3$E$^4$) T ἀγωνιζόμενοι. T

*ex.* 125—7. οὔ κεν ἀλήϊος εἴη ⟨——— μώνυχες ἵπποι⟩: διακόπτει τὸ ὁμοειδὲς τοῦ καταλόγου, τῶν δώρων τὸ ὁμοειδὲς ἐκκλίνων. ἅμα δὲ καὶ ἑκάστην μερίδα σπουδαίαν ἀποδείκνυσι καὶ δῶρα δώροις προστίθησι καὶ τὴν ἔπειτα χάριν αὔξει. b(BCE$^3$) T

*ex.* | *D(?)* 125 *a.*[1] ἀλήϊος: πένης, ἄπορος· ἤτοι δὲ ἀπὸ τοῦ μὴ ἔχειν χώραν σιτόσπορον, ἣν λήϊον καλεῖ, | ἢ ἀπὸ τοῦ μὴ ἔχειν λείαν· λείας δὲ λέγει τὰς ἀγέλας τῶν θρεμμάτων. A

*ex.* *a.*[2] ἀλήϊος δὲ λέγεται ὁ μὴ ἔχων λήϊα. b(BCE$^3$E$^4$)

*ex.* 128 *a.* δώσω δ' ἑπτὰ γυναῖκας: ἐντέχνως τῶν δώρων μέσας ἔταξε τὰς γυναῖκας, ἵνα μὴ ὑπόνοιαν παράσχῃ ὡς ἀκρασίαν καταψηφιζόμενος αὐτοῦ. b(BCE$^3$E$^4$) T καὶ περὶ μὲν ὧν οἶδε, μαρτυρεῖ· περὶ δὲ τῶν Ἰλιάδων „αἵ κε μετ' Ἀργείην Ἑλένην b(BE$^3$E$^4$) T κάλλισται ἔωσιν" (I 140). T

*Ariston.* *b.* {δώσω δ' ἑπτὰ γυναῖκας} ἀμύμονα: ὅτι χωρὶς τοῦ σ̄ γραπτέον· οὐ γάρ ἐστι κατὰ τῶν γυναικῶν, ἀλλὰ κατὰ τῶν ἔργων. ὕστερον δὲ (sc. I 270) ἐπὶ τῶν γυναικῶν, „αἳ κάλλει ἐνίκων" (I 130). A

*Did.* *c.*[1] ⟨ἀμύμονα:⟩ οὕτως Ἀρίσταρχος, Ζηνόδοτος δὲ „ἀμύμονας". T

*c.*[2] Ἀρίσταρχος μετὰ τοῦ σ̄ „ἀμύμονας". A$^{im}$A$^{int}$

466, 51; Schem. Hom. 84 125 *a*[1] Et. Gen. (AB) ἀλήϊος cum subscriptione (A, om. B) οὕτως εὗρον ἐν ὑπομνήματι Ἰλιάδος, cf. D, sch. *a*[2]; Beiträge 129. Vide Bechtel, Lex. 30 128 *b* ad Ψ 263 (Ariston.). Vide ad T 245 ὕστερον δὲ (71) cf. Wecklein, Zen. Ar. 29 *c* cf. Eust. 740, 60 (κατὰ δὲ ἑτέραν γραφήν); Lehrs ap. Friedl., Ariston. 156: Sch. *c*[2] „minus curaremus, nisi rediret ad v. (I) 270 . . . Ita videri hic quoque potest scholae Aristarcheae error a Didymo correctus" (respicit notam Didymi ad B 111), cf. Ludwich, A. H. T. 1, 300, 24; at vide ad T 245;

---

53 le. T suppl. V, om. b 54 ἂν om. E$^3$ 56 le. T supplevi, om. b (qui sch. ad I 125 rettulit) 57 τὸ ὁμ. τοῦ καταλ. T, τὸ τοῦ καταλόγου ὁμοιόσχημον b (fort. rectius) 59 πρτίθησι supra ρ litt. ο scripta E$^3$ ἔπειτα T εἰς ἔπειτα b 60 δὲ om. Et. Gen. ἔχει Et. Gen. (B) 60 sq. χώρ. σιτόσπ. A λήϊον ἤγουν σιτοφόρον χωρίον Et. Gen. 61 sq. λείας δὲ λέγ. τὰς A ἤγουν Et. Gen. 62 τῶν θρ. A τῶν προβάτων Et. Gen. (A), προβάτων Et. Gen. (B) 63 pone sch. I 125—7 (coni. cum v. αὔξει) in b δὲ λέγ. om. E$^4$ 64 τῶν ἄλλων δώρων b, fort. rectius 65 τὰς] τὰς ξυνούσας αὐτῶι C ἵνα — παράσχῃ om. E$^3$ ὑπ.] ἀπόνοιαν T 65 sq. αὐτοῦ καταψηφ. b 67 κεν T 68 κάλλιστ' T em. Ma. (auctore Vill.) 69 (le.) δώσω — γυν. del. Bk. ὅτι A, ἡ διπλῆ, ὅτι Vill. 72 le. add. V$^c$ 74 ἀρίστ. A$^{im}$ A$^{int}$, ἀριστοφάνης bis ci. Cob., at cf. test.; ζηνόδοτος Wecklein (Zusätze 75, 1)

129—30. ⟨ἃς ὅτε Λέσβον ἐϋκτιμένην ἕλεν αὐτός / ἐξελόμην:⟩ τὸ αὐτός βέλτιον ἐπὶ τοῦ Ἀχιλλέως †ἄκουσον† καὶ τοῖς ἄνω συναπτέον. A *Nic.*

Λεσβίδας: παρὰ Λεσβίοις ἀγὼν ——— †μιθύμνην πυρίαν μιτυλήνην. A *D*

129. ἃς ὅτε Λέσβον: πιθανῶς ἔπαινον Ἀχιλλέως παρέμιξε καὶ μόνον οὐχὶ παραχωρήσειν αὐτῷ τῶν αὐτοῦ σκύλων φησίν. ἅμα δὲ καὶ ὑπ' ὄψιν αὐτῷ τὴν δωρεὰν ἄγει, ἐμφαίνων ὅτι ἃ οἶδεν ἐκεῖνος δίδωσιν. ἁπλοῦν δὲ τὸ ἦθος, καὶ πάντα πρὸς πειθώ. b(BCE$^3$E$^4$) T *ex.*

130 *a.* ἐξελόμην: Ἀρίσταρχος ψιλοῖ καὶ πρόθεσιν παραδέχεται ὥστε εἶναι ἓν μέρος λόγου. A *Hrd.*

*b.* ἐξελόμην: Ζηνόδοτος δασύνει τὸ ἕξ, ἀριθμὸν αὐτὸ ἐκδεχόμενος, οὐχ ὑγιῶς· φησὶ γὰρ „ἀτὰρ ὀγδοάτη⟨ν⟩" (T 246). ἄλλως τε οὐ δῶρον Βρισηΐς. T *ex.(Ariston.?)*

131. μετὰ δ' ἔσσεται: ὅτι ἐντεῦθεν πλανηθεὶς Ζηνόδοτος συναριθμεῖσθαι ἐν ταῖς ἑπτὰ (cf. I 128) καὶ τὴν Βρισηΐδα ἔδοξεν· καὶ ἐν ἄλλοις γράφει „ἐκ δ' ἄγεν ἑπτὰ γυναῖκας ἀμύμονα ἔργ' εἰδυίας / ἕξ, ἀτὰρ ἑβδομάτην Βρισηΐδα καλλιπάρηον" (cf. T 245—6). ἔστι δὲ ἐκτὸς ἡ Βρισηΐς. A *Ariston.*

132 *a.*$^1$ ⟨κούρην Βρισῆος· καὶ ἐπὶ μέγαν ὅρκον ὀμοῦμαι:⟩ Ἀρίσταρχος „κούρη Βρισῆος· ἐπὶ δὲ μέγαν ὅρκον ὀμοῦμαι". A$^{int}$ *Did.*

*a.*$^2$ ⟨κούρην Βρισῆος:⟩ Αὐτόχθων δίχα τοῦ ν̄ „κούρη Βρισῆος". T$^{il}$ *Did.(?)*

*a.*$^3$ δίχα τοῦ ν̄ τὸ „κούρη". b(BCE$^3$)

Beccard 47; Duentzer, Zen. 88; Cobet, Miscell. crit. 288; Roemer, Philol. 70, 1911, 188; Valk I 567. Vide Von der Muehll in app. crit. ad ω 278 129—130 cf. Eust. 740, 62 129 (D = A) vide test. a D. L. Page (Sappho and Alcaeus, Oxon. 1955, 168,4) collecta, quibus addas Athen. 13, 565 f, sch. Ap. Rh. 1, 865—68 b; Usener, Vorträge und Aufsätze (Lips. 1907) 145; B. Snell, Ges. Schriften (Gottingae 1966), 62 130 nullum signum ante versum in A, tamen censeo sch. Aristonici de coniectura Zenodoti (ἓξ ἑλόμην) exstitisse, vide sch. *b* *b* ad I 271 (Ariston.); vide ad I 131. T 246; cf. Duentzer, Zen. 123 131 cf. Eust. 741, 5; ad I 638 (Ariston.). Vide ad B 690. I 130 *b*. T 245 συναριθμεῖσθαι (89) cf. D 132 $a^1$ ad I 274 (Did.) $a^2/a^3$

75 sq. le. add. Frdl. 76 ἀκούειν Frdl., malim ἀκουστέον 77 συνάπτειν propos. Frdl. 80 ἔπαινον T τὸν ἔπαινον b κατέμιξε B 81 μονονουχὶ b φησίν om. T 82 αὐτοῦ C ἃ οἶδεν T οὐδὲν b 83 πειθώ (πειθῶ BE$^4$) ἐστιν b 87 αὐτὰρ ὀγδοάτη T em. Ma. (duce Vill.) 89 le. Bk., τὰς μέν οἱ δώσω: A ὅτι A, ἡ διπλῆ περιεστιγμένη, ὅτι Vill. 91 fort. ἄγον (ut Hom.) ἑπτὰ] αἶψα Hom. fort. ἀμύμονας (vide ad I 128 *c*) 91 sq. ἑπτ', ἀτὰρ ὀγδοάτην Hom. 94 le. add. Vill. 1 le. add. V$^c$ αὐτόχθων susp., fort. ἀρίσταρχος

*ex.* *b.* ὅρκον ὀμοῦμαι: διὰ τοῦ ὅρκου τὸν ζῆλον τοῦ ἔρωτος τοῦ Ἀχιλλέως θεραπεύει καὶ τὸ σῶφρον ἑαυτοῦ ἐνδείκνυται, διὰ φιλοτιμίαν, οὐκ ἀκρασίας ἕνεκεν ἀφελόμενος Βρισηΐδα. b(BC$E^3E^4$) T

*Ariston.* **133** $a.^{1}$ μήποτε τῆς εὐνῆς ἐπιβήμεναι: ὅτι ἔξωθεν δεῖ λαβεῖν τὸ ἄρθρον· τὸ γὰρ τῆς νῦν ἀντὶ τοῦ ταύτης παρείληπται, καὶ ἔστιν ὁ λόγος 'μήποτε τῆς ταύτης εὐνῆς ἐπιβήμεναι'. A

$a.^{2}$ λείπει τὸ ἄρθρον. καὶ „εἵνεκα τῆς ἀρετῆς ἐριδαίνομεν" (β 206). $T^{il}$

*Hrd.* | *Nic.* **134** $a.^{1}$ ἢ θέμις ⟨ἀνθρώπων πέλει, ἀνδρῶν ἠδὲ γυναικῶν⟩: τὸ ῆ τὸ πρῶτον δασυντέον· ἔστι γὰρ ἰσοδυναμοῦν τῷ ὥς· διὸ καὶ ὁ τέ προστίθεται σύνδεσμος πολλάκις· ὡς γὰρ λέγομεν „ὥς τε γὰρ ἢ παῖδες νεαροί" (Β 289), οὕτως „ἣ τε ξείνων θέμις ἐστίν" (ι 268). τὸ δὲ ἠδέ ψιλωτέον· σύνδεσμος γάρ ἐστιν ἰσοδυναμῶν τῷ καί, ὁμοίως τῷ „ἠδ' εὔφρονα καρπὸν ἀμᾶσθαι" (Hsd. opp. 775). | βραχὺ δὲ διασταλτέον ἐπὶ τὸ πέλει· σαφέστερος γὰρ γίνεται ὁ νοῦς· 'ὅπερ ἐστὶν ἔθος ἀνθρώποις, ἀνδράσιν τε καὶ γυναιξίν'. A

*Hrd.* $a.^{2}$ δασυντέον τὸν ῆ καὶ ὀξυντέον, ἰσοδυναμοῦντα τῷ ὥς. b(B$E^3$) $T^{il}$

*ex.* *b.* ἢ θέμις ἀνθρώπων: θαυμασίως φύσεως νόμῳ τὴν αἰσχρὰν λέξιν ἐκάλυψε, τὰ τῆς συμπλοκῆς ταπεινὰ καὶ ἀνθρώπινα τιμιωτάταις προσηγορίαις ἐπισκιάζων. b(B$E^3E^4$) T

*ex.* **135—41** $a.^{1}$ ⟨ταῦτα μὲν αὐτίκα ——— ἱκοίμεθ':⟩ εἰς τρεῖς δὲ χρόνους ἡ διαίρεσις γέγονεν, εἰς τὸ αὐτίκα πάντα (135), εἰς τὸ εἰ δέ κεν αὖτε / ἄστυ μέγα (135—6) καὶ εἰς τὸ εἰ δέ κεν Ἄργος ἱκοίμην (141). b(B$E^3E^4$)

$a.^{2}$ ὥστε εἰς τρεῖς καιροὺς ἡ διαίρεσις. $T^{il}$

δίχα τοῦ ν̄ ≐ Eust. 741, 36 **133** ad Τ 105 (Ariston.), cf. Su. τ 536: τῆς· ἀντὶ τοῦ ταύτης. οὐκ ἔστι δὲ ἄρθρον. Ὅμηρος· „μήποτε τῆς εὐνῆς ἐπιβήμεναι", ἀντὶ τοῦ ταύτης. καὶ ἐν Ὀδυσσείᾳ· „εἵνεκα τῆς ἀρετῆς", ἀντὶ τοῦ ταύτης, sch. β 206, Ap. S. 152, 8. Vide ad Β 576 (Ariston.) **134** *a* — δασυντέον (13) ad Β 73 τῷ ὥς (13) cf. D; Bk., H. Bl. 1, 55 τὸ δὲ ἠδὲ (16) — καί (16) cf. sch. ε 391 *b* cf. Eust. 741, 39; Hirzel, Them. 19, 1. 43, 2 **135—41** cf. Eust. 741, 49; vide ad

---

**4—6** διὰ δὲ τοῦ sq. pone sch. $a^3$ (coni. cum v. κούρη) b **6** βρισ. T αὐτήν b **7** ὅτι A, ἡ διπλῆ, ὅτι Vill. ἔξοθεν A em. Vill. **10** le. μήποτε τῆς εὐνῆς add. $V^c$ **12** le. A suppl. Vill. **13** τῷ Bk., τὸ A **15** ξεῖνον A em. Vill. **16** τῷ Bk., τὸ A **17** ἀμᾶσθαι Lehrs, ἀμεῖσθαι A **20** τὸν ῆ post ὀξ. b τῷ b τὸ T **22—4** θαυμασίως δὲ sq. pone sch. $a^2$ (coni. cum v. ὡς) B$E^3$ **23** sq. τιμ. ἐπισκ. ταῖς λέξεσιν b **25** le. addidi **25—8** εἰς τρεῖς δὲ χρόνους sq. coni. cum sch. I 134 *b* (v. λέξεσιν) in b, distinxi **27** sq. ἱκοίμεθ(α) Hom. **29** sch. supra versum 135 scriptum in T

137 *a.* νῆα ἅλις χρυσοῦ ⟨——— νηησάσθω⟩: ὅτι παρετυμολογεῖ τὴν ναῦν ἀπὸ τοῦ νῆσαι, ὅ ἐστι σωρεῦσαι. καὶ ἐν Ὀδυσσείᾳ τὰ ὀνόματα ἀπὸ τοῦ ἑτοίμου λαμβάνει, Τερπιάδην τὸν Φήμιον (cf. χ 330—1) ἀπὸ τοῦ τέρπειν τὸν κιθαρῳδόν· ὁ αὐτὸς ἄρα ποιητής. **A** *Ariston.*

*b.* ⟨νῆα ἅλις χρυσοῦ καὶ χαλκοῦ νηησάσθω:⟩ ἄδηλον, πότερον δύο ἢ μίαν. πολύχρυσοι δὲ ἐξ ἀρχῆς οἱ βάρβαροι. **$T^{il}$** *ex.*

139. αὐτὸς ἑλέσθω: τὴν δωρεὰν ἡ ἐκλογὴ ποιεῖ μείζω μακράν τε αὐτὸν τίθησι τοῦ γυναικείου πόθου. **b**($BCE^3E^4$) **T** *ex.*

140 *a.* αἴ κε μετ' Ἀργείην ⟨Ἑλένην κάλλισται ἔωσιν⟩: ὅτι ἔνιοι ὑποτάσσουσι στίχον „τὴν γὰρ ἀπ' αὔτις ἐγὼ δώσω ξανθῷ Μενελάῳ", εὐήθως πάνυ. **A** *Ariston.*

*b.* ⟨αἴ κε:⟩ τὸ αἴ ⟨κεν⟩ ἀντὶ τοῦ ἐάν, ἐπεὶ καὶ τὸ ἔωσιν ὑποτακτικόν. **$T^{il}$** *ex.*

*c.* αἴ κε μετ' Ἀργείην Ἑλένην ⟨κάλλισται ἔωσιν⟩: οὐχ ὡς αἰχμάλωτον, ἀλλ' ὡς πρεσβεύουσαν ἁπασῶν ἐν κάλλει. **A** **b**($BCE^3E^4$) **T** *ex.*

141 *a.* εἰ δέ κεν Ἄργος ⟨ἱκοίμεθ' Ἀχαιϊκόν⟩: ὅτι τὴν Πελοπόννησον Ἀχαιϊκὸν Ἄργος λέγει καὶ Ἴασον, „εἰ πάντες σε ἴδοιεν ἀν' Ἴασον Ἄργος" (σ 246), Πελασγικὸν δὲ Ἄργος τὴν Θεσσαλίαν. **A** *Ariston.*

*b.*[1] ⟨οὖθαρ ἀρούρης:⟩ τρόφιμον τῆς γῆς. **$T^{il}$** *ex.*

*b.*[2] τῆς γῆς τὸ τροφιμώτερον. **b**($BCE^3E^4$)

I 122—56 **137** *a* ad E 60—2 (Ariston.), cf. sch. χ 330; — σωρεῦσαι (31) Et. Gen. (AB) ναῦς, fort. ex hyp. Iliad., cf. Eust. 741, 60; Or. 107, 11 παρετυμολογεῖ (30) ad Z 194 *b* (Ariston.); cf. Fehling, Die Wiederholungsfiguren (Berol. 1969) 155 *b* cf. Eust. 742, 6; vide ad I 402 **140** diple (non periestigm.) ante versum in A *a* v. I 140 a fort. a Zenodoto adiectus, cf. Duentzer, Zen. 159, 4; Lehrs, $Ar.^3$ 340 n. 244; Wecklein, Zusätze 8; aliter Bolling, Ext. Ev. 119. Vide ad N 808 εὐήθως πάνυ (40) vide ad I 159 **141** *a* cf. Eust. 742, 15; Strab. 8, 6, 5 (p. 369); — Ἀχαιϊκὸν Ἄργος (47) ad Δ 171 *d*; cf. Strab. 8, 5, 5, (p. 365) καὶ Ἴασον (47) ad Γ 75 *b* Πελασγικὸν δὲ (48) cf. sch. Ap. Rh. 1, 14 *b* cf. D, Eust. 742, 16 (τὸ πιότατον καὶ τροφιμώτατον); sim. He. o 1603. Vide sch. Pind.

**30** le. A suppl. Vill. ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **31** σορεῦσαι A em Vill. **34** le. addidi, ἅλις χρυσοῦ καὶ χαλκοῦ: add. $V^c$ **36** τὴν T τὴν γὰρ **b** μείζονα **b** **37** τε αὐτὸν T δὲ ἑαυτὸν **b** τίθ. ante πόθου **b** **38** le. A suppl. Frdl. (auctore Vill.) ὅτι A, ἡ διπλῆ, ὅτι Frdl. (Vill.) **41** le. addidi (αἴ κε μετ' ἀργείην: iam $V^c$) κεν (κε) add. Bk. **43** le. T supplevi (auctore Vill.), αἴ κε μετ' ἀργείην: A, om. **b** **44** ἀλλ' AT συγκαταλέγει, ἀλλ' **b** ἐν κάλλει post ὡς **b** ἁπασῶν om. **b** κάλει T **46** le. A suppl. Frdl. ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **50** le. add. $V^c$ τροφιμώτατον ci. Wil. (cf. test.)

*ex.* 143 *a*. τηλύγετος: μονογενής, ἢ μεθ' ὃν οὐ παιδοποιεῖ τις. τινὲς δέ φασι λείπειν τὸ ὥς. b(BCE$^3$E$^4$) T

*ex.(?)* *b*. ⟨τηλύγετος:⟩ ὅτι ἀγαπητὸς μόνος ἐπὶ ταῖς θηλείαις. A$^{im}$

*D* {ὅς μοι} τηλύγετος: ἀγαπητός, ——— Κλυταιμνήστρας. A

*D* θαλίῃ ἔνι πολλῇ: ἐν πολλῇ ——— τοὺς εὐωχουμένους. A

*ex.* 144. τρεῖς δέ μοί εἰσι θύγατρες: εἰς ὃ μάλιστα λυπεῖ αὐτὸν λέγων· „κούρην δ' οὐ γαμέω 'Αγαμέμνονος" (Ι 388). T

*Ariston.* 145 *a*. ⟨Χρυσόθεμις καὶ Λαοδίκη καὶ 'Ιφιάνασσα:⟩ ὅτι οὐκ οἶδε τὴν παρὰ τοῖς νεωτέροις σφαγὴν 'Ιφιγενείας. A$^{im}$

*ex.* *b*. Χρυσόθεμις καὶ Λαοδίκη καὶ 'Ιφιάνασσα: οἰκεῖα θυγατράσι βασιλέως τὰ ὀνόματα· τρία γὰρ συνέχει τὴν ἀρχήν, νόμος ὀρθός, ἔπειτα κρίσις καὶ ἰσχύς. A b(BCE$^3$E$^4$) T

*ex.* 146 *a*. τάων ἥν κε θέλῃσι ⟨——— ἀγέσθω⟩: διὰ τῆς ἐπιγαμίας πιστοῦται τὴν φιλίαν, ὅπως μὴ δοκῇ πρὸς τὴν χρείαν κολακεύειν b(BCE$^3$E$^4$) T ὑπούλως ἔχων. T

*Ariston.* *b*. ⟨ἀνάεδνον:⟩ ὅτι ἕδνα ἐδίδοσαν οἱ νυμφίοι ταῖς παρθένοις. A$^{int}$

*Hrd.* 147 *a*.[1] ἐπιμείλια {δώσω}: 'Αρίσταρχος ἓν μέρος λόγου παρέλαβεν ὡς ἐπιφέρνια. 'Απολλόδωρος (FGrHist. 244, 248) δὲ διαλύει,

P. 4, 14 **143** a cf. D ad Γ 175, Ap. S. 152, 16, sch. Ap. Rh. 1, 718—19, Porph. 1, 303, 1; Eust. 742, 25. Vide ad Ν 470 *b* cf. Eust. 742, 27: . . . καὶ ἐπὶ τοῦ ἐν θηλείαις μόνου ἄρρενος παιδός, καὶ μὴν καὶ ἐπὶ τῆς ἐν ἄρρεσι μιᾶς μόνης θυγατρός, D **145** *b* cf. Eust. 742, 46; Roemer, Ar. 143. De v. Λαοδίκη vide et Ael. v. h. 4, 26 **146** *b* cf. Eust. 742, 55; ad Ν 366 *a*. 382 *a*. Π 178 *c* (Ariston.), sim. sch. α 276. 277. β 53. 196, D, D ad Χ 472, Ap. S. 62, 16, Or. 57, 3 (Et. Gud. 400, 17 Stef. c. test.); vide ad Ι 147. Λ 244 (Ariston.), Ζ 394. Κ 315 *c*; Poll. 2, 36; aliter sch. Eur. Andr. 873; vide Cobet, Miscell. crit. 240; Lehrs Ar.[3] 195; Hofmann, Ar. 14 et cetera test. ad Π 178 *c* collecta; vix recte Lotz 26 **147** *a*[1] Eust. 742, 60: . . . 'Αρίσταρχος μὲν ἓν μέρος λόγου λαμβάνει τὸ „ἐπιμείλια" ὡς τὸ ἐπιφέρνια, 'Απολλόδωρος δὲ διαλύει λέγων· ἐπιδώσω μείλια . . . Τρύφων δὲ περὶ τοῦ τόνου ζητεῖ, πότερον ἀναγνωστέον ὡς ποίμνια προπαροξυτόνως ἢ παροξυτόνως ὡς „πεδία" (Μ 283; at fort. voluit παιδία). 'Απίων δὲ καὶ 'Ηρόδωρός φασιν ὅτι ἡμῖν δοκεῖ προπαροξύνεσθαι·

---

**52** ἢ om. b **53** λείπειν φασὶ b **54** le. supplevi ὅτι Vill., Ddf., ο ss. τ A, fort. ὁ ἐπὶ A, fort. ἐν (cf. test.) **56** (le.) ὅς μοι eieci **58** (le.) εἰσὶν T emendavi **60** le. add. Vill. ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **62** le. A (coni. cum scholio Ι 143 [A = D], v. εὐωχουμένους), T, om. b **63** γὰρ AT γάρ εἰσιν ἃ b **65** le. T supplevi (auctore Vill.), om. b **68** le. add. Bk. ὅτι A, ἡ διπλῆ, ὅτι Vill. ταῖς A, ἐπὶ ταῖς Lotz (cf. test.) **70** (le.) δώσω del. Ddf. **71** ἀπολλ.] ἀπολλώνιος Michaelis (fr. 18), cf. D ad Θ 284, sch. μ 22

„ἐπί“, εἶτα „μείλια“· οὕτως δὲ καὶ Ἀλεξίων (fr. 36 B.). καὶ ἔστι τὸ ἑξῆς ἐπιδώσω μείλια. Τρύφων (fr. 98 V.) δὲ ζητεῖ περὶ τοῦ τόνου, πότερον ὡς ποίμνια ἢ ὡς παιδία. ἡμῖν δὲ δοκεῖ τὸ προπαροξυνόμενον πλέον εἶναι, σπάνιον δὲ τὸ παροξυνόμενον, εἰ οὕτως ὁρισαίμεθα· τὰ διὰ τοῦ ιον οὐδέτερα μονογενῆ τρισύλλαβα, μὴ ὄντα ὑποκοριστικά, εἰ ἔχοι τὴν τρίτην ἀπὸ τέλους φύσει μακρὰν διὰ τοῦ ῑ ἐκφερομένην ἤτοι μόνου ἢ καὶ σὺν ἑτέρῳ φωνήεντι, προπαροξύνεται, „Ἴλιον“ (Α 71 al.), ποίμνιον †σίγιον† λείριον αἴτιον· οὕτως καὶ μείλιον. σπάνια δὲ τὰ παροξυνόμενα, ὥσπερ τὸ „ἰνίον“ (Ε 73)· τὸ γὰρ „τειχίον“ (π 165. 343) ὑποκοριστικὸν καὶ τὸ κλειδίον. **A**

*a.*² {ἐπιμείλια δώσω:} Ἀρίσταρχος ὑφ' ἓν ὡς ἐπιφέρνια, Ἀπολλόδωρος κατὰ διάλυσιν. **T**

*b.* ⟨ἐγὼ δ' ἐπὶ μείλια δώσω:⟩ ὅτι καὶ ὑπὸ τῶν πατέρων ἐπεδίδοτο ταῖς θυγατράσιν, οὐχ ὑπὸ τῶν ἀνδρῶν μόνον ἐπέμπετο, ἃ λέγει ⟨***⟩. | μείλια δέ εἰσιν, οἷς μειλίσσονται τοὺς ἄνδρας. τὴν προῖκα δὲ λέγει τὴν ἡδέως διατιθεμένην τὴν ψυχήν. | Ἀρίσταρχος δὲ ⟨***⟩ ἐπιφέρνια. **A** *Ariston.* | *D* | *Hrd.*

148. ⟨ὅσσ' οὔ πώ τις . . . ἐπέδωκε:⟩ ὅτι οὐ λέγει ʽὅ τι πρῶτος ἐπιδέδωκαʼ. **A**[im] *Ariston.*

εὐλογώτερον γὰρ εἶναι τὸ τοιοῦτον ἢ τὸ παροξυνόμενον, ἐὰν οὕτως ὁρισώμεθα· τὰ διὰ τοῦ ιον οὐδέτερα μονογενῆ τρισύλλαβα μὴ ὄντα ὑποκοριστικά, εἰ ἔχει τὴν τρίτην ἀπὸ τέλους (ἤτοι τὴν προπαραλήγουσαν) φύσει μακρὰν διὰ τοῦ ῑ ἐκφερομένην ἢ μόνου ἢ σὺν ἑτέρῳ φωνήεντι, προπαροξύνεται, οἷον Ἴλιον, „εἴριον“ (Μ 434), ποίμνιον †σίγειον† λείριον. οὕτω καὶ μείλιον, σπάνια δὲ τὰ παροξύτονα ὡς τὸ ἠνίον (cf. Γ 261 al.)· τὸ γὰρ τειχίον, κλειδίον καὶ τὰ τοιαῦτα ὑποκοριστικά, fort. ex hyp. Iliad; cf. Lehrs Ar.³ 110 ἐπιφέρνια (71) cf. Eust. 1417, 14: φερνὴ δὲ τὰ τῆς νύμφης, τὰ δὲ ὑπὸ τῆς νύμφης ἐπιφέρνια (vox aliunde ignota) καὶ ἔστι τὸ ἑξῆς (72) — μείλια (73) cf. D, Ap. S. 110, 20 τὰ διὰ τοῦ ιον (75) sq. cf. canones ap. Arcad. 137, 5 *b* — λέγει (86) ad Χ 51. 88, cf. Eust. 743, 3, D ad Ζ 394; sch. Ap. Rh. 3, 146. Vide ad I 146 *b*; Valk I 588 Ἀρίσταρχος δὲ (87) sq. cf. Cobet, Miscell. crit. 240 148 diple ante versum in A (cf. app. crit.) ὅτι οὐ λέγει ad

---

**72** ἐπί, εἶτα μείλια h. e. ἐπιμειλιά (non ἐπίμειλια) **79** ποίμν. Eust., πύμνον A σίγειον Eust., σίγριον Lehrs, αἴγιον Mein. (ad Steph. B. 48, 19), possis et σφίγγιον, φήγιον αἴτιον A, ἴτριον Lehrs, fort. εἴριον, cf. Eust. **80** τειχεῖον A em. Vill. **82** le. delevi **84** le. add. Frdl. (Vill.) ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **86** lac. stat. Lehrs v. ἐπιμείλια supplens; μείλια add. Cob. **87** προῖκα (= D) Vill., πρύκα A **88** lac. indicavi, e. g. ὑφ' ἓν ὡς suppleam **89** le. addidi, sch. Aristonico dub. attribui ὅτι A, fort. ἡ διπλῆ, ὅτι οὐ A, οὕτω (tum ὅτι pro ὅ τι) Cob. (fort. recte)

*ex.* **149.** ἑπτὰ δέ οἱ δώσω ⟨———⟩ πτολίεθρα: ἄδηλον, εἴτε φερνὴν ἐπὶ τῇ θυγατρὶ καὶ ταύτας δίδωσι τὰς πόλεις, ἢ ἔξωθεν, ὡς καὶ τὰ ἄλλα δῶρα. **b**(BCE$^3$) **T** ἄμεινον δὲ ἀντὶ φερνῆς αὐτὰς ἡγεῖσθαι. **b**(BE$^3$)

*ex.* **150—2.** Καρδαμύλην Ἐνόπην τε ⟨——— Πήδασον ἀμπελόεσσαν⟩: Μεσσηνίδες αὗται πόλεις, ἡ δὲ Μεσσήνη εἰς τὸν Λακεδαιμονίων †νόμον† πάλαι συνετέλει. πῶς οὖν, φασίν, Ἀγαμέμνων ταύτας δίδωσιν οὐκ οὔσας ἑαυτοῦ; καὶ οἱ μὲν Κλυταιμνήστρας εἶναι, ἢ ὅτι κοινὰ ἡγεῖται τὰ τοῦ ἀδελφοῦ ὡς κἀκεῖνος τὴν Αἴθην (cf. Ψ 295)· **b**(BCE$^3$E$^4$) **T** εἰ δὲ ὑπὸ Μενελάῳ εἰσί, καὶ Μενέλαος αὐτὸν ἱκετεύει. διὰ τί δὲ οὐ μέμνηται αὐτῶν ἐν τῷ Καταλόγῳ; ὅτι νεωστὶ ὑπὸ τῶν Διοσκούρων ἦσαν πορθηθεῖσαι, τῶν δὲ πεπορθημένων οὐ ποιεῖ συμμαχίαν, ὡς οὐδὲ Νηρίκου (cf. ω 377)· φύσει γάρ εἰσι πολέμιοι τοῖς πορθήσασιν· ἢ περὶ αὐτῶν φησιν, ἐν οἷς λέγει „Αἰγιαλόν τ' ἀνὰ πάντα καὶ ἀμφ' Ἑλίκην εὐρεῖαν" (Β 575). **T** μεγάλη δὲ ἡ δόξα Ἀχιλλεῖ, ὅταν καὶ τῶν πόρρω χωρίων ἄρχῃ, διὰ δὲ τῶν ἐπιθέτων σεμνοποιῶν μικροῦ δεῖν τῆς Πηλέως ἀρχῆς μείζους φησὶν αὐτάς· διάφοροι μὲν γάρ εἰσι τοῖς καρποῖς, ποικίλαι δὲ ταῖς φύσεσι τῶν ζῴων, φιλάνθρωποι ταῖς κατοικίαις, εὐνομώταται ταῖς ἀγωγαῖς (cf. I 154—6). **b**(BCE$^3$E$^4$) **T**

*Hrd.* **150** $a.^1$ Ἱρήν: Ἀρίσταρχος ὀξύνει ὁμοίως τῷ ἐπιθετικῷ τῷ „ἱρήν" (Δ 416 al.). εἰσὶ δὲ οἳ βαρύνουσιν εἰς ἰδιότητα, ὥσπερ ἐδηλώσαμεν ἐπὶ τοῦ „Ῥίπην τε Στρατίην τε" (Β 646), „Ὄρθην" (Β 739). ἡ δὲ αὐτὴ ἀναλογία ἐχώρει καὶ ἐπὶ τῶν εἰς $\overline{ος}$. καὶ πάλιν ἐπ' ἐκείνων

I 446 al. **149** ἄμεινον δὲ (93) sq. cf. Eust. 743, 8 **150—2** — τὰ τοῦ ἀδελφοῦ (4) cf. Strab. 8, 4, 1 (p. 359); — συνετέλει (2) cf. Strab. 8, 5, 8 (p. 367/8); — πόλεις (1) cf. Strab. 8, 4, 5 (p. 360/1), Steph. B. 357, 15; Paus. 3, 26, 8. 4, 31, 1. 4, 35, 1; Bœcher 53; vide R. Hope Simpson, The Annual of the British School at Athens 61, 1966, 128 διάφοροι μὲν (12) sq. cf. Eust. 743, 46 **150** $a^1$ ad Σ 39 (Hrd.), cf. Lehrs Ar.$^3$ 279; — ὀξύνει (15) ad I 292 (Hrd.) εἰσὶ δὲ (16) — ἰδιότητα cf. Eust. 743, 20: εἰ δὲ καὶ βαρύνεται ἡ πόλις . . . κατὰ πολλὰ τῶν ἀντιγράφων, οὐκ ἀνάγκη ζητεῖν Ὄρθην (17) ad Β 739 (Hrd.) ἡ δὲ αὐτὴ ἀναλογία

---

**91** le. T suppl. Ma., om. **b** **92** δίδ. — ἔξωθεν T δίδωσιν εἴτε ἐκτὸς **b** **95** sq. le. T supplevi, om. **b** (ubi sch. ad I 150 relatum est) **1** μεσηνίδες TV (σ ss. V$^c$), μεσσηνίδι(ς) E$^4$ μεσήνη TV, σ ss. V$^c$ τὸν T τὸν τῶν **b** **2** νομὸν Bk. φη(σὶν) CE$^3$ **3** ἑαυτοῦ T αὐτοῦ BE$^3$E$^4$ αὐτοῦ C καὶ οἱ — εἶναι T φασὶ δὲ αὐτὰς κλυταιμνήστρας εἶναι **b** **5** εἰ δὲ ὑπὸ μεν. εἰσί Wil., ὑπομένει ὡς T **9** τ' ἀνὰ πάντα Hom., τ' ἅπαντα T **10** ὅτ' ἂν E$^3$ καὶ om. T **12** πηλ. T πόλεως **b** **13** δὲ om. **b** **13** sq. φιλ. τ. κατ. T διαφερόντως δὲ ταῖς κατοικίαις φιλάνθρωποι **b** **14** ταῖς δὲ ἀγ. εὐνομ. **b** **15** τῷ$^2$ (ante ἱρήν) del. Vill. **18** ἐπ' A, ὡς ἐπ' Bk.

ἐλέγομέν τινα ὁμοτόνως μένειν, οὕτως καὶ ἐπὶ τούτων. καὶ ἔστιν ὁρίσασθαι τὰ μείναντα ⟨ὅτι⟩ ἐπαίνων ὀνόματά ἐστιν, οὐκ ἀντιστρέφοντος τοῦ κανόνος· οὐ γὰρ τὰ ἐπὶ ἐπαίνου μένει. καὶ τῶν μὲν τρεπόντων ἀρητή, „Ἀρήτη" (η 54), τῶν δὲ μεινάντων Πινυτή· „μήτηρ πινυτή" (υ 131), „Ἀγαυή" (Σ 42). οὕτως καὶ Ἱρή. **A**

*a.*² Ἀρίσταρχος ὀξύνει τὸ Ἱρήν ὁμοίως τῷ ἐπιθέτῳ. **T**[il]

153 *a.*¹ ⟨πᾶσαι δ' ἐγγὺς ἁλός:⟩ ἵνα καὶ τῶν ἐκ θαλάσσης ἀπολαύ⟨σ⟩ειεν ἀγαθῶν παραλίων οὐσῶν. **T**[il] [*ex.*]

*a.*² παράλιοι δέ εἰσιν, ἵνα καὶ τῶν ἐκ θαλάσσης ἀγαθῶν ἀπολαύωσι παρακείμεναι αὐτῇ. **b**(BCE³E⁴)

*b.* ⟨νέαται:⟩ ὅτι ἀντὶ τοῦ ναίονται. ἔνιοι δὲ ἀντὶ τοῦ ἔσχαται, οὐκ εὖ. **A**[im] [*Ariston.*]

*c.* νέαται: ὡς „κέαται" (Λ 659 al.). σημαίνει δὲ τὸ ναίονται, γενόμενον παρὰ τὸ νῶ, οὗ παράγωγον ναίω. ὅσοι δὲ παροξύνουσιν, ὡς ἐπὶ τοῦ ἔσχαται κατὰ τὸ νοητὸν παραλαμβάνουσιν· οὐδ' ἐνθάδε δὲ ὑγιῶς παροξύνουσιν· ὀφείλει γὰρ ὁμοτονεῖν τῷ νέατοι. | Ἀπολλώνιος (Frg. p. 110, 15) δὲ διὰ τοῦ κ̄ γράφει „κέαται". **A** [*Hrd.* | *Did.(?)*]

*d.*¹ νέαται: ὡς „κέαται" (Λ 659 al.). καὶ σημαίνει τὸ οἰκοῦνται ἀπὸ τοῦ νῶ γεγονός, οὗ παράγωγον τὸ †νεάω. | ὁ δὲ Νικάνωρ (p. 199 Friedl.) ὄνομά φησι τὸ νέαται καὶ πρὸς ἄμφω χωρεῖν δύνασθαι, ὡς „τηλοῦ ἐπ' Ἀλφειῷ νεάτη Πύλου ἠμαθόεντος" (Λ 712). | Ἀπολλόδωρος (FGrHist 244, 306) δὲ γράφει „κέαται"· **T** [*Hrd.* | *Nic.* | *Did.(?)*]

*d.*² ὁμοίως τῷ „κέαται". σημαίνει δὲ τὸ οἰκοῦνται ἀπὸ τοῦ νῶ τοῦ δηλοῦντος τὸ οἰκῶ, οὗ παράγωγον νέω καὶ πλεονασμῷ νεάω. **b**(BCE³E⁴) [*Hrd.*]

(18) sq. ad Ο 445 (Hrd.)　Πινυτή et πινυτή (22) ad Η 289 (Hrd.), cf. Arcad. 131, 16; Lehrs, Hrd. 250　**153** *a*¹ Ge (e T)　*b/c* ναίονται (29. 31) cf. D　*c* cf. Eust. 743, 40; — ναίω (32) cf. Ep. Hom. (An. Ox. 1, 300, 1, sim. EM. 599, 19)　ἔσχαται (33) ad Ε 857 *a*; cf. Schulze, Quaest. ep. 467, 2; Bechtel, Lex. 231　Ἀπολλώνιος (34) cf. Michaelis p. 22, 2; Valk II 143 n. 275　κέαται (35) cf.

---

**20** ὅτι add. Bk.　**22** ἀρήτη ἀρητή A em. Bk.　**22** sq. μήτηρ δὲ πιστὴ ἀγνή. οὕτως A em. Lehrs　**25** le. add. Ma.　**25** sq. ἀπολαύειεν T suppl. Ma. (sc. Achilles), ἔχῃ ἀπολαύειν Ge　**27—8** pone sch. *d*² (coni. cum v. νεάω) **b**　**29** le. addidi (auctore Vill.)　ὅτι A, ἡ διπλῆ, ὅτι Vill.　νέονται A em. Bk.　**31** τὸ νέονται A em. Vill.　**33** ἐσχάται A em. Bk.　ἐνθάδε A, εὐθεῖαν Lehrs (vix recte)　**34** ὑγειῶς A em. Vill.　τῷ Bk., τὸ A　ἀπολλ. susp., cf. test.　**37** νεάω T, ναίω Ma. (cf. sch. *c*)　**38—9** dicere vid. scholiasta vocem νέαται aut cum v. πύλου ἠμ. aut cum v. ἁλός (ita ut πύλου ἠμ. a voce ἐγγύς pendeat) coniungi, cf. Valk II 143 n. 275　**41** τῷ] τὸ E³

*Did.* 154. ⟨πολύρρηνες:⟩ διὰ τοῦ ἑτέρου ρ̄ τὸ πολύρρηνες αἱ Ἀριστάρχου. $A^{int}$

*ex.* 155 $a^1$. θεὸν ὣς τι⟨μή⟩σουσιν: ὡς θεῷ τὰς τῶν ὄντων προσάγοντες ἀπαρχάς. T

$a^2$. ὡς θεῷ, φησί, προσάγοντες τὰς ἀπαρχὰς τῶν ὄντων. b ($BCE^3E^4$)

*Did.* *b*. ⟨τιμήσουσι:⟩ Ἀρίσταρχος „τιμήσονται". $A^{int}$

*ex.* | *D* | *Ariston.* 156 *a*. καί οἱ ὑπὸ σκήπτρῳ ⟨λιπαρὰς τελέουσι θέμιστας⟩: καὶ ὑπ' αὐτοῦ βασιλευόμενοι εἰρηνικῶς βιώσονται. | ὅσα δεῖ βασιλέα ——— λαμπροὺς φόρους τελέσουσιν. | ἡ διπλῆ δέ, ὅτι χρόνος ἐνήλλακται, τελέουσι ἀντὶ τοῦ τελέσουσιν. A

*ex.* | *Ariston.* | *ex.* *b*. καί οἱ ὑπὸ σκήπτρῳ λιπαρὰς τελέουσι θέμιστας: οὐ στασιαζόντων, ἀλλὰ πειθαρχούντων ἀνδρῶν ἄρξει. b($BCE^3E^4$) T | τελέουσι δὲ ἀντὶ τοῦ τελέσουσιν. | λιπαρὰς δὲ τὰς θέμιστας καλῶν τοῦτο δηλοῖ ὅτι τὸ κρίνειν καλῶς εὐδαιμονίαν ἄγει. b($BE^3E^4$) T

*Did.* 158 $a^1$. ⟨δμηθήτω:⟩ παρὰ Ζηνοδότῳ καὶ Ἀριστοφάνει „καμφθήτω". $A^{im}$

$a^2$. Ἀριστοφάνης „καμφθήτω". $T^{il}$

*ex.* *b*. δμηθήτω· ⟨Ἀΐδης τοι ἀμείλιχος ἠδ' ἀδάμαστος⟩: διὰ τί οἱ μὲν ἄλλοι θεοὶ στρεπτοὶ λέγονται, τὸν δὲ Ἅιδην ἀνελεήμονά φησιν; ὅτι ἐκεῖνοι μὲν περὶ τῶν εἰς ἑαυτοὺς χαλεπαίνουσιν ἁμαρτημάτων (διὸ καὶ συγγινώσκουσιν), ὁ δὲ περὶ τῶν ἰδίων καὶ ἀλλοτρίων· διὸ ἀνελεής ἐστιν· ὅθεν ἐν οὐδεμιᾷ πόλει Ἅιδου βωμός ἐστιν. Αἰσχύλος (fr. 161 $N.^2$ = 279 $b^1$ M.)· „μόνος θεῶν γὰρ θάνατος οὐ δώρων ἐρᾷ, / οὐδ' ἄν τι θύων οὐδ' ἐπισπένδων λάβοις, / οὐδ' ἔστι βωμός, οὐδὲ παιωνίζεται". A b($BCE^3E^4$) T

Choer. Th. 2, 198, 11 154 ad K 216 *b* (Did.) διὰ τοῦ ἑτέρου (44) ad I 78 *a* (Aristarchus igitur πολύρηνες scripsit, cf. Ludwich, A. H. T. 1, 301, 16) 156 *a* ἡ διπλῆ (53) sq. ad A 163 *a*. B 286 (Ariston.) 158 *a* παρὰ Ζηνοδότῳ (59) cf. Duentzer, Zen. 123 *b* τὸν δὲ Ἅιδην (63) sq. at vide Plut. mor. 761 f ὅθεν (66) sq. cf. Eust. 744, 3 ὅθεν (66) — βωμός ἐστιν at vide Paus. 6, 25, 2

44 le. addidi (auctore Ldw.) 46 le. T suppl. Ma., om. b 50 le. add. Ldw. 51 le. A suppl. Vill. 53 sq. ἐννηλακται A em. Vill. 56 στασ. — ἄρξ. T στασιαζ. φησὶ (δέ φησι $E^4$) ἄρξαι ἀνδρῶν ἀλλὰ πειθαρχούντων καὶ τῷ σκήπτρῳ ὑπεικόντων b 57 τελ. δὲ ἀντὶ] τὸ δὲ τελέουσι ἀντὶ $E^4$ τελέσουσιν T ἀεὶ τελοῖεν b 58 καλ. πρὸς εὐδαιμ. Ma. (improbabiliter) 59 le. add. Vill. (ante sch. $a^2$ add. $V^c$) 62 le. A supplevi (auctore Vill.), om. bT 63—9 διὰ τί δὲ οἱ sq. pone sch. I 158—60 (coni. cum v. διὰ μέσου) T 63 ἄδην $ACE^3E^4$ 64 φησιν εἶναι Vill. 65 ὁ δὲ] οἱ δὲ A περὶ] καὶ περὶ BC 66 ἀνελεής C ἀνηλεής $BE^3E^4$ αἰτεγγής T καὶ ἄκαμπτοί A, ἀτεγγής Ma. ἐστιν] εἰσιν A ἐν om. A οὐδὲ μιᾷ $BCE^3$ ἄδου $AE^4$ 66 sq. αἰσχ. φησίν A, om. b 67 θεῶν γὰρ T γὰρ θεῶν b θεῶν A 68—9 οὐδ' ἄν τι — παιωνίζεται] οὐδ' (οὐδὲ C) ἐπιθυμεῖ σπονδῶν b οὐδὲ παιων. T οὐδ' ἐπαγωνίζεται A

c. ἀμείλιχος ἠδ' ἀδάμαστος: ἀμείλιχος ἀγοήτευτος, ἀδάμαστος ἀτεράμων, ὅ ἐστιν ἀκαμπής· δύο γάρ εἰσιν, οἷς πείθομεν, λόγῳ καὶ βίᾳ. διὰ δὲ τοῦ Ἄιδου ἐδήλωσεν ὡς, †ἐάν τίς ἐστιν ἀμείλιχος, βδελυρὸς ἔσται πᾶσιν. b(BCE$^3$E$^4$) T *ex.*

158—60. δμηθήτω ⟨———/ καί μοι ὑποστήτω⟩: ἀναγκαῖον μετὰ τὰ δῶρα παράκλησιν ἐπαγαγεῖν διὰ τὸ ὑπεκκλίνειν τὸ ἀλαζονικόν. b(BCE$^3$E$^4$) T | τὸ ἑξῆς δμηθήτω καί μοι ὑποστήτω, τὸ δὲ Ἀίδης τοι ⟨ἀμείλιχος ——— ἁπάντων⟩ (158—9) διὰ μέσου. T *ex.* | *Nic.*

159. τούνεκα καί τε βροτοῖσι ⟨θεῶν ἔχθιστος ἁπάντων⟩: φησὶν ὁ Ἀρίσταρχος ὅτι A ἔνιοι ὑποτάσσουσι τούτῳ „οὕνεκ' ἐπεί κε λάβῃσι πέλωρ ἔχει οὐδ' ἀνίησιν"· AT οὐκ εἶναι δὲ ἀναγκαῖον. A *Did.*

160—1. καί μοι ὑποστήτω, ὅσ⟨σ⟩ον βασιλεύτερός εἰμι / ἠδ' ὅσσον γενεῇ προγενέστερος: ὡσανεὶ δέησιν προσάγει τὴν ἡλικίαν καὶ τὸ σκῆπτρον, οἷς εἴκουσι καὶ μεγαλόφρονες. ἐξέφυγε δὲ τὸ ἐλεεινόν, εἴκειν αὐτὸν ἀξιῶν τοῖς μείζοσιν ἀξιώμασιν. b(BCE$^3$E$^4$) T *ex.*

160. ὅσσον βασιλεύτερός εἰμι: ὅτι τὸ ὅσσον οὐκ ἔστι πλήθους, ἀλλ' ἀντὶ τοῦ καθ' ὅσον εἰμὶ βασιλικώτερος. A *Ariston.*

161. ⟨ἠδ' ὅσσον γενεῇ προγενέστερος:⟩ καὶ ὁ Νέστωρ „ἄμφω ⟨δὲ⟩ νεωτέρω ἐστὸν ἐμεῖο" (A 259). T$^{il}$ *ex.*

164. διδοῖς: ὡς ὀρθοῖς. οὕτως καὶ Ἀρίσταρχος· καὶ γὰρ τὸ τρίτον „εἰ μὲν γὰρ μὴ δῶρα διδοῖ" (I 515 + 519). A *Hrd.*

*c* — βίᾳ (72) cf. Eust. 744, 2; — ἀκαμπής (71) cf. D, sch. Theocr. 2, 33—34 e/f 158—60 τὸ ἑξῆς (76) sq. cf. Eust. 743, 59; Classen, Beob. 15 159 ἔνιοι ὑποτάσσουσι (79) sq. cf. Duentzer, Zen. 159, 4 (versus fort. a Zenodoto adiectus); Valk II 478 160—1 ad I 392 *c* 160 ἀντὶ τοῦ καθ' ὅσον (87) ad Ξ 249 *b* (Hrd.), cf. sch. λ 189; sch. Hsd. opp. 40 a. Vide ad M 258 *c* (ex.), N 506 *b*. 613 *a* (ex.), Ξ 249 (Hrd.), 450. 488 *a* (ex.), O 166 (Ariston.), 642 *a* (ex.) 164 — ὀρθοῖς

**70—3** ἀμείλιχος² sq. pone sch. I 158—60 (coni. cum v. ἀλαζονικόν) b **70** ἀγοήτ. T δὲ ὁ ἀγοήτευτος καὶ b **71** ἀτερ. — ἀκαμπής om. b **72** malim λόγος καὶ βία (cf. Eust.) ἐάν] εἰ Ma. τίς om. b ἐστιν] fort. ᾖ **73** ἔστ. πᾶσιν T τοῖς πᾶσιν ἔσται b **74** le. T supplevi, om. b **74—7** δμηθήτω: ἀν. sq. pone sch. I 159 (coni. cum v. ἀνίησιν) T, ἀναγκ. δὲ τὸ μετὰ pone sch. I 158 *b* (coni. cum v. σπονδῶν) b, huc traxi **75** τὴν παρακλ. b ὑποκλίνειν T **77** τοι Ma., τι T ἀμείλ. — ἁπάντων addidi **78** le. A suppl. Vill., δμηθήτω· ἀίδης τοι ἀμείλιχος T (scholio pone sch. I 156 *b* transposito) **79** ὑπ. τούτῳ A τοῦτο ὑποτάσσουσιν T **82** sq. le. καὶ μ. ὑπ. ὅσον βασ. εἰμι καὶ γεν. προγ. T em. Ma., om. b (ubi sch. ad I 160 relatum est) **85** ἀξιῶν T ἀπαιτῶν b **86** ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **87** βασιλεύκότερος (super ευ ss. ï) A em. Bk. **88** le. addidi (ἠδ' — γεν. add. Bk., προγ. add. V$^c$) **89** δὲ addidi **91** εἰ — δῶρα ⟨φέροι⟩ Hom. (I 515), ⟨νῦν δ' ἅμα τ' αὐτίκα πολλὰ⟩ διδοῖ Hom. (I 519)

*Ariston.* 165 *a*. {ἀλλ' ἄγετε} κλητοὺς ⟨ὀτρύνομεν⟩: ὅτι τοὺς ἀπὸ τοῦ καλεῖσθαι αἱρουμένους. καὶ ἐν 'Οδυσσείᾳ (ρ 386)· „οὗτοι γὰρ κλητοί γε". καὶ τὸ ὀτρύνομεν ἀντὶ τοῦ ὀτρύνωμεν. A

*ex.* *b*.[1] κλητοὺς ὀτρύνομεν: τοὺς ἐξ ὀνόματος πρέσβεις. καλῶς δὲ πρέσβεις πέμπει, ὅπως ἢ πείσωσιν ἢ πρᾳότερον αὐτὸν ἀπεργάσωνται. b(BCE$^3$E$^4$) T

*ex.* | *D* *b*.[2] πρέσβεις | ἐπιλέκτους ἢ ἐξ ὀνόματος †καλέσαντες. A$^{int}$

*ex.* *c*. τάχιστα: διὰ τὸν ἐπείγοντα καιρὸν τῆς νυκτός. b (BCE$^3$E$^4$) T

*Did.* 167 *a*. ⟨ἐγώ:⟩ 'Αρίσταρχος ἐγώ, ἄλλοι δὲ „ἐγών". A$^{im}$

*ex.(?)* *b*. ⟨ἐπιόψομαι:⟩ φησὶν ἐπικρινῶ τοὺς ἀποσταλησομένους. T$^{il}$

*Hrd.* | *D* *c*. οἱ δέ: βαρυτονητέον· δύο γὰρ μέρη λόγου, ἀντὶ τοῦ οὗτοι δέ. εἰσὶ δὲ οἳ προπεριέσπασαν, οὐκ εὖ· χρεία γάρ ἐστι τοῦ δέ συνδέσμου. | ἐζήτηται δέ, πῶς μᾶλλον ——— ἕνα καὶ δύο. A

*ex.* | *Did.* | *Hrd.* *d*. εἰ δ' ἄγε, τοὺς ἂν ἐγὼ ἐπιόψομαι, ⟨οἱ δὲ πιθέσθων⟩: αὐτὸς οὐκ ἄπεισιν ἢ διὰ τὸ γῆρας — „Νεστορέῃ" γοῦν „παρὰ νηΐ" (B 54) —, ἢ καὶ ὑποπτεύεσθαι παρὰ τῷ 'Αχιλλεῖ νομίζει ὡς ἐκπληρῶν τὴν αὐτοῦ ἀπουσίαν, τοῦτο μὲν τῇ διατάξει τοῦ στρατοῦ, „ὡς φρήτρη φρήτρηφιν ἀρήγῃ" (B 363), τοῦτο δὲ τάφρον περιβαλλόμενος καὶ τεῖχος, ὃ καὶ 'Αχιλλεὺς ὀνειδίζει „ἦ μὲν δὴ μάλα πολλὰ πονήσατο νόσφιν ἐμεῖο, / καὶ δὴ τεῖχος ἔδειμε" (I 348—9)· b(BCE$^3$E$^4$) T ἢ ὅτι εἶπεν „τούσδε δ' ἔα φθινύθειν ἕνα καὶ δύο" (B 346). εἰ δὲ ἐν τῷ ἐπιταφίῳ (cf. Ψ 616—50) φιάλην αὐτῷ ἐδωρήσατο, οὐδὲν θαυμαστόν, εἰ τὴν ἔχθραν καταθέμενος τὴν πρὸς τὸν 'Αγαμέμνονα λύει καὶ τὴν πρὸς Νέστορα ὑποψίαν. ἢ ἀδήλου ὄντος, εἰ πείσειε, καλῶς ἑτέρους ἔπεμψεν· πεισάντων γὰρ ἤμελλεν αὐτὸς ἔχειν τὴν δόξαν †ὡσεὶ ἡγησά-

(90) cf. Eust. 744, 20, vide sch. α 313 **165** *a* καὶ τὸ ὀτρύνομεν (94) sq. ad A 141 (Ariston.) **167** *b* ἐπικρινῶ (7) = D, cf. Wackernagel II 1238 *c* — οὗτοι δὲ (9) ad Π 445 *c*, vide ad Π 85 *a*/*b* (Hrd.) εἰσὶ δὲ οἳ προπεριέσπασαν (10)

---

**92** (le.) ἀλλ' ἄγετε delevi, ὀτρ. add. Vill. ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **1** πρέσβ. πέμπει T πρεσβείαν ἀποστέλλει **b** ὅπως T ἵνα **b** αὐτὸν post πείσ. **b** **1** sq. ἐργάσωνται **b** **3** καλ.] κεκλημένους D **4** le. scripsi, τάχιστα ἔλθωσι T, τάχιστα δὲ (pone sch. *b*[1], coni. cum v. ἐργάσωνται) **b** καιρ. post νυκτός **b** **6** le. (= A$^{cont}$) add. Vill. ἐγών = vulg. **7** le. add. Bk. **12** sq. le. T supplevi (auctore Vill.), om. **b** **13** sq. νεστ. — νηΐ om. **b** **14** καὶ om. **b** **18** ἔδειμεν **b** **19** τούσδε **b** τοὺς T **21** ἀποθέμενος **b** (cf. Valk I 520) τὸν om. **b**, fort. recte **23** ἔμελλεν **b** **23** sq. ὡς ἡγησάμενος T, ὡς εἰσηγησάμενος Bk. (recte)

μενος†, ἀποτευχθείσης δὲ τῆς ἱκεσίας αἰτίαν εἶχον οἱ πρέσβεις ἐνδεῶς
διειλεγμένοι. b(BE$^3$E$^4$) T ἢ συμπεριλαμβάνοι ἑαυτὸν Ἀγα-
μέμνονι ἐντευξόμενον. | τὸ δὲ ἐγὼ ἄνευ τοῦ ν̄. | δύο δὲ μέρη λόγου τὸ
οἱ δέ, ἵν' ᾖ οὗτοι δέ. T

*e.* ⟨οἱ δὲ πιθέσθων:⟩ λεληθότως ἑαυτὸν τῆς πρεσβείας *ex.*
ὑπεξέκλεψεν. T$^{il}$

168 *a.* Φοῖνιξ μὲν πρώτιστα ⟨Διῒ φίλος ἡγησάσθω⟩: ὅτι ὁ *Ariston.*
Φοῖνιξ προέρχεται καὶ οὐ συμπρεσβεύει τοῖς περὶ τὸν Ὀδυσσέα ὥστε
μὴ συγχεῖσθαι διὰ τῶν ἑξῆς τὰ δυϊκά. A

*b.* Φοῖνιξ μὲν ⟨πρώτιστα Διῒ φίλος ἡγησάσθω⟩: ἀπὸ *ex.*
τῆς Ἀχιλλέως σκηνῆς δεῖ νοεῖν ἥκειν τὸν Φοίνικα ὡς ἐπὶ θέαν τῆς
μάχης, ὅτι ἐδόκουν ἐν ἐσχάτοις εἶναι κινδύνοις συνελασθέντες εἰς τὸ
τεῖχος, κἀνταῦθα γενόμενον κατασχεθῆναι ὑπὸ τῶν ἀριστέων εἰς τὴν
εὐωχίαν· b(BCE$^3$E$^4$) T ἐθεράπευον γὰρ αὐτὸν ὡς τροφέα Ἀχιλ-
λέως. ἴσως δὲ καὶ συμβιβάσαι αὐτοὺς θέλων παρῆν καὶ ἰάσασθαι τὴν
ὀργὴν Ἀχιλλέως. πέμπεται οὖν ὁ Φοῖνιξ οὐχ ὡς πρεσβευτής — δύο
γὰρ ἦν ἔθος πρεσβεύειν, ὡς „ἄνδρε δύω κρίνας" (ι 90) καὶ „ἀγγελίην
ἐλθόντα σὺν ἀντιθέῳ Ὀδυσῆι" (Λ 140) —, ἀλλ' ἵνα τοῖς πρεσβευταῖς
συλλάβηται· διό φησιν Φοῖνιξ ἡγησάσθω, ὡς ἐκεῖθεν ἥκοντος αὐ-
τοῦ καὶ πάλιν ἐπανελθεῖν ἀνάγκην ἔχοντος, ὅπου καὶ μὴ πρεσβεύσαν-
τός φησιν· „Ἀτρείδῃ ἥρωϊ φέρων χάριν" (I 613) καὶ „Φοῖνιξ δ' αὖθι
παρ' ἄμμι μένων κατακοιμηθήτω" (I 427), ὡς μέλλοντος αὐτοῦ ἐπαν-
ιέναι πρὸς Ἀγαμέμνονα καὶ ἀπαγγεῖλαι, ἃ ἤκουσεν. b(BE$^3$E$^4$) T

169 *a.* αὐτὰρ ἔπειτ' Αἴας τε μέγας ⟨καὶ δῖος Ὀδυσσεύς⟩: *Ariston.*
ἡ διπλῆ, ὅτι τὸ ἔπειτα Ἀρίσταρχος ἀντὶ χρονικοῦ παραλαμβάνει,
ἀντὶ τοῦ μετὰ ταῦτα, ὡς καὶ „Ἑρμείας μὲν ἔπειτα" (κ 307)· βούλεται
γὰρ πρῶτον τὸν Φοίνικα ἀπεληλυθότα εἰς τὸ σκήνωμα, εἶτα τὸν
Ὀδυσσέα καὶ τὸν Αἴαντα ὡς πρεσβεύοντας. ὁ δὲ Κράτης τὸ ἔπειτα ἀντὶ
τοῦ δή συνδέσμου λαμβάνει. A

cf. sch. ξ 89 *d* brevius Eust. 745, 7 **168** *a* ad I 182 (Ariston.) *b* multo brevius Eust. 744, 50, cf. D ad I 167 ἀλλ' ἵνα (41) — συλλάβηται (42) ad I 182 (Ariston.) **169** fort. exstabat sch. Didymi notam Aristarchi de verbo μέγας continens, quam ille etiam ad B 111 in testimonium vocavit *a* ad Λ 93.

---

**24** ἀποπεμφθείσης T ἔσχον b ὡς ἐνδεῶς Ma. **25** συμπεριλαμβάνει Bk., nescio an rectius **26** ἐντευξάμενον Bk., del. Ma. **28** le. add. Ma. **30** le. A suppl. Vill. ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **33** le. T supplevi (auctore Vill.), om. b **35** ἐν ἐσχάτ. — κινδ. T εἶναι ἐν δεινοῖς b **36** ἀρίστων B **39** ὀργὴν T ἀργίαν BE$^3$ ἀρ[ (absc.) E$^4$ **40** ὡς om. b ἄνδρ̋ T **41** ἀντ. ὀδ. (ὀδυσσῆι TV em. Bk.) T, ἀρηϊφίλῳ μενελάῳ BE$^3$ ἀ[...]φιλ(ω) μενελ[ (absc.) E$^4$ **42** φοῖνιξ om. b **44** φησιν sc. Achilles **45** ἄμμι b ἄμιν T **46** πρὸς ἀγαμέμνονα om. BE$^4$ ἃ absc. in E$^4$ **47** le. A supplevi (τε Vill., τὸ A)

*ex.* *b.* Αἴας τε μέγας καὶ δῖος Ὀδυσσεύς: καὶ τούτων ἠπείλησεν Ἀγαμέμνων τὸ γέρας λαβεῖν, b(BCE$^3$E$^4$) T „ἢ τεὸν ἢ Αἴαντος ἰὼν γέρας ἢ Ὀδυσῆος“ (A 138). T πρεσβεύουσιν οὖν οἱ συνυβρισθέντες καὶ μὴ μνησικακήσαντες, ἵνα δυσωπήσωσιν αὐτόν. b(BCE$^3$E$^4$) T

*ex.* *c.* Αἴας τε μέγα⟨ς καὶ δῖος Ὀδυσσεύς⟩: ἕκαστον ὑποθωπεύει τῶν ἀπιόντων. b(BCE$^3$E$^4$) T

*ex.* **170** *a.* κηρύκων δ' Ὀδίος τε καὶ Εὐρυβάτης: ἵνα δηλωθῇ ὅτι δημοσία ἡ πρεσβεία. Ταλθύβιος δὲ οὐ πέμπεται ὡς Ἀγαμέμνονος ὤν. b(BE$^3$E$^4$) T

*Ariston.* *b.* {κηρύκων ὁδίος τὲ καὶ} Εὐρυβάτης: ὅτι οὐ τὸν Ἀγαμέμνονος (cf. A 320) ὑποληπτέον νῦν λέγεσθαι, ἀλλὰ τὸν Ὀδυσσέως (cf. B 184), ἐπεὶ κἂν ἐξωργίσθη τῆς δι' αὐτοῦ γενομένης ἀφαιρέσεως ὑπομνησθείς. A

*Ariston.* | *Did.* *c.* ⟨ἐπέσθων:⟩ ἀντὶ τοῦ ἐπέσθωσαν. | γράφεται δὲ καὶ χωρὶς τοῦ ν̄. A$^{im}$

*Ariston.* **171.** ⟨φέρτε:⟩ ὅτι συγκέκοπται ἀντὶ τοῦ φέρετε. A$^{int}$

*ex.* **172.** ὄφρα Διὶ ⟨———⟩ ἀρησόμεθα: ὅτι δεῖ ἐν παντὶ καιρῷ ἐκ θεῶν ἄρχεσθαι, μάλιστα δὲ ἐν κινδύνοις· οὕτω γὰρ ἥδιον ἐπὶ τὴν πρᾶξιν ὁρμῶμεν καὶ οὐδὲν ἑαυτοῖς ἀποτυχόντες ἐγκαλοῦμεν. ὕψωσε δὲ τὸ πρᾶγμα, εἴ γε συμπρεσβευτὴν αἱροῦνται Δία. b(BCE$^3$E$^4$) T

*Ariston.* **180** *a.* δενδίλλων ⟨ἐς ἕκαστον, Ὀδυσσῆϊ δὲ μάλιστα⟩: ὅτι παρόντος τοῦ Φοίνικος ἔτι ταῦτα ὁ Νέστωρ ποιεῖ· διὸ καὶ ἁρμόσει τὸ ἐς ἕκαστον πληθυντικῶς εἰσενηνεγμένον (καὶ οὐκ εἰς ἑκάτερον, ὅπερ ἐπὶ δύο τίθεται) καὶ τὸ μάλιστα ὑπερθετικῶς εἰρημένον. A

*ex.* *b.* δενδίλλων ἐς ἕκαστον, ⟨Ὀδυσσῆϊ δὲ μάλιστα⟩: ἀντὶ

N 586. Ψ 551; cf. Lehrs Ar.$^3$ 150; vide ad Ξ 129 *b* πρεσβεύουσιν (55) sq. cf. Eust. 745, 3 **170** *a* — πρεσβεία (61) cf. Eust. 745, 15 *b* fort. excidit pars scholii Aristonici de nomine Ὀδίος, ad B 856 (Ariston.) τὸν Ὀδυσσέως (64) ad A 320. B 184 (Ariston.) *c* ad B 438 (Ariston.) **171** συγκέκοπται ad B 582. Ω 174 (Ariston.), cf. Eust. 745, 25 φέρετε = D **180** *b* ad Γ 1 *b* (ex.)

---

**53** sq. ἠπείλ. ἀγαμ. — λαβεῖν T ἠπείλησε τὸ γέρας ἀφελέσθαι ἀγαμέμνων b **55** ὀδυσσῆος T em. Ma. οἱ T, ὡς b (fort. rectius) **58** le. T (coni. cum scholio *b*) supplevi, om. b **58—9** ἕκαστον δὲ sq. coni. cum scholio *b* (v. αὐτόν) b ὑποθωπ. pone ἀπιόντων b **60** ἵνα T καὶ κήρυκες συμπαραγίνονται ἵνα b **61** πρεσβεία ἐστί b **61** sq. οὐ πεμπ. sq. T οὐδέποτε (οὐ E$^4$) παραγίνεται, ὅτι ἀγαμέμνονός ἐστιν ὑπηρέτης b **63** (le.) κηρ. ὀδ. τὲ καὶ damn. Bk. ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **64** λέγ. κήρυκα Roe. (non necessarium) **67** le. add. Vill. **69** le. add. Ddf. ὅτι A, fort. ἡ διπλῆ, ὅτι **70** le. T suppl. Ma., om. b **71** ἥδιον T, προθυμότερον b (fort. rectius) **73** αἱρ. T ἔχουσι b **74** le. A suppl. Vill. **75** ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **76** εἰσενινεγμένον A em. Vill., ἐξενηνεγμένον Frdl. **78** le. T supplevi, om. Ab ἀντὶ T, ἕκαστον δὲ ἀντὶ sq. pone sch. *c* (coni. cum v.

τοῦ ἑκάτερον· b(BE$^3$E$^4$) T οὐ γὰρ παρῆν Φοῖνιξ, ἐπεὶ καταισχύνεται διὰ τοῦ Ὀδυσσῆϊ δὲ μάλιστα. A b(BE$^3$E$^4$) T

*c.* ἄλλως· δενδίλλων: κατὰ τὸ δέον διαστρέφων τοὺς ὀφθαλμοὺς καὶ οἷον τῇ ὄψει ἱκετεύων ὡς ἐπὶ σωτηρίᾳ τοῦ παντὸς στελλομένους. b(BCE$^3$E$^4$) T *ex.*

⟨δενδίλλων:⟩ διανεύων τοῖς ὀφθαλμοῖς. A$^{int}$ *D*

182. τὼ δὲ βάτην: ὅτι ἐπὶ Ὀδυσσέως καὶ Αἴαντος τὸ δυϊκόν· κεχώρισται γὰρ ὁ Φοῖνιξ μετὰ τὴν Νέστορος ἐντολήν, οὗτοι δὲ μετὰ ταῦτα. | ζητοῦμεν δὲ εἰ καὶ Φοῖνιξ ——— „τὼ κούρω κριθέντε †δύο† καὶ πεντήκοντα" (θ 48). A *Ariston.* | *D*

183 *a.* εὐχομένω γαιηόχῳ: τὸ γὰρ παρὸν εἰς μνήμην ἕτοιμον. καὶ Εὔμαιος θύει ταῖς Νύμφαις (cf. ξ 435—6) καὶ Ἕλληνες ἐπικαλοῦνται τὸν Ἰδαῖον Δία (cf. Γ 320. Η 202), καὶ νῦν δὲ Ποσειδῶνα, ὅτι ἐπίκουρος τῶν Ἀχαιῶν· ἢ ὅτι Νηρηΐδος παῖς ἐστιν Ἀχιλλεύς, τῶν δὲ ἐναλίων θεῶν οὗτός ἐστι βασιλεύς. b(BCE$^3$E$^4$) T *ex.*

*b.* ⟨εὐχομένω γαιηόχῳ:⟩ ἐπεὶ παρὰ θάλασσαν ἐβάδιζον, διὰ τοῦτο τῷ Ποσειδῶνι εὔχονται. A$^{int}$ *ex.*

184. ῥηϊδίως πεπιθεῖν ⟨μεγάλας φρένας Αἰακίδαο⟩: περισπαστέον· δεύτερος γὰρ ἀόριστός ἐστιν. A$^{im}$ b(BCE$^3$) T | τὸ δὲ μεγάλας φρένας εὐκαίρως· οὐ γὰρ ἔπεισαν. b(BCE$^3$) T *Hrd.* | *ex.*

*c* — ὀφθαλμοὺς (82) cf. Ap. S. 57, 15; sch. Ap. Rh. 3, 281 a; Et. Gen. (= EM. 255, 50, Et. Gud. 345, 10 Stef.); vide Poll. 2, 52 διαστρέφων (81) cf. Schem. Hom. 33 **182** ad I 168. 192. 197. 520. 656 *b*. 657 *b* (Ariston.), cf. D, Ep. Hom. (An. Ox. 1, 96, 10): βάτην· ὥσπερ τὸ „κούρω δὲ κριθέντε δύω καὶ πεντήκοντα" (θ 48) πρὸς τὸ δύω τὸ δυϊκόν, οὐ πρὸς τὸ πεντήκοντα (cf. sch. θ 48), οὕτως καὶ τὸ „τὼ δὲ βάτην παρὰ θῖνα" πρὸς τὸ Ὀδυσσέα καὶ Αἴαντα· ὁ γὰρ Φοῖνιξ προῄει· τριῶν γὰρ ἀπεσταλμένων, Φοίνικος Αἴαντος Ὀδυσσέως, δυϊκῶς εἶπε τὸ βάτην. ὅτι δὲ τὸν Φοίνικα πρῶτον ἀπελθεῖν ἐκέλευσεν, δῆλον, „Φοῖνιξ μὲν πρώτιστα Διῒ φίλος ἡγησάσθω" (I 168)· εἰ γὰρ καὶ μετ' αὐτῶν ἦν, οὐ προηγήσατο ἂν αὐτὸς Ὀδυσσεύς· οἰκειότερος γὰρ Ἀχιλλῆϊ ὁ ἥρως· ἐπάγει γὰρ „ἡγεῖτο δὲ δῖος Ὀδυσσεύς" (I 192). φασὶν οὖν ὅτι οὐ πρὸς τὸ τρεῖς τὸ δυϊκόν, ἀλλὰ πρὸς τοὺς δύο· τούτου οὖν ἤδη ἀπελθόντος λοιπὸν περὶ τῶν δύο εἶπεν (cf. Ariston.). ὑπέλαβον δέ τινες ταῦτα τὰ δυϊκὰ εἰλῆφθαι ἀντὶ τῶν πληθυντικῶν (cf. D) **184** — ἐστιν (2) ad Α 100. Ο 26 *b* (Hrd.), cf. Choer. Th. 2, 134, 24. 224, 32, Ep. Hom. (An. Ox. 1, 377,

ἐσταλμένους) b **79** οὐ γὰρ sq. pone sch. *a* (coni. cum v. εἰρημένον) A **80** τοῦ] τὸ A **81** ἄλλως et le. om. b (ut semper) **82** σωτηρίαν (cp.) b **83** ἐσταλμένους b **84** le. add. Ddf. **85** ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **89** ἕτοιμον b (susp.; an ab auctore hyparchetypi b additum?), om. T, fort. ἄγει sim. **90** θύει b, om. T **91** νῦν δὲ ποσ. b, om. T **92** ἢ] καὶ C νηρεΐδος T **94** le. addidi (auctore Vill.) **95** τῷ Vill., τὸ A **1** le. T supplevi (auctore Vill.), om. Ab **1** sq. περισπ. τὸ πεπιθεῖν b **2** γάρ ἐστιν ἀόρ. b **3** φρένας om. b

Did.(?) **185.** ⟨ἱκέσθην:⟩ γράφεται „ἵκοντο". A$^{il}$

ex. **186.** φρένα τερπόμενον ⟨φόρμιγγι λιγείῃ⟩: οὐκ ἀνοίκειον τῷ ἥρωϊ νυκτὸς οὔσης γυμνάζεσθαι μᾶλλον τὰ μουσικὰ καὶ μὴ διαπαννυχίζειν· παραμυθία γὰρ τοῦτο θυμοῦ καὶ λύπης. ἔστι δὲ νέος καὶ φιλόμουσος καὶ λάφυρον ἔχων τὴν κιθάραν· καὶ οὐ θηλυδριώδη μέλη, ἀλλὰ κλέα ἀνδρῶν ᾄδει, b(BCE$^3$E$^4$) T καὶ ἑσπέρας καιρός. T ἢ οἰόμενος ἥξειν αὐτοὺς σοβαρεύεται. καλῶς δὲ ἀπούσης τῆς ἐρωμένης ᾄδει, ὅπως μὴ δοκοίη κωμάζειν. ἢ ὅτι πεφρόντικε μὲν τῆς τῶν Ἑλλήνων ἀσφαλείας, προσποιεῖται δὲ καταφρονεῖν· φησὶ γοῦν· „δῖε Μενοιτιάδη, / νῦν ὀΐω περὶ γούνατ' ἐμὰ στήσεσθαι Ἀχαιούς" (Λ 608—9), καὶ πάλιν· „ὄρσεο, διογενὲς Πατρόκλεις, ἱπποκέλευθε. / λεύσσω δὴ παρὰ νηυσὶ πυρὸς δηΐοιο ἐρωήν" (Π 126—7). b(BCE$^3$E$^4$) T οὐκ ἤθελε δὲ ἀργῶν σώματι καὶ ψυχῇ ἀργεῖν, ἀλλ' ἡτοίμαζεν αὐτὴν πρὸς τὰς πράξεις καὶ ἐπ' εἰρήνης τὰ τοῦ πολέμου μελετᾷ, ὡς καὶ οἱ Μυρμιδόνες (cf. B 773—9). b(BE$^3$E$^4$) T

D **187.** ζυγόν: ζυγὸς ὁ πῆχυς ——— παρὰ τὸ κεκολλῆσθαι. A

Ariston. **188** *a*. τὴν ἀρετ' ἐξ ἐνάρων: ὅτι ἀστεῖον τὸ μὴ οἴκοθεν κομίσαι ὥσπερ μέλλοντα ἐν πολέμῳ ἄνεσιν ἔχειν, ἀλλ' ἐκ τῶν λαφύρων ἀνηρῆσθαι ἁρμόνιον καὶ οὐκ ἄμουσον. A

D | ex.(?) | D *b*. ἄλλως· πιθανῶς ἔφη ἐκ λαφύρων κεκτῆσθαι τὴν κιθάραν τὸν Ἀχιλλέα· | ἀνοίκειον γὰρ εἰς πόλεμον ἥκοντα κιθάραν ἐπικομίζεσθαι. | εὑρόντα οὖν, φησίν, παρελθεῖν ὡς ἄμουσον ἀπρεπὲς ἦν. A

ex. *c*. τὴν ἀρετ' ἐξ ἐνάρων: ἵππον διὰ πόλεμον, δίσκον (cf. Ψ 826—9) καὶ κιθάραν πρὸς σωματικὴν καὶ ψυχικὴν γυμνασίαν εἶχεν. σύντροφον δὲ ὄργανον εὑρὼν οὐ παρῆκεν· οὐ γὰρ οἴκοθεν εἵλετο. καὶ ἴσως Ἑλληνικὸν ἄνδρα εὑρὼν Ἠετίωνα σὺν τοῖς ὅπλοις ἐκήδευσε (cf. Z 418) καὶ τοῖς ἐκείνου χρῆται. b(BCE$^3$E$^4$) T

10. 348, 8) **186** cf. Porph. 1, 134, 25 παραμυθία (7) — θυμοῦ cf. Sext. Emp. adv. math. 6, 10, Athen. 14, 624 a (= Chamael. fr. 4 We.), Ael. v. h. 14, 23; Hor. epod. 13, 17 καὶ οὐ θηλυδριώδη (8) — ᾄδει (9) cf. Eust. 745, 48, aliter Stat. silv. 4, 4, 35 ἡτοίμαζεν (16) sq. Stat. silv. 4, 4, 36 **188** *c* — εἶχεν (27)

**4** le. add. Vill. γράφ. cp. (γρ) A **5** le. T supplevi (auctore Bk.), om. **b**; πορφυρίου errore inductus praefixit Le (cf. Porph. 1, 134, 29), sed om. ante fr. Porph. 1, 134, 25 οὐκ ἀν. T οἰκεῖον **b** **6** καὶ μὴ T ἀλλὰ μὴ **b** **7** παραμύθια Bk. τοῦτο T ταῦτα **b** **11** δοκῇ Ma., at vide ad H 114$b^2/a^2$ **13** στήσ. ἀχ. T, λίσσεσθαι ἀχαιούς **b**, στήσεσθαι ἀχαιοὺς / λισσομένους Hom. **14** λεύσω T δὴ] γὰρ C **15** πυρὸς om. T **20** ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **27** εἶχεν Ma., εἶχον **b**, om. T

**189** *a*. ⟨ἔτερπεν:⟩ ἀντὶ τοῦ ἔτρεπεν. T[il] *ex.*

*b*. κλέα ἀνδρῶν: ὅτι ἀειμνήστους δεῖ τοὺς ἀγαθοὺς εἶναι· οἱ γὰρ ἀοιδοὶ διὰ τῶν παλαιῶν ἱστοριῶν τοὺς ἀκούοντας ἐσωφρόνιζον. προσέθηκε δὲ τὸ ἀνδρῶν, ἐπειδὴ καὶ θεῶν ᾄδουσι γάμους. A **b** (BCE[3]E[4]) T *ex.*

**190** *a*. Πάτροκλος δέ οἱ ⟨οἶος ἐναντίος ἧστο σιωπῇ⟩: ὅτι οὐ μόνος ἐν τῇ κλισίᾳ, ἀλλὰ μόνος Αἰακίδην δεδεγμένος ἀντίος ἧστο· καὶ γὰρ Αὐτομέδων ἐπὶ τῆς κλισίας ἦν (cf. I 209), ὁμοίως καὶ ὁ Φοῖνιξ (cf. I 223). A *Ariston.*

*b*. Πάτροκλος δέ ⟨οἱ⟩ οἶος ⟨ἐναντίος ἧστο σιωπῇ⟩: ἡδεῖα γὰρ ἐπίδειξις ἡ ἐπὶ τῶν φίλων. ἤτοι δὲ μόνον αὐτὸν καθέζεσθαι λέγει ἢ μόνον ἐναντίον παρὰ τοὺς ἄλλους Μυρμιδόνας. καὶ ὅτι ἐν ἡσυχίᾳ δεῖ ἀκροᾶσθαι μουσικῆς. **b**(B, C [bis], E[3]E[4]) T *ex.*

**191.** ⟨δέγμενος:⟩ γράφεται καὶ „δέχμενος“ διὰ τοῦ χ. A[im] *Did.*

**192** *a*. τὼ δὲ βάτην ⟨προτέρω, ἡγεῖτο δὲ δῖος Ὀδυσσεύς⟩: ὅτι ἐπὶ Ὀδυσσέως καὶ Αἴαντος τὸ δυϊκόν· παρόντος γὰρ τοῦ Φοίνικος ἀπίθανον λέγειν ἡγεῖτο δὲ δῖος Ὀδυσσεύς. A *Ariston.*

*b*. βάτην προτέρω: καὶ ἐπὶ χρόνου „καί νύ κ' ἔτι προτέρω“ (Ψ 490). δίχα τοῦ ῑ δὲ τὸ προτέρω· ἀπὸ γὰρ τοῦ προσωτέρω συγκέκοπται. T *ex.*

**193** *a*. ταφὼν ⟨δ' ἀνόρουσεν Ἀχιλλεύς⟩: ἢ διὰ τὸ φίλον ἢ διὰ τὸ χαίρειν ἐπὶ τῇ προσδοκωμένῃ πρεσβείᾳ ἢ διὰ τὸ νυκτὸς αὐτοὺς παρεῖναι. **b**(BCE[3]E[4]) T *ex.*

*b*. ταφών: Ἰωνικῶς λέγεται κατὰ τροπὴν τοῦ θ εἰς τὸ τ· αὐτοὶ γὰρ τὰ δασέα εἰς ψιλὰ τρέπουσιν, οἷον θαπών ταφών, δευτέρου ἀορίστου ἀπὸ τοῦ θήπω ἐνεστῶτος, καὶ τὰ ψιλὰ εἰς δασέα, ὡς τὸ ἐπιορκῆσαι †φησίν†. οἱ αὐτοὶ δὲ καὶ τὸ Ἀθάμας κατ' ἀφαίρεσιν τοῦ ᾱ *Ep.Hom.(?)* | *D*

cf. Eust. 745, 60; Roemer, Ar. 187 **189** *a* cf. Eust. 745, 64 *b* cf. Dion. Chrys. or. 2, 31 **190** *a* — ἧστο (37) cf. Eust. 745, 56 καὶ γὰρ Αὐτομέδων (38) sq. ad I 209 ἐπὶ τῆς κλισίας (38) vide ad X 378 *b* καὶ ὅτι ἐν ἡσυχίᾳ (42) sq. cf. Eust. 745, 66 **191** ad Θ 296 *b* **192** *a* ad I 182 (Ariston.) *b* δίχα τοῦ ῑ (49) sq. ad Γ 400 *b* ἀπὸ γὰρ τοῦ (49) sq. ad E 672 *a*[2] **193** *b* — Αἰτίων (59) eadem fere Et. Gud. 522, 36 (pone D: ἐκπλαγείς, θαυμάσας. ἐκ τῶν τάφων — δεινόν), quod pendere vid. ex Ep. Hom. (cf. An. Ox. 1, 396, 31. 2, 417, 17; EM. 748, 54); — θαπών ταφών (55) cf. Eust. 746, 14; — θήπω (56) et ἐκ τῶν τάφων (59) sq. Et.

**31** le. add. V[c] **32** le. AE[4]T, om. BCE. **34** ἐπεὶ **b** **36** le. A suppl. Vill. ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **40** le. T supplevi (auctore Vill.), om. **b** **43** ἀκρ. μουσ. T τῆς μουσικῆς ἀκούειν **b** **44** le. add. Vill. γράφ. cp. (γρ) A δεχόμενος A corr. Vill. **45** sq. le. A suppl. Vill. **46** ὅτι A, ἡ διπλῆ, ὅτι Vill. ὀδυσσέος A em. Vill. **48** (le.) βάτην fort. delendum κ' ἔτι] κε δὴ Hom., cf. Ψ 526 **51** le. T supplevi (auctore Vill.), om. **b** ἢ prius om. **b** **52** αὐτοὺς T αὐτοὺς ἤδη οὔσης μέσης **b** **57** φησιν A, ἐφιορκῆσαί φασιν Et. Gud. (recte ut vid.)

καὶ τροπῇ τοῦ θ εἰς τὸ τ, Τάμμας λέγουσι· „Τάμμεω θυγατέρος“ Καλλίμαχος ἐν δευτέρῳ Αἰτίων (fr. 49). | ἐκ τῶν τάφων δὲ ἡ ——— τὸ μέλλον δεινόν. **A**

*D* | *Nic.* = *D* **194** *a*. αὐτῇ σὺν φόρμιγγι: στικτέον μετὰ τὸ φόρμιγγι ὡς ἔκπληξιν Ἀχιλλέως ὁρᾶσθαι ⟨ἀνα⟩πεπηδηκότος σὺν τῇ κιθάρᾳ. | τὸ ἡμιστίχιον δὲ δύναται καὶ τοῖς ἄνω καὶ τοῖς ἑξῆς προσδίδοσθαι, τό τε ἀναπηδῆσαι σὺν αὐτῇ τῇ κιθάρᾳ καὶ ἀπολιπόντα τὴν καθέδραν καὶ τὴν κιθάραν συναντῆσαι. βέλτιον δὲ τὸ πρότερον ὥστε τοῖς ἄνω συνάπτειν. **A**

*ex.(Nic.)* *b*.[1] αὐτῇ σὺν φόρμιγγι: ὧδε στικτέον· ὑπὸ γὰρ φιλοφροσύνης ἀπήντησεν αὐτοῖς οὕτως ὡς εἶχε, σὺν τῇ κιθάρᾳ. **b**(BCE$^3$E$^4$) **T** τινὲς δὲ ὑφ' ἓν αὐτῇ σὺν φόρμιγγι λιπὼν ἕδος, καὶ τὴν φόρμιγγα λιπὼν ὡς αἰδούμενος. **b**(BCE$^3$) **T**

*b*.[2] διχῶς ἡ στιγμή. **T**$^{il}$

*ex.* **195.** ⟨ἐπεὶ ἴδε:⟩ ὅτε εἶδεν Ἀχιλλεύς. **T**$^{il}$

*Did.(?)* **196** *a*. ⟨τώ:⟩ γράφεται καὶ „τούς“. **A**$^{im}$

*ex.* *b*. τὼ καὶ δεικνύμενος: δεξιούμενος λόγοις. ἐν ἄλλοις δὲ ἀντὶ τοῦ δεικνύς, „δεικνύμενος Δαναοῖσι“ (Ψ 701). **T**

*D* *c*. ⟨δεικνύμενος:⟩ δεξιούμενος, φιλοφρονούμενος. **b**(BCE$^3$E$^4$)

*Hrd.* | *Ariston.* **197** *a*. χαίρετον· ἦ φίλοι ἄνδρες ἱκάνετον· ἦ τι μάλα χρεώ: ἀμφοτέρους τοὺς συνδέσμους περισπαστέον· βεβαιωτικοὶ γάρ. **A** **b**(BCE$^3$E$^4$) **T**$^{il}$ | ἡ διπλῆ δέ, ὅτι χωρὶς τοῦ δυϊκῶς ἐσχηματίσθαι πρὸς Ὀδυσσέα καὶ Αἴαντα, καὶ τὰ τῆς διαθέσεως οὐκ ἐμφαίνει συμπαρόντα τὸν Φοίνικα· οὐ γὰρ ἂν οὕτως ἐκπλαγεὶς ἀνεπήδησεν, ἢ ἐδεξιοῦτο ὡς αἰφνιδίως παραγενομένους. **A**$^{int}$

Gen. (AB) ταφών· . . . ἔστι δὲ δεύτερος ἀόριστος (ἀόρ. δευτ. B) ἐκ τοῦ θήπω ἔθαπον καὶ (καὶ om. B) ἔταφον καὶ ταφών (B, ταφόν A) Ἰωνικῶς. ἡ δὲ μεταφορὰ ἐκ τῶν τάφων κτλ., fort. ex hyp. Iliad., cf. Eust. 746, 11 θαπὼν ταφών (55) cf. Ap. S. 149, 32 (Apion. fr. 131 B.); Schem. Hom. 98 **194** *a* totum sch. Nicanori attr. Valk I 215 n. 75; at cf. Friedl., Nic. p. 200. Ceterum alterum le. (sc. αὐτῇ σὺν φόρμιγγι) ante verba τὸ ἡμιστίχιον δύναται (62) sq. in D exstat **196** *b* ad Ψ 701, cf. Et. Gen. (AB) δεικνύμενος, sch. *c* δεικνύς (75) cf. EM. 260, 52 *c* cf. Eust. 746, 26; sch. δ 59 **197** *a* ἡ διπλῆ δὲ ὅτι (80) sq. ad I 182 (Ariston.)

---

**58** καὶ τροπῇ — τ A, καὶ διπλασιασμῷ τοῦ μ καὶ τροπῇ τοῦ θ εἰς τ Et. Gud. **59** αἰτίων Et. Gud., αἰτίω A **62** πεπηδ. A suppl. Vill. (cl. D) **63** προσδ. A, προσδίδοσθαι καὶ λόγον ἔχει ἀμφότερα Frdl. **64** κιθ. D (Vill.), καθέδρᾳ A **67** ὑπὸ γὰρ b ὑπὲρ T **70** λιπὼν T, φησὶν (cp., φασὶν Bk.) ἐκεῖσε καταλιπὼν b (fort. rectius) **72** le. add. Ma. **73** le. add. Bk. (Vill.) γράφ. cp. (γρ) A **76** le. addidi (auctore Bk.) καὶ δεξ. E$^4$ φιλοφρ. om. E$^4$ **78** sq. le. Vill., ἦ φίλοι ἦ τι μάλα χρεώ: A, om. bT (ἦ φίλοι ἄνδρες Li V$^c$) **79** βεβ. γάρ A βεβαιωτικοὶ (βεβαιοτικοὶ T) γάρ εἰσιν (εἰσι b) bT **82** ἀνεπίδησεν A em. Vill.

*b.* ⟨ἱκάνετον· ἦ τι μάλα χρεώ:⟩ Παρμενίσκος (fr. 3 B.) προφέρεται „ἱκάνετον ἡμέτερον δέ". $A^{int}$ *Did.*

*c.* ἦ τι μάλα χρεώ: ἀντὶ τοῦ τινά. „τί νύ μοι μήκιστα;" (ε 299) ἀντὶ τοῦ τίνα. T *ex.*

*d.* ἄλλως· ἦ τι μάλα χρεώ: τί ἀντὶ τοῦ τινός. b(BCE$^3$E$^4$) T οἱ δὲ ἀντὶ τοῦ ὄντως. T δυσωπεῖ δὲ αὐτοὺς ὡς παρὰ τὸν τῶν φίλων θεσμὸν δι' ἀνάγκην ἐλθόντας. οὐχ ὁμολογεῖ δὲ εἰδέναι τὰ περὶ τῆς ἐντεύξεως b(BCE$^3$E$^4$) T ἐναβρυνόμενος. T *ex.*

**198** *a.* ⟨οἵ μοι σκυζομένῳ περ Ἀχαιῶν φίλτατοί ἐστον:⟩ εἴωθε γὰρ ὁ θυμὸς παρορᾶν καὶ τὸ πρὸς φίλους δίκαιον. $T^{il}$ *ex.*

*b.* ⟨φίλτατοι:⟩ καὶ ἐνθάδε τινὲς δυϊκῶς, „φιλτάτω". $A^{il}$ *Did.*

**199.** ⟨ὣς ἄρα φωνήσας προτέρω ἄγε δῖος Ἀχιλλεύς:⟩ Ἑλληνικὰ πάντα, καὶ τὸ μὴ ἐκείνους πρῶτον ἐνάρξασθαι. $T^{il}$ *ex.*

**202** *a.* καθίστα: ὡς καθίστανε τὸ πλῆρες, οὕτως καὶ ἐπὶ τῆς ἀποκοπῆς. εἰσὶ δὲ οἳ ἐκτείνουσιν, ἀπὸ τοῦ ἱστῶ τὴν κλίσιν παραλαμβάνοντες. A *Hrd.*

*b.* καθίστα: κίρνα, ὅμοιον τῷ „κρητῆρα στήσασθαι ἐλεύθερον" (Z 528). φιλοφρονεῖται δὲ αὐτοὺς καταισχύνων Ἀγαμέμνονα. T *ex.*

**203** *a.* ζωρότερον: ἀκρατότερον, παρὰ τὸ ζῆν. οἱ δὲ ἀντὶ τοῦ ταχύτερον. ἢ ἴσως, b(BCE$^3$E$^4$) T ἐπεὶ οἱ ξένοι ὕδωρ μὲν αἰτοῦσιν, οὐκέτι δὲ οἶνον, ἢ T ὡς μουσικὸς καὶ ὑδαρέστερον πίνων, ἀφ' ὧν ὀνειδίζει Ἀγαμέμνονι οἰνοφλυγίαν (cf. A 225). b(BCE$^3$E$^4$) T ἢ *ex.*

*b* cf. Ludwich, A. H. T. 1, 302, 9 ἡμέτερον δὲ (85) ad Σ 385. 424 (Did.) *d* οἱ δὲ ἀντὶ τοῦ ὄντως (89) cf. Eust. 746, 34: περιττὸν δὲ συνήθως τὸ τὶ ἐν τῷ „ἦ τι μάλα χρεώ", καθὰ καὶ ἐν τῷ οὔτι καὶ μήτι ἐγὼ καὶ ἀλλ' εἴτι χαίρεις καὶ τοῖς ὁμοίοις, originis incertae; Eust. 747, 6 **198** *b* ἐνθάδε cf. I 197 **202** *a* cf. Hrd. (παθ.) 2, 209, 5 *b* — κίρνα (5) = D ad I 203 **203** *a* — οἰνοφλυγίαν (11) cf. Eust. 746, 41; — ταχύτερον (9) cf. Ap. S. (?) ap. He. ζ 257; — ζῆν (8) cf. Or. 68, 5 (unde Et. Gen. = EM. 414, 33); Bechtel, Lex. 149; vide Schulze, Quaest. ep. 25, 5 ἀκρατότερον (8) cf. Ap. S. 81, 17, Plut. mor. 677 c. 678 b, imprimis 677 e (Zoil. fr. 12 Frdl. = FGrHist 71, 4), sch. Ar. Plut. 1132; I. Bernays, Theophrastos' Schrift über Frömmigkeit, Berol. 1866, 178; M. R. Arundel, Cl. Rev. 76, 1962, 109; D. O' Brien, ibid. 79, 1965, 2; M. L. West, ibid. 80, 1966, 135 οἱ δὲ ἀντὶ (8) — οἰνοφλυγίαν (11) cf. Porph. 1, 135, 13: ἀπρεπές· ὡς γὰρ ἐπὶ κῶμον ἥκουσιν

---

**84** le. addidi (auctore Ldw.) **85** δέ A, δὲ ὡς ἀριστάρχειον γραφὴν add. Schm., probavit Ldw. (vide ad Θ 513) **86** (le.) ἦ et μ. χρεώ fort. delenda τινά T, τινός Wil. (improbabiliter) μήκιστα γένηται Hom. **88** ἄλλως et le. om. b τί T, τὸ δὲ τί pone sch. *a* (coni. cum v. γάρ εἰσι) b **89** οἱ δὲ T, οἱ δὲ τὸ ἦ τι Ma. (fort. recte) **92** le. addidi **93** εἴωθε Ma., οἶδε T **94** le. addidi (auctore Ddf.) δυικ°/ A em. Vill. **95** le. addidi, ὡς ἄρα φωνήσας add. V$^c$ **2** ὡς A, εἰ Lehrs **3** ἵστω A em. Bk. κλῆσιν A em. Bk. **8** ἀκρ.] τάχιον ἀκρατότερον E$^4$ ἀντὶ τοῦ om. b **11** καὶ οἰνοφλ. ἀγαμέμν. b

τὸν ἀκρατότερον, ὃν εἶχεν ἐν τῷ ἀμφορεῖ Διονύσου (cf. ω 74—5)· οὐ γὰρ εἰκὸς δεδόσθαι κενόν, ἀπαρχὴν δὲ ἔχοντα τῶν ἐκείνου εὑρημάτων οἶνον θαυμάσιον. τοῦτον δὲ οἱ ἥρωες ἀπεδέχοντο· „ἐν δέπας ἐμπλήσας" (ι 209). T

*ex.(?)* *b.* ζωρότερον: τὸ ἄκρατον, παρὰ τὸ μηδέπω ἐσβέσθαι τὴν ἰσχὺν τοῦ οἴνου ὑπὸ τῆς τοῦ ὕδατος κράσεως. A

*Did.* | *ex.* *c.* ζωρότερον ⟨δὲ⟩ κέραιε: δίχα τοῦ ρ̄ Ἀριστοφάνης, κέραιε. | οὐκ ἄτοπον δὲ νυκτὸς οὔσης ζωρότερον πίνειν. T

*Did.* | *Hrd.* *d.* ⟨κέραιε:⟩ οὕτως κέραιε χωρὶς τοῦ ρ̄. | μέμνηται καὶ

καθ. Ἡρωδιανός (1, 453, 9). A[im]

*ex.(?)* **204.** ⟨μελάθρῳ:⟩ νῦν σκηνῇ, κυρίως δὲ οἴκῳ. A[int]

*Ariston.* | *Hrd.* **206** *a.*[1] αὐτὰρ ὅ γε κρεῖον ⟨μέγα κάββαλεν ἐν πυρὸς αὐγῇ⟩: ὅτι Εὐφορίων (fr. 155 Pow.) κρεῖον τὸ κρέας ἐξεδέξατο,

ἀκρατότερον διδόναι παρακελεύεται· οἱ μὲν γὰρ ἀπὸ τῆς λέξεως λύουσι· τὸ γὰρ „ζωρότερον" εἶναι τάχιον· οἱ δὲ ἀπὸ τοῦ καιροῦ, ὅτι νύξ· οἱ δὲ ἀπὸ τοῦ ἔθους· τοὺς γὰρ ἥρωας, ἄλλως καταπονουμένους, δαψιλεστέροις τοῖς πρὸς τὴν δίαιταν κεχρῆσθαι εἰκός· ἢ ἴσως ὡς μουσικὸς καὶ ὑδαρέστερον πίνων, ἀφ' ὧν ὀνειδίζει καὶ οἰνοφλυγίαν Ἀγαμέμνονι   οἱ δὲ ἀντὶ τοῦ ταχύτερον (8) cf. Aristot. poet. 25 p. 1461 a 14, Schem. Hom. 56, Theogn. 20, 8   ὡς μουσικὸς (10) — οἰνοφλυγίαν (11) cf. Plut. mor. 678 b   *b* cf. Athen. 10, 423 e/f (sim. Et. Gen. = EM. 414, 30); — ἄκρατον (16) cf. sch. *a*; vide Athen. 1, 10 c   παρὰ τὸ μηδέπω (16) sq. cf. D, Ecl. (An. Ox. 2, 443, 1), fort. fr. Seleuci (vide Reitzenstein, Gesch. 172)   *c/d* cf. Eust. 746, 48: ἰστέον δὲ ὅτι τῶν τινα ἀντιγράφων τὸ κέραιε „κέραιρε" φασίν, ὀλίγα μέντοι καὶ οὐδὲ τὰ ἀκριβέστερα, Eust. haud plura legisse videatur; cf. Valk II 592   **204** οἴκῳ = D, cf. D ad B 414, sch. θ 280   **206** Et. Gen. (AB) κρεῖον· παρὰ τὸ κρέας γέγονε κρέον καὶ (κρ. καὶ om. B) „κρεῖον" διὰ τῆς ει̅ (τῆς ει̅ om. B) διφθόγγου. λέγει (λέγεται A) δὲ ὁ (ὁ om. B) Ὧρος (Ἡρωδιανὸς Ritschl, at cf. Beiträge 103) ἐν τῇ Ἰλιακῇ προσῳδίᾳ ὅτι τὸ κρεῖον ὅμοιόν ἐστι τῷ (τῷ EM., τὸ AB) θεῖον. ἰστέον δὲ ὅτι ἡ μὲν κοινὴ δόξα ἔχει ὅτι τὸ „κρεῖον" κρεοδόχον ἀγγεῖον σημαίνει (σημ. A, ἐστὶν B), ὁ δὲ Εὐφορίων τὸ κρέας λέγει αὐτὸ εἶναι, ὡς καὶ Ὅμηρος· „αὐτὰρ ὅγε κρεῖον μέγα κάββαλε". ὁ δὲ Ἡρωδιανὸς τὴν ἐκ τῶν ὠμῶν κρεάτων πεπληρωμένην τράπεζαν. ὁ δὲ Πτολέμαχος (fort. Πολέμαρχος, vide ad Ψ 269, Erot. 58, 17, Et. Gud. 222, 13 Stef.; Πτολεμαῖος Lentz, Gaede) τὸν ἀπὸ στέατος πλακοῦντά φησιν αὐτὸ σημαίνειν. Χοιροβοσκός (σημ. καὶ ὁ χοιρ. B), cf. Choer. O. 231, 17 et 33; Philet. fr. 37 K.; Meineke 145   ὅτι Εὐφορίων (24) — ἀγγεῖον (25) cf. Eust. 747, 15: „κρεῖον" τὸ κρεωδόχον ἀγγεῖόν φασιν οἱ πλείους τῶν παλαιῶν. Εὐφορίων δὲ „κρεῖον" αὐτὸ τὸ κρέας νοεῖ, ὥς φησιν Ἀπίων καὶ Ἡρόδωρος (διὰ τὸ τὸν ποιητὴν κατωτέρω μηδαμοῦ μεμνῆσθαι κρεῶν ἑφθῶν ἐν ἀγγείῳ, ἀλλὰ μόνων ὀπτῶν,

---

**13** κοινὸν T em Ma.   **18** le. T suppl. Ma.   ἀριστ.] ἀρίσταρχος mavult Ldw.   **20** le. add. Vill.   οὕτως Vill., οὐ A, del. Bk.   **22** le. add. Vill.   **23** sq. le. A suppl. Vill.   **24** ὅτι A, ἡ διπλῆ, ὅτι Vill.

Ὅμηρος δὲ τὸ κρεοδόχον ἀγγεῖον. καὶ πρὸς τὸ ἐν πυρὸς αὐγῇ τὸ ἀπὸ τοῦ πυρὸς φωτιζόμενον. | κρεῖον δὲ ὡς „θεῖον" (Z 180 al.). γέγονε δὲ παρὰ τὸ κρέας. **A**

*a.*² ὡς „θεῖον". | οἱ νεώτεροι κρεῖον τὸ κρέας φασίν. **T**[il] *Hrd.* | *Ariston.*

*b.* αὐτὰρ ὅ γε κρεῖον ⟨μέγα κάμβαλεν⟩: εἰς ταπεινὴν τάξιν μαγειρικὴν κατερχόμενος οὐδὲν ἧττον τὴν ἡρωϊκὴν διαφυλάττει σεμνότητα. αἰτία δὲ ἡ ἐκλογὴ τῶν ὀνομάτων· πρῶτον μὲν οὐκ εἶπε κατέθηκεν, ἀλλὰ κάμβαλεν ἔπειξιν ἐμφαίνων τοῦ διακονουμένου, ἔπειτα τροπικὸν εἰσήνεγκεν ὄνομα τὸ „τεθαλυῖα" (cf. I 208). **b**(BCE³E⁴) **T** *ex.*

*c.* ἐν πυρὸς αὐγῇ: καὶ „Ἠελίου τ' αὐγή" (μ 176)· ἥλιος δὲ τὸ ἄστρον· ἡμεῖς δὲ ἀφυῶς φαμεν ἐν ἡλίῳ καθῆσθαι. **b**(BCE³E⁴) **T** ἐνταῦθα οὖν ἐν τῇ αὐγῇ τοῦ λύχνου τέθεικε τὸ κρεῖον, ἐπεὶ νὺξ ἦν, οἷον ʻπαρὰ τῷ λύχνῳʼ. **T** *ex.*

207. ὄϊος: ὡς „πόλιος" (E 791 al.)· εἰ μὴ διὰ μέτρον γάρ, οὔ φησιν „οἰός". **T** *Hrd.(?)*

208 *a.*¹ σιάλοιο ⟨ῥάχιν τεθαλυῖαν ἀλοιφῇ⟩: †ἐντροφίου†, „ἀπαλοτρεφέος σιάλοιο" (Φ 363)· **b**(BCE³E⁴) **T** „α⟨ἰ⟩εὶ ζατρεφέων σιάλων" (ξ 19). **T** *ex.*

*a.*² {σιάλοιο:} †ἐντροφίου†, ἀπαλοτρεφοῦς, ὡς „ζατρεφέων σιάλων". | ἢ σεσιτευμένου. **A** *ex.* | *ex.(?)*

quae verba Eust. de suo addidisse videatur) κρεοδόχον ἀγγεῖον (25) cf. D, Ap. S. 103, 35, sch. φ 61, Choer. O. 231, 18, Theogn. 121, 15, Arcad. 137, 3, Eust. 747, 52, Tz. Ar. Plut. 227; vide Paus. att. κ 43 (test.) καὶ πρὸς τὸ (25) — φωτιζόμενον (26) cf. D; sch. σ 44 (ad verba ἐν πυρί): . . . ὁ δὲ Ἀριστοφάνης „ἐν πυρί" ἐν τῷ καταφωτιζομένῳ τόπῳ, ὡς ἐν Ἰλιάδι „αὐτὰρ ὅγε κρεῖον μέγα κάββαλεν ἐν πυρὸς αὐγῇ", sch. τ 55. ψ 89; Roemer, Ar. 50 **207** οἰός (40) vide M 451. N 599. 716, praeterea ad Γ 198 *a* (Hrd.); aliter ad O 373 (ex.) **208** cf. sch. β 300; — ἐντροφίου (41) cf. Eust. 747, 53; D, sch. υ 163, Ap. S. 141, 18; Or. 144, 10 (unde

---

**25** ἀγγίον em. Vill. ἐν Vill., ἐμ A **25 sq.** τὸ ἀπὸ A, τόπον ἀπὸ (vel ὑπὸ) Lehrs cl. sch. σ 44 **28** ὡς T κρεῖον μέγα: κρεῖον ὡς V^c **29** le. T supplevi (auctore Vill.), om. b **30** μαγειρικῆς b **31** αἰτ. δὲ T ἔμφασιν δὲ ἔχει καὶ b **32** κάμβ. T κάββαλεν b (cf. Valk II 310 n. 172) **33** τεθαλυῖαν Hom. **35** ἠελ. τ' αὐγή Ma., ἡλίου αὐγή T ἐπὶ ἡλίου αὐγὴ (αὐγῆι E³) λέγεται b ἥλιον T **35 sq.** δέ ἐστι τὸ b **36** καθίσθαι T **40** οἰός Bk., ὄϊος T **41** le. T suppl. Ma., om. b εὐτραφοῦς D **42** ἀπαλ.] ὅθεν καὶ τὸ ἀπαλοτρεφέος (ἀπαλο////// τρεφέος B, ras. 2,5 cm) b ἀεὶ T suppl. Ma. **44** le. delevi ἐντροφ. vide sch. *a*¹ **45** σιάλων Vill., ἀπαλῶν A

*Ariston.* 209 *a.* τῷ δ' ἔχεν ⟨Αὐτομέδων⟩: ὅτι Αὐτομέδοντος ὄντος κατὰ τὴν κλισίαν ἄνω εἶπεν· „Πάτροκλος δέ οἱ οἷος ἐναντίος ἧστο" (I 190). **A**

*ex.* | *ex.* *b.* τῷ δ' ἔχεν Αὐτομέδων: τούτῳ δὲ (τῷ Ἀχιλλεῖ) ὑπηρέτει τὰ κρέα ὁ Αὐτομέδων, οἷον ὑπεῖχεν αὐτά, ἐκεῖνος δὲ διέτεμνεν. **T** | ἐν σχήματι ἔδειξεν ὡς καὶ Αὐτομέδων ἔνδον ἦν **b**(BCE$^3$E$^4$) **T** μετὰ Πατρόκλου, ὡς καὶ αὐτὸς φίλτατος (cf. Ψ 563). **b**(BCE$^3$E$^4$)

*ex.* *c.* τάμνεν δ' ἄρα δῖος Ἀχιλλεύς: τὸν τῦφον ἡμῶν ἐκβάλλει ἑαυτῷ ὑπηρετούμενος ὁ Ἀχιλλεύς. **A b**(BCE$^3$E$^4$) **T**

*Did.* | *ex.* 210. μίστυλε: διὰ τοῦ ἑτέρου λ̄ τὸ μίστυλε. | γίνεται δὲ παρὰ τὸ μεῖον ἢ μεῖστον. **T**

*ex.* 212 *a.* αὐτὰρ ἐπεὶ κατὰ πῦρ ἐκάη ⟨καὶ φλὸξ ἐμαράνθη⟩: εἰς ταπεινὴν ἀπαγγελίαν οὐδεὶς ἂν τοσαύτην ἐπέθηκε σεμνότητα καὶ λέξεις ⟨τοιαύτας⟩. **T**

*Ariston.* *b.* αὐτὰρ ἐπεὶ κατὰ πῦρ ἐκάη ⟨καὶ φλὸξ ἐμαράνθη⟩: ὅτι ἔν τισι γράφεται „αὐτὰρ ἐπεὶ πυρὸς ἄνθος ἀπέπτατο, παύσατο δὲ φλόξ". γελοῖον δὲ πυρὸς ἄνθος ὡς ῥόδων ἄνθος, τοῦ ποιητοῦ τὸ πῦρ δεινοποιήσαντος. **A**

*Did.* *c.* ἄλλως· αὐτὰρ ἐπεὶ κατὰ πῦρ ἐκάη καὶ φλὸξ ἐμαράνθη: ἔνιοι γράφουσιν „αὐτὰρ ἐπεὶ πυρὸς ἄνθος ἀπέπτατο, παύσατο δὲ φλόξ". ὁ δὲ Ἀρίσταρχος ταύτην προέκρινεν. ἔνιοι δὲ γράφουσιν „αὐτὰρ ἐπεὶ κατὰ πῦρ ἐμαρήνατο, παύσατο δὲ φλόξ". γράφεται δὲ καὶ ἐκάη. **T**

Et. Gen. = EM. 712, 8), Su. σ 352; Bechtel, Lex. 297 **209** *a* ad I 190 (Ariston.) *c* cf. Athen. 1, 18 b, Ael. v. h. 7, 5; Eust. 747, 59 **210** ad K 258 (Did.), vide ad I 78 *a* (at cf. Ap. Dysc. adv. 155, 11) γίνεται δὲ (55) ad A 465, cf. Or. 98, 4 **212** *b/c* αὐτὰρ (61 et 65) — φλόξ (62 et 66) cf. Plut. mor. 934 b; sch. Aesch. Prom. 7; Wilamowitz, Il. Hom. 67 not.; Pasquali, Storia 245; Valk, Text. Crit. 84; Lloyd-Jones, Harv. Stud. Class. Philol. 73, 1968, 101 *b* cf. Eust. 748, 41: καὶ ὅτι τινὲς τὸ „αὐτὰρ ἐπεὶ κατὰ πῦρ ἐκάη καὶ φλὸξ ἐμαράνθη" μεταγράφουσιν οὕτως· „αὐτὰρ ἐπεὶ πυρὸς ἄνθος ἀπέπτατο, παύσατο δὲ φλόξ"· δοκεῖ δὲ γελοία τοῖς παλαιοῖς ἡ τοιαύτη γραφή· οὐκ ἂν γὰρ ὁ ποιητὴς ἀεὶ τὸ πῦρ δεινοποιῶν ἄνθος εἴποι

---

**46** le. A supplevi ὅτι A, fort. ἡ διπλῆ, ὅτι ὄντως A em. Cob. **53** le. Bk., τάμνεν δ' ἄρα ἀχιλλεύς T, τῶιδ' ἔχεν: A, om. **b** **53** sq. τῦφον post ἐκβάλλει **b** ἡμ. ἐκβ. T ἐκβάλλει ἡμῶν A τῶν πολλῶν ἐκβάλλει (ἐκάλει C) **b** **54** ὑπηρετού//// μενος B (ras. 1 cm) ὁ om. AE$^4$ **56** ἢ T, καὶ Wil. **57** le. T supplevi **59** τοιαύτας add. Wil. **60** le. A suppl. Vill. **61** ὅτι A, fort. ἡ διπλῆ, ὅτι **64—8** ἄλλως. αὐτὰρ κτλ. coni. cum scholio *a* (v. λέξεις) T, dist. Ma. (Bk.) **65** ἀπέπτατο Bk., ἀπέπαυτο T **66** ταύτην sc. vulg. (cf. test.) **68** ἐκάη susp., an ἐκάη καὶ ἐπαύσατο?

**214** *a*. πάσσε δ' ἁλὸς θείοιο: ἢ ὅτι τὰ ἁλίπαστα διαμένει, b (BCE³) T ἢ ὅτι τὰς φιλίας συνάγει. b(BCE³E⁴) T | θείους δὲ λέγει τοὺς ἅλας διὰ τὸ ἄσηπτα τηρεῖν τὰ πασσόμενα. AT *ex.* | *D*

*b*.[1] ἄλλως· πάσσε δ' ἁλὸς ⟨θείοιο⟩ κρατευτάων ἐπαείρας: ἵνα μὴ εἰς τὸ πῦρ πάττων ἐνοχλῇ. τὸ δὲ ἑξῆς· κρατευτάων ἐπαείρας πάσσε. T *ex.*

*b*.[2] ἐκβάλλει δὲ ἐκ τοῦ πυρός, ἵνα μὴ ἐκεῖσε πάττων ἐνοχλῇ. b(BCE³E⁴)

*c*.[1] κρατευτάων: οἱ μὲν τῶν ἁλοθηκῶν, τουτέστι τῶν ἀγγείων, ἐν οἷς οἱ ἅλες εἰσίν. οἱ δὲ τῶν ἐξοχῶν τῆς ἐσχάρας, αἷς ἐπιτίθενται οἱ ὀβελοί. T *ex.*

*c*.[2] κρατευτάων δὲ τῶν ἢ ἁλοθηκῶν ἢ τῶν ἐξοχῶν τῆς ἐσχάρας. b(BCE³E⁴)

κρατευτάων: τῶν βάσεων ——— εἶπον, κακῶς. A *D*

*d*.[1] ⟨ἐπαείρας:⟩ Ἀρίσταρχος „ἀπαείρας", ἀπὸ τῶν κρατευτάων ἄρας. A^im *Did.*

*d*.[2] διὰ τοῦ $\overline{\alpha}$. T^il

**215** *a*. εἰν ἐλεοῖσιν: ἐπιμήκεσι τραπεζίοις ἐξ ἐλείων ῥάβδων πεπλεγμένοις. b(BCE³E⁴) T | δασύνεται δὲ τὸ „ἐλεοῖσιν"· τινὲς γὰρ παρὰ τὸ ἑλεῖν. T *ex.* | *D*

πυρὸς ὡς εἰ καὶ ῥόδου ἄνθος ἢ τινος τοιούτου, vide ad Ψ 228 **214** *a* cf. Eust. 748, 59; Plut. mor. 685 b; aliter Phot. bibl. cod. 190, p. 152 a 26 (= Ptolem. Ch. VI 7 p. 40 Ch.), cf. Eust. 748, 50; vide Tomberg 59 et 188 *b* h (M¹ P¹¹ V³ V¹⁵, pone D): . . . ἔθος δὲ τοῦτο τοῖς στρατιώταις, ἐπὰν ἴδωσιν θερμανθέντων τῶν κρεῶν ζωμὸν ἀναπηδῶντα, τηνικαῦτα αἴρειν τὸ ὀπτώμενον καὶ ἅλατι (lg. ἅλας) ἐπιπάσσειν, originis incertae *c* Ap. S. 103, 24: κρατευτάων· τῶν ἅπαξ εἰρημένων. ὁ Ἀρίσταρχος τῶν βάσεων, ἐφ' ὧν οἱ ὀβελίσκοι τίθενται, ἀπὸ τοῦ διακρατεῖσθαι τοὺς ὀβελίσκους ἐπὶ τούτων κειμένους· „πάσσε δ' ἁλὸς θείοιο κρατευτάων", fort. e scholio deperdito (an ex Aristonico?), cf. D; Poll. 6, 89; Paus. att. κ 41 **215** *a* ἐξ

---

**69** le. AT, om. b **70** ὅτι om. T **70** sq. δὲ λέγει T κέκληκεν A (= D) **71** ἄση[. . .] T πασθέντα A (= D) **72** le. T suppl. Ma. **75** ἐκβάλλει δὲ sq. pone sch. *c*² (coni. cum v. ἐσχάρας) b δὲ fort. delendum ἐκ τοῦ] ἐκτὸς C **80—1** κρατ. δὲ sq. pone sch. *a* (coni. cum v. συνάγει) in b **80** δὲ fort. delendum **83** le. add. Ddf. **86** sq. ταῖς ἐξ ἐλ. ῥάβδων πεπλεγμέναις ἐπιμ. μαγειρικαῖς τραπέζαις E⁴ **86** τραπέζαις b (μαγειρικαῖς ss. *B, cf. E⁴) **87** πεπλεγμέναις b ἐλεοῖσιν Ma., ἐλείοισι T γὰρ Ma. (cl. D), Γ ss. ρ (= γράφουσι) T

*ex.* | *D* | *ex.* *b.* εἰν ἐλεοῖσιν: ἐπιμήκεσι τραπεζίοις | ἤτοι μαγειρικοῖς. δασύνεται δέ· ἀπὸ γὰρ τοῦ ἑλεῖν. ἢ ὅτι ἐξ ἑλείων ῥάβδων ἦσαν πεπλεγμέναι. | ἢ ἐπεὶ ἐλιπαίνετο ἐκ τῆς πιμελῆς. A

*Did.(?)* *c.*[1] ⟨ἔχευεν:⟩ διχῶς, καὶ „ἔθηκεν". T[il]

*c.*[2] ἐν ἄλλῳ „ἔθηκεν". A[int]

*ex.* 217. ⟨κανέοισιν:⟩ ὡς ὀστέοισιν. T[il]

*ex.* 218. ἀντίον ἷζεν Ὀδυσσῆος: ὡς διαλεξόμενος· οἶδε γὰρ ὡς αὐτὸς τὴν πρεσβείαν πεπίστευται. b(BCE³E⁴) T

*ex.* 219 *a.* ⟨τοίχου τοῦ ἑτέροιο:⟩ ὡς „ὀΐστευσον Μενελάου" (Δ 100). T[il]

*Ariston.* *b.* θῦσαι {ἀνώγει}: ὅτι θῦσαι οὐ σφάξαι, ⟨ὡς⟩ ὁ Τιμόθεος (fr. 7 P. = P. M. G. fr. 783) ὑπέλαβεν καὶ Φιλόξενος (cf. fr. 10 P. = P. M. G. fr. 823) ὁμοίως τῇ ἡμετέρᾳ συνηθείᾳ, ἀλλὰ θυμιᾶσαι. καὶ ὅτι „θυηλάς" (I 220) τὰς ἐπιθυομένας ἀπαρχάς. καὶ ἐν Ὀδυσσείᾳ (sc. ξ 446)· „ἦ ῥα καὶ ἄργματα θῦσε θεοῖσ' αἰεὶ γενέτῃσιν". A

*D* | *ex.* *c.* θεοῖσι δὲ θῦσαι ἀνώγει: ἀπάρξασθαι. A | δεισιδαίμων, ὃς καὶ τροφῆς τοῖς θεοῖς ἀπάρχεται καὶ ἀποπλεύσεσθαι λέγει „αὔριον ἱρὰ Διῒ ῥέξας" (I 357), A b(BCE³E⁴) T καὶ „χηλοῦ δ' ἀπὸ πῶμ' ἀνέῳγεν" (Π 221). AT

ἐλείων (86) — πεπλεγμένοις (87) cf. D (vide sch. *b*) *b* μαγειρικοῖς (89) — πεπλεγμέναι (90) cf. sch. ξ 432, Et. Gen. (AB) εἰν ἐλεοῖσιν, aliter Or. 53, 25 (unde Et. Gen. [AB] ἐλεόν); Choer. O. 203, 7 (Et. Gud. 415, 19 Stef.) δασύνεται δὲ (90) — πεπλεγμέναι cf. He. ε 2005 (Diog.): καὶ οἱ μὲν δασύνουσιν, ἵνα ᾖ τοῖς ἐκ λύγων πεπλεγμένοις τῶν ἐξ ἕλους ληφθέντων. οἱ δὲ ψιλοῦσιν, ἐξ ἐλαΐνων εἶναι ξύλων τὰς τραπέζας λέγοντες, fort. partim e scholio uberiore ἐξ ἑλείων (90) — πεπλεγμέναι et ἢ ἐπεὶ ἐλιπαίνετο κτλ. cf. Ecl. (An. Ox. 2, 434, 28, Et. Gud. 453, 20 Stef.): ἐλεοὶ καὶ εἰλεοί· οἱ ἀπὸ τῆς πιμελῆς ἠλαιωμένοι· ἢ ἐξ ἑλείων κατασκευασμένοι, in sede Seleuci; cf. Reitzenstein, Gesch. 172 *c* cf. D (ἔθηκε· . . . ἄλλοι ἔχευε, ἔχ. = vulg.) 219 *b* et *d* θυμιᾶσαι (6 et 14) = D *b* cf. sch. ι 231. ξ 446; Amm. 456 (et ib. 235), Phryn. praep. soph. 74, 3, sch. Hsd. opp. 336—41 (Procl.), Eust. 1767, 12; Su. ε 336; Lehrs Ar.³ 82 Φιλόξενος (5) cf. Schmidt in Did. p. 345, 1; Wilamowitz, Textgesch. d. griech. Lyriker (Berol. 1900) 19, 1 ἀπαρχάς (7) cf. Athen. 5, 179 b; Wilamowitz, Sitz. Ber. Preuss. Ak., Berol. 1904, 634 *c* χηλοῦ (11) — ἀνέῳγεν (12) scholiasta spectat ad versus Π 220—48, imprimis ad Π 231

---

**90** sq. πεπλ. A, πεπλ. αἱ μαγειρικαὶ τράπεζαι (= D) Vill. **91** πημελῆς A em. Vill. **92** le. add. V[c] **94** le. add. Ma., ἐν καν. add. V[c] **95** ὡς T ὅτι **b** **2** le. add. V[c] **4** (le.) ἀνώγει eiecit Bk. ὅτι A, ἡ διπλῆ, ὅτι Vill. ὡς add. Lehrs ὁ Vill., οὐ A **8** post αἰεὶ verba τῇ ἡμετέρα — ὀδυσσεία iterantur ab ipso scriba expuncta αἰειγενέτῃσιν Hom. **9** le. T, θῦσαι ἀνώγει: A, om. **b** **9—11** δεισ. — ἱερὰ διῒ ῥέξας αὔριον sch. ad I 220 relatum in **b** **9** sq. δεισ. δὲ ὃς A **10** κ. ἐπὶ τροφῆι **b** ἀποπλεῦσαι **b** post ἀποπλ. lac. stat. Vill. v. μέλλων supplens λέγει] θέλει **b** **11** αὔρ. post ῥέξας **b** ἱερὰ **b** χιλοῦ T

*d.* θῦσαι: ἀπάρξασθαι, b(BCE$^3$E$^4$) T ὡς τὸ „ἦ ῥα καὶ ἄργματα θῦσε“ (ξ 446), T ἢ θυμιᾶσαι, ὡς τὸ „πῦρ κήαντες ἐθύσαμεν“ (ι 231). b(BCE$^3$E$^4$) T Καλλίμαχος δὲ κακῶς „τὸ μὲν θύος ἤρχετο βάλλειν“ (fr. 5). Ὅμηρος δὲ „θύου“ (ε 60) τοῦ θυμιάματος. T *ex.*

220. θυηλάς: ὡς ἀπαρχάς. AT$^{il}$ τὰ δὲ διὰ τοῦ ηλη μονογενῆ ὑπὲρ δύο συλλαβὰς καὶ ὀξύνεται, ὥσπερ τὸ γαμφηλή θυηλή, καὶ βαρύνεται, ὡς τὸ ἀνθήλη. A *Hrd.*

221. οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα: πῶς παρ' Ἀγαμέμνονι δεδειπνηκότες νῦν πάλιν ἐσθίουσιν; ἢ οὖν τὸ Πατρόκλῳ καὶ Ἀχιλλεῖ συμβεβηκὸς συλληπτικῶς περὶ πάντων φησίν, ἢ πάλιν ἐσθίουσιν εἰς ἔνδειξιν τοῦ ἥδεσθαι τῇ παρ' αὐτῷ ἑστιάσει. b(BCE$^3$E$^4$) T *ex.*

222 *a.* αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ⟨ἐξ ἔρον ἕντο⟩: κυκλικώτερον κατακέχρηται τῷ στίχῳ δεδειπνηκότων αὐτῶν πρὸ ὀλίγου· οὐ γὰρ ἥρων δαιτός. A *Ariston.*

*b.*[1] αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ⟨ἐξ ἔρον ἕντο⟩: φαίνονται καὶ παρ' Ἀγαμέμνονι πρὶν ἐπὶ τὴν πρεσβείαν στείλασθαι δειπνοῦντες· φησὶ γοῦν „αὐτὰρ ἐπεὶ σπεῖσάν τ' ἔπιόν θ', ὅσον ἤθελε θυμός, / ὡρμῶντ' ἐκ κλισίης“ (I 177—8). ἄμεινον οὖν εἶχεν ἄν, φησὶν ὁ Ἀρίσταρχος, ⟨εἰ⟩ ἐγέγραπτο „ἆψ ἐπάσαντο“ ἢ „αἶψ' ἐπάσαντο“, ἵν' ὅσον χαρίσασθαι τῷ Ἀχιλλεῖ γεύσασθαι μόνον καὶ μὴ εἰς κόρον ἐσθίειν καὶ πίνειν λέγωνται. ἀλλ' ὅμως ὑπὸ περιττῆς εὐλαβείας οὐδὲν μετέθηκεν, ἐν πολλαῖς οὕτως εὑρὼν φερομένην τὴν γραφήν. A *Did.*

(λεῖβε δ' οἶνον) *d* cf. Valk I 462 n. 252 **220** cf. Wilamowitz, Sitz. Ber. Preuss. Ak., Berol. 1904. 635, 1 ὀξύνεται (18) — θυηλή cf. Theogn. 111, 8 ὥσπερ τὸ γαμφηλή (18) cf. Eust. 749, 20 ἀνθήλη (19) cf. Bechtel, Lex. 168 **222** diple ante versum in A *a*/*b* cf. Cauer 60 *a* κυκλικώτερον (25) = negligentius, cf. Friedl., Ariston. 253; Merkel XXXI; Lotz 21. Vide ad Z 325 *a* *b* ad B 665; cf. Lehrs Ar.$^3$ 354; Friedl., Zoil. 68; Naber 112; parum probabiliter Roemer, Ar. 235 ἐπάσαντο (31. 36. 38) cf. Athen. 1, 23 f, An. Par. 4, 247, 19

---

**13—6** cum scholio praecedenti coni. T, ante sch. *c* in b **14** ἄργματα θῦσαι T em. Ma. θυμιάσαι bT em. Bk. (cf. sch. *b*) κήαντες T δὲ κείαντες b **17** le. A, om. T **18** γαμφηλή cf. N 200 al. **20** παρὰ b **21** τὸ] τῷ BE$^4$ **22** φησίν T εἶπεν b πάλιν T συλλήβδην b **23** παρ' αὐτῷ T περὶ αὐτὸν b **24** le. A suppl. Vill. **25** κυκλ. Frdl., εἰς δύο στάσεις — ἔλαβεν (= sch. I 228). κυκλικώτερον δὲ A, fort. ἡ διπλῆ, ὅτι κυκλικώτερον (cf. Valk I 590) δεδειπνικότων A em. Vill. **27** le. A suppl. Ddf. (auctore Bk.), fort. rectius ἐξ ἔρον ἕντο: pro αὐτὰρ — ἐδητύος scribendum **31** εἰ add. Bk. ἢ — ἐπάσαντο del. Vill., fort. recte αἶψ' Cob., ἐψ' A

*b.*[2] ἄμεινον, φησίν, εἶχεν, Ἀρίσταρχος, εἰ ἐγέγραπτο „ἆψ ἐπάσαντο“. **A**

*b.*[3] {αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο:} Ἀρίσταρχος γράφει „ἆψ ἐπάσαντο“· ἤδη γὰρ ἦσαν παρ' Ἀγαμέμνονι κορεσθέντες· οὐ μετέθηκε δὲ τὴν γραφήν. **T**

*ex.* **223.** νεῦσ' Αἴας Φοίνικι· ⟨νόησε δὲ δῖος Ὀδυσσεύς⟩: οὐχ ἵνα εἴπῃ, ἀλλ' εἰ καιρός ἐστιν· Ὀδυσσεὺς γὰρ προσκεπτόμενος, τί δεῖ λέγειν, τὸν καιρὸν οὐχ ὁρᾷ. συνεὶς δὲ ταῦτα Ὀδυσσεὺς αὐτὸς λέγειν ἄρχεται, οὐχ ὑπὸ βασκανίας τοῦ Φοίνικος τὸν λόγον προαρπάζων, ἀλλὰ τὸ δυσχερὲς ἐφ' ἑαυτὸν φέρων· **b**(BCE³E⁴) **T** οἶδε γὰρ δυνησόμενος ἀντιτάξασθαι Ἀχιλλεῖ. ἴσως δὲ οὐδὲ ἐπιτήδειον εἶναι τὸν Φοίνικα ἐλογίζετο ἄρχειν τοῦ λόγου, ὅπως μὴ ὡς οἰκείῳ ἀπιστήσας Ἀχιλλεὺς ἀναστείλῃ καὶ τὸν αὐτῶν λόγον. Αἴας δὲ οὐ λέγει· βραδὺς γάρ ἐστι καὶ μεμψίμοιρος. **b**(BE³E⁴) **T**

*D* | *D* νεῦσ' Αἴας Φοίνικι: διενεύσατο ——— λόγων. | ἐνόησε δὲ Ὀδυσσεύς. ζητεῖται δέ, διὰ τί ——— τοῖς οἰκείοις προσδοθῆναι χάριτος. **A**

*Ariston.* **224.** πλησάμενος δ' οἴνοιο ⟨δέπας δείδεκτ' Ἀχιλῆα⟩: πρὸς τὸ ἔθος, ὅτι πλήρη καὶ οὐ κενὰ προὔπινον ὀρέγοντες τὰ ποτήρια. δεῖ δὲ νοῆσαι ὅτι κατὰ τὸ σιωπώμενον ἐδέξατο ὁ Ἀχιλλεύς. ἰδίως δὲ οὐχ ὑπέθηκε „καί μιν φωνήσας“ (e. g. A 201 al.). **A**

*Nic. (?)* **225—9.** χαῖρ', Ἀχιλλεῦ, δαιτὸς μὲν ἐίσης οὐκ ἐπιδευεῖς / ἠμὲν ἐνὶ κλισίῃ Ἀγαμέμνονος Ἀτρείδαο / ἠδὲ καὶ ἐνθάδε νῦν ⟨——— ἀλλὰ λίην μέγα πῆμα⟩: τὸ ἑξῆς ἐστι δαιτὸς μὲν ἐίσης οὐκ ἐπιδευεῖς (225)· ἀλλ' οὐ δαιτὸς ἐπηράτου ἔργα μέμηλεν,/ ἀλλὰ λίην μέγα πῆμα (228—9)· ἐκεῖνα γὰρ μεταξὺ τέθειται ἠμὲν ἐνὶ κλισίῃ Ἀγαμέμνονος Ἀτρείδαο / ἠδὲ καὶ ἐνθάδε νῦν (226—7). οὕτως †ἡρωδιανός. **A**

(Lex. Herm. 323); Lehrs Ar.³ 130 **223** οὐχ ὑπὸ βασκανίας (43) sq. aliter Eust. 749, 26 **224** partem scholii Aristonici esse omissam monuit Friedl., Ariston. 160, cf. sch. *ν* 57: ὅτι οἱ ἑστιώμενοι παρ' Ὁμήρῳ τοῖς ἑστιῶσι προπίνουσιν, ὡς Ὀδυσσεὺς Ἀχιλλεῖ καὶ Εὐμαίῳ ὁ αὐτός, brevius sch. *ν* 25; cf. Athen. 1, 13 f/14 a. 5, 193 a. 11, 498 c/d; Weber 137; Meinel 9 **225—9** aliter sch. Dem. VIII 143, 4—13

---

**35** εἶχεν ἂν φησὶν ἀρ. Ldw. **37** le. T delevi **38** ἐπαύσαντο T, em. Ma.; cf. sch. $b^1$ et $b^2$ **40** le. T supplevi (auctore Vill.), om. **b** **41** ἐστιν **b** (cf. D = A), ἔσται T **42** συν. δὲ T σύννους δὲ ὢν **b** ὁ ὀδ. E⁴ αὐτὸς om. C **43** προαρπ. om. T **44** ἐφ' ἑαυτὸν om. C **49** sq. νόησε δ' ὀδ. le. in D **52** le. A suppl. Vill. πρὸς A, ἡ διπλῆ πρὸς Vill. **54** ἀχ. A, ἀχιλλεύς, ὡς εὔμαιος ἐν τῇ ξ (sc. 113) Roe. (Ar. 242) **55** ὑπέθεικε A em. Bk. **56—8** le. A supplevi **56** (le.) ἐπιδευεῖς scripsi (cf. explicationem), ἐπιδευής A, vix ἐπιδεύῃ **59** ἐπιδεύεις Bk. (voluitne ἐπιδεύῃ?) **61** κλισ. Vill., κλ///// A **62** νῦν A, fort. νῦν· πάρα γὰρ μενοεικέα πολλά / δαίνυσθ(αι) ἡρ. A, an νικάνωρ?

**225** *a.* χαῖρ', Ἀχιλλεῦ, ⟨δαιτὸς μὲν ἐίσης οὐκ ἐπιδευεῖς⟩: πρὸς τὸ διαχέαι τὸ σκυθρωπὸν αὐτοῦ, ὃν ἦν σκεψάμενος λόγον, ἀφῆκε καὶ ἀπὸ τοῦ καιροῦ ἔλαβε τὸ προοίμιον, ὡς τὸ „ὦ γέρον, οὐχ ἑκὰς οὗτος ἀνήρ, / ὃς λαὸν ἤγειρα, / **b**(BCE$^3$E$^4$) **T** μητρί τ' ἐμῇ μνηστῆρες" (β 40. 41. 50). **T** *ex.*

*b.* οὐκ ἐπιδεύῃ: ὅτι προστιθέασι τὸ σ̄, „οὐκ ἐπιδευεῖς", κακῶς. οὗτοι δὲ καὶ τὸ ἑξῆς περισπῶσιν „ἦμεν ἐνὶ κλισίῃ" (I 226), ἵν' ᾖ ἦμεν ἐτυγχάνομεν. Ἀρίσταρχος δὲ χωρὶς τοῦ σ̄. **A** *Ariston.*

*c.* ⟨ἐπιδεύῃ:⟩ γράφεται „⟨ἐπιδευ⟩εῖς". **A**$^{im}$ *Did.(?)*

*d.* δαιτὸς μὲν ἐίσης οὐκ ἐπιδεύῃ: οὐκ ἐπιδεύῃ δαιτός, ὡς τὸ „ἀποιχομένου Ὀδυσῆος / δεύῃ" (α 253—4)· τὸ γὰρ ἕτερον ὑβριστικόν. ἔνιοι δὲ προστιθεῖσι τὸ σ̄. οὗτοι δὲ καὶ τὸ „ἠμέν" (I 226) ῥῆμά φασιν. **T** *ex.*

**226.** ἠμὲν ἐνὶ κλισίῃ Ἀγαμέμνονος: λεληθότως ἐσήμανεν ὡς ἐξ αὐτοῦ ἐπέμφθησαν, οὐ διαρρήδην, ὅπως μὴ τραχὺς γένηται Ἀχιλλεύς. καλῶς δὲ τὰ περὶ τὴν ἑστίασιν ὅμοια τῇ παρ' ἐκείνῳ λέγει, ἐν ᾗ *ex.*

**225** fort. erat sch. ex. de interpretatione Zenodotea (immo Zenodorea) vocis δαιτὸς . . . ἐίσης, cf. Athen. 1, 12 c: ἐκ τούτων (sc. e versibus θ 98 et I 225, quos paulo ante laudavit) δ' ἐπείσθη Ζηνόδοτος (debuit Ζηνόδωρος) δαῖτα ἐίσην τὴν ἀγαθὴν λέγεσθαι· ἐπεὶ γὰρ ἡ τροφὴ τῷ ἀνθρώπῳ ἀγαθὸν ἀναγκαῖον ἦν, ἐπεκτείνας, φησίν, εἴρηκεν ἐίσην· ἐπεὶ οἱ πρῶτοι ἄνθρωποι, οἷς δὴ οὐ παρῆν ἄφθονος τροφή, ἄρτι φαινομένης ἀθρόον ἐπ' αὐτὴν ἰόντες βίᾳ ἥρπαζον καὶ ἀφῃροῦντο τοὺς ἔχοντας, καὶ μετὰ τῆς ἀκοσμίας ἐγίνοντο καὶ φόνοι . . . ὡς δὲ παρεγένετο αὐτοῖς πολλὴ (τροφὴ add. Eust. 1401, 61) ἐκ τῆς Δήμητρος, διένεμον ἑκάστῳ ἴσην, καὶ οὕτως εἰς κόσμον ἦλθε τοῖς ἀνθρώποις τὰ δόρπα. Cf. He. ε 1175. Vide ad A 468 exstitisse sch. Herodiani de scriptura ἐπιδευεῖς ἦμεν ci. Lentz (Hrd. I praef. LXXX not.; vide subscriptionem in sch. I 225—9); qui grammaticum de hac lectione (pro illa Aristarchea ἐπιδεύει [resp. ἐπιδεύῃ] ἠμέν posita) propter accentum vocis ἠμεν disseruisse censet *a* cf. Eust. 749, 31; sim. sch. Pind. N. 3, 132 a *b* cf. Lehrs Ar.$^3$359: „Quo loco nec ἦμεν placet, quod nonnulli habebant, nec Aristarcheum ἐπιδεύει (vel potius ἐπιδεύῃ)"; sch. ex Aristonici et Didymi notis coaluisse suspicatur Friedl., Ariston. 160 (cf. Ludwich, A. H. T. 1, 303, 20), cui non assentior; — ἐτυγχάνομεν (70) cf. sch. *d*; aliter D: ἐπιδευεῖς· ἐνδεεῖς ἐσμεν. ἄλλοι „ἐπιδεύεις" (vide et sch. *c*) *d* cf. sch. *b*

**63** le. T supplevi (auctore Vill.), om. **b** **65** ἀπὸ τ. καιροῦ post προοίμ. E$^4$ **66** μητρί τ' ἐμῇ T, μητέρι μοι Hom. **68** le. scripsi, χαῖρ' ἀχιλεῦ: A ὅτι A, ἡ διπλῆ, ὅτι Vill., ἔνιοι Ldw. τὸ A, τινες τὸ Lehrs **70** χωρὶς τοῦ σ̄ sc. „ἐπιδεύει vel potius ἐπιδεύῃ" (Lehrs Ar.$^3$ 360, cf. Chantraine, Gr. Hom. I 41) **71** le. addidi εῖς A supplevi **72** le. scripsi, οὐκ ἐπιδευεῖς (ut T$^{cont}$) T ἐπιδεύῃ$^2$ Wil., ἐπιδευεῖς T, ἐπιδεύεις Bk. **73** ὀδυσσῆος δεύει T em. Bk. **74** τὸ σ̄ Lehrs (Hrd. 455), δαιτὸς T

οὐδεμίαν ἑώρα φιλοτιμίαν, τὴν δὲ σωτηρίαν ἐν Ἀχιλλεῖ κεῖσθαι μόνῳ φησίν· b(BCE³E⁴) T τοῦτο γάρ φησιν ἥκομεν αἰτοῦντες, ὃ ἐξ ἄλλου λαβεῖν οὐ δυνάμεθα. | ὅτι διὰ φιλίαν ἠνέσχοντο τῆς παρ' αὐτῷ ξενίας. b(BE³E⁴) T

*D* ἠμὲν ἐνὶ κλισίῃ ⟨Ἀγαμέμνονος Ἀτρεΐδαο⟩: διὰ τί τὸν ἐχθρὸν ——— μετεσχήκαμεν τραπέζης. A

*ex.* **228.** ἀλλ' οὐ δαιτὸς ἐπηράτου ἔργα μέμηλεν: εἰς δύο στάσεις διεῖλε τὸν λόγον, τὴν παρορμητικήν, τραγῳδήσας τὰς συμφοράς, εἰς τὸ καλὸν καὶ ἀναγκαῖον καὶ συμφέρον ποιήσας τὴν παρόρμησιν, καὶ εἰς τὴν ἀλλοιωτικήν, ἧς μέρος τὸ ὑπαλλακτικόν· ἀντὶ γὰρ Ἀγαμέμνονος τὴν †στρατείαν† ἔλαβεν. A b(BCE³E⁴) T

*D | Hrd.* **230** *a.* ἐν δοιῇ: ἐν δισταγμῷ, ἐν διχοστασίᾳ. | περισπαστέον δέ· δοτικὴ γὰρ ἀκόλουθος εὐθείᾳ τῇ δοιός, οὗ τὸ θηλυκὸν δοιή. A

*ex.* *b.*¹ ⟨ἐν δοιῇ:⟩ παρὰ τὸ δύο· καὶ „†δοιάσατο†" (N 458 al.) τὸ ἓν τῶν δύο ἐξελέξατο. T^il

*b.*² παρὰ τὸ δέω τὸ διαχωρίζω δοή καὶ δοιή· ἐξ οὗ καὶ τὸ „δοάσσατο θυμῷ" ἀντὶ τοῦ τῶν δύο τὸ ἓν ἐξελέξατο. b(BCE³E⁴)

*ex.* | *ex.* **230—1.** ⟨σαωσέμεν⟩ ἢ ἀπολέσθαι / νῆας: τὸ πρῶτον κεφάλαιον τὸν κίνδυνον τῶν νεῶν περιέχει, b(BCE³E⁴) T ὃ καὶ τῷ Ἀχιλλεῖ ἐλογίζετο πᾶν δέος· ὅθεν καὶ πολλάκις ἐπὶ τοῦτο καταφέρεται· „ἐγγὺς γὰρ νηῶν καὶ τείχεος αὖλιν ἔθεντο" (I 232), „ἀλλ' ἐν νηυσὶ ⟨μελαίνῃσιν⟩ πεσέεσθαι" (I 235), „στεῦται γὰρ νηῶν ἀποκόψειν ἄκρα κόρυμβα" (I 241). T | τεχνικῶς ἐξαίρει δεικνὺς ὡς ἐπὶ τηλικούτοις τὴν χάριν τίσουσιν Ἕλληνες. b(BCE³E⁴) T

228 στάσεις (85) cf. Schrader, Herm. 37, 1902, 539, 2 et 564 **230** *a* eadem fere EM. 289, 24 (fort. e Ven. A), cf. Beiträge 166 *b* aliter ad N 458 **230—1** τὸ πρῶτον (1) — δέος (3) cf. Ge (e T ut vid.): ἀπὸ τοῦ τῶν νηῶν (νεῶν Nicole) ἄρχεται κινδύνου· τοῦτο γὰρ καὶ τῷ Ἀχιλλεῖ δέος παρεῖχεν, licentius opinor quam rectius τὸ πρῶτον κεφάλαιον (1) ad I 252 *b*. 261 *a*. 300 *a*

---

**79** ἐν] ἐν τῷ C **80** φησίν¹] φησί b φησιν² T λέγει b **83** le. A suppl. Vill. **85** le. T, om. Ab **85—9** εἰς δύο στ. — ἔλαβεν post le. scholii I 222 *a* (ante verba κυκλικώτερον δὲ sq.) ins. A **86** τὴν] εἰς τὴν b **87** εἰς τὸ] καὶ εἰς τὸ b **89** στρατιὰν Bk. **92** le. add. Ma. (ἐν δοιῇ δὲ add. Li V^c) δοιάσατο cf. sch. *b*² **95** θυμῷ] κέρδιον εἶναι Hom. (semper) δύο] δύο τῶν ἀναγκαίων C **1** le. T suppl. Ma., om. b (qui sch. ad I 230 rettulit) **2** fort. ᾧ καὶ τῷ (h. e. quo effecit, ut ante oculos Achillis omnis timor Graecorum versaretur) **5** μελ. addidi (auctore Ma.) **6** τεχν. δὲ ἐξ. b

**231** *a.*$^1$ εἰ μὴ σύ γε δύσεαι ἀλκήν: ὡς νῦν ἐκδεδυμένου αὐτὴν δυσωπεῖ· „θόρε φρεσὶν εἱμένος ἀλκήν“ (Υ 381). τὴν δὲ πάντων σωτηρίαν εἰς αὐτὸν ἀνάγει, †ἵνα μᾶλλον ἁπάντων ὁ φιλότιμος ἕλοιτο. T *ex.*

*a.*$^2$ ὡς νῦν ἐκδεδυμένου αὐτήν. λέγει δὲ τὴν εἰς τὸν πόλεμον ὁρμήν. τὴν δὲ πάντων σωτηρίαν εἰς αὐτὸν ἀνάγει, †ἵνα πεισθῆναι ὡς φιλότιμος ἕλοιτο. b(BCE$^3$E$^4$)

**232** *a.* ⟨ἐγγὺς γὰρ νηῶν:⟩ ἔνθεν ἡ διήγησις. τῷ δὲ τόπῳ τὸν κίνδυνον ηὔξησεν, ὃ περιέμενεν Ἀχιλλεύς· b(BCE$^3$E$^4$) T$^{il}$ „τοὺς δὲ κατὰ πρύμνας“ (Α 409). T$^{il}$ *ex.*

*b.* αὖλιν ἔθεντο: ὡς ἐπὶ ἀγρίων, ἴσως ὑποφαίνων ὅτι ὁ ποιμὴν Πάρις ἀριστεύει. T δι' ὧν δὲ οἱ ἱκέται μείζονα τὴν χρείαν ποιοῦνται, τὴν προθυμίαν αὔξουσι τῶν ἐπικούρων. b(BCE$^3$E$^4$) T *ex.*

**233.** τηλεκλειτοί τ' ἐπίκουροι: ὀνειδίζει ὅτι καὶ ἀδικοῦσιν αὐτοῖς παραμένουσιν οἱ σύμμαχοι, ὁ δὲ Ἀχιλλεὺς τῆς Ἑλλήνων συμμαχίας ἀπέστη, καὶ διὰ λόγον μόνον. b(BCE$^3$E$^4$) T *ex.*

**235** *a.* ⟨σχήσεσθ', ἀλλ' ἐν νηυσὶ μελαίνῃσιν πεσέεσθαι:⟩ ὅτι ἐπὶ τῶν Τρώων ἐστίν· ἐμπεσοῦνται ταῖς ναυσίν, ἐνσείσουσι. A$^{im}$ *Ariston.*

*b.* ⟨ἀλλ' ἐν νηυσὶ —— πεσέεσθαι:⟩ ἀλλ' ἐμπεσεῖσθαι ταῖς ναυσὶ διώκοντες ἡμᾶς. A$^{int}$ *ex.(?)*

**236** *a.* Ζεὺς δέ σφιν Κρονίδης ἐνδέξια σήματα ⟨φαίνων⟩: θεραπεύων τὸν Ἀχιλλέα φησὶν ὅτι μηνίσαντος αὐτοῦ καὶ τὸ θεῖον τοῖς ὑβρίσασιν αὐτὸν συνωργίσθη. b(BCE$^3$E$^4$) T | τὸ δὲ „σφί“ δίχα τοῦ ν̄. T *ex.* | *Did.*

**231** *a* — αὐτήν (8) cf. D $a^2$ λέγει δὲ (11) — ὁρμήν (12) cf. D **233** aliter Eust. 750, 15 **235** notes ante hunc versum esse in A diplam pallido atramento pictam *a* fort. excidit pars scholii Aristonici, cf. Eust. 749, 44: ... οὐδέ τί φασι σχήσεσθαι, ἀλλ' ἐν νηυσὶ μελαίνῃσι πεσέεσθαι, τουτέστιν οὐ φασιν ἡμᾶς ὑπομεῖναι καὶ ἀντιστῆναι, ἀλλὰ φεύγοντας ἐμπεσεῖν ταῖς ναυσίν. ἢ καὶ ἑτέρως, οὐ φασι σχήσεσθαι μάχης ἤγουν ἐφέξειν ἑαυτούς, ἀλλὰ διώκοντας ἐμπεσεῖσθαι ταῖς ναυσί, ib. 750, 17 (ὅτι ἀμφίβολον ἔννοιαν ἔχει); vide ad Ρ 639 (Ariston.) ὅτι ἐπὶ (24) sq. ad Λ 824. Μ 107. 126. Ο 56 *a.* Ρ 639 (Ariston.); vide ad Λ 311. Ο. 63 (ex.) **236** diple ante versum in A, sch. Aristonici de v. ἐνδέξια fuisse ci. Wismeyer 23 *a*

**10** ἵνα T, ἣν ἂν Wil., malim ἥν **12** sq. ἵνα — ὡς cf. sch. $a^1$ **14** le. add. Li (νηῶν καὶ τείχεος add. V$^c$) **15** ὃ T ὃ καὶ b, ὃν propos. Nickau **18—9** δι' ὧν δὲ sq. pone sch. *a* (coni. cum v. ἀχιλλεύς) in b **20** le. Vill., τηλέκλητοι T, om. b **22** λόγων μόνων b, λόγους μόνον Ma. (vide Valk I 508 n. 520) **23** le. add. Frdl. **24** ὅτι A, erat fort. ἡ διπλῆ, ὅτι **25** le. addidi **27** le. T supplevi, om. b **28** μηνίσ. αὐτοῦ om. b **29** αὐτὸν T αὐτὸν ἕλλησι b **29** sq. fort. τὸ δὲ σφίν σφί δίχα τοῦ ν̄?

*Hrd.* *b.* ἐνδέξια ⟨σήματα φαίνων⟩: Ἀρίσταρχος ὑφ' ἓν μέρος λόγου τὸ ἐνδέξια ἐπὶ τὴν δε συλλαβὴν τὴν ὀξεῖαν ποιῶν. ὁ δὲ Ἀσκαλωνίτης (p. 49 B.) κατὰ παρολκὴν παραλαμβάνει τὴν ἓν πρόθεσιν ὥστε εἶναι δεξιὰ σήματα φαίνων. ἄμεινον δὲ τὸ πρότερον. **A**

*ex.* 237—9. Ἕκτωρ δὲ μέγα ⟨—— λύσσα δέδυκεν⟩: ὀνομάζων αὐτὸν κινεῖ τὸν Ἀχιλλέα. τὸ δὲ μαίνεται (238) καὶ λύσσα (239) δηλοῖ εὐχερῶς κρατηθήσεσθαι τὸν ἀπροαιρέτως κινδυνεύοντα. **b** (BCE$^3$E$^4$) **T**

*ex.* 237. βλεμεαίνων: βρέμω βρεμαίνω βλεμαίνω, ὡς κρίβανος κλίβανος. **T**

*ex.* 238—9. οὐδέ τι τίει ⟨/ ἀνέρας οὐδὲ θεούς⟩: εὐτελίζει, φησίν, οὐ μόνον ἀνθρώπους, ἀλλὰ καὶ θεούς. τῇ δὲ ὑπερβολῇ τὸ μέγεθος τῆς ὑπερηφανίας αὐτοῦ ἐδήλωσεν. **A**

*ex.* 238. ⟨πίσυνος Διΐ:⟩ αὐτὸς γάρ φησι „γιγνώσκω δ' ὅτι μοι Κρονίδης Ζεὺς κῦδος" (Θ 175 + 141). **T**$^{il}$

*Nic.* 239 *a.* ⟨ἀνέρας οὐδὲ θεούς:⟩ βραχὺ διασταλτέον ἐπὶ τὸ ἀνέρας, **A**$^{im}$**T**$^{il}$ ἵνα μείζων ἔμφασις γένηται. **T**$^{il}$

*ex.* | *ex.* *b.*$^1$ κρατερὴ δέ ἑ λύσσα δέδυκεν: τὸ ἐναντίον· αὐτὸς γὰρ αὐτὴν ἐνδέδυται. πολλὴ δὲ ἡ τοῦ θράσους ἔμφασις, **b**(BCE$^3$E$^4$) **T** ἐρεθισμός τε ἱκανὸς ὁ τῶν ἐχθρῶν ἔπαινος. **b**(BE$^3$E$^4$) **T** | λύσσα δὲ παρὰ τὸ λύειν τὸν νοῦν. **T**

*D* | *ex.* | *ex.* | *ex.* *b.*$^2$ λύσσα· μανία. | τὸ ἐναντίον· αὐτὸς γὰρ αὐτὴν ἐνδέδυται. | εἴρηται δὲ παρὰ τὸ λύειν τὸν νοῦν. | ἐρεθισμὸς δὲ ὁ τῶν ἐχθρῶν ἔπαινος. **A**

τὸ δὲ σφί (29) sq. ad N 713 *a*, cf. sch. ι 145 *b* cf. sch. ρ 365; — ποιῶν (32) ad H 184 (Hrd.), cf. Eust. 902, 17 ὁ δὲ Ἀσκαλωνίτης (32) vide ad Φ 163 (Hrd.) **237—9** — Ἀχιλλέα (36) ad I 241 *b* **237** vide ad M 42. Y 36; D, D ad Θ 337 βρέμω (39) cf. Eust. 892, 2, aliter Schem. Hom. 27 **238** *a* αὐτὸς γὰρ (44) sq. cf. D γιγνώσκω (44) — μοι = Θ 175 Κρονίδης (45) — κῦδος = Θ 141 **239** *b* παρὰ τὸ λύειν (51) ad Φ 542 (T), cf. Or. 91, 24: λύσσα· παρὰ τὴν λύσιν τῶν κατὰ ψυχὴν λογισμῶν καὶ τοῦ παλαιοῦ τῶν φρενῶν καταστήματος (scripsi, κατασπέρματος cod.)· ἢ παρὰ τὸ ἀφέτους εἶναι τοὺς κατεχομένους ἐξ αὐτῆς, ambigitur an haec e scholiis fluxerint *b*$^2$ brevius Et. Gen. (A, om. B; cf. EM. 572, 4, Et. Gud. 375, 19): λύσσαν· μανίαν. εἴρηται παρὰ τὸ λύειν τὸν νοῦν, fort. ex hyp.

---

**31** le. A supplevi **35** le. T supplevi, om. **b** (qui sch. ad I 237 rettulisse vid.) **36** λύσσα T λυσσαῖ **b** **37** αὐτοπροαιρέτως C **41** le. A supplevi **43** ὑπεριφανίας A em. Vill. **44** le. add. V$^c$ **46** le. add. Frdl. (ἀνέρας iam V$^c$) ἐπὶ A εἰς T **48** le. Vill., λύσσα δέδυκεν T, om. **b** **49** αὐτὴν] ἑαυτὸν C **50** τε] δὲ Vill., Bk., Ddf. (cf. sch. *b*$^2$)

240. ἠῶ {δῖαν}: τὴν ἠῶ κατ' αἰτιατικὴν πτῶσιν περισπαστέον καὶ τὴν „αἰδῶ" (B 262 al.), οὐ μὴν καὶ τὸ „Λητώ" (A 36 al.) καὶ τὰ τοιαῦτα πάντα. ἀλλὰ τὰ μὲν εἰς ω̄ λήγοντα θηλυκὰ ἐπ' εὐθείας καὶ αἰτιατικῆς ὁμοτονήσει ὀξυνόμενα, τὸ δὲ ἠώς καὶ αἰδώς μόνα ἕξει ἐπ' αἰτιατικῆς τὴν περισπωμένην τάσιν. A *Hrd.*

241 *a.* στεῦται {γὰρ νηῶν}: διορίζεται· στάσιν γὰρ ψυχῆς σημαίνει ἡ λέξις. ἡ δὲ ἐπαναφορὰ τῆς σημειώσεως πρὸς τὸ ἐν 'Οδυσσείᾳ (λ 584)· „στεῦτο δὲ διψάων". A *Ariston.*

*b.* ⟨ἀποκόψειν⟩ ἄκρα κόρυμβα: οὐκ ἀγαπᾶν αὐτόν φησιν, εἰ μόνον ἐμπρήσειε τὰς ναῦς, ἀλλὰ καὶ τὰ κόρυμβα ἀποκόψαι θέλειν, ὥσπερ τρόπαιον τῆς κατὰ τῶν 'Ελλήνων νίκης ἀναθεῖναι θέλοντα. | ἵνα γοῦν καὶ αὐχῇ ὡς τηλικούτων ῥυσάμενος καὶ τὸν πολέμ⟨ι⟩ον μεγάλης ἐλπίδος ἀποκόψῃ. καὶ ἄλλως δὲ τὰ ἄκρα ἀποκόπτει Ἕκτωρ διὰ τὸ ἔχειν θεοὺς ἐντετυπωμένους, ὅπως μὴ κατακαέντες ὑπὸ τοῦ πυρὸς ὀργισθῶσιν αὐτῷ. b(BC$E^3E^4$) T *ex.* | *ex.*

ἄκρα κόρυμβα: τὰ τῶν νεῶν ἀκροστόλια. διὰ τί δὲ ——— τοῦτο ποιεῖ. A *D*

242 *a.* ⟨ἐμπρήσειν:⟩ 'Αρίσταρχος „ἐμπλήσειν". $A^{im}$ *Did.*

*b.* ⟨μαλεροῦ πυρός:⟩ σημειοῦνταί τινες, ⟨ὅτι⟩ ἀντὶ τοῦ μαλερῷ πυρί. $A^{int}$ *Ariston.*

Iliad. **240** ad B 262 (Hrd.) **241** *a* ad B 597 (test.) *b* ἀλλὰ καὶ (64) sq. cf. Ge (e T ut vid.): ἢ ὡς ἀναθήσων αὐτὰ τρόπαια τῆς κατὰ τῶν 'Ελλήνων νίκης, ἢ ὅπως καὶ αὐτὰ μὴ συγκαύσει (possis συγκαύσῃ) ταῖς ναυσὶ διὰ τὸ ἐντετυπωμένους ἔχειν θεούς, Eust. 750, 32 ἵνα γοῦν (66) — ἀποκόψῃ (67) ad I 237—9 καὶ ἄλλως δὲ τὰ ἄκρα (67) sq. cf. D, He. κ 3700 **242** *a* ad B 415 (Did.) *b* cf. sch. ε 130. ι 2 (καὶ ἡ γενικὴ κεῖται ἀντὶ δοτικῆς); at vide ad Z 331. Λ 667 *b*. Π 81; Friedl., Ariston. p. 21: „Hi tres loci ab Aristarcho propter omissam praepositionem ὑπό notati esse dicuntur. Aut igitur Aristarchus inter duas explicandi rationes optionem fecit, quarum his locis unam, illo alteram epitomator excerpsit: aut signum ad I 242 appictum a discipulis non prorsus ex mente praeceptoris explicatum est". Tamen iusto iure conicias Aristarchum secundis curis hunc locum alia ratione

---

55 (le.) δῖαν del. Bk. 60 (le.) verba γὰρ νηῶν in mg. relegavit Bk. (sch. om. Vill.) 61 ἀναφορὰ Cob. 63 le. T suppl. Ma., om. b 63 sq. οὐκ ἀγ. — ἀλλὰ] ὑπισχνεῖται (= D) γὰρ καὶ τὰς ναῦς ἐμπρῆσαι διὰ καυστικοῦ πυρὸς $E^4$ αὐτὸν — ἐμπρήσειε T φησὶν αὐτὸν μόνον ἐμπρῆσαι BC$E^3$ 64 sq. ἀποκ. θέλ.] ἀποκόψειν $E^4$ 65 τρόπαια b, fort. melius (cf. test.) 65 sq. θέλοντα T, σπεύδοντα (σπεύδων $E^4$) b (fort. rectius) 66—9 ἵνα — αὐτῷ T ταῦτα δὲ πάντα κινητικά b 66 αὐχῇ sc. Achilles τηλικ. scripsi, τηλικοῦτον T, ἐκ τηλικούτων Wil. 66 sq. πόλεμον T suppl. Ma. (auctore Bk.) 72 le. add. Ddf. (Bk.) 73 le. addidi, αὐτάς τ' ἐμπρήσειν μαλεροῦ πυρός: add. Vill., Ddf. ὅτι add. Lehrs

*ex.* **243.** ⟨ὀρινομένους ὑπὸ καπνοῦ:⟩ δίκην σφηκῶν. T$^{il}$

*Nic.* **244—5.** ⟨ταῦτ' αἰνῶς δείδοικα κατὰ φρένα, μή οἱ ἀπειλάς/ ἐκτελέσωσι θεοί, ἡμῖν δὲ δὴ αἴσιμον εἴη:⟩ διασταλτέον βραχὺ φρένα (244) καὶ θεοί (245). A$^{im}$

*ex.* **245.** ἡμῖν δὲ δὴ αἴσιμον εἴη: ἀπὸ κοινοῦ τὸ 'δέδοικα' καὶ τὸ „μή" (I 244). T$^{il}$

*Ariston.* **246.** ⟨Ἄργεος ἱπποβότοιο:⟩ σημειοῦνταί τινες, ὅτι τὴν ὅλην Πελοπόννησον †οὐκ οἶδεν ὁ ποιητής, Ἡσίοδος δέ (fr. 189 M.-W.). A$^{im}$

*ex.* **247.** καὶ ὀψέ περ: καλῶς τὸ ὀψέ· εἰ γὰρ καὶ δύο γεγόνασιν αἱ ἡμέραι τῆς μάχης, ἀλλ' οὖν γε τοῖς κεκακωμένοις ὁ τῆς δυστυχίας χρόνος, κἂν ἐπ' ὀλίγον γένηται, πολὺς εἶναι δοκεῖ. καὶ τοῦ χρόνου ἡ αὔξησις ἔνδειξίς ἐστιν ὡς ἱκανῶς πο⟨ι⟩νηθέντων Ἑλλήνων. b(BCE$^3$ E$^4$) T τάχα δὲ καὶ τοιοῦτός ἐστιν ὁ λόγος· εἰ μέλλεις ὀψὲ ἀμύνειν, νῦν ἄμυνον. συνᾴδει καὶ τὸ ἑξῆς (sc. I 249—50) ὅτι νῦν μὴ ἐπαμύνας οὐχ εὑρήσεις τοῦ κακοῦ ἴασιν. b(BE$^3$E$^4$) T

*ex.* | *Nic.* **249—50** *a.* οὐδέ τι μῆχος / ῥεχθέντος κακοῦ ἔστ' ἄκος εὑρεῖν: οὐδεμία ἐστὶ μηχανὴ τοῦ κακοῦ ῥεχθέντος θεραπείαν εὑρεῖν. πρὸς τὸ παρὸν δὲ ἡ γνώμη· τινὰ γὰρ τῶν κακῶν ἰάσεως τυγχάνει. A b(BE$^3$E$^4$) T | ἐπὶ τὸ μῆχος (249) βραχὺ διασταλτέον· σαφέστερον γὰρ οὕτω παρίσταται. A

enarravisse atque illos tres. Vide praeterea ad O 265 *c* (ex.) **243** Ge (e T), cf. Eust. 750, 38; Koerner, Bienenk. 75 **246** ad Δ 171 *d* (Ariston.), cf. D ad A 30; Allen, Halliday and Sykes, The Homeric Hymns (Comm. ed. alt., Oxon. 1936) p. 240 **247** de v. ἄνα cf. D, Ap. Dysc. adv. 136, 25; synt. 6, 11; Hrd. παθ. (2, 207, 16) in Et. Gen. (AB) ἄνα. Neque tamen verisimile est sch. ex. talis argumenti exstitisse. Vide ad Z 331. Σ 178 **249—50** — εὑρεῖν (93) cf. D, sim. *B, E$^4$ (m. pr., sch. alt.): ῥεχθέντος γὰρ τοῦ κακοῦ τούτου καὶ τῶν νηῶν ἐμπρησθεισῶν οὐκ ἔστι μηχανὴν εὑρεῖν καὶ „ἀμηχανίη δ' ἔχε θυμόν" (ι 295), sch. Pind. Ol. 2, 31 ἐπὶ τὸ μῆχος (94) sq. cf. Friedl., Nic. p. 85 **249** de accentu vocis τοι vide ad

---

**75** le. addidi (auctore Nicole), ὀρινομένους add. V$^c$, ἀτυζομένους add. Bk. (vix recte) δίκην] ὀρινομένους δίκην Bk. (improbabiliter) σφηκ. δίκην Ge **76** sq. le. add. Frdl. (duce Vill.) **79** le. scripsi, ἡμῖν δέ· (pars explicationis) T fort. δείδοικα **80** μήπως T em. Ma. **81** le. add. Bk. **82** post πελο πόννησον interpunxit Frdl. οὐκ οἶδεν A, τὸ δὲ ὄνομα οὐκ οἶδεν Frdl., malim οὐκ οἶδεν οὕτω καλουμένην (cf. Ariston. ad I 395*a*, ad rem Ariston. ad I 141) **84** εἰ b καὶ T γεγόνασι b **84** sq. αἱ — μάχης T, τῆς μάχης ἡμέραι b (fort. bene) **86** κἂν T καὶ εἰ b ὀλίγον b ὀλίγον χρόνον T **86** sq. καὶ ἡ τοῦ χρ. δὲ αὔξησις b **87** πον. ἑλλ. T suppl. Ma., ἐποινήθησαν ἕλληνες b **88** ὀψὲ T ποτὲ b **89** συνᾴδει δὲ καὶ b, fort. verum νῦν μὴ ἐπ. T εἰ μὴ νῦν ἐπαμύνῃ b **90** εὑρ. T εὑρήσει BE$^3$ εὕρῃ? E$^4$ (εὑρήσῃ Le) τοῦ T οὐδαμοῦ τὴν τοῦ b **91** sq. le. T, οὐδέ τι μῆχος: A, τὸ δὲ οὐδέ τι μῆχος ἔσται pone sch. *b* (coni. cum v. καιρόν) b **92** ἐστὶ T ἔσται Ab ῥεχθ.] πραχθέντος A **94** ἔτυχεν A

*b.* ⟨οὐδέ τι μῆχος / ῥεχθέντος κακοῦ ἔστ' ἄκος εὑρεῖν:⟩ τὸ „οὐδέ τι οἶδε νοῆσαι ἅμα πρόσσω καὶ ὀπίσσω" (Α 343) ἐντέχνως αὐτῷ προβάλλεται· τοῦτο γὰρ περὶ Ἀγαμέμνονος ἔλεγε τοῖς κήρυξιν. ἐφ' ἕτερον δὲ κεφάλαιον ἔρχεται ὡς καὶ αὐτῷ συμφέρον καὶ ὠφέλιμον τὸ μὴ παριδεῖν τὸν νῦν καιρόν. b(B$E^3E^4$) *ex.*

251. ⟨Δαναοῖσιν:⟩ οὐκ Ἀγαμέμνονι· τοῦτο γὰρ κατακρύπτει b(BC$E^3E^4$) $T^{il}$ διὰ τὸ μὴ αἴφνης παροξῦναι αὐτόν. b(BC$E^3E^4$) *ex.*

252 *a.* ὦ πέπον: ὁτὲ μὲν τὸν εὐδιάλυτον δηλοῖ καὶ ἀσθενῆ, ὁτὲ δὲ τὸν προσηνῆ, ἀπὸ τοῦ πεπείρου καὶ ἁπαλοῦ. A *x*

*b.* πατὴρ ἐπετέλλετο Πηλεύς: τοῦτο δεύτερον κεφάλαιον, εἰς ἐπιείκειαν καὶ πρᾳότητα προκαλούμενον. τὸ δὲ στασιαστικὸν θέλων ὀνειδίζειν †οὐδὲ† τοῖς ῥήμασιν ἀνακεκαλυμμένως χρῆται οὔτε ἐξ ἰδίου προσώπου τὴν ἐπιτίμησιν ποιεῖ, ἀλλ' ἐν ἠθοποιΐᾳ ἐξ ἀπόντων προσώπων ταύτην εἰσήγαγεν. ἔστιν οὖν ἀνεπαχθὴς ὡς οὐκ ἰδίας ὑποθήκας εἰσάγων, ἀλλ' ὑπομιμνήσκων τοῦ πατρός. καὶ ὁ Νέστωρ ὁμοίως πρὸς Πάτροκλον (sc. Λ 785—90). b(BC$E^3E^4$) T *ex.*

253 *a.* ἐκ Φθίης Ἀγαμέμνονι πέμπε: ὡσανεὶ δευτέρῳ πατρί. ἐντέχνως οὖν οὐκ εἶπε 'σὺν Ἀγαμέμνονι'. b(BC$E^3E^4$) T *ex.*

*b.* ⟨Ἀγαμέμνονι πέμπε:⟩ ἔνδοξόν τι· καὶ πρὸς πειθὼ γὰρ ἐπιτήδειον τοῦτο. $T^{il}$ *ex.*

254. ⟨τέκνον ἐμόν:⟩ σημειοῦνταί τινες, ὅτι παρεῖται τὸ 'τάδε λέγων'. $A^{im}$ *Ariston.*

I 680 (Hrd.) **252** *a* Et. Gen. (AB) πέπον, fort. ex hyp. Iliad.; cf. D ad B 235, Ap. S. 129, 33 (sim. EM. 661, 53), Heracl. Mil. fr. 26 C. (= Eust. 1098, 12), Ep. Hom. (An. Ox. 1, 353, 11, Et. Gud. 460, 20, EM. 662, 2), Eust. 211, 9. Vide ad B 235 *a*. N 120 *a*. Verba scholii *a* interpolata esse videantur; Oro fort. recte attribuentur, cf. Beiträge 104 *b* τοῦτο δεύτ. κεφάλαιον (10) ad I 230—1 **254** ad I 224 *a* (Ariston.), cf. D. Sch. Aristonici fort. decurtatum; auctorem enim nuntiavisse censeas Aristarchum lectores hinc ad versus Λ 783—4 delegasse, qui cum

---

**1** sq. le. add. Vill., nisi totum sch. ad versus I 247—51 prosperius referatur (cf. Eust. 750, 47); ipse hyparchetypus b sch. ad I 249 revocavit **6** le. add. Ma. (ὅπως δαναοῖσιν add. $V^c$), om. b (cuius auctor totum sch. post I 247 positum ad illum versum [υἷας ἀχαιῶν] rettulit, nescio an recte) ἀγαμέμνονι T ἀγαμέμνονά φησι b **9** πεπήρου A em. Vill. ἀπ. A, ἀσφαλοῦς Et. Gen. **10** sq. κεφάλ. cp. in $E^4$ **11** ἐπιήκειαν C **11** sq. στάσιμον b **12** οὐδὲ] οὔτε Bk., recte ut vid. ἀνακεκαλυμένως T **13** ἐπιτ. T ἐπιστήμην b **19** le. add. Ma. **21** le. add. Vill.

*ex.* **254—8.** τέκνον ἐμόν ⟨——— νέοι ἠδὲ γέροντες⟩: συνετῶν τὸ τὰς φύσεις τῶν υἱῶν καταμαθόντας πρὸς ταύτας ἁρμόττεσθαι τοὺς λόγους, ὡς καὶ ὁ Πηλεὺς εἰδὼς Ἀχιλλέα ἀνδρεῖον μέν, ὀργίλον δὲ καὶ πλήρη φιλοτιμίας, παραινεῖ αὐτῷ ἀποθέσθαι τοῦ ἤθους τὸ φιλόνεικον, **b**(BCE$^3$E$^4$) T ὡς ἐκ τούτου μάλιστα τιμῆς τευξόμενον, ἧς ὀρεγόμενον ἑώρα τὸν Ἀχιλλέα. ἔστι δὲ πιστὸς ὡς πατὴρ καὶ ἐν πολέμοις πολλάκις εὐδοκιμήσας. **b**(BE$^3$E$^4$) T

*ex.* **255.** δώσουσ', αἴ κ' ἐθέλωσι: καλῶς τὸ ἐθέλωσι, ὡς οὐ δωσόντων, εἰ ἀνάξιος ὀφθείη τῆς δωρεᾶς. A **b**(BCE$^3$E$^4$) T$^{il}$

*D | ex.(?)* **256** *a.* ἴσχειν ⟨ἐν στήθεσσι: ἴσχειν·⟩ ἐπέχειν, παύειν. | τὸ ἐν τῷ στήθει φησὶ διὰ τὴν καρδίαν· αὕτη γὰρ ἐν τῷ στήθει κεῖται οὖσα αἰτία τῆς ὀργῆς, ὡς καὶ ὁ τοῦ θυμοῦ ὅρος δηλοῖ· θυμὸς γάρ ἐστι, φησί, ζέσις τοῦ ἐν καρδίᾳ θερμοῦ πρὸς ὄρεξιν ἀντιλυπήσεως. A

*ex.* *b.* ⟨ἴσχειν ἐν στήθεσσι:⟩ διδασκαλία καὶ ἡμῖν, κρατεῖν ὀργῆς. T$^{il}$

*ex.* **257.** ἔριδος κακομηχάνου: πρὸς τὴν ἀγαθὴν διέστειλεν. ἐπείπερ οἱ ἐρίζοντες κακὰ τοῖς πλησίον μηχανῶνται. δείκνυσι δέ, ὅτι οὐ τοσοῦτον ὀνίνησιν ἰσχύς, ὅσον ἡ πρὸς τοὺς φίλους ἔρις βλάπτει. **b** (BCE$^3$E$^4$) T

*ex.* **257—8.** ὄφρα σε ⟨μᾶλλον⟩ / τίωσ' ⟨Ἀργείων⟩ ἠμὲν νέοι ἠδὲ γέροντες: εἰ μὴ ὑποθήκη πατρὸς ἐδόκει τὸ †πρασσόμενον†,

his mandatis pugnare dicebantur, ad Λ 767 *a*$^1$; Friedl., Ariston. p. 161 **254—8** ὡς (27) — τευξόμενον cf. Eust. 750, 54 **256** *a* τὸ ἐν τῷ στήθει (32) sq. cf. E$^4$ (m. pr.): κάρτος (sc. I 254)· τὴν δύναμιν τὴν ἐν τῷ στήθει — δηλοῖ· θυμὸς γάρ ἐστι ζέσις — ἀντιλυπήσεως, Ge: ἐν στήθεσσι· ἤτοι ἐν τῇ καρδίᾳ· αὕτη γὰρ ἐν τῷ στήθει κεῖται, ὡς καὶ ὁ τοῦ θυμοῦ ὅρος δηλοῖ· θυμὸς γάρ ἐστι ζέσις τοῦ περικαρδίου αἵματος, utrumque fort. sch. classis h θυμὸς γάρ ἐστι (34) sq. ad Σ 110, cf. Ep. Hom. (An. Ox. 1, 197, 16, Et. Gud. 267, 4); St. V. Fr. II 235, 13 (= Chrys. fr. 878), III 101, 44 (= Chr. fr. mor. 416); Valk I 480 **257** — διέστειλεν (38) cf. Eust. 750, 53; Hsd. opp. 11 cum scholio (11 b) ἐπείπερ (38) — μηχανῶνται (39) cf. D **257—8** ad Λ 786—9

---

**23** le. T supplevi, om. **b** (scholio relato ad I 254) **26** ἀποτίθεσθαι T τοῦ ἤθ. τὸ T τὸ τοῦ ἤθους **b** **26 sq.** debuit φιλόνικον, sed vitium antiquum **27** τευξ. τιμῆς **b** **28** ἑώρα τ. ἀχ. T αὐτὸν ἑώρα **b** **30** le. Vill., αἴ κ' ἐθέλωσιν: A (αἴ κε θέλωσιν Li, αἴ κε θέλωσι V$^c$), om. **b**T καλῶς τὸ T εὖ καὶ τὸ A εὖ τὸ **b** ἐθέλωσιν A **30 sq.** ὡς οὐ δωσ.] δηλοῖ γὰρ ὡς οὐ δώσουσιν **b** **31** post ἀνάξ. add. ὅλως CE$^3$, ὅλος BE$^4$ **32** verba ἐν στ. ἴσχ. addidi (auctore Vill.) **36** le. addidi (ἴσχειν add. iam V$^c$) **38** post διέστ. sic interpunxit Ma.; fort. rectius διέστειλεν. κακομηχάνου δέ, ἐπείπερ **40** τοσοῦτον] τοῦτ(ον) C τοιοῦτον E$^4$ ὅσον T ὃν **b** **42** le. ὄφρα σε τίωσι ἠμὲν ν. ἠδὲ γ. T em. et suppl. Ma., om. **b** (ubi sch. ad I 258 relegatum est) **43** ἐδόκει T ἦν **b** πρασσόμ. T λεγόμενον **b**, fort. προστασσόμενον

κἂν ἠρέθισεν Ἀχιλλέα ὑποσημαίνων ὡς ἀσχημονεῖ νῦν καὶ παρὰ νέοις καὶ παρὰ γέρουσιν. b(BCE³E⁴) T

*ex.* 259. σὺ δὲ λήθεαι: πράως καθήψατο, οὐκ ἀμελεῖν αὐτὸν φήσας, ἀλλ' ἐπιλελῆσθαι. ὄνομα οὖν ἐξελέξατο συγγνώμης ἀξιούμενον. b(BCE³E⁴) T

*ex.* 259—60. ἀλλ' ἔτι καὶ νῦν / παῦε: καλῶς νῦν (259), ἵνα δηλώσῃ τὸν ἱκέτην. ἅμα δὲ καὶ ὑποφαίνει ὡς οὗτος αὐτῷ ὑποτάττεται, ᾧ ὁ πατὴρ αὐτὸν ὑπέταξεν. μετὰ δὲ τὸ τοὺς τοῦ πατρὸς λόγους πεπᾶναι αὐτὸν προφέρει τὰ δῶρα· b(BCE³E⁴) T  αἰσχροκερδὲς γὰρ ἦν τὸ ἀπ' ἀρχῆς. b(BE³E⁴) T

*ex.* 261 *a*. ⟨ἄξια δῶρα δίδωσι:⟩ τρίτον κεφάλαιον τὸ περὶ τῶν δώρων. b(BE³E⁴) T^il

*Ariston.* *b*. ⟨χόλοιο:⟩ ὅτι ἀντιφράζει τῇ μήνιδι τὸν χόλον. A^im

*Nic.* | *Ariston.* | *Hrd.* καθ. (?) 262 *a*. εἰ δὲ σὺ μέν μευ ⟨ἄκουσον, ἐγὼ δέ κέ τοι καταλέξω⟩: οἱ ὑποστίζοντες ἐπὶ τὸ εἰ δέ, ὡς λείποντος τοῦ θέλεις, διηλέγχθησαν ἐν τοῖς ἐπάνω (sc. ad I 46—7 *a*). καὶ νῦν δέ ἐστιν ὁ λόγος· 'ἄγε δὴ σὺ μέν μου ἄκουσον'. | ἡ διπλῆ δὲ πρὸς τὸ σχῆμα, ὅτι ἀντὶ τοῦ ἐγὼ δ' ἄν σοι καταλέξαιμι, ἢ περισσὸς ὁ κέ. | τὸ εἶ παρακελευστικὸν ἐπίρρημά ἐστιν, ὃν τρόπον ἐπὶ τοῦ Διὸς „ἀλλ' εἴ τις καλέσειε θεῶν Θέτιν" (Ω 74). καὶ τὸ παρακελευστικὸν ἐπίρρημα ἀπὸ τούτου γεγονέναι τοῦ συνδέσμου τοῦ α̅ι̅ περιττεύοντος, τοῦ τόνου ἀλλαγέντος εἰς περισπώμενον ἀναγκαίως καὶ τῆς δασείας Ἀττικῶς προσελθούσης. A

259 ἐπιλελῆσθαι (47) cf. Eust. 750, 52  261 fort. erat sch. Didymi de v. μεταλ(λ)ήξοντι, ad I 299  *a* τρίτον κεφάλαιον (54) ad I 230—1  *b* ad Δ 513 *a* (Ariston.)  262 *a* — ἄκουσον (60) ad I 46—7 (Nic.)  ἡ διπλῆ (60) — ὁ κέ (61) ad A 523 *a*, imprimis ad B 488—92. Δ 176 (Ariston.)  τὸ εἶ παρακελ. (61) sq. cf. test. ad D. Thr. p. 82, 1 collecta  τὸ εἶ παρακελ. (61) — Θέτιν (62) ad Ω 74 (ex.)  καὶ τὸ παρακελ. ἐπίρρημα (63) sc. εἶα, cf. Hrd. καθ. 1, 495, 14; Lehrs Ar.³ 321; Valk I 598  ἀπὸ τούτου γεγονέναι (63) sq. aliter Choer. O. (An. Ox. 2, 213, 15, Et. Gen. [= EM. 294, 42], Eust. 107, 29)

45 παρὰ om. b  46 πράως b  αὐτὸν om. b  47 ἀξιούμ. T ἄξιον b  49 (le.) παύεο ci. Ma. (le. om. b, ubi sch. ad v. 259 relatum est)  τὸ νῦν b  49 sq. ἵνα καὶ τὸν ἱκ. παραδηλώσῃ b  50 καὶ om. b  αὐτῷ νῦν ὑπ. b  51 αὐτὸν om. b  τὸ om. b  51 sq. πεπᾶναι Ma., πεπτᾶναι vel πεπιᾶναι T πεπάνας b  52 προσφέρει T  54 le. add. V^c, ὑπέσχετο δῶρα (= I 263) add. Ma., om. b  54 sq. τρίτον — δώρων super versum I 263 scriptum in T, transposui; τρίτον δὲ κεφάλαιόν ἐστι τὸ π. τ. δώρων coni. cum scholio I 259—60 (v. ἀρχῆς) b  56 le. add. Bk.  ὅτι A, fort. ἡ διπλῆ, ὅτι  57 le. εἰ δὲ σὺ μέν μου· A em. et suppl. Vill.  61 ἢ Frdl., καὶ A  κέ Vill., καὶ A  εἶ Vill., ε̅ A  62 καλέσειε Vill., κελεύει A  63 fort. γέγονε

*ex.* *b.* εἰ δέ, σὺ μέν μευ ἄκουσον: ἀντὶ τοῦ ἄγε δή. δυσχεραίνοντος δὲ αὐτοῦ πρὸς τοὔνομα τῶν δώρων δεῖται ἀκουσθῆναι. ἢ τάχα ἔμφασίς ἐστι τοῦ πλήθους τῶν δοθησομένων. b(BC$E^3E^4$) T

*ex.* **265.** ⟨αἴθωνας δὲ λέβητας:⟩ διαιρεῖ τῶν ἀναθεματιαίων, ἐμπυριβήτας (cf. Ψ 702) καὶ αἴθωνας αὐτοὺς καλῶν. $T^{il}$

*Did.* **270.** ⟨ἀμύμονας:⟩ οὕτως Ἀρίσταρχος μετὰ τοῦ σ̄ „ἀμύμονας". $A^{im}$

*Ariston.* **271.** Λεσβίδας: ὅτι τὰς ἑπτὰ Λεσβίδας ὑπισχνεῖται, οὐχ ὡς ὁ Ζηνόδοτος ἐν ταῖς ἑπτὰ καὶ τὴν Βρισηΐδα τάττει· ἔστι γὰρ Λυρνησσία. A

*Did.* **274.** ⟨κούρην Βρισῆος· καὶ ἐπὶ μέγαν ὅρκον ὀμεῖται:⟩ Ἀρίσταρχος γράφει „κούρη Βρισῆος· ἐπὶ δὲ μέγαν ὅρκον ⟨ὀμεῖται⟩". $A^{im}$

*Ariston.* **279.** ⟨νηήσασθαι:⟩ ἀντὶ προστακτικοῦ. $A^{im}$

*Hrd.* καθ. **292.** ⟨Ἱρήν:⟩ οὕτως Ἱρήν ὀξυτόνως, ὡς ἐν τῇ Καθόλου (1, 263, 6). $A^{im}$

*Ariston.* **297.** οἵ κέ σε δωτίνῃσι ⟨θεὸν ὣς τιμήσονται⟩: ἡ διπλῆ, ὅτι τῷ παθητικῷ ἀντὶ τοῦ ἐνεργητικοῦ ἐχρήσατο· οὕτως γὰρ Ἀρίσταρχος τιμήσονται ὡς ἐλεύσονται. A

*Did.* **299.** ⟨μεταλλήξαντι:⟩ διὰ τοῦ ἑτέρου λ̄ τὸ μεταλλήξαντι αἱ Ἀριστάρχου. $A^{im}$

**265** cf. Porph. 1, 136, 19 **270** ad I 128 *c* (Did.) **271** ad I 131 (Ariston.); vide ad I 130 *b* ἔστι γὰρ (74) sq. ad B 690 (Ariston.) **274** ad I 132 $a^1$ (Did.) **279** deest diple ante versum in A, fort. neglegentia scribae ἀντὶ προστακτικοῦ ad A 20 $a^2$ (Ariston.) **292** ad I 150 (Hrd.) **297** excidit pars scholii Aristonici, qui notare solebat talibus in sententiis vocem κέ superfluam esse, ad A 523 *a*; vide ad A 175 ἡ διπλῆ, ὅτι (82) sq. ad Γ 306 (Ariston.) **299** aliter D ad I 261 διὰ τοῦ ἑτέρου λ̄ (85) ad I 78 *a*; cf. Allen, Halliday and Sikes, The

**66** ἀντὶ — δή T ἄγε σύ b **67** πρὸς τὸ ὄνομα τῶν δωρεῶν b **68** ἐστίν (non ἐστι) pone δοθ. b **69** le. add. $V^c$ τὸν ἀναθεματιαῖον T em. Ma. **71** le. (= A, vulg.) addidi (duce Vill.) ἀριστ.] ἀριστοφάνης Cob. **73** ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **76** le. add. Vill. **77** γράφει cp. (γρ) in A κούρης A em. Vill. βρισ. Ddf. (cf. sch. I 132 $a^1$), βρησηΐς A, βρισηΐς Vill. ὀμεῖται add. Vill. **79** le. add. Vill., totum v. 279 add. Frdl. ἀντὶ A, erat fort. ἡ διπλῆ, ὅτι ἀντὶ **80** le. addidi (auctore Vill.) **82** le. A suppl. Frdl. (τιμήσουσι [pro τιμήσονται] vulg.) **84** τιμήσωνται ὡς ἐλεύσωνται A em. Lehrs (Bk.) **85** le. add. Vill., Ldw. (μεταλήξαντι vulg. ut Aristarchus)

**300** *a*. εἰ δέ τοι Ἀτρείδης μὲν ἀπήχθετο: τέταρτον κεφάλαιον δεητικὸν ὑπὲρ τῶν Ἑλλήνων. ὑποφορᾷ δὲ χρῆται, προλαμβάνων αὐτοῦ τὴν ἀντίρρησιν καὶ τῇ Ἀγαμέμνονος ἔχθρᾳ ἀντιτιθεὶς τὸν ἁπάντων ἔλεον καὶ μόνον οὐχὶ πᾶσαν ἱκετεύουσαν παράγων Ἑλλάδα. ἐπὶ τὴν δευτέραν δὲ μεταβέβηκε στάσιν καὶ πανταχόθεν πείθει· ὑποσχέσει, δεήσει, ὠφελίμῳ, ἐλέῳ. b(BCE³E⁴) T *ex.*

*b*. κηρόθι μᾶλλον: κηρὸς μᾶλλον. T | εἰς δύο δὲ μερίζει τὴν ἱκετείαν, Ἀγαμέμνονα καὶ Ἕλληνας. b(BCE³E⁴) T *ex.* | *ex.*

*c*. κηρόθι μᾶλλον: ἤτοι θανάτου πλέον, παρὰ τὴν κῆρα, τουτέστι θανατηφόρον μοῖραν. ἢ ἐν τῇ ψυχῇ μισεῖται μᾶλλον, παρὰ τὸ κῆρ, ὅ ἐστι ψυχή. A *ex.*

**302—3** *a*. τειρομένους ἐλέαιρε ⟨κατὰ στρατὸν οἵ σε θεὸν ὣς / τίσουσι⟩: τὸ κατὰ στρατόν (302) ἀμφοτέροις δύναται συνάπτεσθαι τοῖς μέρεσιν. εἰ μὲν οὖν τοῖς ἄνω συνάπτοιτο, ἔσται τὸ ἑξῆς· τειρομένους κατὰ στρατόν, οἷον καταπονουμένους ἤδη ἐν τῷ στρατοπέδῳ καὶ δεδιωγμένους μέχρι θαλάσσης. εἰ δὲ τοῖς ἑξῆς, ἔσται ὁ λόγος· οἵτινές σε κατὰ πᾶν τὸ στράτευμα τιμήσουσιν ὡς θεόν, οἷον πάντες ὁμοίως. A *Nic.*

*b*. ⟨τειρομένους⟩ ἐλέαιρε κατὰ στρατὸν ⟨οἵ σε θεὸν ὣς / τίσουσι⟩: τὸ ⟨κατὰ⟩ στρατόν (302) δύναται πρὸς ἄμφω εἶναι. | αὔξων τὴν εὔκλειαν δείκνυσιν ὡς πρὸς αὐτούς ἐστιν ἡ πρᾶξις. T *Nic.* | *ex.*

**303.** ἦ γάρ κέ σφι ⟨μάλα⟩ μέγα κῦδος ἄροιο: ὡς „πᾶσι δέ κε Τρώεσσι χάριν καὶ κῦδος“ (Δ 95) ἀντὶ τοῦ παρὰ πάντων ἢ ἐκ πάντων. T *ex.*

Homeric Hymns (Comm. ed. alt., Oxon. 1936) p. 167 **300** *a* τέταρτον κεφάλαιον (87) ad I 230—1 στάσιν (91) modus dicendi minus usitatus, cf. sch. *b*; vide ad I 312—3. 316 *a*; Lehnert 104; Schrader, Herm. 37, 1902, 564 *c* ἐν τῇ ψυχῇ (1) cf. D, Eust. 750, 55 **302—3** *a*/*b* ad Ψ 285—6 (Nic.)

---

**89** ἀντίρησιν T ἀντιτίθησι b τὸν b τῶν T **90** μονονουχὶ b παράγει b **91** πείθει T πείθειν πειρᾶται b **93** κηρὸς scripsi, κῆρος T (V) **93** sq. εἰς δύο δὲ sq. cum scholio praecedenti coni. b; fort. suspicaberis alteram partem scholii rectius ad I 300—2 referendam esse; sed auctor voce μᾶλλον (h. e. 'nimium') significare potest poetam ad duos supplices spectare **94** ἀγ. T, εἰς ἀγαμέμνονα b (fort. rectius) **95—02** pone sch. I 302—3 *a* in A, trps. Vill. **95** θάνατος A em. Vill. **3** sq. le. A suppl. Frdl. **7** στρατοπαίδῳ A em. Vill. **10** sq. le. T supplevi **11** κατὰ add. Ma. **12** verba αὔξων sq. ad I 301 rettulit Bk., fort. recte **13** le. T suppl. Ma. **14** κῦδος T, fort. κῦδος ἄροιο (= Hom.)

*ex.* **304** *a*. νῦν γάρ ⟨χ'⟩ Ἕκτορ' ἕλοις: τρία ποιεῖ· τῷ μὲν καλῷ τῆς ἐπικουρίας τὸ φιλότιμον συνάπτει, ἀντὶ δὲ τῆς κατὰ τοῦ ἀδικήσαντος ὀργῆς τὴν τῶν ἀτυχούντων ἱκετείαν οἰκτίζεται, τὸ δὲ ἀνθέλκον τοῦ θυμοῦ ἐπιρρεπὲς ποιεῖ φθόνῳ τῶν περὶ τοὺς ἐχθροὺς εὐτυχημάτων. b(BCE$^3$E$^4$) T

*ex.* *b*. ⟨νῦν:⟩ καλῶς εἶπε νῦν, T ὡς πρώην αὐτοῦ πτήσσοντος ἐν τῷ τείχει· ὥστε μὴ ἀπολέσῃς τὸν καιρόν, ἐν ᾧ μεγάλα δυνήσῃ ἐπιδείξασθαι κατὰ τῶν πολεμίων. b(BCE$^3$E$^4$) T

*ex.* **305.** ⟨οὔτινα:⟩ οὐδὲ σέ. ἐρεθιστικὰ δὲ ταῦτα. T$^{il}$

*ex.* **307—9.** τὸν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς ⟨/———/⟩ χρὴ μέν: τὸν Ἀχιλλέα παραδίδωσι φιλότιμον, ἁπλοῦν, φιλαλήθη, βαρύθυμον, εἴρωνα. καὶ ὅσα μὲν φθέγγεται συνετά, ταῦτα αὐτῷ ἡ παιδεία δέδωκεν, ὅσα δὲ αὐθάδη καὶ μεγαλόφρονα, ταῦτα ὑπὸ τῆς φύσεως λέγειν προάγεται. b(BCE$^3$E$^4$) T

*ex.* **309** *a*. χρὴ μὲν δὴ τὸν μῦθον ⟨ἀπηλεγέως ἀποειπεῖν⟩: γυμνός ἐστιν ὑπὸ τῆς ὀργῆς καὶ περιπλοκὰς οὐκ οἶδε λόγων· ἔδει γὰρ δικαιολογεῖσθαι, εἶθ' οὕτω τὴν ἀπόφασιν ἐπαγαγεῖν. ὁ δὲ τοὐναντίον φησίν· ἔστι γὰρ θυμὸς μεστὸς ἀκοσμήτου παρρησίας, τοσοῦτον δὲ ἀπέχει πειθοῦς, ὅτι καὶ τῶν ἄλλων προαναστέλλει τοὺς λόγους „ὡς μή μοι τρύζητε παρήμενοι" (I 311). πάντες δὲ οἱ παρὰ θυμὸν ἀπειλοῦντες πίστιν ἐπάγουσι τοῖς ἰδίοις λόγοις, οἱ μὲν λόγῳ, οἱ δὲ δι' ἀποδείξεων, οἱ δὲ διὰ γνωμῶν, ὃ νῦν (sc. I 312—3) ποιεῖ. b(BCE$^3$E$^4$) T

*ex.* *b*. ⟨τὸν μῦθον:⟩ τὸν ἀντικείμενον τοῖς ῥηθεῖσιν. T$^{il}$

**304** diple ante versum in pap. Berol. 7807, cf. Martinazzoli I 66; num sch. Aristonici umquam fuerit, dubitatur *b* Ge (e T), sch. separatum ὥστε μὴ ἀπολέσῃς (22) cf. Mayser, Gramm. II 3 (Berol. 1934), p. 97, 22 **307—9** — βαρύθυμον (27) cf. Eust. 751, 32; vide ib. 751, 1; Plat. Hipp. min. 365 b 3 **309** *a* Ge (e T), cf. app. crit. δικαιολογεῖσθαι (32) cf. Lehnert 105 ὃ νῦν ποιεῖ (37) cf. Eust.

---

**16** le. T supplevi, om. b **19** ἐπιρεπὲς T **21** le. add. Bk., fort. νῦν γάρ χ' ἕκτορ' ἕλοις: (Vill.) καλῶς Ge (e coni.), καλῶς δὲ (coni. cum scholio praecedenti) T αὐτοῦ sc. ἕκτορος **21 sq.** πτώσσοντος b **22** ὥστε T, ὥστε φησὶ (cp. B) b (fort. recte) **24** le. add. Ma., ἐπεὶ οὔτινα add. V$^c$ **25 sq.** le. T suppl. Ma., om. b (ubi sch. ad I 308 vel 309 revocatum esse vid.) **27** φιλαλήθην T **28 sq.** αὐτῷ ἡ — μεγαλόφρονα ταῦτα om. E$^3$ **30** le. T supplevi (auctore Vill.), om. b **31** ἐστιν ὑπὸ τῆς om. T **32** οὕτως b ἐπαγ. T εἰπεῖν b **33** φησίν T ποιεῖ b γὰρ absc. E$^4$ **34** ὅτι susp., ὥστε Ge, recte opinor **35** περίθυμον Ma., at παρὰ θυμόν = secundum iram, ira commoti **37** διὰ (ante γνωμῶν) om. b **38** le. add. Ma., qui sch. super versum I 308 scriptum huc traxit, διογενὲς λαερτιάδη add. V$^c$

*c.* ἀπηλεγέως: ἀποτόμως, σκληρῶς· ἢ ἀπαγορευτικῶς, κεκριμένως. A | ἀπαγορευτικῶς, A b(BCE$^3$E$^4$) T διαρρήδην· ἢ συντόμως ἀπὸ τοῦ λῆξαι, ὅ ἐστιν εἰπόντα παύσασθαι· φιλοσύντομος γὰρ ὁ θυμός. ἢ ἀσυμπαθῶς καὶ ἀπηλγημένως παρὰ τὸ ἀλέγειν· οἱ γὰρ λυπεῖν θέλοντες τὰς χρηστὰς ἐκκόπτουσιν ἐλπίδας. ὅρα δὲ ὡς πρὸς μὲν Ὀδυσσέα ἀπιέναι φησίν (sc. I 356—63), πρὸς Φοίνικα δὲ μένειν (cf. I 618—9), μὴ μέντοι πολεμήσειν, πρὸς Αἴαντα δὲ πολεμήσειν, ἀλλ' ὅταν ἀνάγκη καλῇ (sc. I 650—55). A b(BE$^3$E$^4$) T τοῦτο δὲ θυμώδους ἀνδρὸς καὶ πρὸς τὸ μὴ καταφρονηθῆναι ἀγωνιζομένου. T *D* | *ex.*

**310** *a.* ⟨ᾗπερ δὴ κρανέω:⟩ Ἀρίσταρχος „ᾗπερ δὴ φρονέω". A$^{int}$ *Did.*

*b.* ᾗπερ δὴ κρανέω {τε}: αἱ Ἀριστάρχου „φρονέω". | τὸ δὲ κρανέω ἀντὶ τοῦ τελειώσω, πληρώσω. ὁ δὲ ᾗ ἀντὶ τοῦ ὥς. T *Did.* | *ex.*

**311** *a.* ὡς μή μοι τρύζητε ⟨παρήμενοι ἄλλοθεν ἄλλος⟩: αὐθαδῶς ἐπισκώπτει τὴν ἐπιτέχνησιν τῶν λόγων Ὀδυσσέως, καὶ Φοίνικα προανακόπτει, ὃν ὑποπτεύει παρακεκλῆσθαι ὑπὸ τοῦ Ἀγαμέμνονος. b(BCE$^3$E$^4$) T τινὲς δὲ διὰ τὸ „καί μ' ᾐτιάασθε ἕκαστος" (Π 202). T *ex.*

*b.*$^1$ τρύζητε: παρὰ τὸ τρυγὼν ἐστιν· ἢ τρύχητε τὴν ἀκοήν, ἢ τονθορύζητε. T *ex.*

*b.*$^2$ τρύζητε ἤτοι τρύχητε τὴν ἀκοὴν καὶ βαρύνητε. b (BCE$^3$E$^4$)

751, 26 *c* — ἐλπίδας (43) Et. Gud. 165, 15 Stef. (paulo brevius peiusque), e Ven. A ut vid.; cf. Beiträge 167; — ἀλέγειν (42) cf. sch. α 373, Or. 13, 1 (uberius Et. Gen. [A, om. B] ἀπηλεγέως) ἀποτόμως (39) = Eust. 751, 4, sch. Ap. Rh. 3, 19. 439 συντόμως (41) cf. sch. Ap. Rh. 1, 785 **310** *a*/*b* cf. D (γράφεται καὶ „κρανέω", ἵν' ᾖ τελειώσω); Eust. 751, 3; Nicole, Les scolies Genevoises etc., Introd. XXXVIII **311** *a* τινὲς δὲ (54) sq. ad Π 202 *a* *b* cf. Eust. 751, 11 (ἔστι δὲ τρύζειν τὸ πολυλογεῖν ἢ πολυφωνεῖν); Pfeiffer ad Call. fr. 1, 1 *b*$^1$ Ge (∍ T), cf. app. crit. παρὰ τὸ τρυγὼν (56) sq. cf. D; Erot. 83, 19; Synag. (Ba.

39 le. AT, ἀπηλεγέως δὲ pone sch. *a* (coni. cum v. ποιεῖ) in b 41 συντόμως om. A λῆξαι b, ῥέξαι A (λέξαι Et. Gud., ἀπολέξαι De Stefani), παῦσαι T εἰπ. παύσ. AT παῦσαι b 41 sq. φιλοσ. — ἀπηλγημ. bT ἢ ἀπηλγημένως· φιλοσύντομος γὰρ ἡ δεινοπάθεια A 42 παρὰ τὸ ἀλέγειν om. Ab 43 ἐθέλοντες b θέλλοντες A δὲ om. T 44 φασὶν T δὲ om. Ab μενεῖν Ma. 44 sq. πρὸς — πολεμήσειν om. E$^3$ 45 δὲ om. Ab 45 sq. πολεμήσειν — καλῇ] ὅτε ἀνάγκη καλεῖ πολεμήσειν A ἀλλ' om. b ὅτ' ἂν E$^4$ 48 le. add. Vill. φρονέων A em. Vill. 49 (le.) ἤπερ T em. Ma., τε eieci 51 le. T supplevi (auctore Vill.), om. b 51—4 αὐθαδῶς δὲ sq. pone sch. *b*$^2$ (coni. cum v. βαρύνητε) E$^4$ 53 τοῦ om. b 56—7 sch. cum scholio praecedenti coni. T 57 τ̋θορύζητε T (ον suppl. m. rec.), τονθορύζητε GeV 58 τρύζ. E$^4$ τρύζητε δὲ coni. cum scholio *a* (v. ἀγαμέμνονος) BCE$^3$ τρύχοιτε C

*Did.(?)* *c.* ⟨παρήμενος:⟩ γράφεται „παρήμενοι". A$^{im}$

*ex.* **312—3.** ἐχθρὸς γάρ μοι κεῖνος ⟨——— /⟩ ὅς ⟨χ'⟩ ἕτερον μὲν κεύθῃ ⟨ἐνὶ φρεσίν, ἄλλο δὲ εἴπῃ⟩: πρὸς τὴν ἀλλοιωτικὴν στάσιν Ὀδυσσέως. τὸ δὲ ἄλλο (313) ἐπὶ τῶν ἑτερογενῶν· „ὄρνεον ἄλλο" (N 64), „φάρμακον ἄλλο" (κ 392). κακῶς οὖν ἔχει νῦν ἀντὶ τοῦ ἕτερον τὸ ἄλλο δὲ εἴπῃ (313). **T**

*ex.* **312.** ὁμῶς Ἀΐδαο πύλῃσιν: πλέον πάντων Ἀχιλλεὺς μισεῖ τὸν θάνατον διὰ τὸ ἄπρακτον. τάχα δὲ καὶ ἄλλως χρήσιμόν ἐστι τὸ διαβάλλειν τὸν θάνατον, ἐπεὶ πῶς ἂν τις τοὺς γονέας σέβοι τοὺς τὸ ζῆν αὐτῷ παρασχομένους, εἰ μὴ τὸ ζῆν ἀγαθόν ἐστι καὶ κακὸν ἐκ τῶν ἐναντίων ὁ θάνατος; **A b**(BCE$^3$E$^4$) **T**

*Ariston.* **313.** ὅς χ' ἕτερον μὲν κεύθῃ ⟨ἐνὶ φρεσίν, ἄλλο δὲ εἴπῃ⟩: ὅτι δοκεῖ συγκεχύσθαι τὸ ⟨ἄλλο πρὸς τὸ⟩ ἕτερον· ἔδει γὰρ 'ἕτερον δὲ εἴπῃ', ἑτέρου πρὸς ἕτερον ἀντιδιαστελλομένου· τὸ γὰρ ἄλλο ἐπὶ πλειόνων τίθεται. **A**

*ex.* **314—6.** αὐτὰρ ἐγὼν ἐρέω, ὥς μοι δοκεῖ εἶναι ἄριστα· / οὔτ' ἐμ⟨έγ'⟩ Ἀτρείδην ⟨Ἀγαμέμνονα⟩ πεισέμεν οἴω / οὔτ' ἄλλους Δαναούς: τὸ καλὸν καὶ ἐλεεινὸν τῶν λόγων Ὀδυσσέως ἐξέκοψεν· καὶ τὸ μὲν κεφάλαιον τῆς ἀντιρρήσεώς ἐστι τὸ μὴ πεισθήσεσθαι τοῖς λεγομένοις. ἀλλ' ἐπεὶ τὸ ἀτιμασθὲν ἀπλήρωτον πρὸς ἀγανάκτησιν, ἀνθέλκεται πρὸς μῆκος λόγων. **b**(BCE$^3$E$^4$) **T**

*Did.(?)* **314.** ⟨ὥς μοι δοκεῖ εἶναι ἄριστα:⟩ ἐν ἄλλῳ „ὥς καὶ τετελεσμένον ἔσται". A$^{int}$

391, 5, Ph., Su. τ 1100) **312—3** — Ὀδυσσέως (63) cf. Porph. 2, 1, 1; Eust. 751, 33; vide Plat. Hipp. min. 365 b 4; Schrader, Porph. Quaest. Hom. I (Lipsiae 1880) p. 387. Vide ad I 314—6 τὸ δὲ ἄλλο (63) sq. ad I 313 (Ariston.); vide ad N 64 (ex.) **312** — ἄπρακτον (67) cf. sch. λ 489 τὸν θάνατον (67) cf. D διὰ τὸ ἄπρακτον (67) cf. Buehler, Beiträge 40 **313** Su. ε 3292: ἕτερον· Ὅμηρος· ὅς χ' ἕτερον — εἴπῃ. ἐνταῦθα δοκεῖ — τίθεται, ad I 473. N 64 *a*, sim. ad M 93. Ξ 272. Π 179 (Ariston.), cf. sch. η 126 (= Porph.[?] 2, 67, 1), κ 354, Eust. 752, 28. 1573, 48; sch. Theocr. 7, 36 b, Amm. 30. 198 **314—6** vide ad I 312—3 **314** de origine v. l. (ὥς μοι δοκεῖ εἶναι ἄριστα) vide

---

**60** le. (= A$^{cont}$) add. Bk. γράφ. cp. (γρ) in A **61** sq. le. T supplevi (χ' add. Ma.) **62** (le.) κεύθει T em. Ma. **66** le. T, ἀΐδαο πύλησιν: A, om. **b** ὅτι πλέον A **68** γονεῖς A **68** sq. σέβοι τοὺς τὸ ζῆν om. T **69** κακῶν AT **71** le. οἵ χ' ἕτ. μὲν κεύθηι· A em. et suppl. Vill. ὅτι A ἐνταῦθα Su., ἡ διπλῆ, ὅτι Vill. **72** τὸ ἕτερον A suppl. Lehrs, τὸ δυϊκόν Su. **73** ἄλλος Su. **75—7** le. T suppl. Ma., om. **b** (qui sch. ad I 315 revocavit) **77** καλὸν καὶ om. **b** **78** ἐξέκοψε **b** **79** πρὸς] εἰς C **80** εἰς μῆκος ἐξέλκεται λόγων **b** **81** le. add. Vill. **81** sq. ὡς καὶ τ. ἔσται = vulg.

**316** *a*. οὔτ' ἄλλους Δαναούς: πρὸς τὸ „εἰ δέ τοι Ἀτρείδης μὲν ἀπήχθετο, σὺ δ' ἄλλους περ ⟨Παν⟩αχαιούς" (cf. I 300—1)· ἀνέτρεψεν οὖν καὶ ταύτην τὴν στάσιν. τάχα δὲ καὶ βουλόμενος εἰπεῖν 'οὔτε ὑμεῖς πείσετε οἱ πρέσβεις', εὐπρεπῶς τῷ κοινῷ ὀνόματι τῶν 'Ἑλλήνων αὐτοὺς περιέλαβεν. καλῶς δὲ οὔ φησιν 'οὐκ ἐλεῶ αὐτούς', ἀλλ' 'οὐ πείσουσί με' (cf. I 315). b($BE^3E^4$) T *ex.*

*b*. ἐπεὶ ⟨οὐκ⟩ ἄρα τις χάρις ἦεν: πρὸς τὸ „οἵ ⟨κέ⟩ σε ⟨δωτίνῃσι⟩ θεὸν ὣς τι⟨μή⟩σουσιν" (I 297). χάρις οὖν ἡδονή. T *ex.*

**317**. ⟨μετ' ἀνδράσιν:⟩ Ἀρίσταρχος „ἐπ' ἀνδράσι". $A^{im}A^{int}$ *Did.*

**318** *a*. ⟨ἴσῃ μοῖρα:⟩ παρ' ὑμῖν δηλονότι. $T^{il}$ *ex.*

*b*. ἴσῃ μοῖρα μένοντι, καὶ εἰ μάλα τις πολεμίζοι: τοῦτο μάλιστα τοὺς χρηστοὺς λυπεῖ, ὅταν μὴ κατ' ἀξίαν τιμῶνται. b ($BCE^3E^4$) T ἔφυγε δὲ τὸ ὁμοειδές· οὐ γὰρ εἶπε 'πολεμίζοντι'. T *ex.*

**319** *a*. ⟨ἐν δὲ ἰῇ τιμῇ ἠμὲν κακὸς ἠδὲ καὶ ἐσθλός:⟩ ἐν δὲ τῇ αὐτῇ τιμῇ καὶ ὁ δειλὸς καὶ ὁ ἀνδρεῖος. $A^{int}$ *ex.*

*b*. ἐν δὲ ἰῇ τιμῇ ⟨ἠμὲν κακὸς ἠδὲ καὶ ἐσθλός⟩: ἀλλάξας τὸ ὄνομα τὸ αὐτὸ εἶπεν. T *ex.*

**320**. κάτθαν' ὁμῶς ⟨ὅ τ' ἀεργὸς ἀνὴρ ὅ τε πολλὰ ἐοργώς⟩: ὅρον οὐκ ἔχει κατηγορίας θυμός. τοῦτο δὲ πρὸς τὸ „τύμβον δ' ἀμφὶ πυρήν" (H 336)· οὐ γὰρ πρὸς τὰς πράξεις ὁ τάφος. b($BCE^3E^4$) T *ex.*

Valk II 311 **316** *a* στάσιν (85) ad I 300 *a* τῷ κοινῷ (86) — περιέλαβεν (87) cf. Eust. 752, 40 **318** *b* — τιμῶνται (94) cf. Aristot. pol. 2, 7 p. 1267 a 1 ἔφυγε δὲ (95) sq. cf. Eust. 753, 23 **319** *a* cf. D *b* cf. Eust. 752, 52 (qui spectat ad versus I 318—20: τὸ αὐτὸ νόημα μεταχειρίζεται καὶ τρισάκις αὐτὸ στρέφει παραφράζων καὶ μεταποιῶν ἐν σχήματι ἐνδιαθέτου γοργότητος κτλ.), paulo aliter ib. 753, 34 **320** — θυμός (5) cf. Eust. 752, 61; vide ad A 287—9 *a*

---

**83** le. Vill., οὔτ' ἄλλους ἀχαιούς T, om. b **84** ἀπήχθετο κηρόθι μᾶλλον / αὐτὸς καὶ τοῦ δῶρα, σὺ δ' ἄλλους Hom. περ ἀχαιούς b supplevi, om. T **86** οὔτε T ὅτι οὔτε b, οὐδὲ Bk. **86** sq. ὀνόματι post ἑλλ. b **87** συμπεριέλαβε καὶ αὐτούς b, fort. rectius δὲ οὐκ εἶπεν b, nescio an melius **89** le. T suppl. Ma. **89** sq. οἵ σε θ. ὣς τίσουσιν T suppl. Ma. **91** le. add. Bk. **92** le. add. Ma., μένοντι add. $V^c$, Bk. (improbabiliter) **94** μάλ. $E^4$T μάλιστα γὰρ $BCE^3$ **95** ἔφυγε — πολ. cum scholio *a* (v. δηλονότι) coni. Bk., haud inepte δὲ Bk., γὰρ T **96** le. add. Vill. **2** le. T supplevi **3** τὸ ὄνομα h. e. τιμῇ dicens pro μοῖρα τὸ αὐτὸ sc. idem atque in versu praecedenti **4—6** pone sch. I 321 *b* in T **4** sq. le. T supplevi (auctore Vill.), om. b **6** πυρὴν ἕνα χεύομεν ἐξαγαγόντες Hom. (ad totum versum scholiastam spectasse censeo) πρὸς om. b

*Hrd.* **321** *a*. {οὐδέ τί μοι} περίκειται: ὁ Ἀσκαλωνίτης (p. 50 B.) δύο ποιεῖ, „περί" εἶτα „κεῖται", καὶ προπερισπᾷ· σημαίνει δέ, φησί, τὸ περισσῶς κεῖται. εἰσὶ δὲ οἳ ὑφ' ἓν ἀναγινώσκουσι περίκειται ὡς ἀντίκειται, οἷς συγκατατίθεμαι· τί γάρ ἐστι τὸ κωλῦον καὶ ἐν τῇ συνθέσει τὸ αὐτὸ νοεῖν; **A**

*ex.* *b*. περίκειται: περισσὸν τῶν ἄλλων ἀπόκειται. **b**(BCE³E⁴) **T**

*ex.* **321—32.** ἐπεὶ πάθον ἄλγεα ⟨θυμῷ / ——— / Ἀτρείδῃ⟩: διὰ μὲν τοῦ πάθον ἄλγεα (321) τὸ ἐπίπονον ἑαυτοῦ παρίστησι, διὰ δὲ τῆς μάστακος (cf. 324) τὸ κηδεμονικόν, διὰ δὲ τοῦ ἀγρυπνεῖν καὶ νύκτας οὐκ ὀλίγας (cf. 325) τὴν πρόνοιαν καὶ ἐπιμέλειαν, διὰ δὲ τοῦ τὰ ποριζόμενα ἐκ τῆς μάχης ἐπὶ τὸν βασιλέα ἅπαντα ἀναφέρειν (cf. 331—2) τὸ ἐλεύθερον τῆς ψυχῆς, διὰ δὲ τῶν πόλεων, ὧν ἐχειρώσατο (cf. 328—9), τὸ ἀνδρεῖον ἑαυτοῦ φησιν. **b**(BCE³E⁴) **T**

*Did.* **322.** ⟨πολεμίζειν:⟩ οὕτως Ἀρίσταρχος πολεμίζειν κατὰ τὸ ἀπαρέμφατον. **A**^int^

*ex.* **323** *a*. ὡς δ' ὄρνις ἀπτῆσι ⟨νεοσσοῖσι προφέρῃσι⟩: εἰς τὸ ἐπιδεικτικὸν ἐρχόμενος διὰ τῆς κηδεμονίας αὔξει τὴν ῥώμην, τοσοῦτον προὔχειν φάσκων Ἑλλήνων ὅσον μήτηρ νεοσσῶν. **b**(BCE³E⁴) **T** εὖ δὲ τὸ μηδὲν τῶν τετραπόδων λαβεῖν εἰς τέκνου φιλοστοργίαν· ταῦτα γὰρ τρέφοντα τῷ γάλακτι οὐδὲν ἧττον ὠφελεῖται τῶν τρεφομένων· εἰ γὰρ μὴ ἀμελχθείη, καὶ ἀνιᾶται· „οὔθατα γὰρ σφαραγεῦντο" (ι 440). ἡ δὲ ὄρνις τὴν ἑαυτῆς τροφὴν εἰς τοὺς νεοσσοὺς ἀναλίσκει· ὅθεν καὶ πιθανῶς ἐπήνεγκε τὸ „κακῶς δέ τέ οἱ πέλει αὐτῇ" (I 324). εὖ δὲ καὶ τὸ ἀπτῆσιν· οἱ γὰρ πετόμενοι, κἂν ὀλίγον, προσπορίζονται. **b**(BE³E⁴) **T** καὶ διὰ τὸ περιϊέναι (cf. I 326—9) καὶ ληζόμενον πάντα φέρειν (cf. I 330—2) ⟨***⟩. **T**

*ex.* *b*. προφέρῃσι: ὡς τὸ „οἱ δὲ προπεσόντες ἔρεσσον" (μ 194). **T**

**321** *a* περισσῶς (9) ad B 831 (Hrd.) *b* cf. D, Eust. 753, 37 **322** πολεμίζειν „alii opinor πολεμίζων" Wolf, Proll. 187 n. 28 **323** *a* εὖ δὲ τὸ μηδὲν (26) —

---

**7** (le.) οὐδέ τί μοι eiecit Bk. **10** κωλύων A em. Vill. **12** le. Bk., οὐδέ τι μοι περίκειται (le. et sch. pone sch. I 319 *b* posita sunt) T, om. **b** **14** le. T supplevi, om. **b** (scholio ad I 321 relato) **15** μὲν T μὲν οὖν **b** αὐτοῦ **b** **17** τὴν om. C **18** πάντα **b** **20** τὸ ἑαυτ. ἀνδρ. **b** φησιν om. **b** **21** le. add. Bk. **23** le. T supplevi (auctore Vill.), om. **b**; (le.) ἀπτῆσι Ma., fort. recte **26** τέκνων Ma., τὴν τέκνου Vill., utrumque inutile **27** sq. ὠφελ. post τρεφ. E⁴ **28** εἰ γὰρ — ἀνιᾶται T αἱ γὰρ ἀνάμελκτοι καὶ νοσώδεις **b** γὰρ² T γάρ φησι **b** **29** νεοττοὺς **b** **30** δέ τέ T δ' ἄρα **b** **31** ἀπτῆσι Hom. **33** ληζόμενος ci. Wil. lac. ind. Wil. verba ὄρνει ἑαυτὸν παραβάλλει supplens

**324** *a.* ⟨μάστακ᾿:⟩ ὅτι οἱ Γλωσσογράφοι μάστακα τὴν ἀκρίδα, δέον μάσημα καὶ βρῶμα. ἐνίοτε δὲ καὶ αὐτὸ τὸ στόμα ὁμωνύμως, καθάπερ χοίνικα τὸ μετροῦν καὶ τὸ μετρούμενον· „ἀλλ᾿ Ὀδυσσεὺς ἐπὶ μάστακα χερσὶ πίεζεν" (δ 287). **A** *Ariston.*

*b.* ⟨μάστακ᾿:⟩ Νίκανδρος (th. 802) τὴν ἀκρίδα. ὁμώνυμος ⟨δὲ⟩ τῷ στόματι, ὡς καὶ χεῖλος. **T**^il^ *ex.(Ariston.?)*

*c.*¹ κακῶς δέ τέ οἱ πέλει αὐτῇ: διὰ τοῦ „ἄρα" γράφουσι καὶ αἱ Ἀριστάρχου, „κακῶς δ᾿ ἄρα οἱ πέλει αὐτῇ". αἱ δὲ εἰκαιότεραι κακῶς δέ τέ οἱ πέλει αὐτῇ. **A** *Did.*

*c.*² Ἀρίσταρχος „κακῶς δ᾿ ἄρα οἱ". **A**^int^

*d.* κακῶς δ᾿ ἄρα οἱ πέλει αὐτῇ: ἵνα ἡ εὐεργησία μὴ ἐξ ἀκινδύνου περιουσίας προσεῖναι δοκῇ. **T** *ex.*

**325** *a.*¹ ἴαυον: ἐμονομάχουν. | παρὰ τὸ αὔω τὸ κοιμῶμαι | ἢ παρὰ τὴν ἴαν τὴν μίαν. | ἢ διετέλουν. **A** *ex.* | *Or.* | *ex.* | *D*

πέλει αὐτῇ (30) cf. Eust. 753, 44 **324** nullum signum ante versum in A, fort. neglegentia scribae *a* cf. sch. δ 287. ψ 76 (Ariston.); Or. 98, 20 (unde EM. 574, 223), partim ex Aristonico; He. μ 347 (Diog.), Melet. 99, 13 οἱ Γλωσσογράφοι (36) cf. Lehrs Ar.³ 37 ἀκρίδα (36) cf. sch. Nic. th. 802, Et. Gen. βροῦχος (= EM. 216, 7), sim. Soph. fr. 650 N.² (= 716 P.) in Ph. 248, 18, Eust. 1496, 53 (ῥητ. λεξ. vide Ael. D. μ 9) μάσημα (37) — μετρούμενον (38) brevius Su. μ 255 (μάστακα . . . λέγεται καὶ τὸ στόμα καὶ τὸ μάσημα· ὁμωνύμως κτλ.) μάσημα (37) Synag. (Ba. 295, 23, Ph., Su. μ 255), cf. Schem. Hom. 76 στόμα (37) et ἀλλ᾿ Ὀδυσσεὺς (38) sq. cf. Eust. 753, 63; vide Poll. 2, 98: ὑπὸ δὲ ἐνίων ... κέκληται καὶ μάσταξ (sc. τὸ στόμα), ὃ καὶ Ὅμηρόν φασι δηλοῦν λέγοντα „ἀλλ᾿ Ὀδυσσεὺς ἐπὶ μάστακα χερσὶ πίεζεν". καὶ μέντοι καὶ τὸ „μάστακ᾿ ἐπεί κε λάβῃσι" 'μάστακι' φασὶν εἰρῆσθαι, ἵν᾿ ᾖ ἐπειδὰν λάβῃ τῷ στόματι στόμα (37) cf. Ap. S. 110, 2: μάσταξ· τὸ στόμα· „μάστακ᾿ ἐπεί κε λάβῃσι". τὸ δὲ πλῆρες 'μάστακι' Neque Pollucis neque Apollonii Soph. interpretationibus in scholiis, quae hodie legimus, quicquam respondet; vide et Leaf ad l. χοίνικα (38) — μετρούμενον ad Φ 502 (Ariston.) *c* cf. Valk II 609 **325** diple ante versum in A, fort. erat sch. Aristonici de v. ἴαυον, ad T 71 (Ariston.), cf. Wismeyer 23 *a* παρὰ τὴν ἴαν (49 et 50) cf. Orionem in Et. Gen. (AB) ἰαύων (vide test. ad sch. *a*¹ exscripta) *a*¹ παρὰ τὸ αὔω τὸ κοιμῶμαι (48) cf. Or. in Et. Gen. (AB) ἰαύων· κοιμώμενος, παρὰ τὸ αὔω καὶ πλεονασμῷ τοῦ ῑ ἰαύω. ἢ παρὰ τὸ ἴον, ὃ δηλοῖ τὸ (B, τὸν A) μόνον· ἰάω τὸ μονάζω καὶ πλεονασμῷ τοῦ ῡ ἰαύω... Ὠρίων, Beiträge 100 παρὰ τὸ αὔω (48) est doctrina Herodiani, cf. Hrd. παθ. (2, 172, 8) in Et. Gen. (AB) ἰαύων (post locum modo laudatum) κοιμῶμαι (48) cf. Ap. S. 89, 27 δι-

---

36—9 pone sch. *c*¹ in A, trps. Bk. **36** le. addidi (auctore Vill.), cf. Su. ὅτι A, fort. ἡ διπλῆ, ὅτι **37** sq. καθάπερ Frdl., καθάπερ τὸ A, ὡς Su. **38** τὸ¹ A καὶ τὸ Su. μετροῦν Frdl., μέτρον A **39** πίεζε Hom. **40** le. addidi (auctore Ma.), μάστακ᾿, ἐπεί κε· add. V^c^ ὁμών. scripsi, ὁμωνύμως T **41** δὲ add. Nickau **42** le. Vill., μάστακ᾿ ἐπεὶ κε λάβῃσι: A **42** sq. γράφουσιν αἱ Vill., fort. melius **43** κακῶς — αὐτῇ Vill., οὕτως δέ A; οὕτως δὲ ante καὶ αἱ ἀρ. trps. Ldw.; possis l. 42—3 sic scribere κακῶς δ᾿ ἄρα οἱ πέλει αὐτῇ: οὕτω διὰ τοῦ ἄρα γράφουσιν αἱ ἀριστάρχου (αἱ δὲ sq.) **44** αὐτή A em. Vill. **48—9** pone sch. I 327 *b*² in A, trps. Vill.

*ex.* *a*.² ἐμονομάχουν· παρὰ τὴν ἴαν. T^il

*ex.* **326** *a*. ἤματα δ' αἱματόεντα ⟨διέπρησσον πολεμίζων⟩: διὰ φόνων ἦν ὁ βίος, οὐ δι' ἐμὴν ἡδονήν· „οὐ γὰρ ἐγὼ Τρώων ἕνεκ' ἤλυθον" (Α 152), ἀλλὰ διὰ τὸ γύναιον Μενελάου· τοῦτο γὰρ δηλοῖ τὸ „ὀάρων ἕνεκα σφετεράων" (Ι 327). ἢ τολμηρῶς πολεμῶν πρὸς ἄνδρας ὑπὲρ παίδων καὶ γυναίων ῥιψοκινδύνως ἀγωνιζομένους. **b** (BCE³E⁴) **T**

*ex.* *b*. ⟨αἱματόεντα:⟩ ἐν αἵματι ἢ ἐν μόχθῳ. **A**^int

*Ariston.* **327** *a*. ⟨ὀάρων:⟩ ὅτι ὄαροι αἱ τῶν ἀνδρῶν καὶ γυναικῶν ὁμιλίαι. νῦν δὲ λέγει τῶν γυναικῶν. **A**^int

*ex.* *b*.¹ ὀάρων {ἕνεκα}: γράφεται καὶ „ὠρέων". ὀάρων μὲν †σὺν ἄορσιν†, ὅ ἐστι τῶν γυναικῶν τῶν αἰχμαλωτίδων, παρὰ τὸ ἄορ, ὅ ἐστι ξίφος, ὅτι διὰ πολέμου καὶ αἰχμῆς καὶ φασγάνου ἐλῄζοντο. „ὠρέων" δὲ τῶν συμβίων παρὰ τὸ ξυνωρεῖν, ὅθεν καὶ ξυνωρίδας τὰς συζυγίας τῶν ἵππων φαμέν. **T**

*b*.² ὀάρων: γράφεται καὶ „†ὀρέων†". ἓν δὲ ἐξ ἀμφοτέρων τὸ σημαινόμενον, τῶν γυναικῶν. ὀάρων μὲν ἀπὸ τοῦ ὀαρίζειν, „ὠρέων" δὲ ὡς ἂν τις εἴποι συναόρων, ἀπὸ τοῦ συνωρεῖν, καθὸ καὶ συνωρίδας ἐπὶ τῶν ἵππων. **A**

ετέλουν (49) cf. Eust. 754, 3; Bechtel Lex. 171 **326** *a* τοῦτο γὰρ (53) — σφετεράων (54) cf. Eust. 754, 16 ἢ τολμηρῶς (54) sq. auctor huius sententiae pro μαρνάμενος legisse videtur μαρναμένοις (= Ald.) **327** *a* ad Χ 128 (Ariston.), cf. sch. *b*¹; vide ad Ε 486 *b*. Χ 127 (ex.) αἱ τῶν ἀνδρῶν (58) sq. cf. sch. Ap. Rh. 1, 45—47 f (τῶν) γυναικῶν (58) = D, cf. D ad Χ 127 *b* cf. Eust. 754, 24; Valk I 431 (qui Cobetio assentitur); de v. l. ὠρέων num iam Didymus disseruerit, ambigitur ὠρέων δὲ (63. 66) sq. cf. Or. 169, 2 (ex Orione Et. Gen. ὤρεσσι = EM. 823, 37, cf. Et. Gud. 580, 53): ὦρες· . . . ἀπὸ τοῦ ὀαρίζειν ἢ συναρηρέναι ἀνδρί (Larcher, ἢ συναρ. ῥεσσία cod. Or., ἀπὸ τοῦ ὁμοῦ ἀρηρέναι καὶ συνηρμόσθαι ἀνδρί EM.)· ἔνθεν καὶ συνωρίς, παρὰ τὸ συνηρμόσθαι. ἔστι δὲ ὄαρ καὶ ὑπέρθεσις ἄορ καὶ (καὶ EM., om. cod. Or.) συναλοιφῇ ὦρ, in sede scholiorum; sim. Or. 114, 24 (Et. Gen. = EM. 823, 40), cf. Or. in Et. Gen. (AB) ἄωρες (brevius Or. 17, 25) παρὰ τὸ ξυνωρεῖν (63, resp. ἀπὸ τοῦ συνωρεῖν, 67) sq. cf. D ad Ε 486 *b*² ἀπὸ

---

**51** le. T suppl. Ma., om. **b** **52** φόνον T ἐμὴν T ἐμὴν δὲ **b** **53** ἦλθον T μεν.] μεν^λ | ελαου C ἀγαμέμνονος T **53—5** τοῦτο γὰρ sq. cf. test. **54** τὸ ὀάρων **b** ὁ ἄρων T πολ. T φησὶ πολεμῶν **b** **57** le. addidi **58** le. addidi (auctore Vill.) ὅτι ἄοροι (ipse delevit) ὅτι ὄαροι A, ἡ διπλῆ, ὅτι ὄαροι Vill. **59** τῶν γυν. sc. ἕνεκα **60** (le.) ἕνεκα delevi ὠρέων cf. sch. *b*² **61** συναόρων Valk (cf. sch. *b*²), malim ὡς ἀόρων (cf. sch. ρ 222, He. α 5678) **65—8** pone sch. Ι 324 *a* in A, trps. Vill. **65** le. ὁ ἄρων: A em. Vill. voluit ὠρέων (cf. sch. *b*¹), ἀόρων Cob. (contra veriloquium in scholiis *b*¹ et *b*² usurpatum) ἓν Bk., αἱ A **66** ὁ ἄρων A em. Vill. ὠρέων A, ἀόρων Cob. (improbabiliter) **68** ἐπὶ del. Ddf.

328. δώδεκα δὴ σὺν νηυσὶ ⟨πόλεις ἀλάπαξ' ἀνθρώπων⟩: ἐντέχνως τὰς πράξεις ἐπάγει, πίστιν τοῖς προειρημένοις (sc. I 321—7) φέρων. εὖ δὲ καὶ τὸ μὴ κατ' ἄνδρα τὰ πραχθέντα φράζειν, ἀλλὰ κατὰ πόλεις καὶ ταύτας ἀθρόας. ἅμα δὲ καὶ συμπληροῖ τὴν ὑπόθεσιν. Σηστὸν δὲ καὶ Ἄβυδον οὐ πορθεῖ ὡς ἠσφαλισμένας· λαφύρων γὰρ ἔδει, οὐ κατορθωμάτων. b(BCE$^3$E$^4$) T *ex.*

329. ⟨πεζὸς δ' ἕνδεκά φημι:⟩ ὡς ἐν ἀμφισβητησίμῳ διορίζεται. T$^{il}$ *ex.*

332. ὁ δ' ὄπισθε μένων: ἐμοῦ ἀποδημοῦντος. τὴν δειλίαν δὲ Ἀγαμέμνονος ἐμφαίνει τὸ ὄπισθε. b(BCE$^3$E$^4$) T *ex.*

333 *a*. δεξάμενος διὰ παῦρα δασάσκετο, πολλὰ δ' ἔχεσκεν: ἀμφοτέρωθεν ηὔξηται ἡ ἀχαριστία τοῦ βασιλέως, ὅτι τοιαῦτα καὶ τοσαῦτα λαβὼν καὶ βραχὺ δοὺς γέρας τῷ κομίσαντι καὶ τοῦτο ἀφῄρηται. b(BCE$^3$E$^4$) T *ex.*

⟨δεξάμενος διὰ παῦρα δασάσκετο:⟩ †ὁ δὲ† λαμβάνων ὀλίγα διένειμε καὶ ἐδίδου. A$^{int}$ *D*

*b*. πολλὰ δ' ἔχεσκεν: τεχνικῶς ἐνδείκνυται ὅτι καὶ τὰ νῦν αὐτῷ διδόμενα δῶρα μέρος ἐστίν, ὧν Ἀγαμέμνων παρ' αὐτοῦ λαμβάνων ἀδίκως ἐσφετερίσατο. b(BCE$^3$E$^4$) T *ex.*

334—6. ἄλλα δ' ἀριστήεσσι δίδου ⟨γέρα⟩ καὶ βασιλεῦσι· / τοῖσιν δ' ἔμπεδα κεῖται, ἐμοῦ δ' ἀπὸ μούνου Ἀχαιῶν / εἵλετο: ἐπιφθόνως φησὶ 'τοῖς ἄλλοις ἐφύλαξε τὰ γέρα, ἐμοὶ δὲ οὔ, b(BCE$^3$E$^4$) T δι' οὗ καὶ αὐτοὶ ἐλάμβανον'. T εὐπρεπῶς δὲ οὐκ εἶπεν 'ὑμῖν'. ἄτοπον δέ, εἰ πολλὰ μὲν ἔχων, μικρὰ δὲ παρέχων οὐδὲ ἐπ' ἴσης τῶν ἄλλων ἐᾷ αὐτῷ τὰ δοθέντα. b(BCE$^3$E$^4$) T *ex.*

τοῦ δαρίζειν (66) ad E 486 *b*, cf. Eust. 573, 22 **328** nullum signum ante versum in A; tamen Friedl. (Ariston. p. 162) suspicatus est fuisse notam Aristonici de v. πτολίπορθος, Achillis epitheto, quod versibus I 328—9 facile probari potest, ad O 56 *a*. Φ 550 (Ariston.), vide ad Φ 371—2 (ex.) ἐντέχνως (70) — φέρων (71) cf. Aristid. or. 28, 16 (= II p. 146, 18 K.) ἀλλὰ κατὰ πόλεις (71) — ἀθρόας (72) cf. Strab. 13, 1, 7 (p. 584) **329** Ge: ⟨κατὰ Τροίην·⟩ (le. add. Nicole) ἴσας τῇ Τροίᾳ· ἢ κατὰ τὴν Τροίαν κειμένας, originis incertae, fort. sch. classis **h** **332**

**69** le. T supplevi, om. **b** **71** φέρων om. T **72** καὶ τ. ἀθρόας om. **b** **75** le. addidi (ἕνδ. φημι iam V$^c$) **77** ἀποδημ. T φησὶν ἐκδημοῦντος **b** **78** τὸ ὄπισθεν ἐμφ. **b** **80—2** ἀμφ. δὲ ηὔξ. sq. coni. cum scholio praecedenti (v. ἐμφαίνει) **b** **80** τοῦ βασ. T αὐτοῦ **b** **81** καί$^1$ (ante τοσαῦτα) absc. E$^4$ (hab. Le) τοῦτο T τοῦτο ὕστερον **b** **83** le. addidi ὁ δὲ A ὅλα D, exspectes πολλὰ **86** εἰσὶν **b** **86** sq. παρ' αὐτοῦ sq. T ἐσφετερίζετο παρ' αὐτοῦ λαμβάνων ἀδίκως **b** **88—90** le. T suppl. Ma., om. **b** (le.) τοῖσιν δ' . . . ἐμοῦ T, τοῖσι μὲν . . . ἐμεῦ Hom. **90—3** ἐπιφθόνως δὲ sq. pone sch. I 336 *b* (coni. cum v. θυμαρέα) **b** **90** φησὶ **b** ἢ T τοῖς μὲν **b** **91** οὗ Wil., ὧν T δὲ om. T **92** μὲν om. T **93** τὰ T τὰ κοινῇ **b**

*ex.* **335—6.** ἐμεῦ δ' ἀπὸ μούνου Ἀχαιῶν ⟨/ εἷλετ'⟩: καλὰ τὰ μετὰ τὴν καταρίθμησιν τῶν κατορθωμάτων. **T**

*ex.* **336** *a.* ⟨εἷλετ', ἔχει δ':⟩ γράφεται δὲ καὶ „εἷλετ' ἔχειν" ἀντὶ τοῦ ἠθέλησεν, ὅπερ ὁ Ἡρωδιανὸς ἀποδέχεται ὡς ἄμεινον. b(BCE³E⁴)

*ex.* *b.* ⟨ἄλοχον θυμαρέα:⟩ ηὔξησε τὴν ὕβριν ἄλοχον αὐτὴν εἰπὼν καὶ θυμαρέα. b(BCE³E⁴) **T**

*D | Hrd.* *c.* θυμαρέα: τῇ ψυχῇ ἀρέσκουσαν, θυμήρη. | σύνθετον δέ ἐστι παρὰ τὸ ἄρω θυμαρής, ὀξυτόνως. καὶ οὕτως ἀνέγνωμεν „Εὔμαιος δ' ἄρα οἱ σκῆπτρον θυμαρές" (ρ 199) διὰ τοῦ ᾱ· οὐ γάρ ἐστι παρώνυμον διὰ τοῦ ηρης· τὰ γὰρ διὰ τοῦ ηρης καὶ ωδης παρώνυμα βαρύνεται, ξιφήρης ὀλιγήρης τοξήρης ὀνώδης καὶ βοώδης. **A**

*ex.* *d.* τῇ παριαύων: οὐ συνιαύων, διὰ τὸ βίαιον· φησὶ γοῦν „δμωῇσι δὲ γυναιξὶ †παρευνάζεσθαι† βιαίως" (χ 37). b(BCE³E⁴) **T**

*ex.* **337—9.** τί δὲ δεῖ πολεμιζέμεναι Τρώεσ⟨σ⟩ι⟨ν/ Ἀργείους;⟩ τί δὲ λαὸν ἀνήγαγεν ⟨ἐνθάδ' ἀγείρας/⟩ Ἀτρείδης; ἦ οὐχ Ἑλένης ἕνεκα: πρακτικὸς ὁ λόγος, δεικνὺς τὸν Ἀγαμέμνονα ἢ ἀσύνετον ἢ ἄδικον· εἰ μὲν γὰρ μικρὸν ἡγεῖται τὸ ἀδικηθῆναι περὶ γυναῖκα, πολεμεῖν οὐκ ἔδει περὶ Ἑλένης· ἀσύνετος οὖν ἐστι περὶ μικρᾶς

sim. Eust. 754, 42 **335—6** cf. Eust. 754, 56 **336** *a* recens esse sch. contendit Valk I 171: tamen conicere licet v. l. antiquam Herodiano temere esse attributam *b* cf. Eust. 754, 59; — εἰπών (4) cf. Dachs 31 *c* — ὀνώδης (9) Et. Gen. (AB) θυμαρέα, fort. ex hyp. Iliad.; vide Bechtel, Lex. 109; — θυμήρη (5) cf. Eust. 754, 61 τὰ γὰρ διὰ τοῦ ηρης (8) sq. cf. Arcad. 27, 23. 135, 3 **337—9** cf. sch. Aesch. Eum. 586 πρακτικὸς ὁ λόγος (14) de t. t. rhetorico vide

---

**94** le. T supplevi, fort. rectius ἐμεῦ δ' ἀπὸ μ. ἀχ. ⟨—θυμαρέα⟩: καλὰ] καίρια? Nickau τὰ T, fort. ταῦτα **1** le. addidi γράφ. scripsi, γράφεται δὲ pone sch. I 334—6 (coni. cum v. δοθέντα) b **2** ἡρωδ. susp. **3** le. addidi (ἔχει δ' ἄλοχον θυμαρέα· iam Li, ἔχει δ' ἄλοχον V^c) **4** εἰπὼν] καλῶν C **5** ἀρέσκ. θυμ. Et. Gen. (A, ὅ ἐστιν ἀρέσκοντα θυμήρη B), ἀρέσκουσα θυμήρει A θυμήρη, ὅ ἐστιν ἀρέσκοντα Et. Gen. **6** ἐστι om. Et. Gen. παρὰ A, παρὰ τὸ θυμὸς καὶ Et. Gen. τὸ] τοῦ Et. Gen. (A) θυμ. ὀξ. scripsi, γίνεται θυμαρὴς ὀξυτόνως Et. Gen., θυμαρής A **6** sq. καὶ οὔτ. — οἱ om. Et. Gen. **7** ἄρα Bk. (= Hom.), ἄρ A διὰ τοῦ ᾱ] διὰ ᾱ Et. Gen. (A) **8** ήρης (utroque loco) A **8** sq. βαρύνονται Et. Gen. **9** οἷον ξιφ. Et. Gen. ὀλιγ. τοξ. om. Et. Gen. **10** οὐ] οὐκ εἶπε δὲ (pone D) E⁴ γοῦν T γοῦν τὸ b **11** δμωῇσ C παρευνάζεσθε Hom. βιαίως T ἀνάγκῃ b **12—20** pone sch. I 338 in A **12—4** le. T suppl. Ma., ἦ οὐχ ἑλένης ἕνεκ' A, om. b (qui sch. ad I 339 revocavit)

αἰτίας πολεμῶν. εἰ δὲ χαλεπὸν καὶ μέγα, πῶς ἅπερ παθὼν ὑπ' ἀλλοφύλων ἀγανακτεῖ, ταῦτα εἰς τοὺς φίλους ποιῶν οὐκ ἀδικεῖν νομίζει; καὶ πρῶτον μὲν ἀπηρίθμηται τὸ ἀχάριστον, εἶτα τὴν ὕβριν. A b($BE^3E^4$) T

**338.** τί δὲ λαὸν ἀνήγαγεν ἐνθάδ': ὅτι οὕτως εἴωθε λέγειν ἀναγωγὴν καὶ ἀνάπλουν τὸν ἐκ τῆς Εὐρώπης εἰς τὴν Ἀσίαν πλοῦν, διὰ τὸ τὰ πρὸς ἄρκτους ὑψηλότερα εἶναι. A *Ariston.*

**339.** ⟨Ἑλένης:⟩ αὐξητικῶς τῇ Διὸς εἴκασε τὴν Βρισηΐδα. $T^{il}$ *ex.*

**340—3.** ἦ μοῦνοι φιλέουσ' ἀλόχους ——— περ ἐοῦσαν: τὸ τοιοῦτον ἐπιμονὴ λέγεται, ὅταν τις ἔχων αἰτίαν ἐπί τινι μὴ φεύγῃ τὸ ἔγκλημα. καὶ Ἀχιλλεὺς οὖν, ἐπεὶ διαβολὴν εἶχεν ὡς γυναικὸς χάριν ὀργισθείς, οὐ φεύγων τὴν ὁμολογίαν εἰς τὸ ὅτι δικαίως ἐχαλέπηνεν ἔρχεται, b($BCE^3E^4$) T  καὶ πρῶτον μὲν διέστρεψε δυσαπόκριτον προβαλλόμενος ἦ μοῦνοι φιλέουσ' ἀλόχους μερόπων ἀνθρώπων/ Ἀτρεΐδαι; (340—1), εἶτα πανδήμῳ κρίσει τὴν γνώμην ἐπεσφραγίσατο· b($BE^3E^4$) T  ἐπεὶ ὅστις ἀνὴρ ἀγαθὸς καὶ ἐχέφρων (341). b($BE^3E^4$) *ex.*

**341.** ⟨ἀγαθὸς καὶ ἐχέφρων:⟩ τεχνικῶς τὸ ἄνομον ἰᾶται διὰ τοῦ παρὰ τοῖς σπουδαίοις ἰσότιμον εἶναι τὸν γάμον. b($BE^3E^4$) T *ex.*

**342 $a$.**[1] τὴν αὐτοῦ φιλέει: ὁ Ἀσκαλωνίτης (p. 50 B.) δασύνει, σύνθετον ἐκδεχόμενος τὴν ἀντωνυμίαν ⟨***⟩· διὸ καὶ τὰς τοιαύτας *Hrd.*

Anon. fig. 115, 15  **338** ad Γ 48 (Ariston.)  **339** h($M^1$ $P^{11}$): ἢ οὐχ Ἑλένης ($P^{11}$, le. om. $M^1$)· εἰ μὲν περισπῷτο, ἐρωτηματικῶς ἀναγνωστέον, εἰ δὲ μή, κατὰ †κρεμαστὴν† (fort. διαστολήν), οὐκ ἐρωτηματικῶς, fort. sch. vetus  **340—3** ἐπιμονή (26) cf. Anon. fig. 176, 8; [Longin.] De subl. 12, 2 al.  καὶ Ἀχιλλεὺς οὖν (27) sq. cf. Eust. 755, 5  δυσαπόκριτον προβαλλόμενος (29) cf. D  εἶτα πανδήμῳ (31) sq. vide Eust. 755, 22  **340** h($M^1$ $P^{11}$): ἦ μοῦνοι ($P^{11}$, le. om. $M^1$)· τὸ ῆ εἰ μὲν περισπῷτο, ἀντὶ τοῦ ἄρα ἐστίν, εἰ δὲ βαρύνοιτο, σύνδεσμος διασαφητικός, fort. sch. vetus  **342** ad A 271 $b$ (Hrd.), cf. sch. δ 244, Ap. Dysc. pron. 78,

---

**17** παθῶν A  ὑπὸ b  **18** ποιῶν absc. $E^4$ (hab. Le)  **19** πρῶτα T  ἀπαριθμεῖται A ὑπέφηνε b  **21** le. scripsi (duce Frdl.), ἀργείους τί δὲ λαὸν ἀνίγαγον: A, ἀνήγαγεν: Bk.  ὅτι A, ἡ διπλῆ, ὅτι Vill.  **24** le. add. Ma. (ἢ οὐχ ἑλένης add. $V^c$)  **25** le. scripsi, ἦ μοῦνοι φιλέουσ' ἀλόχους T, om. b (ubi sch. ad v. 340 relatum est)  **26** ἔχων αἰτ. T αἰτίαν ἔχων $BCE^3$ ἔχων $E^4$  **27** ἐπεὶ] ἐπὶ $E^4$  τὴν διαβ. b  **28** οὐ — ὁμολογίαν om. b  ἐχαλέπηινεν C  **29** διατρέψαι T  **29 sq.** δυσαπόκριτα προβαλόμενος Ma., vix recte (δυσαπόκριτον sc. ἐρώτημα)  **30** ἢ b ἡ T  **30 sq.** μερ. ἀνθρ. ἀτρεῖδαι om. T  **31** κρίσει T ψήφῳ b  **32** fort. ἐχέφρων, τὴν αὐτοῦ φιλέει καὶ κήδεται (I 341—2)  **34** le. add. Ma., ἐπεὶ ὅστις ἀνὴρ add. $V^c$  **34—5** τεχνικῶς δὲ τὸ sq. cum scholio praecedenti (v. ἐχέφρων) coni. b  **35** τῷ γάμῳ Ma. (inepte)  **37** lac. stat. Bk. his verbis explendam νομίζων — ἀντωνυμίᾳ (cf. sch. $a^2$; vide Ludwich, B. ph. W. 22, 1902, 806), fort. rectius Lehrs qui addit ἀγνοῶν ὅτι ὅμηρος οὐδέποτε συνθέτῳ κέχρηται ἀντωνυμίᾳ

κατὰ διάλυσιν ἀναγινώσκομεν· „καὶ μαχόμην κατ' ἔμ' αὐτὸν ἐγώ" (Α 271) καὶ „πυκάσασα ἓ αὐτήν" (Ρ 551)· τί οὖν ἔστιν ἐνθάδε λέγειν ἢ ὅτι λείπει ἡ ἕο; ὡς τὸ „ἕο τ' αὐτοῦ πάντα κολούει" (θ 211), οὕτως καὶ ἐνθάδε 'τὴν ἕο αὐτοῦ φιλέει'. **A**

*a.*[2] Πτολεμαῖος δασύνει νομίζων τὸ πλῆρες εἶναι ἑαυτοῦ, ἀγνοῶν ὅτι Ὅμηρος οὐδέποτε συνθέτῳ κέχρηται ἀντωνυμίᾳ. λείπει οὖν ἡ ἕο, ὡς τὸ „ἕο τ' αὐτοῦ". **T**

*Hrd.* **343** *a.*[1] δουρικτήτην: δουρικτήτη ὡς „ἀριγνώτη" (ζ 108), ἵνα τοῦ δουρίκτητος παρώνυμον ᾖ· οὕτως γὰρ φιλεῖ σχηματίζειν ὁ ποιητής, ἀμφιρύτη (cf. α 50 al.), περιξέστη (cf. μ 79). **A**

*a.*[2] ὡς ἀμφιρύτη, περιξέστη. **T**[il]

*ex.* **344** *a.* νῦν δ' ἐπεὶ ἐκ χειρῶν γέρας εἵλετο: ὁ νῦν πολλὰ ὑπισχνούμενος καὶ τὸ βραχὺ ἀφῄρηται. ὥσπερ δὲ σπινθὴρ κεκρυμμένος ὕστερον τὸ πᾶν τῆς ὕλης καταναλώσας ἔκδηλος γίνεται, οὕτως ὁ ἥρως τοὺς ἐπιπλάστους λόγους ἀποσειόμενος διάδηλος γίνεται. **b** (BCE[3]E[4]) **T**

*ex.* *b.* ⟨καί μ' ἀπάτησεν:⟩ ἴσως ὑποσχόμενος αὐτὸν ἐντίμως πέμψειν οἴκαδε ἠπάτησεν. **b**(BCE[3]E[4]) **T**

*ex.* **345** *a.* ⟨μή μευ πειράτω εὖ εἰδότος· οὐδέ με πείσει:⟩ τὰ σκυθρωπὰ οὐκ ἐπὶ τὸν Ὀδυσσέα τείνει. **T**[il]

*ex.* *b.* ⟨εὖ εἰδότος:⟩ καλῶς ἐπισταμένου μου ὅτι ἀπατεών ἐστιν. **A**[im]

*ex.* **346** *a.* ἀλλ' Ὀδυσσεῦ: οὔτε γὰρ ἔδει Φοίνικα εἰρωνεύεσθαι ὡς τροφέα οὔτε Αἴαντα ὡς ἀνδρεῖον, Ὀδυσσέα δὲ ὡς φυγόντα. **b**(BCE[3] E[4]) **T**

*ex.* *b.* ⟨σὺν σοί τε καὶ ἄλλοισιν βασιλεῦσιν:⟩ διὰ τὸ „παρ' ἔμοιγε καὶ ἄλλοι" (Α 174). **b**(BCE[3]E[4]) **T**

30, synt. 195, 7. 196, 16 **343** $a^1$ ad Ξ 372 *a* (Hrd.) περιξέστη (47) cf. Eust. 1714, 16 **346** *a* εἰρωνεύεσθαι (60) ad I 348; cf. Anon. fig. 140, 27 φυγόντα (61) cf. Θ 97—8; vide ad Θ 97 *b* *b* cf. Eust. 755, 33; Anon. fig. 141, 13

---

**38** et **39** ἐμαυτὸν et ἑαυτὴν A dist. Bk. **39** λέγειν; (λέγειν· A) edd., at cf. Schneider, Comm. in Ap. Dysc. Scripta min. (= Gramm. Gr. II 1, 2) p. 106 **40** ἕο τ' αὐτοῦ Bk., ἑαυτοῦ A **43** λείπει Ma. (cf. sch. $a^1$), λέγει T **44** ἡ ἕο ὡς τὸ ἕο τ' Ma. (cl. sch. $a^1$), ἠέ οἱ μὴ ἴες T **47** ἀμφιρυτή A em. Bk. **49** ὁ νῦν om. **b** **50** καὶ om. T **51** τὸ T δὲ τὸ **b** **51** sq. ὁ ἥρως **b** ἔρως T **52** διάδ. γίν. T πεφανέρωται **b** **54** le. add. Ma. **54—5** ἴσως δὲ sq. coni. cum scholio praecedenti in **b** ὑποσχώμενος αὐτὸν C αὐτὸν ὑποσχόμενος E[3] **55** πέμψ. οἴκ. T ἀποπέμψειν καὶ μετὰ δόξης νῦν **b** **56** le. addidi, μή μευ πειράτω· add. V[c] **58** le. add. Bk. (Vill.) ἀπαταίων A em. Vill. **60** φοιν. ἔδει **b** **61** οὔτε μὴν αἴαντα **b** **63** le. addidi (σοί τε —ἄλλ. iam V[c]) διὰ T τοῦτο δὲ διὰ pone sch. *a* (coni. cum v. φυγόντα) **b**

**347** *a*. φραζέσθω: πρὸς τὸ ἐν Ὀδυσσείᾳ (θ 75) ζητούμενον „νεῖκος Ὀδυσσῆος καὶ Πηλείδεω Ἀχιλῆος", ὅτι ἐμφαίνει καὶ νῦν ἀναιρῶν τὴν ἐπιχείρησιν τῶν περὶ Ὀδυσσέα, λεγόντων βουλῇ καὶ λόγῳ αἱρεθήσεσθαι τὴν πόλιν· νῦν γὰρ οἷον ἐπισαρκάζων λέγει. **A** *Ariston.*

*b*. ⟨ἀλεξέμεναι:⟩ ἀντὶ τοῦ ὅπως ἀλεξήσῃ. $\mathbf{T}^{il}$ *ex.*

**348.** ἧ μὲν δὴ μάλα πολλὰ πονήσατο ⟨νόσφιν ἐμεῖο⟩: εἰρωνικὸς ὁ λόγος· ὧν γὰρ καταφρονοῦμεν, ταῦτα αὔξομεν. ἔοικε δὲ τὴν βουλὴν Νέστορος εὐτελίζειν. **b**($BCE^3E^4$) **T** *ex.*

**349—50.** καὶ ἤλασε τάφρον ἐπ' αὐτῷ / . . . ἐν δὲ σκόλοπας κατέπηξεν: ἐν τῷ Περὶ Ἰλιάδος καὶ Ὀδυσσείας ὁ Ἀρίσταρχος προφέρεται „καὶ ἤλασεν ἔκτοθι τάφρον" (349) καὶ ἐν τῷ ἑξῆς (sc. 350) „περὶ δὲ σκόλοπας κατέπηξεν". εἰσὶ δὲ οὐκ ἄτοποι αἱ γραφαί. **A** *Did.*

**349.** καὶ ἤλασε τάφρον ⟨ἐπ' αὐτῷ⟩: ἐξέτεινεν, ἀπὸ τοῦ σιδήρου· ἢ ὤρυξεν, **b**($BCE^3E^4$) **T** ἀπὸ τοῦ παρεπομένου. **T** | Ἀρίσταρχος „καὶ ἤλασεν ἔκτοθι τάφρον". $\mathbf{A}^{im}\mathbf{T}$ *ex.* | *Did.*

**350** *a*.[1] ⟨εὐρεῖαν, μεγάλην:⟩ βραχὺ διασταλτέον ἐπὶ τὸ εὐρεῖα⟨ν⟩ πρὸς ἔμφασιν. $\mathbf{A}^{int}$ *Nic.*

*a*.[2] ὀλίγη διαστολὴ εἰς τὸ εὐρεῖαν. $\mathbf{T}^{il}$

*b*. ἐν δὲ σκόλοπας: Ἀρίσταρχος „περὶ δὲ σκόλοπας". **T** *Did.*

**351—2.** ⟨ἀλλ' οὐδ' ὣς δύναται σθένος Ἕκτορος ἀνδροφόνοιο / ἴσχειν:⟩ οὐχ ὅτι περιγράφειν, ἀλλ' ⟨οὐδ'⟩ ἴσχειν. $\mathbf{T}^{il}$ *ex.*

**347** *a* — τὴν πόλιν (68) cf. θ 76—8 τὸ ἐν Ὀδ. ζητούμενον (65) cf. sch. θ 75. 77, Porph. 2, 72, 19; Lehrs Ar.[3] 174; Von der Muehll in: Westöstliche Abhandlungen (Ad Fontes Mattiacos 1954) p. 2; W. Marg, Das erste Lied des Demodokos, in: Navicula Chiloniensis, Lugd. Bat. 1956, 16; K. Rueter, Odysseeinterpretationen (Hypomnemata 19), Gottingae 1969, 250 ἀναιρῶν (66) — πόλιν (68) „i. e. elevans objecta sibi ab Ulixe, qui consilio et ratione urbem expugnatum iri affirmaret" (Friedl., Ariston. p. 162) **348** ad I 346 *a*; — αὔξομεν (71) cf. Anon. fig. 141, 4; — λόγος (71) cf. Hrd. rhet. fig. 92, 9 ἔοικε δὲ (71) sq. cf. Eust. 755, 35 **349—50** Περὶ Ἰλιάδος καὶ Ὀδυσσείας (74) de titulo obscuro (quem, ni fallor, ipse excerptor invenit) cf. Ludwich, A. H. T. 1, 305, 1 not. **349** — παρεπομένου (78) cf. Valk. I 522; — ὤρυξεν (78) cf. D ἀπὸ τοῦ σιδήρου (77) cf. e. g. M 296. Y 270 al.

---

**65—8** pone sch. I 349—50 in A, trps. Vill. **65** πρὸς A, ἡ διπλῆ πρὸς Vill. **66** sq. ἀναίρων A em. Bk. **67** ὀδυσσέως A corr. Frdl. **68** αἱρεθίσεσθαι A em. Bk., ἐρεθίσεσθαι Vill. **69** le. add. $V^c$ **70** le. T supplevi (auctore Vill.), om. **b** **73** sq. le. scripsi, καὶ δὴ τεῖχος ἔδειμε· A **77** le. T suppl. Ma., om. Ab ἐξέτ.] fort. rectius ἤλασε· ἐξέτεινεν post ἐξέτ. interpunxit Bk. **78** ἢ μᾶλλον ὤρυξεν **b** **79** καὶ A δὲ καὶ T **80** le. add. Vill. **80** sq. εὔρεῖα A suppl. Bk. **84** sq. le. add. Ma. **85** sch. supra v. I 352 scripsit T οὐδ' add. Ma.

*ex.* **352—3.** ὄφρα δ' ἐγὼ ⟨μετ' Ἀχαιοῖσιν⟩ πολέμιζον, / οὐκ ἐθέλεσκε μάχην ⟨... ὀρνύμεν Ἕκτωρ⟩: μείζων τείχους Ἀχιλλεύς, εἴ γε τούτῳ μὲν ἐπαυλίζεται Ἕκτωρ, ἐκεῖνον δὲ ἔφευγε. Ὀδυσσέως δὲ εἰς Δία φέροντος τὴν αἰτίαν τῆς εὐημερίας τῶν Τρώων Ἀχιλλεὺς ἐπὶ τὴν αὑτοῦ ἀπουσίαν τρέπει. **b**(BCE³E⁴) T

*ex.* **353** *a.* οὐκ ἐθέλεσκε μάχην: ἐθέλεσκε T ἐδύνατο. καὶ ἀνάπαλιν „οὔτε τελευτήν / ποιῆσαι δύναται" (α 249—50). **b**(BCE³ E⁴) T

*Hrd.* *b.* ἀπό {τείχεος ὀρνύμεν}: δύναται τῇ γενικῇ συντάσσεσθαι καὶ μὴ πάντως σημαίνειν τὸ ἄπωθεν. A

*ex.* *c.* ἀπὸ τείχους: τινὲς 'ἐπάνω τοῦ τείχους', ὑπερβολή. εἰ δὲ σημαίνει τὸ ἄπωθεν, βαρύνεται ὡς τὸ ἄνα ἔπι. T

*Ariston.* **354** *a.* {ἀλλ' ὅσον ἐς} Σκαιάς τε πύλας: ὅτι πληθυντικῶς εἶπε τὴν πύλην μίαν οὖσαν. Σκαιαὶ δὲ καὶ Δαρδάνιαι αἱ αὐταί. ἡ δὲ δρῦς πρὸ τῆς Ἰλίου ἦν. A

*ex.* *b.* καὶ φηγὸν ἵκανεν: δύο εἰσὶ φηγοί· ὑφ' ᾗ μὲν ἱερὸν Διός (cf. H 60), ὑφ' ᾗ δὲ Ἴλου τάφος (cf. Λ 166—7). T

*ex.* **356** *a.* νῦν δ' ἐπεὶ οὐκ ἐθέλω: τινὲς εἰρωνικῶς 'οὐ δύναμαι δι' Ἀγαμέμνονα'· „καὶ δ' Ἀχιλεὺς τούτῳ γε μάχῃ ἐνὶ κυδιανείρῃ / ἔρριγ' ἀντιβολῆσαι" (H 113—4). **b**(BCE³E⁴) T

*Did.(?)* *b.* ⟨πολεμιζέμεν:⟩ γράφεται καὶ „πολεμίζειν". A$^{im}$

*ex.* **357—61** *a.*¹ αὔριον ἱρὰ Διῒ ῥέξας ⟨——— / νῆας ἐμάς⟩: διδάσκει πρὸ ἁπάσης πράξεως ἡγεμόνας θεοὺς ἐπικαλεῖσθαι. ἵνα δὲ καὶ μὴ λαθραῖον δοκῇ ποιῆσαι τὴν ἀποπομπήν. πρὸς δὲ τὸ „ἀρᾶται

**353** *a* — ἐδύνατο (91) ad I 356 *a*. 359, cf. D, Eust. 755, 48. 64 *b* ad B 162 (Hrd.), cf. Ep. Hom. (An. Ox. 1, 67, 29); vide ad E 322 *a* (Hrd.) *c* εἰ δὲ σημαίνει (1) sq. ad Δ 77 **354** *a* ad H 339 *a* (Ariston.) Σκαιαὶ δὲ καὶ (4) sq. ad E 789 (Ariston.) **356** fort. erat sch. ex. de voce δίῳ Hectori attributa, ad I 651 *a* — Ἀγαμέμνονα (9) cf. Anon. fig. 141, 6 δύναμαι (8) ad I 359; vide ad I 353 *a* **357—61** τὸ (δὲ) ἑξῆς (16 et 18) cf. Eust. 755, 54

---

**86** sq. le. T supplevi (auctoribus Ma. et Vill.), om. **b** **87—90** μείζ. δὲ ἄρα τοῦ τείχους sq. pone sch. I 353 *a* (coni. cum v. δύναται) in **b**, fort. μείζων τοῦ τείχους (murum dicit castrorum Graecorum) **88** ὁ ἕκτωρ **b**, fort. recte ὀδ. δὲ T νῦν δὲ ὀδυσσέως **b** **89** εὐήμ. **b** εὐμερίας T (super litt. ευμ ss. η m. rec.) **90** ἑαυτοῦ **b** τρέπει om. T **92** οὔτε] οὔ C **94** (le.) τείχ. ὀρν. in mg. relegavit Bk. **1** ὑπερβολῇ Ma. **2** fort. τὸ ἀπό τὸ ἄπωθεν ἄνα Ma., ἀνα T ἔπι Bk., ἐπεὶ T **3** (le.) ἀλλ' ὅσ. ἐς damn. Bk. ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **8** sq. οὐ δύν. δι' ἀγ. T, ἀντὶ τοῦ οὐ δύναμαι, διὰ τὸν ἀγαμέμνονος λόγον **b** (nescio an melius) **9** ἀχιλεὺς cp. T κυδιαν. om. T ἔριγ' T **11** le. (= A$^{cont}$) add. Bk. (Vill.) **12** le. T supplevi **13—4** ἵνα — ἀποπομπήν sc. ταῦτα τὰ ἔπη προλέγει

⟨δὲ⟩ τάχιστα φανήμεναι Ἠῶ δῖαν" (I 240) ἀποκόπτει αὐτῶν τὴν ἐλπίδα. τὸ δὲ ἑξῆς· ἐπὴν αὔριον ἱρὰ Διὶ ῥέξας καὶ νηήσας τὰς ναῦς προερύσω, ὄψεαι ἡμᾶς πλέοντας. T

*a.*$^2$ τὸ ἑξῆς οὕτως· ἐπὴν αὔριον ἱρὰ Διὶ ῥέξας καὶ νηήσας τὰς ναῦς ἅλα δὲ προερύσσω, ὄψεαι, ἢν ἐθέλησθα, πλέοντας ἡμᾶς. διδάσκει δὲ πρὸ ἁπάσης πράξεως ἡγεμόνας θεοὺς ἐπικαλεῖσθαι. καὶ ἵνα μὴ λάθρα δοκῇ ὑποχωρεῖν, προλέγει αὐτοῖς καὶ τῶν ἐλπίδων ἀποτειχίζει πασῶν. b(BCE$^3$E$^4$)

**358.** ⟨ἐπὴν . . . προερύσσω:⟩ ἀντὶ τοῦ κινήσαντος. A$^{im}$ *ex.*

**359** *a.*$^1$ ὄψεαι, ἢν ἐθέλησθα: ἐθέλησθα δυνηθῇς, ἐὰν ὑμῖν ἐπιτρέψωσιν οἱ πολέμιοι. ἠθικῶς δὲ εἰρώνευεται. T *ex.*

*a.*$^2$ δυνηθήσῃ. ἐὰν οἱ πολέμιοι, φησίν, ἐπιτρέπωσί σοι. ἠθικῶς δὲ εἰρωνεύεται. b(BCE$^3$E$^4$)

**360—1.** ἦρι μάλα ⟨———⟩ πλεούσας / νῆας ἐμάς, ἐν δ' ἄνδρας: πιθανῶς προσέθηκε καὶ τοῦτο, ἵνα ἀπελπίσωσι καὶ τὴν παρὰ τῶν Μυρμιδόνων ἐπικουρίαν ὡς συναχθομένων αὐτοῦ τῇ ἀτιμίᾳ. b(BCE$^3$E$^4$) T *ex.*

**360.** Ἑλλήσποντον: ἀντὶ τοῦ δι' Ἑλλησπόντου. Ἑλλήσποντος δέ ἐστιν ——— Φρίξου ἀδελφῆς. A *D*

{ἐπ'} ἰχθυόεντα: καὶ ἀλλαχοῦ ταῦτα τὰ μέρη ἰχθυώδη ἀναγράφονται, ὅ τε Εὔξεινος πόντος καὶ ὁ Ἑλλήσποντος, ἀλλὰ καὶ ὁ Βόσπορος. A *ex.*

**361.** ⟨ἐρεσσέμεναι μεμαῶτας:⟩ τὸ περὶ τὸν ἀπόπλουν πρόθυμον αὐτῶν δηλοῖ. b(BCE$^3$E$^4$) T$^{il}$ *ex.*

**363** *a.* ἤματί κεν τριτάτῳ ⟨Φθίην ἐρίβωλον ἱκοίμην⟩: ἐμπείρως· τοσοῦτος γάρ ἐστιν ὁ ἀπὸ Ἑλλησπόντου εἰς τὴν Φθίαν πλοῦς ἀνέμῳ χρωμένῳ οὐρίῳ. b(BCE$^3$E$^4$) T *ex.*

**359** cf. Ge (fort. ex h): ἀπορία· πῶς οὐκ ἠδύνατο Ὀδυσσεὺς ὁρᾶν τὴν ὑποχώρησιν τοῦ Ἀχιλλέως; εἰρωνικῶς οὖν τοῦτό φησιν ὅτι αὔριον, τῶν Τρώων ἐπικειμένων καὶ καταπονουμένων ὑμῶν, οὐκ οἴομαί σε τὴν ἐμὴν ἰδεῖν ἀναχώρησιν, Eust. 756, 7 *a*$^1$ δυνηθῇ (24) ad I 356 *a*; vide ad I 353 *a*; cf. sch. *a*$^2$ **360** de v. ἦρι vide ad Θ 66 *b* καὶ ἀλλαχοῦ (34) sq. Ge: σημείωσαι ὅτι ὁ Ἑλλήσποντος καὶ ὁ Εὔξεινος καὶ ὁ Βόσπορος ἰχθυόεντες, fort. sch. classis h; ad rem cf. Athen. 1, 9 d **361** cf. Eust. 756, 15 **363** *a* sim. Eust. 756, 16 ἀπὸ Ἑλλησπόντου (40) cf. Strab.

15 δὲ (= Hom.) add. Ma. ἀποκόπτῃ αὐτῶν τὴν ἐλπίδα, προλέγει Ma., virgula post v. ἀποπομπὴν posita, at cf. sch. *a*$^2$; Valk I 527 **18—21** sch. ad I 357 rettulit b **19** ἐθέλησθα CE$^4$ **23** le. addidi, non sine aliqua dubitatione **28** sq. le. T suppl. Ma., om. b (qui sch. ad I 360 revocasse vid.) **30** αὐτῶν b **34** (le.) ἐπ' del. Vill. **36** ἄσπορος A em. Vill. **37** le. add. Ma. **37** sq. αὐτῶν πρόθ. b **38** δηλοῖ T, διὰ τούτου ἐδήλωσεν b (fort. melius) **39** le. T supplevi (auctore Vill.), om. b **39** sq. ἐμπ. τοῦτό φησι b **40** τὴν om. C **41** ἀπόπλους τοῖς ἀνέμῳ χρωμένοις οὐρίῳ b

*ex.* *b.* ⟨ἤματί κε τριτάτῳ ——— ἱκοίμην:⟩ πρὸς τὸ „ἐπειὴ μάλα πολλὰ μεταξύ / οὔρεά τε ⟨——— θάλασσά τε ἠχήεσσα⟩" (A 156—7). T$^{il}$

*ex.* **364** *a.* ἔστι δέ μοι μάλα πολλά: ἀντίθεσιν ποιεῖται τῶν δώρων Ἀγαμέμνονος, ὅτι μοι οὐ χρεία αὐτῶν ἔχοντι πολλά, A b(BCE$^3$E$^4$) T τοῦτο μὲν τὰ τοῦ Πηλέως, τοῦτο δὲ ἅπερ ἐκ τῶν Τρωϊκῶν λαφύρων ἐδέξατο. A b(BE$^3$E$^4$) T

*Ariston.* *b.* ἐνθάδε ἔρρων: ὅτι τὸ ἔρρων οὐ λέγει ψιλῶς παραγινόμενος, ἀλλὰ δυσαρεστῶν τῇ παρουσίᾳ φησίν, ἐνθάδε μετὰ φθορᾶς παραγινόμενος. A

*ex.(Ariston.?)* *c.* ἐνθάδε ἔρρων: τοῦτό φησι δυσαρεστῶν τῇ στρατείᾳ. b(BE$^3$E$^4$) T

*ex.* **365.** ἄλλον δ' ἐνθένδε χρυσὸν ⟨καὶ χαλκὸν ἐρυθρόν⟩: ταῦτα ἀντιτίθησι πρὸς τὸ „νῆα ἅλις χρυσοῦ καὶ χαλκοῦ νηησάσθω" (I 279). b(BCE$^3$E$^4$) T

*ex.* **366** *a.* ⟨γυναῖκας ἐϋζώνους:⟩ πρὸς τὸ „Τρωϊάδας δὲ γυναῖκας ἐείκοσιν b(BCE$^3$E$^4$) T$^{il}$ αὐτὸς ἑλέσθω" (I 281). T$^{il}$

*ex.* *b.* πολιόν: ἢ ἔντιμον διὰ τὰς γεωργίας, ἢ πολιτικὸν διὰ τὰ ὅπλα, ἢ μέλανα κατὰ ἀντίφρασιν. b(BCE$^3$E$^4$) T

*D* πολιόν: λαμπρόν· ὀξυνθεὶς ——— γίνεται. A

7 fr. 58; vide ad B 844 **364** *b/c* δυσαρεστῶν (50 et 52) cf. Eust. 756, 24 *b* ad Θ 239 *a* (Ariston.), cf. D **366** *b* ad T 267 (ex.). Fort. plura legit Et. Gen. (AB, in A pone D): πολιόν τε (τε A τὸν B) σίδηρον· ἔνιοί φασιν ὅτι πυρωθεὶς ὁ σίδηρος λαμπρότερος γίνεται· καὶ ἄλλα δὲ πολλὰ ταὐτὸ πάσχει. ἀλλὰ πολιὸν ἀντὶ τοῦ ἔντιμον διὰ τὰς χρείας· ἢ ὅτι λαμπρυνθεὶς καὶ ἀκονηθεὶς λευκὸς (λ. om. B) φαίνεται καὶ „πολιὴν (πολιὰν A) ἅλα" (O 190) τὴν λευκήν. καὶ „πολιοκροτάφους" (Θ 518) τοὺς ἐντίμους καὶ λαμπροὺς ταῖς διανοίαις, cf. D, D ad A 350. Θ 518. O 190, Ap. S. 132, 33; — μέλανα (60) cf. Eust. 756, 44; — γεωργίας (59) cf. Ge (e T ut vid.):

---

42 le. addidi, ἄλλως· ἤματι κεν· add. V$^c$ πρὸς τὸ T, fort. ἡ ἀναφορὰ πρὸς τὸ 43 θάλ. τε ἠχ. addidi 45 le. T, ἔστι δέ μοι: (coni. cum scholio I 360, v. ἄσπορος) A, om. b 46 μοι] μοι φησὶν b 48 ἐδεξάμην Hornei 49 ὅτι A, fort. ἡ διπλῆ, ὅτι 52 τοῦτό φησι T, τὸ δὲ ἔρρων φησὶ pone sch. *a* (coni. cum v. ἐδέξατο) b στρατιᾷ b 54 le. T supplevi, om. b 54 sq. ταῦτα ἀντίτ. om. T, fort. recte 55 χαλκοῦ καὶ χρυσοῦ C 57 le. addidi (γυναῖκας iam V$^c$) πρὸς T, καὶ πρὸς (coni. cum scholio praecedenti) b δὲ om. T 59 le. Ddf., πολιὸν δὲ σίδηρον (ἢ sq.) pone sch. I 365 (coni. cum v. νηησάσθω) T, τὸ δὲ πολιὸν pone sch. *a* (coni. cum v. ἐείκοσιν) E$^4$, om. BCE$^3$ ἔντιμον T τὸν τίμιον b γε͡ρσιας T ἢ τὸν πολιτ. b 60 ἢ τὸν μέλ. b

367 *a*. ἄσσ' ἔλαχόν γε: ὅτι παραπλησίως καὶ κατ' ἀρχὴν τῆς μήνιδος λέγει „τῶν δ' ἄλλων, ἅ μοί ἐστι" (Α 300)· τὰ μὲν γὰρ ἄλλα κατὰ κλῆρον ἔλαβεν, τὴν δὲ Βρισηΐδα ἐξαίρετον παρ' Ἀγαμέμνονος. A *Ariston.*

*b*. ⟨ἄσσ' ἔλαχόν γε:⟩ γράφεται καὶ „ἄσσα λέλογχα". $A^{im}$ *Did.(?)*

*c*. ἄσ⟨σ'⟩ ἔλαχόν γε: ἔλαχον ὁμοίως τῷ ψιλῷ πλήθει. λέγει γοῦν „τῶν δ' ἄλλων, ἅ μοί ἐστι" (Α 300)· ταῦτα γὰρ οὐκ εἰλήφει παρ' Ἀγαμέμνονος· τὸ γὰρ γέρας ἐξαίρετον καὶ τοῦ διδόντος ἦν. διὰ τοῦτο γοῦν κἀκεῖνος, ὡς ἐξόν, ὃ δέδωκε, λαβεῖν, ἀφαιρεῖται. b (BE$^3$E$^4$) T *ex.*

*d*. γέρας δέ μοι, ὥσπερ ἔδωκεν: πάλιν τὸ κυμάζον πάθος εἵλκυσεν αὐτοῦ τὴν μνήμην ἐπὶ τὸν Ἀγαμέμνονα. δεινοποιῶν δὲ τὴν ὕβριν Ἀγαμέμνονός φησιν ὥσπερ ἔδωκεν. ἐκεῖ δὲ ἐπανιστὰς τὸ πλῆθος „δόσαν δέ μοι υἷες Ἀχαιῶν" (Α 162) φησιν. b(BE$^3$E$^4$) T *ex.*

368 *a*.[1] ⟨ἐφυβρίζων:⟩ καὶ „ἐνυβρίζων". $A^{int}$ *Did.(?)*

*a*.[2] ⟨ἐφυβρίζων:⟩ „ἐνυβρίζων", διχῶς. $T^{il}$

369. Ἀτρείδης· τῷ πάντ' ἀγορευέμεν, ⟨ὡς ἐπιτέλλω⟩: πιθανῶς ἵνα μὴ τὸν Ἀγαμέμνονα εὐφράνωσιν ἀφελόντες τι τῶν τραχύτερον εἰρημένων, αὐτὸν δὲ ταπεινὸν ἀποφήνωσι, πρᾳότερον τῆς ἀπειλῆς ἀποπρεσβεύσαντες. ἔστι δὲ καὶ χαρακτηριστικὸν τῶν ὀργιζομένων τὸ ἀξιοῦν αὐτὰς τὰς φωνὰς τοῖς ἐχθροῖς διακομίζειν καὶ τὸ ἐπὶ πολλῶν ταῦτα λέγειν· b(BCE$^3$E$^4$) T οὐ γὰρ μόνον τὸ κακόν τι τὸν ἐχθρὸν εἰπεῖν τοῖς ὀργιζομένοις ἡδύ, ἀλλὰ καὶ τὸ παρόντων πολλῶν μαρτύρων. ἴσως δὲ καὶ τῆς παρὰ τοῖς Ἕλλησιν αἰτίας ἀπολυθῆναι θέλει, ἵνα μὴ αὐτῷ δυσχεραίνωσι τὴν συμμαχίαν ἐγκαταλιπόντι, ἀλλὰ τῷ τὸν ἄριστον τῶν Δαναῶν ἀτιμάσαντι. ἅμα δὲ καὶ ὡς δίκαια λέγων ἐπὶ πλειόνων αὐτὰ βούλεται ἐξετάζεσθαι. b(BE$^3$E$^4$) T *ex.*

πολιὸς δὲ ὁ σίδηρος, διότι ἔντιμός ἐστι διὰ τὴν σπουδήν **367** Aristonicus fort. etiam de v. ἄξομαι egit, cf. Eust. 756, 41: ὅρα ὅτι τε τὸ „ἄξομαι" κυριολεκτεῖται μὲν ἐπὶ γυναικῶν ὡς ἐμψύχων, συλληπτικῷ δὲ τρόπῳ ἐξακούεται καὶ ἐπὶ χρυσοῦ καὶ χαλκοῦ καὶ σιδήρου τῶν ἀνωτέρω (sc. I 365 et 366) ῥηθέντων, vide ad Θ 507 (ex.), Λ 632 *b* (Ariston.) ὅτι παραπλησίως (62) sq. vide ad Α 300 (test.) *d* — Ἀγαμέμνονα (72) ad I 736

---

**62** le. scripsi (duce Bk.), ἄξομαι: A ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **65** le. add. Bk. λέλο ss. χ A em. Bk. **66** le. T suppl. Ma., om. b ὁμοίως T φησὶν ὁμοίως b **67** δὲ ἄλλων b ἐστι T εἰσι b **68** παρ' T παρὰ τοῦ b **69** ἔδωκε b (fort. melius) **71—4** πάλιν δὲ τὸ sq. coni. cum scholio praecedenti (v. ἀφαιρεῖται) b **71** κυμάζον „inusitata verbi forma pro κυμαῖνον" Ddf. **73** φησιν T φησὶ τὸ b ἐπανιστᾷ b **74** υἷες ἀχ. om. T φησίν om. b **75** le. add. Vill. καὶ A, γράφεται καὶ Vill. **76** le. add. V$^c$ **77** le. T supplevi (auctore Vill.), om. b **78** ἀφελῶντες T **78** sq. τῶν τραχ. b τῶν τατραχύτερον T **80** ἀποπρεσβεύσαντα C **81** διακ. τοῖς ἐχθροῖς b **82** ταύτας Ma., fort. nimia diligentia inductus; possis τοιαῦτα **82** sq. τῶι ἐχθρῶ b **85** δυσχεραίνωσιν ὡς τὴν b, fort. rectius **86** τῶν δαν. τὸν ἄριστον b

*ex.* **371—3.** εἴ τινά που Δαναῶν ἔτι ἔλπεται ἐξαπατήσειν ⟨——— ἰδέσθαι⟩: εἴ γε οἴεται περὶ ἐμοῦ λέγων ἀπατήσειν τοὺς Ἀχαιούς· ἐμὲ γὰρ οὐ πείθειν, ἀλλ' οὐδὲ ὁρᾶν (cf. 373) διὰ τὴν συνείδησιν τῶν μεγίστων ἀδικημάτων ἐκείνων δυνήσεται. **b**(BCE$^3$E$^4$) **T**

*ex.* **371.** {εἴ τινά που δαναῶν ἔτι ἔλπεται} ἐξαπατήσειν: διὰ τί ἐξηπατῆσθαί φησιν ὁ Ἀχιλλεὺς ὑπὸ τοῦ Ἀγαμέμνονος, ἀφαιρεθεὶς δὲ τοῦ γέρως; ἥκιστα γὰρ ἡ ὕβρις ἀπάτη. ἢ ὅτι τέως φίλος ὢν ἀνεφάνη ἐχθρός, ταύτην λέγει τὴν ἀπάτην, παρακελευόμενος τῷ Ὀδυσσεῖ φυλάττεσθαι καὶ μὴ προσέχειν ὡς φίλῳ. καὶ τὸ δόντα μέντοι ἔπειτα ἀφελέσθαι ἀπάτη ἐστίν· ὃ γὰρ ἔφησεν, οὐκ ἐποίησεν. **A**

*Nic.* **372** *a.* αἰὲν ἀναιδείην ⟨ἐπιειμένος⟩: δύναται μὲν συνάπτεσθαι τῷ ἐπάνω στίχῳ, ὡς καὶ τέτριπται. βέλτιον δὲ καθ' αὑτὸ προφέρεσθαι· μᾶλλον γὰρ ἐμφαίνει τὸν ὀργιζόμενον. **A**

*ex.* *b.* ⟨αἰὲν ἀναιδείην ἐπιειμένος:⟩ τοῦτο καθ' αὑτόν, ἵν' ᾖ κομματικὴ ἡ ἀπαγγελία, τὸν θυμούμενον δηλοῦσα. **b**(BCE$^3$E$^4$) **T**$^{il}$

*Nic.* | *ex.* **374—9.** οὐδέ τί οἱ βουλὰς συμφράσσομαι ⟨——— τόσα δοίη⟩: ἐμφαντικώτεροι γίνονται οἱ λόγοι θᾶττον διακοπτόμενοι· ἐν γοῦν τέτρασι στίχοις ὀκτὼ εἰσιν αὐτοτελεῖς στιγμαί, ἀπὸ τοῦ ἐκ γὰρ δή με (375) ἕως τοῦ αἴσῃ (378). | τὸ δὲ ἑξῆς· οὐ συμφράσομαι αὐτῷ οὐδὲ ἀπατήσει με, οὐδὲ ἐάν μοι δεκάκις τόσα δοίη. ἐντεῦθεν δὲ δῆλον ὅτι οὐ μόνον τὰ πολεμικὰ ἤσκητο Ἀχιλλεύς, ἀλλὰ καὶ βουλεύειν ἄριστος ἦν· καὶ γοῦν καὶ διδάσκαλον ἔπεμψεν αὐτῷ ὁ πατήρ, „μύθων τε †ῥητῆρα† ἔμεναι πρηκτῆρά τε ἔργων" (I 443). **b**(BCE$^3$E$^4$) **T**

*Nic.* **375—8.** ἐκ γὰρ δή μ' ἀπάτησε, καὶ ἤλιτεν· ⟨——— ἐν καρὸς αἴσῃ⟩: παρατηρητέον ὅτι ἐμφαντικώτεροι γίνονται οἱ λόγοι θᾶσσον

**371** sch. Porphyrio (cf. Porph. 1, 136, 25) nulla probabili causa attr. Schrader **374—9** ἐμφαντικώτεροι (9) — αἴσῃ (11) vide ad I 375—8 (Nic.) ἐντεῦθεν δὲ δῆλον (12) — ἄριστος ἦν (14) cf. Eust. 756, 63 **375—8** ad I 374—9, cf. Eust. 756, 52: τὸ ἐντεῦθεν δὲ ὀργίλον ἦθος, ὡς καὶ οἱ παλαιοὶ σημειοῦνται, διαγράφων ὁ ποιητὴς ἐγκόπτει συχνὰ τὸν λό-

---

**88** sq. le. T supplevi, om. **b** (scholio ad I 371 relato) **89** περὶ T φησὶ περὶ **b** **90** sq. δυνήσ. post ὁρᾶν **b** **90** διὰ T, καίπερ ὢν ἀναιδὴς διὰ **b** (fort. recte) **91** ἀδικ. ἐκ. (ἐκ. om. **b**)] ἀδικ. ἐκεῖνος Wil., malim ἐκείνων ἀδικ. **92** (le.) εἴ τινα — ἔλπ. del. Bk. **3** le. A suppl. Vill. **4** ὡς καὶ τέτρ. h. e. ‚ut fieri solet' **6** le. addidi (αἰὲν ἀν. add. iam V$^c$) τοῦτο καθ' αὑτόν T, ταῦτα δὲ καθ' ἑαυτὸν νοητέον λέγειν (pone sch. I 371—3, coni. cum v. ἀδικημάτων) **b**, insipienter **8** sq. le. T supplevi, om. **b** (ubi sch. ad I 375 revocatum est) **9** διακοπτ. **b** δὲ κοπτόμενοι T **10** τέσσαρσι Ddf. (cf. sch. I 375—8) στιχίοις **b** ἀπὸ τοῦ **b** ἀπὸ τοῦ γὰρ T **11** συμφράσσομαι T **12** οὐδὲ' T οὐδ$^1$ **b** ἐάν] εἴ Ma. (haud necessarium) τόσα CT τόσσα BE$^3$E$^4$ **12** sq. ἐντεῦθεν — τὰ T οὐ μόνον δὲ τὰ **b** **13** ὁ ἀχ. **b** **14** αὐτῷ T ἅμα αὐτῷ **b** **15** ῥητῆρ' Hom. ἔμμεναι **b** τε **b** τ' T **16** sq. le. A suppl. Frdl. **16** (le.) ἤλιτον A em. Vill.

διακοπτόμενοι· ἡ γὰρ ὀργὴ μᾶλλον παρίσταται διὰ τοῦ τοιούτου. ἐν γοῦν τοῖς τέσσαρσι στίχοις ἐφεξῆς ὀκτώ εἰσιν αὐτοτελεῖς λόγοι καὶ τοσαῦται αἱ στιγμαί, ἕως τοῦ ἐν καρὸς αἴσῃ (378). **A**

**375.** ⟨ἀπάτησε:⟩ τὴν φιλίαν στρέψας εἰς ἔχθραν. **T**[il] *ex.*

**376.** ἐξαπάφοιτο: ἐξαπατήσειε⟨ν⟩. **A** | ἀπὸ τῶν ταῖς ἀφαῖς φιλοφρονουμένων· εὐηθείας γάρ ἐστι τὸ ἅπαξ ἀπατηθῆναι ὑπὸ φίλου, τὸ δὲ δὶς μωρίας. ὅρα δέ, ὡς ἐπιμένει πάλιν τῇ ἀφαιρέσει. **A b**(BCE³E⁴) **T** *D* | *ex.*

**377.** ἐρρέτω: ἱκανὴν οἴεται τιμωρίαν παρὰ τοῦ ἐχθροῦ λαμβάνειν τὸ ἀπαλλάσσεσθαι τῆς φιλίας αὐτοῦ, ὡς εἰώθαμεν λέγειν 'ἑαυτὸν ἐχέτω'. **b**(BCE³E⁴) **T** *ex.*

**378** *a.* ἐχθρὰ δέ μοι τοῦ δῶρα: πρὸς τὸ δεύτερον κεφάλαιον (sc. I 252—60), τὴν παραίνεσιν τὴν τοῦ Πηλέως, οὐδὲν ἀντειπεῖν ἔχων παρῆλθεν αὐτό. **b**(BCE³) **T** *ex.*

*b.* τίω δέ μιν ἐν καρὸς αἴσῃ: ὅτι συνέσταλται Ἰακῶς ἐν καρός ἀντὶ τοῦ ἐν κηρός· **A** ὅμοιον γάρ ἐστι τῷ „ἶσον γάρ σφιν *Ariston.* | *ex.* | *D*

γον τῷ Ἀχιλλεῖ, κομματικῶς προάγων τὴν ἀντιλογίαν, ὅπερ ἔθος τοῖς τραχυνομένοις. ἐν γοῦν τέσσαρσι, φασί, στίχοις ἀπὸ τοῦ „οὐδὲ μὲν ἔργον" (I 374) ἔννοιαι ὀκτὼ στίζονται αὐτοτελεῖς αὗται· „ἐκ γὰρ δή μ' ἀπάτησε", „καὶ ἤλιτεν" (375), „οὐδ' ἂν ἔτ' αὖτις / ἐξαπάφοιτο ἐπέεσσιν" (375—6), „ἅλις δέ οἱ" (376), „ἀλλὰ ἕκηλος / ἐρρέτω" (376—7), „ἐκ γάρ οἱ φρένας εἵλετο Ζεύς" (cf. 377), „ἐχθρὰ δέ μοι τοῦ δῶρα", „τίω δέ μιν ἐν καρὸς αἴσῃ" (378), ib. 1835, 37. 1855, 54; Carnuth, Nic. p. 64 ἡ γὰρ ὀργὴ (18) — τοιούτου ad I 388 *b*; cf. Macrob. sat. 4, 1, 3 et 9 **376** ταῖς ἀφαῖς (22) cf. Eust. 757, 6 εὐηθείας (23) — μωρίας (24) cf. Eust. 757, 3 ὅρα δὲ (24) sq. ad I 367 *d* **377** incertum, num sch. de vocibus εὖ et οἱ exstiterit, cf. Eust. 757, 15: διπλῆ δὲ ἐνταῦθα γραφή „ἐκ γάρ οἱ φρένας εἵλετο" καὶ „ἐκ γὰρ εὖ (malim γάρ εὑ), ἤγουν αὐτοῦ (ἤγ. αὐτοῦ add. Eust.) φρένας εἵλετο" **378** *a* τὸ δεύτερον κεφάλαιον (28) vide ad I 252 *b* *b* plura Eust. 757, 18—31; quae eum non in hyp. Iliad. legisse, sed ap. Porphyrium invenisse veri haud est dissimile (cf. Porph. 1, 137, 5 c. nota). Apio, quem Eust. 757, 23 in testimonium vocat (ὥς φησιν Ἀπίων), ille grammaticus Alexandrinus est, cuius opera Porph. compluriens usurpavit (vide Beiträge 52); cf. Meineke 359 ὅτι συνέσταλται (31) — κηρός (32) cf. D, Eust. 757, 49, Porph. 1, 137, 15 (= Heracl. Mil. fr. 9); Choer. Th. 1, 297, 26. 321, 1 συνέσταλται Ἰακῶς (31) ad Ξ 25. Π 776 *a*; cf. sch. η 8. μ 27. 85. Vide test. ad M 469 ὅμοιον (32) — φθεῖρα (34) Ge (fort. e T): ὅμοιον τῷ

---

**21** le. add. Bk., δή μ' ἀπάτησε· add. V[c] **22** le. AT, om. **b** ἐξαπατήσειε A suppl. Bk., ἐξαπατήσοι D ἀπό] ἡ μεταφορὰ ἀπὸ A, fort. recte **24** ὥρα A **28—30** πρὸς τὸ δεύτ. δὲ sq. pone sch. *b* (coni. cum v. μελαίνῃ) in **b** **29** τὴν τοῦ πηλ. παραίν. **b** μηδὲν **b** **30** παρῆκεν αὐτὸ ἀμνημόνευτον **b** **31** le. T, ἐχθρὰ δέ μοι τοῦ δῶρα, τίω δέ μιν ἐν καρός· A, om. **b** ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **32** γάρ A, δέ E⁴ (scholio cum nota Porphyrii coniuncto), om. BCE³T τῷ] τὸ E⁴ γάρ σφιν (= Hom.) BCE³, γάρ σφισι A γάρ σφι T, om. E⁴

πᾶσιν ἀπήχθετο κηρὶ μελαίνῃ“ (Γ 454). **A b**(BCE$^3$E$^4$) **T** | οἱ δὲ ἔγκαρ τὸν φθεῖρα. οἱ δὲ ἀπὸ τῶν Καρῶν, οὓς ἀεὶ λοιδορεῖ ὁ ποιητής. ἢ ὅτι Ἀθηναῖοι τὸν ἐγκέφαλον οὔτε ἤσθιον οὔτε ὠνόμαζον· „ἔγκαρος“ οὖν τοῦ ἐγκεφάλου. **AT** | ἄλλως· ἢ ὡς ἔνιοι, ἐν τάξει ——— ἀτιμότατοι. **A**

*Nic.* **379—87.** οὐδ' εἴ μοι δεκάκις τε καὶ εἰκοσάκις ⟨τόσα δοίη ——— λώβην⟩: ἤτοι καθ' ἑαυτὰ προενεκτέον ταῦτα, ἵνα ἄνωθεν κοιναὶ λαμβάνωνται ἀρνήσεις· „οὐδέ τί οἱ βουλὰς συμφράσσομαι“ (I 374), „οὐδ' ἂν ἔτ' αὖτις / ἐξαπάφοιτ' ἐπέεσσιν“ (I 375—6), οὐδ' εἴ μοι δεκάκις τε καὶ τὰ ἑξῆς διασταλτέον καθ' ἕκαστον· ἢ ὑποστικτέον πάντα ἕως τοῦ ψάμαθός τε κόνις τε (385), ἵνα ἀνταποδίδωται οὐδέ κεν ὣς ἔτι θυμὸν ἐμὸν πείσῃ (386). **A**

*ex.* **379—86.** οὐδ' εἴ μοι δεκάκις τε ⟨——— θυμὸν ἐμὸν πείσει'⟩: πλείσταις ὑπερβολαῖς λόγων εἰώθασιν οἱ ὀργιζόμενοι χρῆσθαι. ἵνα δὲ μὴ ὑπόνοιαν δῷ ὡς πλειόνων ὀρεγόμενος ἢ ὅτι δώροις αὐτὸν πείσουσιν, ἀπεριορίστῳ ἀριθμῷ δώρων ἐχρήσατο καὶ οὐδὲ οὕτω πεισθήσεσθαι ἐπαγγέλλεται. **b**(BE$^3$E$^4$) **T**

„ἶσον γάρ σφιν ἀπήχθετο κηρὶ μελαίνῃ“. οἱ δὲ κάρα τὸν φθεῖρά φασιν τὸν φθεῖρα (34) cf. E. Fraenkel, Glotta 35, 1956, 87 οἱ δὲ ἀπὸ τῶν Καρῶν (34) — ποιητής cf. D, Porph. 1, 137, 5; sch. Theocr. 17, 89; sch. Lyc. 1384; sch. Ael. Aristid. 521, 28 (vide Lenz, Unters. zu den Aristeides-Scholien [= Problemata 8], Berol. 1934, 33); Tz. Ar. Plut. 1002 (p. 206, 23); vide Zenob. 3, 59 (C. P. G. I p. 70, 14 c. test.); Cratin. fr. 16 K.; Polyb. 10, 32, 11; Diog. ap. He. κ 823; Paus. att. ε 40; sch. Plat. Lach. 187 b, Euthyd. 285 c; Sen. Quaest. nat. IV b, 5, 3 al. οὓς ἀεὶ λοιδορεῖ ὁ ποιητής (34) cf. Friedl., Zoil. 83 ἢ ὅτι Ἀθηναῖοι (34) — ἐγκεφάλου (36) cf. Eust. 757, 35: ἄλλοι δὲ γράφουσι μὲν καὶ αὐτοὶ προπαροξυτόνως „ἔγκαρος“ καὶ κλίνουσιν ἔγκαρ, ἔγκαρος, τὴν δὲ λέξιν ἐπὶ ἐγκεφάλου νοοῦσιν, ὅν φασιν ὑπὸ Ἀθηναίων μὴ ἐσθίεσθαι (textum supra impressum ante oculos habebat), Plut. mor. 733 e, Athen. 2, 65 f **379—87** οὐδ' εἴ μοι δεκ. τε καὶ τὰ ἑξῆς (41) cf. Eust. 758, 32. Vide ad I 385 *a* **379—86** — χρῆσθαι (46) cf. Aristot. rhet. 3, 11 p. 1413 a 30; Hintenlang 38; vide ad I 388—90 ἵνα δὲ μὴ (47) sq. cf. Eust.

---

**33** πᾶσιν om. CT **33** sq. ἔγκαρ scripsi (cf. test.), ἔνκαρα T κάρα A Ge, ἔγκαρα Ma. **34** καρῶν τοῦ ἔθνους A, fort. recte ἢ om. A **35** ἀθ.] οἱ ἀρχαῖοι propos. Wackernagel (cf. test.) ἴσθιον A **36** ἐγκεφάλου: — A (sequitur spatium 1,2 cm) **36** sq. ἀτιμώτατοι A em. Vill. **38** sq. le. A suppl. Frdl. **39** ἑαυτὸν A em. Bk. **42** punctum pone v. ἑξῆς in A, sustulit Frdl., recte **43** πάντα sententias negativas dicit inde a versu I 379 **44** fort. πείσειε **45** sq. le. T supplevi, om. **b** (qui sch. ad I 379 rettulit) **48** πείσωσιν T οὕτως **b**

381 *a*. ⟨ἠδ' ὅσ' ἐς Ὀρχομενὸν . . . ἠδ' ὅσα Θήβας:⟩ γράφεται „οὐδ' ὅσ' ἐ⟨ς Ὀ⟩ρχομενόν" καὶ „οὐδ' ὅσα Θήβας". $A^{\mathrm{im}}$ *Did.(?)*

*b*.$^1$ Ὀρχομενόν: τὸν τῆς Βοιωτίας φησίν, ὃν †μηνύαι† κατῴκησαν· πολὺ γὰρ τούτῳ παράκειται πεδίον, εἰ πιστός ἐστιν Ἔφορος (FGrHist 70, 152), πολλὰ δὲ καὶ ταῖς Χάρισι ταῖς αὐτόθι τιμωμέναις δῶρα πέμπεται. κἂν τὸν „πολύμηλον" (B 605) δὲ λέγῃ, οὐδὲν ἧττον πλούσιον· φησὶ γοῦν „ἐν δ' ἄνδρες ναίουσι πολύρ⟨ρ⟩ηνες πολυβοῦται" (I 296). T *ex.*

*b*.$^2$ Ὀρχομενὸν δὲ τὸν τῆς Βοιωτίας φησίν, ὃν †μηνυῖαι† κατῴκησαν. b(BCE$^3$) πολὺ δὲ τούτῳ παράκειται πεδίον, εἰ πιστός ἐστιν Ἔφορος, πλῆρες πολλῶν ἀγαθῶν, ὧν ταῖς ἐκεῖσε τιμωμέναις Χάρισι πέμπουσιν οἱ περίοικοι. b(BE$^3$)

381—2. οὐδ' ὅσ' ἐς Ὀρχομενὸν ποτινίσσεται οὐδ' ὅσα Θήβας / Αἰγυπτίας: δύο πόλεις συνήγαγεν ἐν Εὐρώπῃ καὶ Ἀσίᾳ κομώσας πλούτῳ καὶ οὐδὲ τούτοις ἠρκέσθη μόνον, ἀλλὰ καὶ ἐπὶ τὸν ἀόριστον ἀριθμὸν ψάμμου τε καὶ κόνεως τὴν ὑπερβολὴν ἀνήνεγκε τοῦ λόγου (cf. I 385—6), ὡς εἰ ἔλεγεν 'ὑπὲρ τὰ τῆς οἰκουμένης ἀγαθά'. b (BCE$^3$) T *ex.*

382. ⟨ὅθι:⟩ γράφεται καὶ „ᾗ" ἀντὶ τοῦ ὅθι. $A^{\mathrm{int}}$ *Did.(?)*

383 *a*. αἳ θ' ἑκατόμπυλοί εἰσι, διηκόσιοι δ' ἀν' ἑκάστας: ὅτι ἀν' ἑκάστας πληθυντικῶς τὰς πύλας, A ὡς εἶναι ἑκατὸν τάγματα. οὕτω δὲ ἀν' ἑκάστας δεῖ γράφειν· οὐδέποτε γὰρ ἑνικῶς Ὅμηρος πύλην φησίν, ἀλλὰ πύλας. AT *Ariston.*

*b*. ⟨αἳ θ' ἑκατόμπυλοι ——— ἑκάστην:⟩ τὸ ἱστορικὸν τῆς παιδείας ἐνδείκνυται καὶ πρὸς Πρίαμον (sc. Ω 602—7). $T^{\mathrm{il}}$ *ex.*

757, 57 **381** *b*$^1$ cf. Strab. 9, 2, 40 (p. 414); — πέμπεται (55) cf. sch. λ 459 **381—2** cf. Eust. 757, 62; — πλούτῳ (64) cf. Eust. 758, 21; vide Paus. 9, 38, 8 καὶ οὐδὲ τούτοις (64) sq. ad I 385 *b* **383** *a* cf. Eust. 758, 10; ad H 339 *a* (Ariston.) οὕτω δὲ (71) sq. cf. sch. *e* (Did.) *b* τὸ ἱστορικὸν τῆς παιδείας (73) cf. Eust. 758,

---

**50** le. addidi (duce Vill.) **51** ἐρχομενὸν A suppl. Vill. **52** erat μινύαι (Bk.) **55** κἂν — οὐδὲν T, οὐκ ἂν τὸν πολύμηλον δὲ λέγοι, οὗ τῶν ὑπ' ἀγαμέμνονος βοηθησομένων οὐδὲν Wil., at versus I 296 vocis πολύμηλον enarrandae causa laudatur; cf. Valk I 516 τὸν T, malim αὐτὸν **56** πολύρηνες T suppl. Bk. **58—61** pone sch. sq. (coni. cum v. ἀγαθά) in b **58** μηνυῖαι cf. sch. *b*$^1$ **62—6** le. et sch. cum scholio I 381 *b*$^1$ coni. T **62** (le.) ποτινείσεται T em. Ma. (le. om. b) **63** post πόλεις spatium ca. 2 cm vacuum in B **64** τούτοις . . . μόνον T ταύταις b, fort. ταύταις . . . μόναις (Ma.) **65** ἀνήν. T ἐποιήσατο b **68** le. add. Bk. γράφ. cp. (γρ) in A ᾗ Bk., ἣ (sic) A **69** le. Vill., αἳ θ' ἑκ. εἰσι, διηκ. δ' ἀν' ἑκάστην T, αἳ θ' ἑκατόμπυλοι A **70** ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **71** οὕτως A γὰρ A γράφει (corruptela e compendio mediaevali orta) T **71** sq. ὁμ. ἑνικῶς T **73** le. addidi (ἑκατόμπυλοί εἰσι iam $V^{\mathrm{c}}$)

*Porph.* *c*. διηκόσιοι δ' ἀν' ἑκάστην: οὐ τὸ πλάτος τῶν πυλῶν θέλει σημαίνειν (οὐδὲ γὰρ ἅμα πάντας ἐξιέναι φησίν), ἀλλὰ τὸ μέγεθος τῆς πόλεως καὶ τὸ πλῆθος τῶν ἀνδρῶν, εἴ γε πύλας μὲν ἑκατὸν ἔχει, ἄνδρας δὲ ἁρματοφόρους δισμυρίους. **b**(BCE³) **T** ἐν ταύτῃ δὲ ἦν πρότερον τὰ βασίλεια τῆς Αἰγύπτου, εἰς ἃ πολλοὺς ἔφερον φόρους Λίβυες, Αἰγύπτιοι, Αἰθίοπες, νῦν δὲ Διόσπολις ὀνομάζεται. **b**(BE³) **T** εἶχε δὲ κώμας μὲν τρισμυρίας τρισχιλίας τριάκοντα· τὸ δὲ ἄστυ εἶχεν ἀρούρας τρισχιλίας ἑπτακοσίας καὶ πύλας ἑκατόν, **b**(BCE³) **T** ἀνδρῶν δὲ μυριάδας ἑπτακοσίας. ταύτην ἐτείχισεν ὁ βασιλεὺς Ὄσιρις. ἐξ ἑκάστης δὲ πύλης ἐστράτευον ὁπλῖται μὲν μύριοι, ἱππῆες δὲ χίλιοι, ἁρματηλάται δὲ διακόσιοι. ταύτην Ἕλληνες Θήβην ὠνόμαζον ἀπὸ τῆς Νείλου ἢ Ἀσωποῦ ἢ Πρωτέως θυγατρός. ἐπορθήθη δὲ ὑπὸ Περσῶν. **b**(BE³) **T**

*ex.* *d*. διηκόσιοι δ' ἀν' ἑκάστην: ὡς τεταγμένου ἑκάστου τάγματος ἰδίᾳ πύλῃ ἐξιέναι. **T**

*Did.* *e*. ⟨ἑκάστας:⟩ Ἀρίσταρχος ἑκάστας, ἄλλοι δὲ „ἑκάστην". $A^{int}$

*Nic.* | *Ariston.* **385** *a*.[1] οὐδ' εἴ μοι τόσα δοίη, ⟨ὅσα ψάμαθός τε κόνις τε⟩: καὶ οὗτος ὁ στίχος δύναται καθ' ἑαυτὸν λέγεσθαι, ἢ σὺν τῷ ἑξῆς ὑποστιζόμενος κατὰ τὸ τέλος. | ἡ διπλῆ πρὸς τὴν διαφορὰν τῆς ψαμάθου καὶ ἀμάθου, ὅτι ἡ παραθαλάσσιος ψάμαθος, κόνις δὲ ἡ πεδιὰς ἄμμος· καὶ οὐ δὶς τὸ αὐτὸ λέγει. **A**

5; vide Strab. 1, 1, 16 (p. 9) *c* Porph. 1, 137, 22 (fr. multo fusius quam textus scholii ab auctore archetypi **c** in angustum coactus), cf. Eust. 758, 7 et 12; Diod. 1, 45, 4—1, 46; Strab. 17, 1, 46 (p. 815—6); Bidder 32; vide praeterea Paus. 1, 9, 3; Isid. orig. 15, 1, 35 νῦν δὲ Διόσπολις (80) cf. D εἶχε δὲ (81) — τριάκοντα cf. Wilamowitz IV 32 (qui coniecit Porphyrium τρισμ. τρισχ. τριακοσίας τριάκοντα scripsisse), ib. 123, 3; vide sch. Theocr. 17, 82—84 a τὸ δὲ ἄστυ (81) — τρισχ. ἑπτακοσίας (82) deest in fr. Porph. (cf. Porph. 1, 138, 21) *e* cf. sch. *a* (Ariston.); Valk II 175 **385** incertum, an sch. (fort. Didymi) fuerit de. v. l. ὅσα ψεύδονται ὄνειροι, cf. sch. Theocr. 9, 16—17 a: . . . καὶ παρ' Ὁμήρῳ ἔνιαι ἐκδόσεις οὕτως ἔχουσιν· „οὐδ' εἴ μοι τόσα δοίη, ὅσα ψεύδονται ὄνειροι" *a* καὶ οὗτος (93) — τέλος (94) ad I 379—87 ἡ διπλῆ (94) sq. ad E 587 *b* (ex.), I 593 *a*

**75—87** lectiones plurimae, quibus textus Porphyrii et scholii inter se differunt, non notantur (cf. test.) **78** δισμ. T ψ' μυριάδας (ψ̃ μοιριάδας C) **b** **81** τρισμοιρίας C τρισχ. τριάκ. T, ,γ̃λ **b** τὸ δὲ ἄστυ εἶχεν om. **b** **82** ἀρούρας T ἀρούρας δὲ **b** τρισχ. ἑπτακ. scripsi, ,γ̃ψ codd. ἑκατόν T ρ' **b** **83** ἑπτακ. scripsi, ψ' codd. **83** sq. ταύτην sq. T θήβη δὲ ὠνόμαστο ὑπὸ ἑλλήνων, ὑπὸ δὲ περσῶν ὕστερον ἐπορθήθη **b** **86** ἀσωποῦ T ἐπάφου Porph. **88** sq. le. et sch. cum scholio praecedenti coni. T **90** le. (= $A^{cont}$) addidi (auctore Ldw.) **92** le. A suppl. Vill. **96** οὐ δὶς Lehrs (Quaest. ep. 334 not.), οὐδεὶς A

*a.*[2] δύναται καὶ καθ' ἑαυτὸν εἶναι ὁ στίχος μὴ ὑποστιζόμενος. T[il] *Nic.*

*b.* ὅσα ψάμαθός τε κόνις τε: οὐδὲ ἐπὶ τοῖς προειρημένοις ἔστησε τὸ τίμημα τῆς ὕβρεως. καλῶς δὲ ἀμφοτέρας συμπεριέλαβε τῷ λόγῳ, τήν τε θαλαττίαν καὶ τὴν πεδιάδα. b(BCE[3]) T *ex.*

**387.** ⟨πρίν γ' ἀπὸ πᾶσαν ἐμοὶ δόμεναι θυμαλγέα λώβην:⟩ ἠρέμα ὑπώλισθεν εἰς τὸ ἀληθὲς καὶ ἐκκόψας τὴν ἐλπίδα πάλιν ὥρισεν αὐτοῖς πρόστιμον τὴν ποινὴν τοῦ ἐχθροῦ. b(BCE[3]E[4]) T[il] *ex.*

**388—91.** κούρην δ' οὐ γαμέω Ἀγαμέμνονος Ἀτρείδαο ⟨/ ——— / οὐδέ μιν ὧς γαμέω⟩: ἤτοι στικτέον ἐπὶ τὸ Ἀτρείδαο (388) καὶ ἀπ' ἄλλης ἀρχῆς τὰ ἄλλα ἀναγνωστέον, εἶτα ὑποστικτέον ἐπὶ τὸ ἐρίζοι (389) καὶ ἰσοφαρίζοι (390), τῆς ἀνταποδόσεως οὔσης οὐδέ μιν ὧς γαμέω (391)· ἢ διασταλτέον βραχὺ ἐπὶ τὸ Ἀτρείδαο (388). A *Nic.*

**388** *a.* κούρην δ' οὐ γαμέω: τοῦτο ἐδόκει ὀχυρὸν ἔχειν ὡς ἀξιῶν γαμβρεύσειν αὐτῷ. τοῦτον δὲ πλεῖον λυπεῖ τὸ εὐτελίζεσθαι τὸν γάμον Βρισηΐδος. b(BCE[3]E[4]) T *ex.*

*b.* Ἀγαμέμνονος Ἀτρείδαο: μᾶλλον δεῖ στίζειν εἰς τὸ Ἀτρείδ[αο]· ὁ γὰρ κομματικὸς λόγος τοῖς θυμουμένοις ἁρμόζει. T *ex.*

**389—90.** οὐδ' εἰ χρυσείῃ Ἀφροδίτῃ κάλλος ἐρίζοι, / ἔργα δ' Ἀθηναίῃ: ὑπερβολῇ χρῆται. δύο δὲ οἶδεν ἀρετὰς γυναικός, κάλλος τε καὶ „ἀγλαὰ ἔργ' εἰδυῖα" (ο 418 al.), ἀνδρὸς δὲ „μύθων τε †ρητῆρα ἔμμεναι† πρηκτῆρά τε ἔργων" (I 443). b(BCE[3]E[4]) T *ex.*

(Ariston.), cf. Ap. S. 169, 18; sch. Nic. th. 154. 887; Amm. 522  ἡ παραθαλάσσιος (95) cf. Ge (fort. ex h): σημείωσαι· ψάμμος μέν ἐστιν ἡ παραθαλασσία, ἄμμος δὲ ἡ τῆς πεδιάδος  κόνις δὲ (95) sq. cf. Apion. 74, 244, 5 (vide 75, 116)  *b* — ὕβρεως (4) ad I 381 *c*  **388—391** vide ad I 388*b*  **388** *a* — αὐτῷ (16) hoc dicit: Agamemno fieri non posse credebat, quin actiones de reconciliandis invicem inimicitiis feliciter sibi evenirent, quod Achillem dignum nominabat, quocum iungeret affinitatem  *b* vide ad I 388—91  τοῖς θυμουμένοις (19) ad I 375—8  **389—90** ὑπερβολῇ χρῆται (21) cf. Tryph. fig. 198, 31; ad I 379—86; vide Macrob. sat. 4, 6, 15  δύο δὲ οἶδεν (21) sq. Ge (e T ut vid.)  δύο δὲ οἶδεν (21) — εἰδυῖα (22) ad A 115 (ex.)  ἀνδρὸς δὲ (22) sq. ad I 443

---

**1** μὴ susp., cf. sch. *a*[1]  **3** τοῖς προειρ. T τῶν προειρημένων **b**  **4** ἀμφότερα **b**  ἐμπεριέλαβε T  **5** θαλ. **b** θετταλίαν T, ἐφάλιον Hornei  τὴν[2] om. **b**  **6** le. add. Vill. (πρίν γ' ἀπὸ π. iam V[c])  **7** ὑπώλισται T  **7 sq.** αὐτοῖς ὥρισε **b**  **8** τὴν τοῦ ἐχθροῦ ποινὴν **b**  **9 sq.** le. A suppl. Frdl.  **17** γάμ. βρισ. T τῆς βρισ. γάμον **b**  **19** ἀτρείδ[. .] T suppl. m. sec.  **21** (le.) fort. ἀθηναίῃ γλαυκώπιδι ἰσοφαρίζοι (le. om. **b**, ubi sch. ad I 389 revocatum est)  ὑπ. χρῆτ. T, μεγίστῃ χρῆται τῇ ὑπερβολῇ **b** (fort. rectius)  δὲ om. Ge  **21—2** κάλλος τε — εἰδυῖα] κάλλος καὶ τὸ πρὸς ἔργα ἐπιτήδειον, „καλή τε καὶ ἀγλαὰ ἔργ' εἰδυῖα" Ge, fort. e coniectura  κάλλος **b** Ge κάλλη T  **22** τε om. **b** Ge  'ἀγλ. ἔργ' εἰδ. T ἔργα φρονήσεως **b**  **22 sq.** ῥητ. ἔμμ. Ge T ῥητῆρα **b**, ῥητῆρ' ἔμεναι Hom.  **23** τ' ἔργων T

*Hrd.* | *Hrd. pron.* (?) **392** *a.* ὅς τις οἷ τ' {ἐπέοικε}: εἰς ἁπλῆν μεταλαμβάνεται ἡ ἀντωνυμία, ὅστις αὐτῷ. ⟨***⟩ περισπασθήσεται οὖν. | δείκνυται δὲ ἐν τοῖς Περὶ ἀντωνυμιῶν (fr. 2 = Hrd. 2, 845, 6) ὡς ὅτι ἡ ἐμοί ἐπὶ δοτικῆς καὶ ἔτι ἡ σοί ὀξύνονται, ἡ δὲ οἷ περιεσπάσθη ἀνακολούθως. **A**

*ex.* | *Hrd.* *b.*[1] ⟨οἷ τ' ἐπέοικε:⟩ ἄξιος αὐτοῦ ἐστιν. | εἰς μὲν ἁπλῆν μεταλαμβάνεται ἡ οἷ, φυλάσσει δὲ τὸν ἴδιον τόνον διὰ τὸν τέ. **T**[il]

*ex.* *c.*[1] βασιλεύτερός ἐστιν: ἐμοῦ ἢ πάντων ἀνθρώπων, ἐπεὶ αὐτὸς ἔλεγε· „καί μοι ὑποστήτω, †ὅσον† βασιλεύτερός εἰμι" (I 160). διδάσκει δὲ ὡς οὐδὲν ὀνίνησι τυραννὶς ἐπὶ ἀδίκῳ γνώμῃ. **T**

*ex.* | *ex.* *b*[2]/*c.*[2] ὅστις ἄξιος, φησίν, αὐτοῦ ἐστι, | καὶ ὅστις ἐμοῦ ἢ πάντων ἀνθρώπων βασιλεύτατός ἐστι· ἔλεγε γάρ· „καί μοι ὑποστήτω, †ὅσον† βασιλεύτερός εἰμι". διδάσκει δὲ ὡς οὐδὲν ὀνίνησι τυραννὶς ἐπὶ γνώμῃ ἀδίκῳ. **b**(BCE[3]E[4])

*Ariston.* **473** *a.* ἄλλο δ' ἐνὶ προδόμῳ ⟨πρόσθεν θαλάμοιο θυράων⟩: ὅτι πάλιν δοκεῖ τὸ ἄλλο πρὸς τὸ „ἕτερον“ (I 472) συγκεχύσθαι. πιθανεύονται δὲ ⟨οἱ⟩ λέγοντες τρία φῶτα εἶναι, ἓν μὲν ὑπὸ ταῖς αἰθούσαις, ἕτερον δὲ ἐν τῷ οἴκῳ, ἄλλο δὲ ἐν τῷ προδόμῳ τοῦ οἴκου· ἀπίθανον γάρ φασιν ⟨εἶναι⟩ ἐν μὲν τῷ προδόμῳ πῦρ εἶναι, ἐν δὲ τῷ οἴκῳ ἐλλείπειν. A

*D* *b.* ἄλλο δ' ἐνὶ προδόμῳ ⟨πρόσθεν⟩ θαλάμοιο θυράων: μετήγαγε τὴν τάξιν· θάλαμος μὲν γὰρ ὁ ἔσω οἶκος τῆς αὐλῆς, τὸ δὲ πρὸ αὐτοῦ πρόδομος. αἴθουσα δὲ τὸ περίστυλον, τουτέστιν πρὸς ἥλιον τετραμμένη στοά, παρὰ τὸ αἴθεσθαι. b($BCE^3$) T

*Ariston.* **475.** ⟨θύρας:⟩ ὅτι πληθυντικῶς θύρας ἀντὶ τοῦ θύραν. $A^{im}$

*ex.* **476.** ⟨ῥήξας ἐξῆλθον:⟩ τῷ μὲν Φοίνικι ἡ μεταβολὴ ἀδύνατος διὰ τὴν ὀργὴν τοῦ πατρός, τῷ δὲ Ἀχιλλεῖ καὶ ἔνδοξος διὰ τὴν παραίνεσιν τοῦ πατρός. b($BCE^3$) $T^{il}$

**473** *a* ὅτι (46) — πιθανεύονται δὲ cf. Su. ε 3292 (pone sch. I 313): πιθανεύονται δὲ ὅτι ἐπὶ τῶν ὁμοειδῶν τὸ „ἕτερον“ ὅτι (46) — συγκεχύσθαι cf. Eust. 764, 57 πάλιν (46) ad I 313 (Ariston.) πιθανεύονται δὲ (46) sq. ad I 472 (ex.) ὑπὸ ταῖς αἰθούσαις (47) cf. Friedl., Ariston. p. 165: „Apparet Aristonicum ante oculos habere ὑπ' αἰθούσῃ, sed Didymus ἐν αἰθούσῃ Aristarcheam esse dicit“; vide Eust. 764, 59: τὸ δὲ „ὑπ' αἰθούσῃ“ δοκεῖ ταὐτὸν εἶναι τῷ ἐν αἰθούσῃ, ὡς δηλοῖ ἐπαχθὲν τὸ „ἄλλο δ' ἐνὶ προδόμῳ“, ἵνα ᾖ 'ἐν αἰθούσῃ καὶ ἐν προδόμῳ' *b* θάλαμος μὲν γὰρ (52) sq. paulo brevius Ge (e T ut vid.); e D pendent $E^4$ (fol. $81^r$) et Et. Gud. 44, 15 Stef. (EM. 32, 38); sim. Et. Gud. 44, 1 Stef.; cf. D ad Z 243, sch. ο 146, Porph. 1, 139, 12; Eust. 764, 44 τὸ δὲ πρὸ αὐτοῦ πρόδομος (52) cf. Porph. 2, 134, 8 **475** ad H 339 *a* (Ariston.) **476** cf. Eust. 764, 52

**39** (le.) πῦρ ἕτ. μὲν exulare iussit Bk. **40** αἰθούσσηι A em. Vill. **41** αἴθουσσαι A em. Vill. **44** αἰθ. scripsi, αἰθούσσηι A **45** le. A suppl. Frdl. (Bk.) **46** ὅτι A, ἡ διπλῆ, ὅτι Vill. ἄλλο Vill., ἄλλω A **47** οἱ add. Frdl. **47** sq. αἰθούσσαις A em. Vill. **48** ἄλλο Vill., ἀλλ˜ A **49** εἶναι add. Vill. **51** le. T suppl. Ma., προδόμῳ (= D) $E^4$, om. $BCE^3$ **52** μετήγ. — μὲν γὰρ $BCE^3T$ τῷ προστόῳ τοῦ θαλάμου· διέχεε τὴν τάξιν· θάλαμος γὰρ $E^4$ (~D) τῆς αὐλῆς om. $BCE^3$ **53** δὲ τὸ περίστ. om. $E^4$ **53** sq. πρὸς ἥλ. T (= D), τὸ πρὸς ἥλιον BC τὸ προσήλιον $E^3$, (αἱ πρὸς ἥλιον $E^4$), ἡ πρὸς ἥλιον Ge (Ma.) **54** τετρ. στοά T (= D), τετραμμένον $BCE^3$ (τετραμμέναι στοαί $E^4$) αἰθ. T (= $DE^4$), ἀεὶ αἴθεσθαι $BCE^3$ **55** le. add. Ddf. ὅτι A, fort. ἡ διπλῆ, ὅτι **56** le. add. Li, ἀλλ' ὅτε δὴ add. $V^c$ (nam sch. in T supra versum I 474 scriptum est, fort. ad versus I 474—6 revocandum) ἡ om. T **57** καὶ om. T **57** sq. παραίν. post πατρός b

**476—7.** καὶ ὑπέρθορον ⟨ἑρκίον αὐλῆς / ῥεῖα λαθὼν φύλακας⟩: τῷ ὑπέρθορον (476) συναπτέον τὸ ῥεῖα (477)· λαθεῖν γὰρ ῥᾳδίως ἀδύνατον ἦν οὕτω φυλαττόμενον. | ῥεῖα (477) δὲ διὰ τὴν νεότητα. b(BCE$^3$E$^4$) T — *Nic.(?) | ex.*

**478** *a.* ⟨δι' Ἑλλάδος:⟩ πρὸς τὴν Ἑλλάδα, ὅτι Φθιωτικὴ πόλις. A$^{int}$ — *Ariston.*

*b.* δι' Ἑλλάδος: Ἑλλὰς πόλις ὁμώνυμος τῇ χώρᾳ· „Μυρμιδόνες δὲ καλεῦντο καὶ Ἕλληνες" (B 684). AT — *ex. (Ariston.)*

**480** *a.* ⟨ἐς Πηλῆα ἄνακτα:⟩ γράφεται „ἐς Πηλῆα ἄναχθ'". A$^{im}$ — *x*

*b.*$^1$ ⟨ἄναχθ':⟩ ἐμὸν ἄνακτα, διὰ τὴν ἐμὴν εὔνοιαν. T$^{il}$ — *ex.*

*b.*$^2$ ἐμόν, φησίν, ἄνακτα, διὰ τὴν παρ' αὐτοῦ γεγονυῖαν εὔνοιαν. b(BCE$^3$E$^4$)

**481** *a.*$^1$ καί μ' ἐφίλησ', ⟨ὡς εἴ τε πατὴρ ὃν παῖδα φιλήσῃ⟩: ὅτι τὸ ἐφίλησε κατὰ τὴν ἡμετέραν χρῆσιν· καὶ ὅτι πρεσβύτερος Πηλεὺς Φοίνικος. A — *Ariston.*

*a.*$^2$ ὅτι νεώτερος Πηλέως, οὐχ ὡς οἱ τραγικοί. T$^{il}$

*b.* καί μ' ἐφίλησ', ὡς εἴ τε πατὴρ ὃν παῖδα ⟨φιλήσῃ⟩: δυσωπητικὰ Ἀχιλλέως, ὅτι μὴ πεισθεὶς ἀτιμάσει τοῦτον, ὃν ὁ πατὴρ ἐτίμησεν. ἅμα δὲ καὶ ὅτι ἐν ταῖς φυγαῖς οὐδὲν οὕτω συμβάλλεται ὡς φρόνησις καὶ παιδεία, δι' ἃς ὁ Φοῖνιξ ὑπὸ Πηλέως ἐτιμήθη. A b(BCE$^3$E$^4$) T — *ex.*

**481—2.** ὡς εἴ τε πατὴρ ὃν παῖδα φιλήσῃ / μοῦνον ⟨τηλύγετον πολλοῖσιν ἐπὶ κτεάτεσσι⟩: εὖ τὸ μὴ ἀρκεσθῆναι τῇ τῶν — *ex.*

**476—7** — φυλαττόμενον (61) at vide Bk., H. Bl. 1, 177  **478** *a* ad B 529—30. I 395 *a* (Ariston.), cf. D  *b* cf. sch. *a*, vide ad B 684 (Ariston.)  **480** *a* fort. sch. rec.  *b* vide ad I 447 *b*  **481** *a*$^1$ — χρῆσιν (72) ad Γ 207 (Ariston.)  καὶ ὅτι πρεσβύτερος (72) sq. cf. Lehrs Ar.$^3$ 185  *a*$^2$ οὐχ ὡς οἱ τραγικοί (74) fort. ad Euripidem spectat, cf. fr. 804 sq. N.$^2$  *b* brevius Ge (e T ut vid.): δυσωπεῖ τὸν Ἀχιλλέα μὴ ἀτιμάσαι τοῦτον, ὃν ὁ πατὴρ ἐτίμησε, cf. Eust. 765, 42

---

**59** sq. le. T supplevi, om. b (qui sch. ad I 477 rettulisse vid.)  **60** τῷ b τὸ T  τὸ b τῷ T  **61** ἦν om. b  **62** τὴν ν. T τὸ τῆς νεότητος ἄνθος b  **63** le. addidi  πρὸς A, fort. ἡ διπλῆ πρὸς  **65** le. T, δι' ἑλλάδος εὐρυχόροιο: A  **67** le. add. Vill.  **68** le. add. Ma.  διὰ τὴν sq. verba super alteram partem versus scripta sunt (a praecedentibus separata) in T  **71** le. A suppl. Frdl.  **72** ὅτι A, ἡ διπλῆ, ὅτι Vill.  **75** le. T supplevi (ἐφίλησεν T em. Ma.), μοῦνον τηλύγετον: A, om. b  **76—8** δυσωπητικὰ δὲ ἀχ. sq. pone sch. I 481—2 (coni. cum v. τιθεμένων) in b  **76** ὅτι AT ταῦτα καὶ ὅτι b, ταῦτα ὅτι Bk.  **77** ἠτίμησεν A  οὕτως Ab  **80** sq. le. T supplevi (φιλήσει em. Ma.), om. b (scholio ad I 482 relato)  **81** sq. τῶν πατ. post υἱοὺς b

πατέρων πρὸς τοὺς υἱοὺς φιλοστοργίᾳ καίτοι ὑπερβολὴν μὴ δεχομένῃ, ἀλλ' ἐπενέγκαι τὸ μοῦνον (482)· μᾶλλον γὰρ οἱ μονογενεῖς φιλοῦνται, μὴ μεριζομένης εἰς πολλοὺς τῆς φιλοστοργίας. καὶ οὐδὲ τούτῳ ἀρκεσθεὶς προσέθηκε τὸ τηλύγετον (482). †αὐτὸς† δέ ἐστιν ὁ τῆς γονῆς τέλος ἔχων, μεθ' ὃν ἕτερος οὐ γίνεται· ἐπὶ τούτοις γὰρ τὴν τῶν γονέων συμπάθειαν ἔστιν ἰδεῖν, ἅπασαν τὴν ἐλπίδα ἐν τῇ τούτων σωτηρίᾳ τιθεμένων. **b**(BCE$^3$E$^4$) T καὶ ἔτι πλέον αὔξων ἐπιφέρει τὸ ἐπὶ πολλοῖς κτήμασιν (cf. 482)· ὧν γὰρ συνήγαγεν, εἰδὼς †αὐτὸν φύλακα ἀγωνιᾷ. T

*ex. (Ariston.?)* **484.** Δολόπεσσιν ἀνάσσων: Δολόπων. μέρος τῆς Φθιώτιδος χώρας· διὸ καὶ παραλέλοιπεν αὐτοὺς ἐν τῷ Καταλόγῳ. A

*Hrd.* **485** *a*. καί σε {τοσοῦτον}: οὐκ ἀναγκαῖον ἐνθάδε ὀρθοτονεῖν· οὐδὲ γὰρ ἀντιδιαστολὴ πρὸς ἕτερον πρόσωπον. ἀπολελυμένως οὖν ἀναγνωστέον. A

*ex.* *b*. καί σε τοσοῦτον ἔθηκα: δυσωπητικὸν τὸ τῆς δείξεως· καὶ Σοφοκλῆς „κἀξεθρεψάμην / τοσόνδ' ἐς ἥβης" (El. 13—4). **b** (BCE$^3$E$^4$) T

*ex.* *c*. θεοῖς ἐπιείκελε: διὰ βραχέος τὸν ὑπεραίροντα εὐφυοῦς σώματος καὶ ψυχῆς ἀρετῇ ἐσήμανεν. T

*ex.* **486.** ἐπεὶ οὐκ ἐθέλεσκ⟨ες⟩ ἅμ' ἄλλῳ: οὐκ οἶδεν ὁ ποιητὴς παρὰ Χείρωνι τραφέντα αὐτόν, ἀλλ' οἱ νεώτεροι. δεινὸν οὖν τὸν ἐν τῇ πρώτῃ ἡλικίᾳ τοσοῦτον στέρξαντα ἀπειθεῖν τελειωθέντα. **b**(BCE$^3$E$^4$) T

**481—2** μᾶλλον γὰρ οἱ μονογενεῖς (83) — τιθεμένων (88) cf. Eust. 766, 11 τηλύγετον (85) — τιθεμένων (88) ad E 153 *b*. N 470 (ex.), cf. Plut. mor. 94 a **484** nullum signum ante versum in A; tamen verisimile est sch. Aristonici de iunctura Δολόπεσσι ἀνάσσων exstitisse, ad A 71. N 217 (Ariston.). Utrum alteri quoque sententiae scholii exegetici aliqua nota Aristonici responderit necne, in dubio relinquo μέρος (91) — χώρας (92) cf. sch. Ap. Rh. 1, 67—68 b, Strab. 9, 5, 11 (p. 434), Steph. B. 388, 18 διὸ καὶ παραλέλοιπεν (92) cf. Strab. 9, 5, 5 (p. 431); He. δ 2160 (vide Theogn. p. 33 Alp.); Lehrs Ar.$^3$ 227, Bachmann 17; vide ad Π 196 *b* (ex.) **485** *a* ad E 252 *b* (Hrd.), vide ad B 190 *a* *b* cf. D; vide G. Kaibel, Sophokles' Elektra (Lipsiae 1896) p. 69 **486** ad I 443 *a*, vide ad I 489. Λ 832. Π 222 *b*. Σ 57. 438 (Ariston.), sch. Pind. N. 3, 76 b, sch. Ap. Rh. 1, 558; Lehrs Ar.$^3$ 188

**83** τὸ **b** τὸν T **85** οὗτος Bk., recte **87** ἔστιν om. T **89** sq. αὐτὸν ὄντα φ. Ma., malim αὐτὸν ἐσόμενον φ. **93** (le.) τοσοῦτον eiecit Bk. **1** καὶ T ὡς καὶ **b** κἀξ. (= Soph.) T, καὶ σ' ἐθρεψάμην **b** **3** εὐφυέος T em. Ma. **4** σώμ. Bk., ὀνόματος T **5** (le.) ἐθέλεσκ' T suppl. Ma. (le. om. **b**) οἶδ. ὁ π. **b** οἶδε T **6** αὐτὸν τραφ. **b** ἀλλ' οἱ νεώτ. om. T τὸν E$^4$T τὸ BCE$^3$

488 *a.*[1] ⟨γούνεσσι:⟩ οὕτως διὰ τοῦ $\bar{\varepsilon}$ γούνεσσι. ἔχει μέντοι λόγον καὶ ἡ διὰ τοῦ ἄλφα. $A^{int}$ *Did.*

*a.*[2] γούνεσσι διὰ τοῦ $\bar{\varepsilon}$. $T^{il}$

489 *a.* ὄψου {ἄσαιμι}: ὅτι πᾶν τὸ προσεσθιόμενον ὄψον ἔλεγον οἱ παλαιοί· καὶ ὅτι οὐχ ὑπὸ Χείρωνος ἐτράφη ὁ Ἀχιλλεύς, ἀλλὰ τὴν ἰατρικὴν μόνον ἐπαιδεύθη. **A** *Ariston.*

*b.*[1] ὄψου {ἄσαιμι}: ὄψον πᾶν τὸ ἐσθιόμενον. ὅμοια δὲ καὶ ταῦτα· „Ἀστύαναξ, ὃς πρὶν μὲν ἑοῦ" (Χ 500). **T** *ex.*

*b.*[2] πᾶν τὸ ἐσθιόμενον ὄψον καλεῖται. **b**($BCE^3E^4$)

*c.* ὄψου ἄσαιμι προταμὼν καὶ οἶνον ἐπισχών: ἐπὶ τὰ εὐτελέστερα καταβὰς ἔδειξε τὴν ἰσχὺν τοῦ λόγου διὰ τοῦ προταμών (πρῶτον γὰρ τέμνοντες παρέχουσι) καὶ ἐπισχών, ὡς „λαθικηδέα μαζὸν ἐπέσχον" (Χ 83). **b**($BCE^3E^4$) **T** οὐκ ἂν δὲ διὰ κοινοῦ ὀνόματος ἑτέρως αὐτὸ φράσειας. **b**($BCE^3$) **T** *ex.*

491—5. οἶνου ἀποβλύζων ——— λοιγὸν ἀμύνῃς: ὀνοματοπεποίηται ἀφράστως. καλῶς δὲ προδανεισθείσας ἀπαιτεῖ χάριτας, εἶτα ἐπάγει ἵνα μοί ποτ' ἀεικέα λοιγὸν ἀμύνῃς (495), ἰδιούμενος τὴν σωτηρίαν τῶν Ἑλλήνων. **b**($BCE^3E^4$) **T** *ex.*

492. ⟨πόλλ' ἔπαθον καὶ πόλλ' ἐμόγησα:⟩ Ἀρίσταρχος „πολλὰ πάθον καὶ πολλὰ μόγησα". $A^{im}$ *Did.*

494 *a.* ἀλλὰ σὲ παῖδα: ἐνθάδε ὀρθοτονητέον· ἔμφασις γὰρ δείξεως. **A** *Hrd.*

*b.*[1] ἀλλὰ σὲ παῖδα: ἀλλὰ σέ ὀρθοτονεῖται διὰ τὴν δεῖξιν. **T** *ex. (Hrd.)*

489 nullum signum ante versum in A, fort. neglegentia scribae *a* — οἱ παλαιοί (13) ad Λ 630 *c* (Ariston.), cf. D, Ap. S. 126, 2, Or. Koes. 181, 26; Hofmann, Ar. 12; Fellner 80 καὶ ὅτι οὐχ ὑπὸ (13) sq. ad I 443 *a*; vide ad I 486 (c. test.) **491—5** — ὀνοματοπεποίηται (23) cf. Eust. 767, 12; D, Ap. S. 39, 14 (He. α 6261) **492** ad A 162 (Did.); vide v. l. ad ω 207 annotatam **494** *a/b* ad E 252 *b*

---

**9** le. add. Bk. (Vill.) γούνεσσι:— A (exspectes γούνεσσιν) **10** ἡ διὰ τοῦ ἄλφα h. e. γούνασσι (= vulg.) **12 et 15** (le.) ἄσαιμι damn. Bk. **12** ὅτι, fort. ἡ διπλῆ, ὅτι **13** χείρονος A em. Vill. **15** προσεσθιόμενον mavult Ma. **17** πᾶν] πᾶν δὲ post sch. *c* (coni. cum v. ἐπέσχον) $E^4$ **18—22** ἐπὶ τὰ εὐτελέστερα δὲ κ. sq. pone sch. *b*[2] (coni. cum v. καλεῖται) in $BCE^3$, sola verba ἐπὶ τὰ — προταμών (19) pone sch. *b*[2] (coni. cum v. καλεῖται) in $E^4$ (ubi sch. *c* a verbis πρῶτον γὰρ [20] incipit) **20** καὶ] καὶ τοῦ Ma. **23** le. scripsi, οἴνου ἀποβλύζων. ὧς ἐπὶ σοὶ πόλλ' ἔπαθον T, om. **b** (qui sch. ad I 491 rettulit) **23 sq.** ὀνομ. (sc. verbis οἴνου ἀποβλύζων) CT, ὠνοματοπεποίηται $BE^3E^4$ (cf. Eust.) **24** προδ. T προδανεισθεὶς ἃς **b** **25** ἵνα T τὸ ἵνα **b** λοιγὸν ἀμ. om. T ἰδ. T, νῦν ἰδιούμενος **b** (fort. recte) **26** σωτηρίαν om. **b** ἑλλήνων πάντων **b** **27** le. add. Vill.

*b.*$^2$ ὀρθοτονεῖται τὸ σέ, ὅτι δεικτικόν ἐστιν. b(BCE$^3$)

*ex.* **496.** δάμασον θυμὸν μέγαν: ἅπερ Ὀδυσσεὺς εἰπεῖν ἐφυλάξατο (πικρὸν γὰρ ἦν), ἐπὶ δὲ τὸν Πηλέα ἀνήνεγκε (cf. I 252—60), ταῦτα Φοίνικι δίδωσιν ἡ τῆς ἀνατροφῆς παρρησία. b(BCE$^3$E$^4$) **T** ἐμφαντικῶς δὲ τὸ ἀδάμαστον ἐνέφηνε τοῦ θυμοῦ· καὶ ὁ Ἀγαμέμνων φησὶ „δμηθήτω" (I 158). **AT**

*ex.* **497** *a.* στρεπτοὶ δέ τε καὶ θεοὶ αὐτοί: ἀποφθεγματικόν, ὅταν βιωφελές τι δι' ὀλίγης ἐκφέρηται λέξεως. b(BCE$^3$E$^4$) **T** ἐπίφθονος δὲ ὁ λόγος· **T** ὡς θεοῦ γὰρ ἧκον δεησόμενοι. καὶ λεληθότως διδάσκει ὅτι μὴ πειθόμενος Λιταῖς, αἷς καὶ θεοὶ πείθονται, ἀσεβεῖ καὶ εἰς θεοὺς καὶ εἰς τὴν ἑαυτοῦ μητέρα. b(BCE$^3$E$^4$) **T**

*D | ex (?)* *b.* ⟨στρεπτοί:⟩ εὐμετάστρεπτοι | καὶ ἵλαοι τοῖς μετανοοῦσι. **A**$^{int}$

*D* στρεπτοὶ δέ τε: εὐμετάστρεπτοι, εὐμετάβλητοι, εὔπ⟨ε⟩ιστοι. ἐναντίον δέ ἐστι τὸ ——— καὶ τοὺς θεοὺς πείθεσθαι. **A**

*ex.* **498** *a.*$^1$ ⟨τῶν περ καὶ μείζων ἀρετὴ τιμή τε βίη τε:⟩ καὶ †ἀναντίρητον† τὸ τῆς ἐπιχειρήσεως. **T**$^{il}$

*a.*$^2$ καὶ ἀναντίρρητος ἄρα ἡ ἐπιχείρησις αὐτῶν. b(BCE$^3$E$^4$)

*ex.* **499—500.** ⟨καὶ μὲν τοὺς θυέεσσι ———/ λοιβῇ τε κνίσῃ τε παρατρωπῶσ' ἄνθρωποι:⟩ ἕτοιμον αὐτὸν ποιεῖ πρὸς τὴν τῶν δώρων λῆψιν διὰ τούτων. b(BCE$^3$E$^4$) **T**$^{il}$

*ex.* **499—501.** καὶ εὐχωλῇσ' ἀγανῇσι ⟨/ ———⟩ παρατρωπῶσ' ἄνθρωποι ⟨/ λισσόμενοι, ὅτε κέν τις ὑπερβήῃ καὶ ἁμάρτῃ⟩: λαθεῖν μὲν γὰρ ἀδύνατον τοὺς πάντα ἐφορῶντας, ἀλλ' οὐδὲ βιάσασθαι τοὺς ἰσχυροτέρους. μία τοίνυν ὁδὸς ἐκφυγῆς ἡ ἱκετεία. b(BCE$^3$E$^4$) **T**

(Hrd.); vide ad B 190 *a* **496** καὶ ὁ Ἀγαμέμνων (36) sq. cf. Eust. 767, 36 **497** *a* — λέξεως (39) cf. Eust. 767, 43 *b* εὐμετάστρεπτοι (43) = D, D ad O 203 l. 46 ἐναντίον δέ ἐστιν sq. D = Porph. 1, 140, 24; eadem fere Et. Gen. (A, deest B) νηλεές (ed. Reitzenstein, Gesch. 15 in nota ad gl. 18), cf. sch. γ 147

---

**33** le. T, ἀλλ' ἀχιλλεῦ δάμασον: A, om. b ὅπερ C **34** ἀνην. T ἀνήγαγε b **36** δὲ om. A θυμοῦ T δεσμοῦ A **37** φασὶ A **38** ὅταν T, ἐστιν ὅταν b (fort. rectius) **43** le. add. Ddf. **45** εὔπιστοι A em. Vill. **47** le. addidi (auctore Ma., τῶν περ καὶ μείζων iam V$^c$) **48** ἀναντίρ. vide sch. *a*$^2$ **50** sq. le. addidi (καὶ μὲν τοὺς add. V$^c$); sch. supra v. 499 exaravit T (de b vide notam sq.) **51—2** ἕτ. δὲ αὐτὸν sq. cum scholio praecedenti coni. b διὰ τούτων ante πρὸς b **53** sq. le. T supplevi (partim auctore Ma.), om. b (ubi sch. ad v. 500 revocatum est) **55** μαθεῖν C **56** τοίνυν T οὖν b

**500.** ⟨λοιβῇ τε κνίσῃ τε:⟩ ἐν ἄλλῳ „λοιβῆς τε κνίσης τε". $A^{im}$ *Did.(?)*

**502.** καὶ γάρ τε Λιταί εἰσι, Διὸς κοῦραι: πρὸς ἐντροπὴν Διὸς *ex.*
κούρας αὐτάς φησιν· ἢ διὰ τὸ „Ζεὺς †ἐπιτιμήτωρ ἱκετάων" (ι 270)· ἢ παρόσον ὁ Ζεὺς „πατὴρ ἀνδρῶν τε θεῶν τε" (Α 544 al.) λέγεται. b($BCE^3E^4$) T μυθικῶς δὲ ὡς γέρων ὑποβάλλει ὅτι '†ὁρμήσοι† διὰ τὴν ὑπεροψίαν ἔσται τι δεινόν'. b($BE^3E^4$) T

καὶ γάρ τε Λιταί εἰσι, Διὸς κοῦραι: ἀνειδωλοποιεῖ τὰς *D*
λιτὰς ——— προηδικηκότες ὦσιν:— ῥυσάς τε καὶ ——— ὥστε σεβασμιωτέρας φαίνεσθαι. A

**502—3.** ⟨Διὸς κοῦραι μεγάλοιο,/⟩ χωλαί τε ῥυσαί τε ⟨πα- *ex.*
ραβλῶπές τ' ὀφθαλμώ⟩: ὅσα κρατεῖ τῆς ἡμετέρας δυνάμεως, θεῖα ὠνόμαζον. χωλαὶ (503) δὲ διὰ τὸ μόγις εἰς δεήσεις ἔρχεσθαι· ῥυσαὶ (503) δὲ διὰ τὸ σκυθρωπάζειν· παραβλῶπες (503) δέ, ὅτι παριδόντες τι τῶν ἀναγκαίων παρακαλοῦμεν ὕστερον. b($BCE^3E^4$) T

**503** *a*. παρσβλῶπες: διάστροφοι τοὺς ὀφθαλμούς, ἐπειδὴ *D* | *Hrd.*
——— τὰς θέας ἔχοντες. | προπερισπαστέον δὲ ὁμοίως τῷ τυφλῶπες· ἀπὸ γὰρ ὀξυνομένης εὐθείας ἐγένετο τῆς παραβλώψ. τὰ δὲ τοιαῦτα καὶ βαρυνόμενα εὑρέθη καὶ ὀξυνόμενα, ὥσπερ τὸ „ἑλίκωπες" (Α 389) καὶ „Κύκλωπες" (η 206 al.), περὶ ὧν ἐντελέστερον λέγεται ἐν τοῖς Περὶ σχημάτων (fr. 1 = Hrd. 2, 847, 3). A

*b*. παραβλῶπές τ' ὀφθαλμώ: ἀπὸ τῶν συμβαινόντων *ex.*
περὶ τοὺς ἱκετεύοντας παθημάτων τὰς Λιτὰς διετύπωσεν. b($BCE^3$ $E^4$) T

(= Porph. 2, 34, 1; vide Choriz. fr. 16 K.) **500** cf. Eust. 767, 45 **501** fort. exstabat sch. Herodiani de accentu vocis ἁμάρτῃ, cf. Et. Gen. (AB) ἁμάρτῃ· ⟨παρὰ τὸ⟩ (add. Reitzenstein) ἁμάρτω, βαρύτονον· ἡ χρῆσις εἰς τὸ Νηλεές (ubi tale quid deest, cf. Reitzenstein, Gesch. 15 not. 18). Hrd. docuisse videatur vocem ἁμάρτῃ ab adverbio ἁμαρτῇ distinguendam esse, ad Ε 656 (Hrd.) **502** — φησιν (59) ad I 508 (ex.) πρὸς ἐντροπὴν (58) cf. D **503** *a* ὁμοίως τῷ τυφλῶπες (72) et τὰ δὲ τοιαῦτα (73) sq. cf. Eust. 768, 37 *b* Ge (e T ut vid.), cf. D, sch. Eur. Or. 256; Porphyrii fr. ined. ($E^4$ fol. $81^r$, unde Le fol. $197^r$): πῶς ἂν τοῦτο συμφέροι τῷ τῶν ἀνθρώπων γένει πεπεῖσθαι ὅτι τοῦ (fort. τὰ) Διὸς τέκνα ταῦτά ἐστι ἀνάπηρα καὶ ἐλεεινά; λύεται δ' ἀπὸ τῆς λέξεως· οὐ γὰρ ταῦτα (Le, ταύτας $E^4$) φασὶ λέγειν (fort. λέγειν αὐτόν), ἀλλ' εἰς τὸ δέον †χλωρὸν (καὶ χλωρὸν Le; fort.

**57** le. addidi possis λοιβῆς τε κνίσης τε (cf. test.) **59** δ' ἐπιτιμήτωρ Hom. **61** ὡς γέρων ὑποβ. om. T ὁρμ. T μή σοι b, ὅρα μή σοι Bk. (recte) **62** τι om. T **66** sq. le. T supplevi (auctore Vill.), om. b **67—70** ὅσα δὲ κρατ. sq. pone sch. I 503 *b* (coni. cum v. διετύπωσεν) in b **72** τῷ Vill., τὸ A **73** τυφλῶπες = Nic. th. 493 **74** ἑλικ. A Eust., ἑλικῶπες Bk., at cf. Hrd. 2, 751, 1 **77** le. scripsi (cl. sch. D; at vide test.), χωλαί τε ῥυσαί τε: (coni. cum scholio I 502—3) T, om. b **78** περὶ τ. ἱκ. T περὶ τοὺς ἱκέτας b τοῖς ἱκετεύουσι Ge μαθημάτων ss. π B λιτὰς T μορφὰς τῶν αἰτήσεων b

*ex.* **504** *a.* αἶ ῥά τε καὶ μετόπισθ' Ἄτης ἀλέγουσι κιοῦσαι: ἁμαρτόντες γὰρ καὶ βλαβέντες ὕστερον παρακαλοῦμεν, φροντίζομεν δὲ τῶν ὑπὸ τῆς Ἄτης πεπραγμένων· ἕπονται οὖν αὐτῇ αἱ Λιταί. b(BCE$^3$E$^4$) T

*ex.* *b.* ⟨ἀλέγουσι:⟩ τῶν ἀνθρώπων δηλονότι. ἀλέγουσι· φροντίζουσιν, ἵνα ἰάσωνται τὰ ὑπὸ τῆς Ἄτης γινόμενα. A$^{int}$

*ex.* **505** *a.* ἡ δ' Ἄτη σθεναρή τε καὶ ἀρτίπος: εἰκότως διὰ τὸ ἐξ ὑπεροχῆς καὶ ἰσχύος τὰς βλάβας γίνεσθαι. οὐκ ἔστι δὲ ἐναντίον τῷ ἑτέρωθι (sc. Τ 92) λεγομένῳ ὅτι τῆς Ἄτης ἁπαλὼ τὼ πόδε· ἐκεῖ γὰρ ὡς λεληθότως αὐτῆς ἐπιούσης τοῖς ἀνθρώποις ἀκούσιον θέλει δεῖξαι τὸ πταῖσμα. b(BCE$^3$E$^4$) T

*D(~) | Hrd.* *b.* ἀρτίπος: ὁ τοὺς πόδας ὁλόκληρος. | πρὸ τέλους ἡ ὀξεῖα, ὁμοίως τῷ „ἀελλόπος" (Θ 409 al.) καὶ „τρίπος" (Χ 264). A

*Ariston.* *c.* ⟨οὕνεκα:⟩ ὅτι οὕνεκα ἀντὶ τοῦ τοὔνεκα. A$^{im}$

*Ariston.* **506.** ⟨φθάνει:⟩ ὅτι Ζηνόδοτος γράφει {ὅτι} „φθανέει". A$^{im}$

*ex.* **507.** ⟨αἱ δ' ἐξακέονται ὀπίσσω:⟩ ἃ ἐκείνη βλάπτει. T$^{il}$

τὸ χλωρὸν vel ἡ χλωρότης), ὅτι χλωροὺς (χλωροὺς γὰρ Le) ποιεῖ καὶ χωλοὺς οἱόν τι (οἱόν τι susp., possis οἵους τινὰς) ἱκέτας, παρεχομένους βραδεῖς (fort. παρεπομένους βραδέως). ἢ ὅτι ⟨αὐ⟩τοὺς ἀπεχθανομένους τὰ κακὰ διατίθησι **504** *b* ἀλέγουσι· φροντίζουσιν (= D), cf. Ep. Hom. (An. Ox. 1, 85, 32); vide ad Π 388 (ex.) **505** *a* cf. Eust. 767, 64; — γίνεσθαι (87) cf. sch. Aesch. Pers. 95 *b* — ὁλόκληρος (91) cf. D: ἄρτιος καὶ ὑγιὴς τοῖς ποσίν, ὁλόκληρος; vide Bechtel, Lex. 65 πρὸ τέλους (91) sq. vide ad Θ 409 (test.) ὁμοίως τῷ (92) sq. cf. Eust. 720, 53. 768, 19 et 47. 1264, 27; sch. Pind. N. 10, 114 a (c. test.) *c* ad Ε 266 *b* (Ariston.), cf. Eust. 768, 19 τοὔνεκα (non τούνεκα) e τοῦ et ἕνεκα coaluit, cf. Ap. Dysc. de coni. 238, 3; Pfeiffer ad Call. fr. 474 **506** fort. excidit pars scholii Aristonici de syllaba prima vocis φθάνει secundum doctrinam Aristarchi producenda, ad Φ 262 (Ariston.); verba, quae editionem principem secuti editores (praeter Dindorfium) venditant (ἐκτατέον τὸ „φθάνει" διὰ τὸ μέτρον, ἡ δὲ διπλῆ περιεστιγμένη ὅτι κτλ.), in bonis quidem codicibus non leguntur φθανέει cf. Bk., H. Bl. 1, 49 **507** nullum signum ante versum in A; tamen erat fort. sch. Aristonici, qui adnotavisse videatur e versu 507 versum Τ 94, quem Aristarchus spurium existimavit, effictum esse, ad Τ 94 (Ariston.); cf. Friedl., Ariston. p. 165 ἃ ἐκείνη βλά-

---

**81** ἁμαρτάνοντες Vill. (improbabiliter) **82** δὲ **b** οὖν T ἄτης **b**, V (α in ras. ut vid.), αὐτῆς T συνέπονται **b** αὐτῇ T αὐταῖς **b** **84** le. add. Bk. **85** ἰάσονται A em. Bk. **86—90** ex parte absc. in E$^4$ **87** [.]περοχῆς E$^4$ καὶ ἰσχύος om. **b**, τῆς ἰσχύος Bk. (fort. verum) οὐκ [. . . . . .] ἐν. E$^4$ **88** ἑτέρωθ[.] E$^4$ τῆς [. . . .] ἀπα[. . . .] πόδε· [.]κεῖ E$^4$ **89** ὡς absc. E$^4$ ἐ[. . . . . . .] τοῖς et θ[. . . .] δεῖξαι E$^4$ **90** πταῖσ[. .] E$^4$ **92** τῷ ἀελλ. Bk., τὸ ἀλλόπος A **93** le. addidi (auctore Vill.) ὅτι A, fort. ἡ διπλῆ, ὅτι **94** le. addidi (auctore Vill.) ὅτι A, ἡ διπλῆ περιεστιγμένη, ὅτι Vill. ὅτι alt. eiecit Vill. **95** le. add. Ma. (αἱ δ' ἐξακέονται add. V$^c$)

**508.** ⟨κούρας Διός:⟩ πάλιν πρὸς ἐντροπὴν Διὸς κούρας φησίν. T$^{il}$ *ex.*

**509** *a.* τὸν δὲ μέγ' ὤνησαν: ὅτι περισσὸς ὁ δέ σύνδεσμος· διὸ οὐ δεῖ συνεγκλίνειν τῷ ἄρθρῳ τὸν σύνδεσμον. **A** *Ariston.*

*b.* τὸν δὲ μέγ' ὤνησαν καί τ' ἔκλυον εὐξαμένοιο: ὑπὲρ αὐτοῦ οὖν ἐστιν, ὅπως ἐν ἀσφαλείᾳ διάγοι ἐπικούρους ἔχων· εἰκὸς γὰρ καὶ αὐτὸν ἁμαρτῆσαι καὶ εὐμενεῖς τοὺς ἱκετευομένους ἕξειν. φυσιολογεῖ οὖν μὴ θέλων εἰπεῖν ἐξ ὀνόματος ὡς καὶ αὐτὸς βλαβήσεται μὴ πεισθείς. ἐπάγει οὖν· „ἀλλ' Ἀχιλεῦ, πόρε καὶ σύ" (I 513). b(BE$^3$E$^4$) T *ex.*

*c.*$^1$ ⟨εὐξαμένοιο:⟩ Ἀρίσταρχος „εὐχομένοιο". A$^{int}$ *Did.*

*c.*$^2$ τὸ δὲ εὐξαμένοιο ἀντὶ τοῦ „εὐχομένοιο". T

**512** *a.* ἵνα βλαφθεὶς ἀποτίσῃ: ἵνα καὶ αὐτὸς ἐν ἄτῃ γεγονὼς ἐπὶ τὰς Λιτὰς καταφύγῃ. b(BCE$^3$E$^4$) T *ex.*

*b.* ⟨ἀποτίσῃ:⟩ γράφεται „ἀποτίνῃ". A$^{int}$ *Did.(?)*

**514.** ἥ τ' ἄλλων περ ἐπιγνάμπτει νόον ἐσθλῶν: καὶ ἄλλοι, φησίν, εἰσὶν ἀγαθοὶ ἀδικηθέντες, αἰδούμενοι δὲ τὰς Λιτάς. b(BCE$^3$E$^4$) T *ex.*

**515** *a.* εἰ μὲν γὰρ μὴ δῶρα φέροι: ταῦτα τὴν ἱκετείαν δηλοῖ κάὶ τὸν ἐνυποπίπτοντα Ἀγαμέμνονα. καὶ διὰ τοῦ φέροι αὐτὸν παρέστησεν· καὶ τὸ μὲν ὀργίζεσθαι δικαίως συγχωρεῖ, τὸ δὲ ἀτιμάζειν τὰ διδόμενα καὶ τοὺς ἥκοντας ἀνάξιον Ἀχιλλέως φησίν. b(BCE$^3$E$^4$) T *ex.*

*b.* ⟨εἰ μὲν γὰρ μὴ δῶρα φέροι:⟩ εὐθὺς δηλονότι. A$^{int}$ *ex.(?)*

**516** *a.* ἐπιζαφελῶς: ὡς „χαλεπῶς" (H 424. Y 186). παρέλκει δὲ πάλιν ἡ ἐπί. ἐχρῆν δέ, εἰ παρὰ τὸ ζάφελος γέγονε, καὶ ζαφέλως *Hrd.*

πτει cf. Eust. 768, 55 **508** πάλιν (1) vide ad I 502 (ex.) **509** *a* ad A 41 *c* (Ariston.). Verba διὸ οὐ δεῖ (3) sq. Herodiano attribuenda esse non sine aliqua dubitatione contendit Lehrs (Hrd. 253); vide ad B 189 (Ariston.) *b* — ἕξειν (7) cf. Eust. 769, 5 *c*$^1$ ad Γ 295 (Did.) **515** *a* τὸ δὲ ἀτιμάζειν (19) sq. vide ad I 518; Plat. rep. 3, 390 e 4 **516** *a* παρέλκει (22) ad Δ 423 (c. test.) πάλιν (23) ad I 456 *b* (Hrd.) ἐχρῆν δὲ (23) sq. cf. Io. Alex. 39, 18 (Hrd. [= 1, 514, 6]

---

**1** le. add. V$^c$ **3** (le.) μέγ' ὤνησαν fort. delenda ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **4** συγνεγκλίνειν A em. Bk., συγκλίνειν Vill. τῶι συν ss. δ A em. Vill. **5** ὑπὲρ] πρὸς Wil. **6** ἐν [.........] διάγο[ E$^4$ (absc.) διάγοι̋ T **6** sq. ἔχων et γὰρ καὶ absc. in E$^4$ **7** ἁμαρτῆσαι BE$^3$T, ἁ[.........] E$^4$, ἁμαρτήσειν Ma. (vix recte) εὐμ. T θυμὸν εἰς BE$^3$ θυμὸν [...] E$^4$ (absc.) **7** sq. τοὺς et οὖν μὴ absc. in E$^4$ **8** θελων [.......] ἐξ ὀ[........] ὡς καὶ [.....] βλα[.......] μὴ π[......] E$^4$ (absc.) **9** ἐπ. T ὅθεν ἐπάγει BE$^3$ ὅθε[.......] E$^4$ (absc.) οὖν om. b ἀχιλεῦ sq. absc. in E$^4$ ἀχιλλεῖ T **10** le. add. Bk. (Vill.) **11** sch. *c*$^2$ post sch. *b* (coni. cum v. σύ) in T, distinxi et transposui **12** ἵνα$^2$ om. T **14** le. add. Vill. **17—20** sch. fort. ad versus I 515—23 revocandum **17** τὴν b γὰρ τὴν T **18** sq. παρέστησε b **19** δὲ] δ' E$^4$ **20** ἀχ. ἀνάξιόν φησιν b **21** le. addidi **23** ἐχρῆν Bk., ἐχθρ A

ἡμᾶς ἀνεγνωκέναι βαρυτόνως, ἢ καὶ ἐκεῖνο κατ' ὀξὺν προφέρεσθαι τόνον. ἀλλὰ μήποτε τὸ μὲν ζάφελος προπαροξύνεται λόγῳ τοιούτῳ· τὰ εἰς ος λήγοντα συγκείμενα παρὰ τὸ ζα προπαροξύνεται, ζάθεος ζάκοτος· οὕτως οὖν καὶ ζάφελος. τὸ δὲ ζαφελῶς περισπᾶται, ἐπεὶ τὰ διὰ τοῦ λως ἐπιρρήματα, παραληγόμενα τῷ ε, ὡς ἐπὶ τὸ πλεῖστον φιλεῖ περισπᾶσθαι, οἷον εὐτελῶς ἐπιμελῶς, οἷς καὶ τὸ ζαφελῶς συνεξέδραμε. πρόσκειται 'ὡς ἐπὶ τὸ πλεῖστον' διὰ τὸ εὐτραπέλως ἰκέλως. **A**

*ex. (Hrd.) | ex.* *b.*[1] {ἀλλ' αἰὲν} ἐπιζαφελῶς: περισπωμένως, εἰ καὶ τὸ †ζάφελες† βαρύνεται. | τὸ δὲ ζαφελῶς γίνεται ἐκ τοῦ ζα ἐπιτατικοῦ καὶ τοῦ ὀφέλλω τὸ αὔξω, τὸ πάνυ ηὐξημένως. **T**

*ex. (Hrd.)* *b.*[2] περισπωμένως. τὸ δὲ ζάφελος ὄνομα βαρύνεται. **A**[int]

*ex.* **518.** χατέουσί περ ἔμπης: ὅτι καὶ δώρων ἄνευ ἐχρῆν βοηθεῖν διὰ τὴν ἀνάγκην. **T**

*Ariston.* **520.** ἄνδρας δὲ λίσσεσθαι ⟨ἐπιπροέηκεν ἀρίστους⟩: ὅτι οὐ συμπεριλαμβάνει ἑαυτὸν ὁ Φοῖνιξ ὡς ἂν μηδὲ χώραν ἔχων πρεσβευτοῦ. **A**

*ex. | ex.* **520—1** *a*[1]/*b.*[1] ἄνδρας ⟨———⟩ ἀρίστους / κρινάμενος: ὁ μὲν γὰρ συνέσει, ὁ δὲ ἰσχύϊ πρωτεύει. | ἐκ τούτου δῆλον ὅτι οὐκ ἔστι πρεσβευτὴς ὁ Φοῖνιξ· ἐπεὶ πῶς ἑαυτὸν ἐπαινεῖ; **T**

laudatur) τὸ μὲν ζάφελος (25) sq. Et. Gen. (AB) ζαφελῶς (pone notam Orionis), fort. ex hyp. Iliad., cf. Et. Gud. 579, 14 Stef. τὸ μὲν ζάφελος (25) — συνεξέδραμε (29) Eust. 769, 26: καί φασιν Ἀπίων καὶ Ἡρόδωρος ὅτι τὸ ζάφελος κτλ.; eadem fere sed ordine mutato h(M[1] P[11] V[3] V[15]) τὸ μὲν ζάφελος (25) — ζάφελος (27) cf. fr. Hrd. καθ. in cod. Vindob. hist. Graec. 10 rescripto (ed. H. Hunger in: Jahrbuch der Österreichischen Byzantinischen Gesellschaft 16, 1967, 22); Hrd. καθ. 161, 11 ζαφελῶς συνεξέδραμε (29) cf. sch. ζ 330, Eust. 769, 22. 1565, 7 *b*[1] τὸ δὲ ζαφελῶς (32) sq. cf. Ap. S. 80, 34, Or. 66, 3 (ex Orione pendet Et. Gen. [AB] ζάφελος, cf. Et. Gen. [AB] ζαφελῶς, Et. Gud. 579, 13 Stef.) τοῦ ὀφέλλω τὸ αὔξω (33) cf. h(P[11]): ἀπὸ τοῦ ὀφέλλω τὸ αὔξω (coni. cum scholio *a*, v. ζάφελος); sim. Hrd. (2, 251, 13) ap. Or. 65, 1 ηὐξημένως (33) = D, cf. Eust. 769, 24 **518** vide ad I 515 *a* **520** ad I 182 (Ariston.), cf. Eust. 769, 35 **520—1** — πρωτεύει (41) cf. Ge (e T ut vid.): ὁ μὲν γὰρ ἰσχύϊ διαφέρει, ὁ δὲ συνέσει

---

**24** ἢ Bk., εἰ A **25** τὸ μὲν A, καὶ τὸ μὲν Et. Gen., τὸ Eust. προπαροξ.] βαρύνεται Et. Gen. τοιούτῳ] τούτῳ ὡς A **26** συγκ. om. Eust. προπαροξύνονται Eust. οἷον ζάθεος Et. Gen. ζάθεος cf. A 38 al. ζάκοτος cf. Γ 220 **27** οὕτως — ζάφελος om. Eust. οὖν καὶ om. A, fort. recte ἐπειδὴ Et. Gen. **27 sq.** διὰ τοῦ] εἰς Eust. **28** τῷ Eust., τὸ A, Et. Gen. τὸ om. Eust. **29** οἷον om. A (fort. recte) ἐντελῶς A, fort. verum συνεξέδραμεν Et. Gen. **30** ἰκέλως (ad v. cf. B 478 al.) A, εἰκέλως. ἀλλ' αἰὲν ἐπιζαφελῶς χαλεπαίνοι (χαλεπαίνου Et. Gen. A) Et. Gen. **31** (le.) ἀλλ' αἰὲν damnavi **32** ζάφελες cf. sch. *a* **37** le. A suppl. Vill. ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **38** μὴ δὲ A em. Vill. **40** le. T suppl. Ma.

*b.*$^2$ οὗτος πρεσβευτὴς οὐκ ἔστιν, ἐπεὶ οὐκ ἂν ἑαυτὸν ἐπῄνει. b(BC$E^3E^4$) *ex.*

*a.*$^2$ ὁ μὲν γὰρ συνέσει, ὁ δὲ ἰσχύϊ προὔχει. b(BC$E^3$) *ex.*

521—2 *a.*$^1$ οἵ τε σοὶ αὐτῷ / φίλτατοι: ὡς καὶ δίχα Ἀγαμέμνονος ὀφείλοντος αὐτοῖς πείθεσθαι. τοῦτο δὲ ἐλεγκτικῶς ὅτι εἰπὼν „οἱ γὰρ φίλτατοι ἄνδρες ἐμῷ ὑπέασι μελάθρῳ" (I 204) νῦν ἀπειθεῖ τοῖς φιλτάτοις. T *ex.*

*a.*$^2$ λέγει δὲ ὅτι καὶ δίχα Ἀγαμέμνονος ὤφειλεν αὐτοῖς πείθεσθαι. b(BC$E^3$)

*a.*$^3$ ἐλεγκτικῶς ὅτι εἰπὼν „οἱ γὰρ φίλτατοι ἄνδρες ἐμῷ ὑπέασι μελάθρῳ" νῦν ἀπειθεῖ τοῖς φιλτάτοις. b(BC$E^3E^4$)

522 *a.* τῶν μὴ σύ γε μῦθον ἐλέγξῃς: μὴ ὀνειδίσῃς· b(BC$E^3$ $E^4$) T „τὰ δ' ἐλέγχεα πάντα λέλειπται" (Ω 260)· ὡς τῆς αἰσχύνης τοῦ μὴ πείθειν ἀνατρεχούσης εἰς αὐτούς. b(BC$E^3$) T *ex.*

*b.* τῶν μὴ σύ γε μῦθον ἐλέγξῃς: μὴ ἀποδοκιμάσῃς μηδὲ ἀποδείξῃς ἀσθενεῖς αὐτοὺς ἐν τοῖς λόγοις καὶ μὴ ποιήσῃς ἐπονειδίστους αὐτοὺς ὡς μὴ πείσαντας. A *ex.*

523. ⟨μηδὲ πόδας:⟩ μηδὲ τὴν ἐνθάδε ἄφιξιν. A$^{int}$ *D*

*a.* πρὶν δ' οὔ τι νεμεσσητὸν κεχολῶσθαι: τὸ πρώην μηνίειν ἀνεμέσητον εἰπὼν ἐκ τοῦ ἐναντίου τὸ νῦν νεμεσητόν φησιν, b(BC$E^3E^4$) T ὅτι τὸ πρὶν καὶ ἀρχὴ τῆς μάχης καὶ ὁ Ἀγαμέμνων μαινόμενος καὶ πρεσβεία οὐδαμοῦ οὐδὲ δῶρα, νῦν δὲ καὶ τῆς μήνιδος ὁ χρόνος παρήκμασε καὶ ὁ βασιλεὺς ἱκέτης καὶ πρεσβεία φιλτάτων ἀνδρῶν καὶ δώρων ἀριθμὸς πολὺς καὶ ἀνάγκη τοῦ ἁλῶναι. T *ex.*

*b.* ⟨πρὶν δ' οὔ τι νεμεσσητὸν κεχολῶσθαι:⟩ ἐπὶ δὲ τῆς προτέρας ὀργῆς οὐ μέμψεως ἄξιος. A$^{int}$ *ex.(?)*

521—2 *a*$^1$ — πείθεσθαι (47) cf. Ge (e T ut vid., coni. cum scholio I 520—1, v. συνέσει): οἷς καὶ δίχα Ἀγαμέμνονος ὀφείλεις σὺ πιθέσθαι 522 *a* — λέλειπται (55) cf. Eust. 769, 43 ὀνειδίσῃς (54) = Sch. min. ε 300, cf. Ap. S. 66, 3; vide Call. fr. 329 τοῦ μὴ πείθειν (56) cf. sch. *b*; Eust. 769, 43 *b* cf. D ὡς μὴ πείσαντας (59) cf. sch. *a* 523 *a* sim. Eust. 769, 54 *b* fort. sch. rec., factum e scholio

---

43—5 sch. *b*$^2$ ad versum 520, sch. *a*$^2$ ad versum 521 rettulit b (fort. recte) 47 πιθέσθαι Ge 50—1 λέγει δὲ sq. pone sch. I 520—1 *a*$^2$ (coni. cum v. προὔχει) in b 52—3 sch. *a*$^3$ ad versum 522 rettulit b (fort. recte) 52 οἱ $E^3$ 54 μὴ ὀν. Ma., ὀνειδίσεις T, τὸ δὲ ἐλέγξῃς ἀντὶ τοῦ ὀνειδίσῃς (coni. cum scholio praecedenti, v. φιλτάτοις) in b 57 μηδὲ Vill., μὴ δὲ A 60 le. add. Ddf. μηδὲ — ἄφιξιν pone sch. *b* in A, trps. Ddf. ἄφηξιν A em. Ddf. 67 le. addidi (duce Ddf.) 68 ἄξιος sc. ἦσθα

ex. **524** *a.*¹ οὕτω καὶ τῶν πρόσθεν ἐπευθόμεθα: ὅτι πάντως δεῖ βοηθῆσαι αὐτόν, ὅπερ ἐσκέπασε τῇ διηγήσει. T

*a.*² περισκέπων δὲ διὰ τῆς διηγήσεως τὸν λόγον δείκνυσιν ὡς πάντως δεῖ βοηθῆσαι. **b**(BE³E⁴)

ex. **526** *a.* δωρητοί τ' ἐπέλοντο ⟨παραρρητοί τ' ἐπέεσσι⟩: περὶ πάντων τοῦτο, εἶτα τὸν Μελέαγρον ἐπὶ τῇ ἰσότητι T παρέλαβεν· οὐ γὰρ ἂν ἐφάνη τὸ δεινὸν τοῦ μὴ πεισθῆναι, εἴ τινα παρέλαβε τῶν πεισθέντων. **b**(BCE³E⁴) T

Hrd. *b.* παραρρητοί: ὡς παραμυθητοὶ καὶ νοητοὶ κατ' ὀξεῖαν τάσιν. A

ex. **527** *a.* μέμνημαι τόδε ἔργον: ὁμοίαν μῆνιν παραγράφει. Ἀχιλλεὺς οὐκ ἐπαμύνει τοῖς Ἕλλησι διὰ τὸν Ἀγαμέμνονα καὶ ὁ Μελέαγρος τοῖς Αἰτωλοῖς διὰ τὴν μητέρα. ἀρχὴ μήνιδος Ἀχιλλεῖ χόλος Ἀπόλλωνος καὶ τῷ Μελεάγρῳ Ἀρτέμιδος ὀργή. Ἀχιλλεῖ Βρισηΐδος ὕβρις, Μελεάγρῳ δὲ Ἀταλάντης. πρὸς ἑκάτερον πρεσβεύουσι δῶρα δώσειν ὑπισχνούμενοι. τὰ λοιπὰ ὁ Φοῖνιξ εὔχεται ὅμοια μὴ γενέσθαι. ὅμως γεγόνασιν. οὐδέτερος αὐτῶν εἶξε τοῖς δεομένοις· τὸν Μελέαγρον ἐποίησεν ἡ γυνὴ ἐξελθεῖν τοῦ πολέμου ἐπὶ θύραις ὄντος, καὶ ὁ Πάτροκλος πλησίον τῶν πολεμίων ὄντων δεηθεὶς προελθεῖν, ἔπειτα ἀποθανὼν ἠνάγκασε τῆς ἔχθρας παύσασθαι τὸν Ἀχιλλέα· **b**(BCE³, Le) T ὅπερ καὶ Μελέαγρος πέπονθεν. **b**(BCE³, Le)

ex. *b.* μέμνημαι τόδε ἔργον: ἀναλογεῖ ἡ μὲν τὸν κάπρον ἐπιπέμψασα Ἄρτεμις τῷ ἐπιπέμψαντι λοιμὸν Ἀπόλλωνι, οἱ δὲ Κουρῆτες

D (πρότερον δὲ οὐ μεμπτὸς ὑπῆρχες ὀργιζόμενος) **527** sch. fuisse de constructione verbi μέμνημαι veri dissimile est; cf. tamen sch. Eur. Andr. 1164: ἐμνημόνευσε δ' . . . παλαιὰ νείκη· πρὸς αἰτιατικὴν τὸ „ἐμνημόνευσεν" ὡς „μέμνημαι τόδε ἔργον". καὶ ὁ Ἡσίοδός φησι (opp. 422)· „τῆμος ἄρ' ὑλοτομεῖν μεμνημένος ὥριον ἔργον", καὶ πολλαχοῦ εὑρήσεις παρὰ ποιηταῖς συντασσόμενον αἰτιατικῇ τὸ μέμνημαι, sch. Aeschin. 3, 154: ⟨ἀναμνησθεὶς⟩ . . . ἐκεῖνό γε· Ἀττικῶς εἶπε δέον εἰπεῖν ἀναμνησθεὶς ἐκείνου, ὡς καὶ παρὰ τῷ ποιητῇ κεῖται ἐκεῖνο „μέμνημαι τόδε ἔργον ἐγὼ πάλαι οὔ τι νέον γε" *a* cf. sch. *b*; fusius Eust. 771, 11, at cf. eund. 770, 15 καὶ

---

**71—2** περισκέπων (περισκέπτων E⁴) sq. pone alteram partem scholii Ι 529 *a*² (coni. cum v. ἐπικουρία) in **b** (vide app. crit. ad Ι 527 *c*) **72** δεῖ supra lineam B (m. pr.) **73** le. T supplevi, om. **b** **77** le. Bk., δωρητοί τε πέλοντο: A **79—89** abs. in E⁴ (hab. Le) **79** ὁμοίαν δὲ μῆνιν **b**, ubi praecedunt verba ὑποδιήγησις τὸ τοιοῦτον καλεῖται (cf. sch. Ι 529 *a*³) **80** τοῖς ἕλλησιν οὐκ ἐπαμ. **b** δι' ἀγαμέμνονα **b** **81** τοῖς om. T **82** ὀργή om. **b** **83** ὕβρις] ἀφαίρεσις Le μ. δι' ἀταλάντην T **86** ἡ γυνὴ ἐπ. Le **86** sq. πάτροκλος] π͂ρόκλος C **88** ἠνάγκ. **b** ἔπεισε T **89** ὅπερ sq. i. e. facere finem irascendi coactus est **90—3** pone sch. Ι 529 *d* in A, transposui

τοῖς Τρωσίν, ὁ δὲ Μελέαγρος τῷ Ἀχιλλεῖ τῷ νῦν μὲν δεήσεσι μὴ πειθομένῳ, δι' ἀνάγκην δὲ ἴσως βοηθήσοντι διὰ τὰς ναῦς. A

*c.* μέμνημαι τόδε ἔργον ἐγὼ πάλαι: ὅτι ἀειμνήστους ἐπὶ κακῷ ποιεῖ τοὺς ὀργιζομένους ὁ θυμός. οἰκεῖον δὲ διδασκάλῳ ἐκ τῶν παλαιῶν σωφρονίζειν τοὺς νέους. ποικίλλει δὲ τὴν δέησιν πιστούμενος τὰς ἱστορίας διὰ τῶν παλαιῶν προσώπων. b(BE$^3$E$^4$) T *ex.*

*d.* ⟨νέον:⟩ ὅτι νέον νεωστί. A$^{im}$ *Ariston.*

528 *a.* ὡς ἦν: τὸ ὡς ἦν δύναται καὶ τοῖς ἄνω καὶ τοῖς ἑξῆς συνάπτεσθαι. ἐὰν δὲ τοῖς ἄνω συνάπτηται, ἔσται „μέμνημαι" (I 527) ὡς ἦν· ἐὰν δὲ τοῖς ἑξῆς, ἔσται ὑπερβατόν 'ὡς δὲ ἦν, ἐν ὑμῖν ἐρῶ'. A *Nic.*

*b.* ⟨ἐν δ' ὑμῖν ἐρέω πάντεσσι φίλοισι:⟩ ὅτι ἠθικῶς καθ' ὑπεξαίρεσιν λέγει ἐν δ' ὑμῖν ἐρέω πάντεσσι φίλοισι, οἷον οὐδεὶς ξένος πάρεστι, διὰ τὸ κατ' Ἀχιλλέως παραδείγματι χρῆσθαι τῷ κατὰ τὸν Μελεαγρον. A *ex.*

*c.* ἐν δ' ὑμῖν ἐρέω πάντεσσι φίλοισι: ἐπεὶ κατὰ τοῦ Ἀχιλλέως ἐκφέρει τὸ παράδειγμα, φησὶν 'ἐπὶ φίλων γάρ μοί ἐστιν ὁ λόγος'. b(BCE$^3$E$^4$) T *ex.*

529 *a.*$^1$ Κουρῆτές τ' ἐμάχοντο ⟨καὶ Αἰτωλοὶ μενεχάρμαι⟩: ψυχαγωγεῖ μὲν ἡ ἱστορία τὸν θυμόν. δύο δέ φησι· μὴ ἀτιμάζειν ἱκέτας, καὶ ὡς ἄτιμος ἡ μετὰ δέησιν αὐτόκλητος ἐπικουρία. | καλοῦσι δὲ ὑποδιήγησιν τὸ σχῆμα, ὅταν †ἱερόν† τι λάβωμεν ὅμοιον. †διό ἐστιν ὁ λόγος ὡς νηλέα τινὰ πελίαν τε†. | ἀντὶ δὲ τοῦ εἰπεῖν Κουρῆτες καὶ Καλυδώνιοι ἐπὶ τὸ γενικώτερον ἧκεν· διχῇ δὲ διῄρηται ἡ Αἰτωλία, καὶ τῆς μὲν Καλυδωνίας ἦρχεν Οἰνεύς, τῆς δὲ Πλευρωνίας ὁ Θέστιος. T *ex.* | *ex.* | *ex.*

ὁ Μελέαγρος (80) sq. cf. D ad I 529 *b* cf. sch. *a* *d* ad I 446 *b* (Ariston.), cf. D 528 diple ante versum in A; sch. *b*, quod Friedl. (Ariston. p. 166) omisit, Aristonico attribuere vereor; fort. scriba codicis A erravit, cum videret sch. *b* a voce ὅτι coepisse *b*/*c* παραδείγματι (resp. παράδειγμα, 9. 12) cf. Hrd. rhet. fig. 104, 11 *b* καθ' ὑπεξαίρεσιν (7) cf. Alexandr. De figuris 1, 7 (= Rh. Gr. 3, 16, 20), Zonaeum De figuris 5 (= Rh. Gr. 3, 162, 1) 529 *a*$^1$ ὑποδιήγησιν (17) cf. Eust. 770, 2. 771, 9; Rufi art. rhet. 25 (= Rh. Gr. 1, 404, 1 Sp.-H. = Artium script. B XII 9, p. 108 Raderm.), aliter Tryph. II p. 245 ἀντὶ δὲ τοῦ (18) — ἧκεν (19) cf. Eust. 772, 8; D; Strab. 9, 4, 18 (p. 429), eund. 10, 3, 1

---

**94—02** le. (et sch.) cum scholio praecedenti coni. T, le. om. b **94** ὅτι T, καὶ τὰς ἱστορίας δέ φησι παλαιὰς ὅτι pone sch. I 524 *a*$^2$ (coni. cum v. βοηθῆσαι) in b **94—5** hoc vult 'ira facit, ut irascentes a posteris inhonestissima memoria digni existimentur' **3** le. addidi (auctore Vill.) ὅτι A, ἡ διπλῆ, ὅτι τὸ Vill. **5** ἐὰν δὲ bis in A, primo loco ipse expunxit **7** le. addidi **12** φέρει b **14** sq. le. T supplevi **17** ἱστορικόν (τι) Wil., malim ἱκανόν (τι) **17** sq. διό — πελίαν τε verba nondum expedita, δίχα ἐστὶν (malim δισσός ἐστιν) ὁ λόγος ὡς „πελίην τέκε καὶ νηλῆα· πελίης μέν, ὁ δ' ἄρ'" (cf. λ 254—7) propos. Ma.

*ex.* | *ex.* *a.*[2] ἀντὶ τοῦ εἰπεῖν Κουρῆτες καὶ Καλυδώνιοι ἐπὶ τὸ γενικώτερον ἧκε. διχῇ δὲ διῄρηται ἡ Αἰτωλία, καὶ τῆς μὲν Καλυδωνίας ἦρχεν Οἰνεύς, τῆς δὲ Πλευρωνίας Θέστιος. | ψυχαγωγεῖ δὲ ἡ ἱστορία τὸν θυμόν. **b**(BCE[3]E[4]) δύο δέ φησι· μὴ ἀτιμάζειν ἱκέτας, καὶ ὡς ἄτιμος ἡ μετὰ δέησιν αὐτόκλητος ἐπικουρία. **b**(BE[3]E[4])

*ex.* *a.*[3] ὑποδιήγησις τὸ τοιοῦτον καλεῖται. **b**(BCE[3]E[4])

*Hrd.* *b.* Κουρῆτες: οὕτως ἀνεγνώσθη ὡς ἀβλῆτες, πρὸς διαστολὴν τοῦ ,,κούρητες Ἀχαιῶν" (T 248). οὐκ ἐχρῆν δέ, καθότι οὐ φιλεῖ τὰ εἰς ‾ης‾ λήγοντα ἐθνικὰ ὑπὲρ μίαν συλλαβὴν ὀξύνεσθαι. ἐλέγχεται δὲ καὶ ἡ κλίσις τοῦ Κουρῆτες ἐν τῇ Κλίσει τῶν ὀνομάτων (fr. 16 = Hrd. 2, 640, 23). **A**

*ex.* *c.* ⟨Κουρῆτες:⟩ τὸ ἐθνικόν, κούρητες δὲ οἱ νεανίαι, ὡς Μάγνης καὶ Ἴγνης· ,,ἅμα δ' ἄλλοι †ἦσαν† κούρητες" (T 248). T[il]

*Ap. S.* *d.* ⟨ΚΟΥΡΗΤΕΣ:⟩ τῆς μέσης συλλαβῆς περισπωμένης οἱ τὴν Πλευρῶνα κατοικοῦντες· Κουρῆτές τ' ἐμάχοντο. τῆς δ' αὐτῆς συλλαβῆς βαρυτονουμένης οἱ νεανίαι· ,,ἅμα δ' †ἄλλοις ἦσαν† κούρητες Ἀχαιῶν" (T 248). **A**

*ex.* *e.* Κουρῆτες: οἱ τὴν Πλευρῶνα οἰκοῦντες ἄποικοι Εὐβοέων. οὕτω δὲ ἐκαλοῦντο ἢ ἀπὸ Κουρίου ὄρους ἢ Κουρέως· ἢ ἐπεὶ στολὰς καὶ κόμας κορῶν εἶχον. Στράβων (10, 3, 6, p. 465) δὲ οὕτως· ,,Ἀρχέμαχος ὁ Εὐβοεὺς (FGrHist 424, 9) φησὶ τοὺς Κουρῆτας ἐν Χαλκίδι οἰκῆσαι.

(p. 463). Vide ad N 218. Ξ 116 *b*  *b* cf. Eust. 771, 36; vide ad E 9 *b* (Hrd.)  *c* cf. Strab. 10, 3, 8 (p. 467)  *d* Ap. S. 103, 14: ΚΟΥΡΗΤΕΣ· προπερισπωμένως μὲν σημαίνει τοὺς τὴν Πλευρῶνα κατοικοῦντας, ,,Κουρῆτές τ' ἐμάχοντο", προπαροξυνόμενον δὲ νεανίας, ,,ἅμα δ' ἄλλοι †ἔσαν† κούρητες Ἀχαιῶν", sim. He. κ 3845: ΚΟΥΡΗΤΕΣ· τῆς μὲν δευτέρας συλλαβῆς περισπωμένης οἱ τὴν Πλευρῶνα κατοικοῦντες, διὰ τὸ κουρικῶς ἀναδεδέσθαι τὰς κόμας. κούρητες δέ, προπαροξυνομένου τοῦ ὀνόματος, νεανίαι, cf. Et. Gen. (EM. 534, 12, sim. Et. Gud. 342, 4)  *e* — Εὐβοέων (39) cf. Eust. 771, 35  οὕτω δὲ ἐκαλοῦντο (40) — εἶχον (41) cf. Eust. 771, 38; Steph. B. 57, 12  ἀπὸ Κορίου ὄρους (40) cf. Strab. 10, 2, 4 (p. 451), ib. 10, 3, 6 (p. 465)  ἢ Κουρέως (40) cf. Strab. 10, 3, 6 (p. 465)  ἢ ἐπεὶ στολὰς (40) — εἶχον (41) cf. Strab. 10, 3, 8 (p. 466), Athen. 12, 528 c (Aesch. fr. 313 N.[2] = 620 M.; FGrHist 81, 23)  Ἀρχέμαχος (41) — κουρᾶς κληθῆναι

---

**24** δὲ] δὲ καὶ C  **27** ante sch. I 527 *a* (sequuntur verba ὁμοίαν δὲ sq.) in **b**  **28** ἀβλῆτες cf. Δ 117  **33** le. addidi (κουρῆτες τ' ἐμάχοντο add. V[c])  τὸ T κουρῆτες τὸ V[c]  **34** ἦσαν] δῶρα φέρον Hom., ἔσαν Ap. S., fort. ἴσαν (cf. sch. *d*)  **35** le. addidi  **35—8** pone sch. A (= D) ad I 529 (αἰτωλοί· οἱ καλ. sq., coni. cum v. αἰτωλίας) in A, trps. Ddf.  **37** ἄλλοι δῶρα φέρον Hom. (cf. test. et sch. *c*)  **39—47** κουρῆτες: οἱ sq. cum scholio *a*[1] (v. θέστιος) coni. T, dist. Ma.  **40** ἐκαλεῖτο T em. Ma. (Vill., qui hoc sch. e Li descripsit)  ἐπεὶ] ἐπὶ T suppl. m. sec.  **42** ὁ T δ' ὁ Strab.  συνοικῆσαι Strab.

συνεχῶς δὲ πολεμοῦντας περὶ τοῦ Ληλάντου πεδίου, ἐπειδὴ οἱ πολέμιοι κομῶν δραττόμενοι κατέσπων αὐτούς, ὀπισθοκόμους γενέσθαι, τὰ δὲ ἔμπροσθεν κείρεσθαι· διὸ καὶ Κουρῆτας ἀπὸ τῆς κουρᾶς {γενέσθαι} κληθῆναι. †κατοικοῦντας† δὲ εἰς Αἰτωλίαν τοὺς πέραν οἰκοῦντας διὰ τὸ ἀκούρους φυλάσσειν τὰς κεφαλὰς Ἀκαρνᾶνας ὠνόμαζον." **T**

Κουρῆτες: οἱ ἐν Πλευρῶνι οἰκοῦντες, πόλει τῆς Αἰτωλίας. ὠνομάσθησαν δὲ ——— τὰς κάρας. **A** *D*

Οἰνεὺς Αἰτωλίας δεσπότης ——— μετανοήσασα ἑαυτὴν ἀναιρεῖ. **A** *D*

Αἰτωλοί: οἱ Καλυδώνιοι, ἐπεὶ ——— τῆς Αἰτωλίας. **A** *D*

**531.** Αἰτωλοὶ μὲν ἀμυνόμενοι ⟨Καλυδῶνος ἐραννῆς⟩: ἡ διπλῆ, ὅτι πρὸς τὸ δεύτερον πρότερον ἀπήντησεν, καὶ ὅτι λείπει ἡ περί, περὶ Καλυδῶνος. **A** *Ariston.*

**533.** ⟨τοῖσι κακόν:⟩ ὡς καὶ ὑμῖν τὴν μῆνιν. **T**[il] *ex.*

**534** *a.* ⟨χωσαμένη ὅ οἱ οὔ τι θαλύσια:⟩ ὅτι δεῖ μεμνῆσθαι θεῶν· **b**(BCE[3]E[4]) **T**[il] ἅπαξ δὲ κεῖται ἡ λέξις. ἃ ἡμεῖς συγκομιστήριά φαμεν. **b**(BCE[3]) **T**[il] *ex.*

*b.* ⟨θαλύσια:⟩ ἑορτή, ἐν ᾗ τὰς ἀπαρχὰς τοῖς θεοῖς ἐπιθύουσι τῶν καρπῶν. **A**[int] *ex.*

(45) eadem fere (ex ipso Strabone transcripta) in **b** ad B 542 συνεχῶς δὲ πολεμοῦντας (43) cf. sch. Eur. Phoen. 138 ἀπὸ τῆς κουρᾶς κληθῆναι (45) cf. D Ἀκαρνᾶνας (47) cf. sch. Lyc. 671, vide sch. Thuc. 2, 102, 6 **531** — ἀπήντησεν (54) ad B 621 (Ariston.) καὶ ὅτι λείπει (54) sq. ad A 65 *b* (Ariston.) **534** *a* ἅπαξ δὲ (58) sq. cf. Eust. 772, 23 *b* cf. D; Eust. 772, 22, Ap. S. 86, 9; sch.

---

**43** πολεμ. post πεδίου Strab. ληλ. Strab., λΐλαντος T **44** κομῶν — ὀπισθοκ. T τῆς κόμης ἐδράττοντο τῆς ἔμπροσθεν καὶ κατέσπων αὐτούς, ὄπισθεν κομῶντας Strab. δὲ T δ' Strab. **45** γεν. del. Ma. (Vill.) **46** κατ. T μετοικῆσαι Strab., μετοικήσαντας Ma. δὲ εἰς T δ' εἰς τὴν Strab. τοὺς πέραν T καὶ κατασχόντας τὰ περὶ πλευρῶνα χωρία τοὺς πέραν Strab. διὰ T τοῦ ἀχελῴου διὰ Strab. **47** φυλάττειν Strab. ὠνόμ. T καλεῖσθαι codd. Strab. (corruptum, καλέσαι Kramer), ὀνομάσαι Ma. **53** le. A suppl. Vill. **54** fort. ἀπήντηκε **56** le. add. V[c] (καὶ γὰρ τοῖσι κακόν· add. Ma.) **57** le. addidi (χωσαμένη add. V[c], οὔτι θαλύσια add. Li) ὅτι δεῖ T, δηλοῖ (διδάσκει E[4]) ὅτι ἀεὶ δεῖ **b** **58** θεῶν T θεοῦ **b** ἃ T δηλοῖ δὲ ἃ **b** **58** sq. φαμεν συγκομιστήρια **b** **60** le. add. Vill. ἐν ᾗ Vill., ἐπὶ A

*ex.* | *Ariston.* **537** *a.* ἦ λάθετ' ⟨ἢ οὐκ ἐνόησεν⟩: ἐλάθετο· ἑκὼν παρεπέμψατο. οὐκ ἐνόησεν· οὐκ ἔλαβεν εἰς νοῦν. | ἡ διπλῆ δέ, ὅτι Ζηνόδοτος γράφει „ἐκλάθετ' οὐδ' ἐνόησεν" ὥστε τὸ αὐτὸ διλογεῖσθαι. οὐκ ἐνόησε δὲ ὅτι διαφέρει· τὸ μὲν γὰρ ἐλάθετο ἑκὼν παρέπεμψεν, τὸ δὲ οὐκ ἐνόησεν οὐδὲ τὴν ἀρχὴν κατὰ νοῦν ἔσχεν. **A**

*ex.* *b.* ⟨ἦ λάθετ' ἢ οὐκ ἐνόησεν:⟩ ἀπὸ μετοχῶν εἰς ῥήματα μετῆλθεν. **b**(BCE³) T^il

*ex.* *c.* ἦ λάθετ' ἢ οὐκ ἐνόησε: λάθετο· ἑκὼν παρεπέμψατο, οὐκ ἐνόησε δὲ οὐκ ἔλαβεν εἰς νοῦν. ἀξιόπιστον δὲ τὸ διστάσαι, ὡς ἔχει καὶ τὸ „ἢ δρυὸς ἢ πεύκης" (Ψ 328). ἀσύγγνωστον δὲ τὴν εἰς θεοὺς παράβασιν ὑποτίθεται, εἴθ' ἑκὼν μὴ τιμῶν εἴτε ἀκουσίως, καὶ εἰ μὴ πάντας τιμῶν. **b**(BCE³E⁴) **T**

*D* ἄλλως· ἦ λάθετ' ἢ οὐκ ἐνόησεν: ἤτοι ἐννοήσας θῦσαι ἐπελάθετο, ἢ οὐδὲ ὅλως †ἐπελάθετο. **A**

*ex.* **538.** δῖον γένος: πρὸς Ἀχιλλέα· οὐδέποτε γὰρ ἐπὶ θεοῦ τάσσει τὴν λέξιν. ὁ δὲ Νικάνωρ ἐπὶ Ἀρτέμιδος· **b**(BCE³) **T** καὶ γὰρ λέγει, φησίν (p. 202 Friedl.), „αἶψά κ' ἐγὼν ἔρξαιμι, διοτρεφές, ὡς ἀγορεύεις" (ν 147), ἀγνοῶν ὅτι „κελαινεφές" ἐστίν. **T**

*Hrd.* **539** *a.*[1] ὦρσεν ἐπὶ ⟨χλούνην⟩: οἱ μὲν ἀναστρέφουσιν, ἵν' ᾖ ἐπῶρσεν. οἱ δὲ ἐκδεξάμενοι χλούνην τὴν χλόην ἐνέκλιναν, ἵνα γένηται τὸ ἑξῆς ἐπὶ τὴν χλούνην. **A**

Theocr. 7, 3 a et c; Solmsen, Unters. 37 **537** *a* — εἰς νοῦν (63) cf. sch. *c*; D; neglegenter haec verba (vel sch. *c*) exposuisse vid. Eust. 772, 39: τὸ δὲ „ἦ λάθετο ἢ οὐκ ἐνόησεν" οἱ μὲν οὕτω φασίν· ἢ ἑκὼν ἠμέλησεν ἢ οὐδ' ὅλως ἔγνω θεὸν εἶναι τὴν Ἄρτεμιν· διὸ καὶ ἐβλάβη. οἱ δὲ (cf. D) ὅτι ἢ ἐνθυμηθεὶς τὴν Ἄρτεμιν αὖθις ἐξελάθετο ἢ οὐδ' ὅλως ἐπὶ νοῦν αὐτὴν ἔλαβε Ζηνόδοτος (63) sq. cf. Duentzer, Zen. 141 *c* — εἰς νοῦν (70) cf. sch. *a*; vide ad Ξ 1 *c*[1] **538** nescio an nota Nicanoris fuerit docentis verba δῖον γένος neque accusativum neque vocativum esse, sed nominativum subiecto appositum virgulaque a voce ἰοχέαιρα separandum, cf. sch. ex.; Friedl., Nic. 105, 1; Carnuth, Nic. 59; Martinazzoli I 46 n. 111; Valk II 275 (at vide app. crit.) **539** non liquet, num versus subditicius I 539 a in scholio quodam deperdito commemoratus sit, quem Eust. apud Strabonem (fort. in libro septimo) se legisse contendit, cf. 772, 46: τὸ δὲ „ὦρσε" καὶ ἑξῆς εὕρηται παρὰ

**62** le. A suppl. Vill. **62** et **65** pro ἐλάθετο fort. λάθετο scribendum (cf. sch. *c*) **63** διπλῆ sc. περιεστιγμένη **64** διλογ. Lehrs, δεῖ λογίζεσθαι A **67** le. addidi (auctore Vill., οὐκ ἐνόησεν add. V^c, λάθετο Ma.) ῥῆμα **b** **67** sq. μετῆλθε **b** **69** λάθετο Ma., λάθετο δὲ (coni. cum scholio praecedenti) BCE³, om. E⁴ T ἑκὼν] ἀντὶ τοῦ ἑκὼν **b** **70** οὐκ ἔλ. εἰς ν.] ἀντὶ τοῦ εἰς νοῦν οὐκ ἔλαβεν E⁴ **71** ἢ[1] om. **b** **72** τιμῶν T, τιμῷ **b** (fort. rectius) **73** τιμῶν om. **b** (nescio an recte) **75** ἐπελάθετο A ἐπενόησεν D **77** νικάνωρ mihi quidem susp., an νικίας? **80** le. A suppl. Nickau

*a*.[2] ἐπῶρσεν χλούνην. T[il]

*b*. χλούνην: οἱ μὲν τὸν ἐντομίαν· κνώμενοι γὰρ πρὸς τὰ φυτὰ παρατρίβονται καὶ ἀγριώτεροι γίνονται. οἱ δὲ τὸν ἐν χλόῃ διάγοντα· τὸν γὰρ οἰκοτραφῆ σίαλόν φησιν (cf. I 208. Φ 363 al.). οἱ δὲ τὸν εἰς γῆν καταβάλλοντα τὰ φυτά. A b(BCE³E⁴) T | ἄλλοι δὲ τὸν ἐπὶ Χλούνῃ, χωρίῳ οὕτω καλουμένῳ, ἐνδιατρίβοντα. A *ex.* | *D*

540 *a*.[1] ἔρδεσκεν ἔθων: Ἀμμώνιος ἐν τῷ Περὶ τῶν ὑπὸ Πλάτωνος μετενηνεγμένων ἐξ Ὁμήρου διὰ τοῦ ξ προφέρεται, „ἔρεξεν". | ἔθων δὲ εἰθισμένος τοῖς τόποις διατρίβειν. οἰκεία δὲ τιμωρία τῷ περὶ καρποὺς ἡμαρτηκότι. A *Did.* | *ex.*

τῷ γεωγράφῳ „θρέψεν ἐπὶ χλούνην σῦν" (539), παρ' ᾧ καὶ στίχος εὕρηται οὗτος ἐπηγμένος „οὐδὲ ἐῴκει / θηρί γε σιτοφάγῳ ἀλλὰ ῥίῳ ὑλήεντι" (I 539—539a). καὶ σημείωσαι καὶ τοῦτο εἰς τὸ περὶ στίχων λειπόντων ἐκ τοῦ Ὁμήρου. Strabo autem hos versus apud Aristotelem (h. an. 6, 28 p. 578 b 1) invenisse putandus est, cf. Eust. 772, 55. Vide praeterea M. Van der Valk in editione Eustathii I (Lugd. Batavorum 1971), praef. § 82 *a* nimia diligentia commotus sch. Herodano attribuere veritus est Lehrs, cf. Hrd. I, praef. LXXX not.; at vide ad E 138 *c* (Hrd.) χλούνην τὴν χλόην (81) cf. Eust. 772, 2 (χλόη . . ., ἀφ' ἧς εἴρηται ὁ χλούνης); vide sch. Ar. Lys. 835 *b* cf. sch. *B: ⟨χλούνην·⟩ (suppl. Vill.) οἱ μὲν ἀφριστήν (cf. Eust. 772, 50)· χλούδειν γὰρ τὸ ἀφρίζειν τινὲς Δωριέων ἔλεγον. ἄλλοι δὲ κακοῦργον· καὶ γὰρ τῶν ἀρχαίων ἰαμβοποιῶν τινα φάναι (sc. Hippon. fr. 64 D.³ = 29 M. = 3 F. = 180 De S. M.)· „ἀνὴρ ὅδ' ἑσπέρης καθεύδοντα / †ἄπουν ἔδησε† χλούνην". Ξενοφῶντα (Ξενοφάνην Herm.; at vide Wilamowitz, Aisch.-Interpr., Berol. 1914, 218) δὲ γένος τι Ἰνδῶν (Σινδῶν Bgk.) φάναι τὸν χλούνην εἶναι, καθάπερ καὶ παρ' Αἰσχύλῳ ἐν Ἠδωνοῖς (fr. 62 N.² = 74 M.)· „μακροσκελὴς μὲν †ἄρα μὴ χλούνης τις ᾖ†". τινὲς δὲ τῶν τὰ Αἰολικὰ ἀναγεγραφότων Χλούνην τόπον τινὰ καλεῖσθαί (κα, tum 1 cm vac., tum λεῖσθαι *B) φασι περὶ Καλυδῶνα, ἐν ᾧ τὸν κάπρον διατρίβειν, καὶ διὰ τοῦτο χλούνην προσαγορευθῆναι (cf. D). τινὲς δὲ ἐπὶ τὸ αὐτὸ (ante αὐτὸ spat. 1 cm) παρατείνοντα τὸν (ante τὸν spat. ca. 1 cm) ποιητὴν „σῦν ἄγριον" εἰρηκέναι, originis incertae, fort. fr. Porphyrii οἱ μὲν (84) — γίνονται (85) cf. Aristot. h. an. 6, 28 p. 578 b 4 (cf. Eust. 772, 56; vix recte Duentzer, Zen. 45); — ἐντομίαν (84) cf. D, Eust. 772, 51; sch. Aesch. Eum. 188; Aelian. fr. 10 (p. 191, 25 H.); aliter Ar. Byz. p. 118 οἱ δὲ τὸν ἐν χλόῃ διάγοντα (85) cf. D (unde Ap. S. 168, 9; sch. Opp. hal. 1, 12 Vári; sch. D. Thr. [Σ¹] ex Heliodoro 469, 13), Choer. Th. 1, 408, 30; Meineke 232 τὸν εἰς γῆν (87) — φυτά cf. Ar. Byz. p. 118. 120 **540** *a* Ἀμμώνιος (89) — Ὁμήρου (90) cf. Ps.-Longin. De subl. 13, 3; Schmid, Gesch. der griech. Lit. I 1 (Monaci 1929), 130, 4; Buehler, Beiträge 96 ἔρεξεν (90) cf. Valk II 169 ἔθων δὲ (91) sq. aliter Heracl. Mil. ap. Eust. 773, 30: Ἡρακλείδης (fr. 25 C.) δέ φησιν ὡς τῶν τινες κριτικῶν (ὅ ἐστιν ἀκριβεστέρων γραμματικῶν), ὧν ἐστι καὶ Τισίας, ὑπερβατὸν ἔλεγον

---

**84** le. BE³E⁴T χλοῦνιν C, om. A **84—8** οἱ μὲν τὸν sq. coni. cum scholio $a^1$ (v. χλούνην) in A **85** φῦτὰ A ἀγριότεροι A **89** le. scripsi, ὅς κακὰ πολλά: A **90** ξ Vill., ζ (ut vid.) A (quod probaverunt Bk. et Ddf.) ἔρεζεν Bk., fort. ἔρρεξεν **91** ἐνδιατρίβειν Nickau **92** ἡμαρτικότι A em. Vill.

*a.*[2] {ἔρδεσκεν:} Ἀμμώνιος „ἔρεξεν“. | ἔθων δὲ T εἰθισμένος τοῖς τόποις· „ἐριδμαίνωσιν ἔθοντες“ (Π 260). οἰκεία δὲ τιμωρία τῷ περὶ καρποὺς ἡμαρτηκότι. b(BC$E^3$) T

*Ariston.* *b.* ⟨ἔθων:⟩ ὅτι οἱ Γλωσσογράφοι τὸ ἔθων ἀποδιδόασι βλάπτων. ἔστι δὲ ἐξ ἔθους ἐπιφοιτῶν. $A^{int}$

*Hrd.* *c.* ⟨ἔθων:⟩ ψιλῶς τὸ ἔθων, καθότι ἐδιδασκόμεθα καὶ ἐκ τῆς συναλιφῆς, „ἥ ἑ μάλιστ᾽ εἴωθε“ (Ε 766). καὶ ἄλλως τὸ $\overline{ε}$ πρὸ τοῦ $\overline{θ}$ οὐ δασύνεται, εἰ μὴ εἴη ἀντωνυμικὸν ἐξ ἀποβολῆς τοῦ $\overline{σ}$, „σέθεν“ (Α 180 al.), „ἔθεν“ (Α 114 al.)· τὴν γὰρ ὑπό τινων φερομένην „ἔδων“ παραιτητέον. A

*Ariston.* 541 *a.* ⟨προθέλυμνα:⟩ ὅτι ἄλλα ἐπ᾽ ἄλλοις. ἔνιοι δὲ πρόρριζα. $A^{im}$

*ex.* *b.* προθέλυμνα: τὰ ἄλλα ἐπ᾽ ἄλλοις προτιθέμενα, ὅ ἐστι συνεχῆ· φησὶ γοῦν καὶ „σάκος σάκεϊ προθελύμνῳ“ (Ν 130) καὶ „τετραθέλυμνον“ (Ο 479). b(BC$E^3E^4$) T

εἶναι τὸ „ἔθων“, ἵνα ᾖ ἀντὶ τοῦ καταθέων, κατατρέχων, ῥητορικῶς εἰπεῖν, ὑπερβατὸν λέγοντες ἐκεῖνοι τὴν τῶν στοιχείων μετάθεσιν, δι᾽ ἧς τὸ θέων „ἔθων“ γίνεται, ὃ καὶ σημείωσαι. αὐτὸς δὲ ἐκ τοῦ ἔδω φησὶ γενέσθαι κατὰ Δωριεῖς τὸ ἔθω, οἳ καὶ τὸν μαδὸν . . . μα⟨σ⟩θὸν (suppl. Cohn, cf. Eust. 452, 21) λέγουσι καὶ τὸ ψεῦδος ψύθος κτλ., brevius Eust. 1562, 2; cf. sch. *c* εἰθισμένος τοῖς τόποις διατρίβειν (91) cf. sch. *b* $a^2$ ἔθων (93) — ἔθοντες (94) cf. Ap. S. 63, 17 *b* ad Π 261 *a* (Ariston.) τὸ ἔθων (96) sq. cf. He. ε 632 οἱ Γλωσσογράφοι cf. Lehrs Ar.[3] 37 βλάπτων (1) = D, Eust. 773, 27; cf. Call. fr. 55, 2 ἐξ ἔθους ἐπιφοιτῶν (1) cf. sch. *a*, D; Ap. S. 63, 16; Bechtel, Lex. 108; Leumann, H. W. 213, 5; vide He. ε 636. 708 *c* καὶ ἄλλως τὸ $\overline{ε}$ (3) sq. cf. Lex. spir. 215 σέθεν ἔθεν (4) cf. Ep. Hom. (An. Ox. 1, 142, 20; Et. Gud. 404, 2 Stef.) τὴν γὰρ ὑπό τινων (5) sq. cf. sch. *a* (test.) 541 *a*/*b* fort. plura legit sch. Ar. pac. 1210: προθέλυμνον· φαίνεται δὲ καὶ οὗτος καὶ ἄλλοι τὸ „προθέλυμνον“ ἀντὶ τοῦ πρόρριζον ἀκούειν. καὶ παρ᾽ Ὁμήρῳ „πολλὰ δ᾽ ὅ γε προθέλυμνα“ (καὶ παρ᾽ — προθ. om. cod. Ven.). Ἀρίσταρχος δὲ τὸ συνεχὲς καὶ ἄλλο ἐπ᾽ ἄλλῳ δηλοῦσθαί φησι· „φράξαντες δόρυ δουρί, σάκος σάκεϊ προθελύμνῳ“ (Ν 130) καὶ „σάκος θέτο τετραθέλυμνον“ (Ο 479), τουτέστι τέσσαρας ἐπ᾽ ἀλλήλων ἔχον πτύχας *a* — ἄλλοις (7) ad Ν 130, cf. D, D ad Κ 15. Ν 130. Ο 479, Ap. S. 134, 20 πρόρριζα (7) = D, D ad Κ 15, Eust. 773, 46; cf. Bechtel, Lex. 283; Diller, Philol. 97, 1948, 362; Taillardat, Les images d᾽ Aristophane (Lut. Par. 1962) 478; aliter Wackernagel, S. U. 237; Lorimer 183, 3 *b* cf.

93 le. T delevi, om. b ἔρεξεν cf. sch. $a^1$ 94 ἐριδμ. ἔθ. Ma., ἐριδμένωσιν ἔθ. T, om. b 94 sq. ἡ τιμωρία propos. Ma. 96 le. addidi (auctore Frdl.) ὅτι A, fort. ἡ διπλῆ, ὅτι 2 le. add. Lehrs 2—6 ψιλῶς sq. pone sch. $a^1$ (coni. cum voce ἡμαρτικότι) in A, dist. Bk. 5 ἔδων Lehrs, ἔδον A 7 le. add. Bk. ὅτι A, ἡ διπλῆ, ὅτι Vill. 10 σάκκος T 10 sq. καὶ τετραθ. om. $E^4$

542 *a*. ⟨αὐτῇσιν ῥίζῃσι καὶ αὐτοῖς⟩ ἄνθεσι μήλων: ὅτι μῆλα πάντα τὰ ἀκρόδρυα ἔλεγον οἱ παλαιοί, οὐχ ὡς ἡμεῖς ⟨ε⟩ἰδικῶς· καὶ ὅτι εἴωθεν ἡ σύν πρόθεσις ἐλλείπειν. A *Ariston.*

*b*. καὶ αὐτοῖς ἄνθεσι μήλων: ἐξ ἑνὸς τὸ πᾶν· „καὶ μηλέαι“ γὰρ „ἀγλαόκαρποι“ (η 115). μηλοφόρον δὲ τιμῶσι τὴν Δημήτραν. b(BCE$^3$E$^4$) T *ex.*

543. τὸν δ' υἱὸς Οἰνῆος ἀπέκτεινε⟨ν⟩ Μελέαγρος: ἴσως ὅτι πρῶτος ἔβαλεν· ἅμα δὲ καὶ ἡ Ἀταλάντη. Μελέαγρος δὲ παρὰ τὸ μέλειν τῆς ἄγρας· κυνηγοὶ γὰρ οἱ Αἰτωλοί. b(BCE$^3$E$^4$) T *ex.*

546 *a*. πολλοὺς δὲ πυρῆς ἐπέβησ' ἀλεγεινῆς: ὅτι ἐκ τοῦ παρακολουθοῦντος σημαίνει ἀνεῖλεν. καὶ ὅτι διὰ πυρὸς ἔθαπτον. A *Ariston.*

*b*. πυρῆς ἐπέβησ': ἀντὶ τοῦ ἀποκτείνας καυθῆναι ἐποίησεν. A *ex.(?)*

*c*. πολλοὺς δὲ πυρῆς ἐπέβησ' ⟨ἀλεγεινῆς⟩: οὐ ζῶν μόνον, ἀλλὰ καὶ τελευτήσας διὰ τὴν ἐπ' αὐτῷ μάχην. ἀλεγεινῆς δὲ πυρῆς, ἐπεὶ ἀλγοῦμεν ἐπὶ τοῖς τεθνεῶσιν. b(BCE$^3$E$^4$) T *ex.*

547—8. ἡ δ' ἀμφ' αὐτῷ καὶ ἐξῆς ἀμφὶ συὸς κεφαλῇ: δείκνυσιν ὅτι οἱ θεοβλαβεῖς περὶ τῶν οὐδενὸς ἀξίων διαφέρονται πρὸς μάχην. b(BCE$^3$E$^4$) T *ex.*

Eust. 773, 47 **542** ambigitur, num sch. fuerit de iunctura ἄνθεσι μήλων, cf. Et. Gen. (AB) μῆλα· ... ὁ δὲ καρπὸς κατ' ἐξοχήν· πᾶς γὰρ οὕτως ἐλέγετο, οἷον „καὶ αὐτοῖς ἄνθεσι μήλων“. ἀντεστραμμένως (scripsi, ἀντιστραμαίνως AB) δ' εἴρηται· ἔδει γὰρ εἰπεῖν 'ἀνθέων μήλοις' (scripsi, μήλων AB), vide Beiträge 158 *a* — εἰδικῶς (13) cf. Ap. S. 34, 19; Diog. ap. He. α 5125; Lehrs Ar.$^3$ 101 πάντα τὰ ἀκρόδρυα (13) cf. sch. Theocr. 3, 13, b; vide ad Ξ 124 καὶ ὅτι εἴωθεν (14) sq. ad Θ 24 (Ariston.), cf. Eust. 773, 47; sch. ι 68; vide ad Γ 2 *a* *b* Ge (e T ut vid.): ἐξ ἑνὸς καρποῦ ἐδήλωσεν, cf. Eust. 773, 49; sch. Pind. Ol. 1, 19 d; Ap. S. 112, 19 (unde EM. 584, 9); Or. 102, 32 **543** Μελέαγρος (19) sq. cf. Eust. 773, 56 **546** *a* — ἀνεῖλεν (22) ad B 417 (Ariston.) ἀνεῖλεν (22) = D καὶ ὅτι διὰ πυρὸς ἔθαπτον (22) ad H 79 *b* (Ariston.); cf. D ad A 52. Δ 99; Ep. Hom. (An. Par. 3, 321, 29 [Et. Gud. 487, 60], An. Ox. 1, 352, 11) *b* cf. D, Eust. 773, 60 *c* ἀλεγεινῆς δὲ (26) sq. cf. D ad K 402, Meth. (An. Ox. 1, 78, 3, Et. Gen. = EM. 58,

**12** le. A suppl. Vill. ὅτι A, fort. ἡ διπλῆ, ὅτι **13** ἰδικῶς A suppl. Vill. **15** sq. καὶ$^2$ — ἀγλαόκ. om. E$^4$ **16** sq. μηλ. δὲ καὶ τὴν δήμητραν τιμῶσιν b δημ. scripsi, δήμητραν bT **18** (le.) ἀπέκτεινε TV suppl. Ma. (le. om. b) **20** μέλειν (μέλλειν T em. Ma.) τῆς ἄγρ. T ἐν μελέτῃ τῆς ἄγρας εἶναι b **21** le. scripsi (duce Vill.), τόσσος ἔην: A ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **23** (le.) ἐπίβησ' A em. Bk. ἀποκτήνας A em. Bk. **25** le. πολλοὺς δὲ πυρῆς ἐπέβησε T, emendavi et supplevi, om. b **26** sq. δὲ πυρῆς ἐπεὶ T δὲ ὅτι b **27** τεθν. T ἀποθνήσκουσιν b **28** verba ἡ δ' — κεφαλῇ (T, om. b) lemmatis loco scripsi (sch. ad I 548 revocavit b) δείκνυσιν b δείκνυσι δὲ T **29** μάχην T ἀλλήλους b (cf. Valk I 519)

*ex.* 548. ἀμφὶ συὸς κεφαλῇ ⟨καὶ δέρματι λαχνήεντι⟩: ἐσιώπησε τὴν Ἀταλάντην αἰδούμενος τὸν Ἀχιλλέα. b(BCE$^3$E$^4$) T

*D* ἀμφὶ συὸς κεφαλῇ καὶ δέρματι: ὡς καὶ τῆς κεφαλῆς ——— ᾧ συνδιεφθάρη καὶ ὁ Μελέαγρος. A

*Did.* 551 *a.*[1] οὐδ' ἐδύναντο: ἐν τῇ Ἀριστοφάνους „οὐδ' ἐθέλεσκον" καὶ ἔστιν Ὁμηρικόν· „οὐδ' ἔθελε προρέειν" (Φ 366). A

*a.*[2] Ἀριστοφάνης δὲ „οὐδ' ἐθέλεσκον", Ὁμηρικόν. T

*ex.* *b.* οὐδὲ δύναντο: ὡς καὶ οὐδέποτε Τρῶες. T

*ex.* 553—4. ὅς τε καὶ ἄλλων / οἰδάνει: οἰδαίνεσθαι ποιεῖ, ὡς „μελάνει" (Η 64). A b(BCE$^3$E$^4$) T καὶ ὅτι μὲν ἀνθρώπινον τὸ πάθος οἶδεν, ἀλλὰ περιγίνεσθαι παραινεῖ· καὶ ἡμᾶς μὲν αὐτῆς ἐκτρέπει, Ἀχιλλεῖ δὲ συγγινώσκει. A b(BCE$^3$) T

*Ariston.* 554. ⟨οἰδάνει:⟩ ὅτι ἀντὶ τοῦ οἰδάνειν ποιεῖ, ὅμοιον τῷ „πάντας μέν ῥ' ἔλπει" (β 91) ἀντὶ τοῦ ἐλπίζειν ποιεῖ. A$^{im}$

*ex.* 555. ἤτοι ὁ μητρὶ φίλῃ: καθόλου· οὐ γὰρ ἦν αὐτῷ τότε φίλη ἡ μήτηρ. b(BCE$^3$E$^4$) T

*ex.* 556. ⟨κεῖτο:⟩ ὡς τὸ „κεῖτ' ἀπομηνίσας" (Β 772. Η 230). T$^{il}$

*D* καλῇ Κλεοπάτρῃ: Κλεοπάτρα Ἴδα ——— γυνὴ δὲ Μελεάγρου. A

*ex.* 557—8. κούρῃ Μαρπήσ⟨σ⟩ης ⟨καλλισφύρου Εὐηνίνης / Ἴδεώ θ'⟩: Ἴδας ὁ Ἀφαρέως μὲν παῖς κατ' ἐπίκλησιν, γόνος δὲ Ποσειδῶνος, Λακεδαιμόνιος δὲ τὸ γένος, ἐπιθυμήσας γάμου παραγίνεται εἰς

50) **551** sch. vetus de iunctura κακῶς ἦν nullum fuisse videatur; nam quae leguntur in Li (κακῶς ἦν· ἐλλειπτικόν. ἴσως ἀντὶ τοῦ κακῶς ἦν ἔχοντα τὰ πράγματα τοῖς Κουρήτεσσιν) ex Eustathio (774, 43) profluxerunt, qui illam constructionem diserte defendit *a* ad Ο 164 (Did. ?), vide ad Φ 366 (Ariston.); cf. Lehrs Ar.$^3$ 147; Merkel CXI **553—4** — μελάνει (40) ad Ξ 73 *b* (ex.), vide ad I 554 **554** brevius Ap. S. 119, 24; ad Ε 37 *b* (Ariston.), cf. sch. β 91. ν 380. Vide ad I 553—4. Ο 15 *c* **555** Et. Gen. (AB) Ἀλθαία· μήτηρ Μελεάγρου (= D), | γυνὴ δὲ Οἰνέως, originis incertae, fort. sch. rec. καθόλου (45) sq. cf. M. Landfester, Das griech. Nomen „philos" und seine Ableitungen, Hildeshemii 1966, 5 **556** cf.

**31** le. T supplevi (cl. D), om. b **31—2** ἐσιώπησε δὲ τὴν coni. cum scholio praecedenti (v. ἀλλήλους) in b **32** αἰδ. τ. ἀχ. abs. in E$^4$ **37** ἀριστοφάνης δὲ sq. post sch. *b* (coni. cum v. τρῶες) in T, distinxi et transposui **39** le. T, οἰδάνει ἐν στήθεσσι: A, om. b (qui sch. ad I 554 rettulit) ὡς AT ὡς τὸ b **41—2** παραινεῖ — συγγινώσκει om. C **41** αὐτῆς (sc. τῆς μήνιδος)] αὐτοῦ ci. Ma. **42** τῷ δὲ ἀχ. συγγ. b **43** le. add. Bk. ὅτι A, ἡ διπλῆ, ὅτι οἰδάνει Vill. **45** (le.) ἤτοι ὁ μητρὶ fort. delendum (le. om. b) καθόλου τὸ φίλη b **47** le. addidi, κεῖτο παρὰ μνηστῇ· add. V$^c$ κεῖτ' Hom., κεῖτο T **50** sq. le. κούρῃ μαρπήσης T supplevi, om. b (scholio ad I 557 relato) **52** παραγίν.] εὐθὺς παραγίνεται C

'Ορτυγίαν τὴν ἐν τῇ Χαλκίδι καὶ ἐντεῦθεν ἁρπάζει τὴν Εὐηνοῦ θυγατέρα Μάρπησσαν. ἔχων δὲ ἵππους Ποσειδῶνος ἠπείγετο. ὁ δὲ Εὔηνος εἰς ἐπιζήτησιν ἐξῆλθε τῆς θυγατρός, ἐλθὼν δὲ κατὰ τὸν Λυκόρμαν ποταμὸν τῆς Αἰτωλίας, μὴ καταλαβών, ἑαυτὸν εἰς τὸν ποταμὸν καθῆκεν· ὅθεν ὁ Λυκόρμας Εὔηνος μετωνομάσθη. κατὰ δὲ τὴν 'Αρήνην ἀπαντήσας 'Απόλλων τῷ Ἴδᾳ λαμβάνεται τῆς Μαρπήσσης. ὁ δὲ ἔτεινε τὸ τόξον καὶ διεφέρετο περὶ τοῦ γάμου· οἷς κριτὴς ὁ Ζεὺς γενόμενος αἵρεσιν τοῦ γάμου ἐπὶ τῇ Μαρπήσσῃ τίθεται. ἡ δὲ δείσασα, μὴ ἐπὶ γήρᾳ καταλίπῃ αὐτὴν ὁ 'Απόλλων, αἱρεῖται τὸν Ἴδαν. οὕτως δὴ Σιμωνίδης (fr. 58 = P.M.G. fr. 563) τὴν ἱστορίαν περιείργασται. b(BCE³) T

557 *a.*¹ καλλισφύρου: σημεῖόν ἐστι συμμετρίας σώματος· ὡς ἐπίπαν γὰρ παχεῖαι τὰ κάτω αἱ γυναῖκες. T *ex.*

*b.*¹ ⟨καλλισφύρου:⟩ κάτωθεν γὰρ ὁρᾶται τὸ θῆλυ εἶδος. Tᶦˡ *ex.*

*a*²/*b.*² σημεῖόν ἐστι συμμετρίας σώματος· αἱ γὰρ παχεῖαι τοῖς ἐρῶσιν οὐκ ἀγαθαί. | τὸ δὲ θῆλυ εἶδος ἐκ τῶν σφυρῶν καὶ τῆς ζώνης καὶ τῆς ὄψεως ὁρᾶται. b(BCE³E⁴) *ex.* | *ex.*

558—9 *a.*¹ ὃς κάρτιστος ⟨ἐπιχθονίων⟩ γένετ' ἀνδρῶν / τῶν τότε: ἐπαινετέον τὸ ἀκριβὲς περὶ τὴν ἑκάστου ἠθοποιΐαν· ὁ μὲν Φοῖνιξ κάρτιστον εἰπὼν τὸν Ἴδαν, ἵνα μὴ δόξῃ καὶ τοῦ 'Αχιλλέως αὐτὸν προτετιμηκέναι, ἐπήνεγκε τῶν τότε (559). τῷ δὲ Νέστορι ἀθωπεύτως εἴρηται· „οὐ γάρ πω τοίους ἴδον" (A 262). b(BCE³E⁴) T *ex.*

Eust. 774, 51 **557—8** cf. D, [Apoll.] bibl. 1, 60; — μετωνομάσθη (57) cf. Bacchyl. fr. 20 A; Snell, Ges. Schriften (Gottingae 1966) 106 Λυκόρμας (57) — μετωνομάσθη cf. sch. Lyc. 1012, Steph. B. 421, 17 ἔτεινε τὸ τόξον (58) cf. Liban. apol. Socr. 178 ἡ δὲ δείσασα (60) — Ἴδαν (61) cf. h(M¹ P¹¹ V¹⁵): ἐπεὶ (ἐπειδὴ V¹⁵) τὰ μὲν θεῖα πρὸς ὀλίγον ἔχει τοὺς ἔρωτας, τὰ δὲ θνητὰ ὁμοιοπαθῶς ἔχοντα παραμένει, originis incertae οὕτως δὴ Σιμωνίδης (61) at cf. C. Robert, Oedipus II (Berol. 1915) 51 n. 42; Preller-Robert, Griech. Heldensage I (Berol. 1920) 312, 2 **557** *a*¹/*b*¹ Ge (e T ut vid.): ὡς ἐπίπαν γὰρ κάτωθεν ἀπὸ τῶν σφυρῶν ὁρᾶται τὸ θῆλυ γένος· σημεῖον γάρ ἐστι ταῦτα συμμετρίας σώματος· παχεῖαι γὰρ ὡς ἐπὶ τὸ πλεῖστον ⟨τά κάτω⟩ (add. Nicole) αἱ γυναῖκες *a* σημεῖον (63 et 67) — σώματος cf. D ad I 560 *a*¹ ὡς ἐπίπαν (63) sq. cf. sch. λ 603 **558—9**

**53** τῇ om. **b** (fort. rectius) **54** μάρπησαν T **55** λυκορμᾶν **b** **56** μὴ καταλ. om. **b** εἰς τὸν ποτ. T ἐκεῖ **b** **57** λυκορμᾶς **b** ὠνομάσθη **b** **58** ὁ ἀπόλλων **b** μαρπήσης T **59** οἷς **b** ἕως T **60** μαρπήσῃ T **60 sq.** αὐτὴν post μὴ **b** **61** οὕτως δὴ σιμ. **b** ὡς διάσιμον (διάσημον V) οὖν T (et V) **65** le. add. Vᶜ **70 sq.** le. T supplevi, om. **b** **71** ἐπαινετὸν **b** **72** μὲν T, μὲν οὖν **b** (fort. rectius) **74** εἶδον **b**

*a.*$^2$ ἵνα μὴ καταισχύνῃ Ἀχιλλέα μεγαλοφρονοῦντα ἐπὶ κράτει, εἶπε τῶν τότε. T$^{il}$

*ex.* 560. ⟨νύμφης:⟩ τῆς Μαρπήσ⟨σ⟩ης. T$^{il}$

*ex.* 561 *a.*$^1$ ⟨τὴν δέ:⟩ τὴν Κλεοπάτραν. T$^{il}$

*ex.* *b.*$^1$ ⟨πατὴρ καὶ πότνια μήτηρ:⟩ ὁ Ἴδας καὶ ἡ Μάρπησ⟨σ⟩α. T$^{il}$

*a*$^2$/*b.*$^2$ τὴν Κλεοπάτραν ὁ Ἴδας καὶ ἡ Μάρπησσα. b(BCE$^3$E$^4$)

*ex.* | *D* 561—2 *a.*$^1$ τὴν δὲ τότ' ἐν μεγάροισι ⟨———/⟩ Ἀλκυόνην καλέεσκον: ἀντὶ τοῦ ἀλκυόνα, παρὰ τὸ ἐν ἁλὶ κύειν. T | ἀπὸ τῶν αὐτοῖς συμβεβηκότων τὴν Κλεοπάτραν οὕτως ἐκάλουν, ὡς Μεγαπένθη (cf. δ 11) καὶ Ὀδυσσέα (cf. τ 407—9). ἔκλαιεν οὖν ἡ Μάρπησσα καλοῦσα τὸν ἄνδρα Ἴδαν, ὅτε αὐτήν, τὴν Μάρπησσαν, ἥρπασεν ὁ Ἀπόλλων. b(BCE$^3$) T

*ex.* *a.*$^2$ ἀντὶ τοῦ ἀλκυόνα. b(BCE$^3$E$^4$) γίνεται δὲ παρὰ τὸ ἐν ἁλὶ κύειν. b(BCE$^3$)

*Ariston.* 562. ⟨Ἀλκυόνην καλέεσκον ἐπώνυμον:⟩ ὅτι οὐ τὴν Μάρπησσαν, ἀλλὰ τὴν Κλεοπάτραν. A$^{im}$

*D* Ἀλκυόνην καλέεσκον: Κῆυξ ὁ Φωσφόρου ——— αὐτὴν ἀνήρπασεν Ἀπόλλων· ἢ ἡ μήτηρ Ἀλθαία. A

*D* ἐπώνυμον: ἀντὶ τοῦ φερώνυμον ——— ὅτε ἀφῃρεῖτο αὐτὴν ὁ Ἀπόλλων. A

τῶν τότε (73) cf. E. Fraenkel ad Aesch. Ag. 532 (II p. 268) **560** Ge (e T) **561—2** παρὰ τὸ ἐν ἁλὶ κύειν (83 et 88) cf. Eust. 776, 23; Or. 13, 5 (= Or. Werf. 612, 2), in sede scholiorum (unde Et. Gen. [AB] ἀλκυών); sch. Theocr. 7, 57 b; Et. Gud. 91, 24 Stef.; Ba. 69, 4 *a*$^1$ ἀπὸ τῶν αὐτοῖς συμβεβηκότων (83) cf. D ad I 562: οἱ οὖν γονεῖς ἀπὸ τῶν αὐτοῖς συμβεβηκότων ἐκάλουν αὐτὴν τὴν Κλεοπάτραν (τὴν κλ. οὕτως ἐκάλουν A) ὡς Μεγαπένθη καὶ Εὐρυσάκη ⟨καὶ⟩ (add. Vill.) Ὀδυσσέα (ὁδ. A, om. D, vulg.) καὶ Νεοπτόλεμον· „οὔπω" γὰρ „εἰδόθ' ὁμοιίου πτολέμοιο" (I 440; οὔπω — πτολ. A, om. D, vulg.). ἔκλαιεν οὖν τὸν ἄνδρα Ἴδαν, ὅτε αὐτὴν ἥρπασεν Ἀπόλλων (ἢ ἡ μήτηρ Ἀλθαία add. A, vide l. 93) Ὀδυσσέα (85) cf. Eust. 776, 46 ἔκλαιεν οὖν (85) sq. cf. D; sch. Ar. av. 250; sch. Theocr. 7, 57 b.; Paus. att. α 68 (c. test.); vide et Serv. Verg. G. 1, 399, Isidor. orig. 12, 7, 25

---

**75** sq. sch. super versum 559 scriptum in T **77** le. add. Ma. μαρπήσης T (et V) suppl. Ge **78** le. add. Ma., τὴν δὲ τότ· add. V$^c$ **79** le add. V$^c$ **79** sq. μάρπησα T suppl. Ma. **81** τὴν b, τὴν δὲ τότ': τὴν Li **82** sq. le. T suppl. Ma., om. b **83—87** ἀπὸ τῶν αὐτοῖς sq. pone sch. I 561 *a*$^2$/*b*$^2$ (coni. cum v. μάρπησσα) in b **84** sq. μεγαπένθης et ὀδυσσεύς b **85** ἔκλαιε δὲ b μάρπησα T **86** τὴν μάρπ. in mg. relegavit Ma. **88—9** sch. *a*$^2$ ad v. 562 relatum in b, nescio an recte **90** le. add. Vill. ὅτι A, ἡ διπλῆ, ὅτι Vill.

563. ⟨μήτηρ:⟩ ἡ Μάρπησ⟨σ⟩α. T$^{il}$ *ex.(?)*

564 *a*. κλαῖ' ὅτε μιν: οὕτω Ζηνόδοτος χρονικῶς· A$^{im}$T *Did.* Ἀρίσταρχος δὲ „κλαῖεν ὅ μιν", ὅτι αὐτήν. A$^{int}$T

*b*. ⟨μιν:⟩ αὐτὴν τὴν Μάρπησ⟨σ⟩αν, ὅτε ἥρπασεν ὁ Ἀπόλλων. T$^{il}$ *ex.*

*c*. ⟨ἀφήρπασε:⟩ γράφεται „ἀνήρπασε". A$^{im}$ *Did.(?)*

567 *a*. κασιγνήτοιο {φόνοιο}: ὡς „Ἀδμήτοιο" (Β 713. Ψ 532). *Hrd.* | *D* τινὲς δὲ προπερισπῶσιν ὡς „λευκοῖο" (ι 246), ἵνα γένηται κασιγνητικοῦ· ἡ γὰρ Ἀλθαία, φασίν, οὐχ ἕνα εἶχεν ἀδελφόν. δύναται μέντοι καὶ τὸ βαρυνόμενον ἑνικὸν ἰσοδυναμεῖν τῷ κασιγνητικοῦ. | ἀδελφοὶ δὲ Ἀλθαίας Ἴφικλος, Πολυφάντης, Φάνης, Εὐρύπυλος, Πλήξιππος. A

*b*. κασιγνήτοιο φόνοιο: κασιγνήτοιο ὡς „γυναῖκά τε *ex.* θήσατο μαζόν" (Ω 58), εἰ μήποτε καθ' Ὅμηρον εἷς ἐστιν. δύο δὲ ἦσαν, Κλυτίος καὶ Προκάων. T

*c*.[1] ⟨κασιγνήτοιο:⟩ οὕτως Ἀρίσταρχος, τοῦ ἀδελφικοῦ. *Did.* A$^{int}$

*d*.[1] ⟨κασιγνήτοιο φόνοιο:⟩ ὅτι ἐλλείπει ἡ περί. δύναται *Ariston.* δὲ καὶ ἑνὸς καὶ πλειόνων ἀδελφῶν. A$^{im}$

*c*[2]/*d*.[2] τοῦ ἀδελφικοῦ. b(BCE$^{3}$E$^{4}$) T | λείπει δὲ ἡ περί. *Did.* | *Ariston.* b(BCE$^{3}$) T

568. πολλὰ δὲ καὶ γαῖαν ⟨πολυφόρβην χερσὶν ἀλοία⟩: *Ariston.* ὅτι οἱ τοὺς χθονίους θεοὺς ἐπικαλούμενοι ταῖς χερσὶ τὴν γῆν ἐπέκρουον. A

χερσὶν ἀλοία: ταῖς χερσὶν ἔπληττεν· ὅθεν ——— ὡς ἐνθάδε φησίν. A *D*

564 *a* cf. Valk II 121 ὅ μιν (2) vide ad Α 120 *c*. Ν 166 *c* *b* Ge (e T ut vid.): ⟨μιν·⟩ (le. add. Nicole) τὴν Μάρπησσαν αὐτὴν τὴν sq. cf. D ad I 562 567 *a* κασιγνητικοῦ (7) = D *b* — εἷς ἐστιν (12) ad Ω 58 (Ariston.), cf. Lesbon. 48, 18 δύο δὲ ἦσαν (12) sq. cf. Stesich. fr. 45 (= P. M. G. fr. 222), col. I 5; Bacchyl. c. 25, 29; aliter D (vide sch. *a*), sch. Ap. Rh. 1, 199/201 b *c*[1] ad I 632 τοῦ ἀδελφικοῦ (14) cf. Eust. 774, 65 *d*[1] — περί (16) (cf. *d*[2]) ad Α 65 *b* (Ariston.) 568 cf. D, sch. λ 423 (p. 513, 26 Ddf.); Paus. 8, 15, 3; Cic. Tusc. 2, 25, 60; Serv.

---

96 le. addidi et μάρπησα (cf. Ge, test. ad I 564 *b*) supplevi 1 le. T, om. A οὕτω — χρονικῶς supra versum 564 (qui primus columnae est) scriptum in A χρον. om. T 2 δὲ om. A κλαῖε A ὅτι αὐτήν om. T 3 le. addidi μάρπησαν T supplevi 5 le. (= A$^{cont}$) add. Bk. γράφ. cp. (γρ) A ἀνήρπασε = vulg. 6 (le.) φόνοιο damn. Bk. 8 φασίν Lehrs, φησὶν A 9 τῷ scripsi, τοῦ A 14 le. addidi 16 le. addidi (auctore Frdl.) ὅτι A, ἡ διπλῆ, ὅτι Bk. 18 τοῦ ἀδ. b κασιγνήτοιο φόνοιο: τοῦ ἀδελφοῦ T 20 le. A suppl. Vill. 21 ὅτι A, ἡ διπλῆ, ὅτι Vill. 23 sq. pone sch. I 571 (A = D) in A, trps. Vill. 23 (le.) asteriscus ante le. (v. χερσὶν) A

*Ariston.* **569.** κικλήσκουσ' Ἀΐδην ⟨καὶ ἐπαινὴν Περσεφόνειαν⟩: ὅτι ἐπικαλεῖται μὲν τὸν Ἅιδην καὶ τὴν Περσεφόνην, ὑπακούουσι δὲ αἱ Ἐρινύες ὡς ὑπηρέτιδες. **A**

*ex.* **570.** πρόχνυ καθεζομένη: παντελῶς καθημένη, ὅλη παρειμένη, ἵνα πλέον ᾖ τὸ πάθος. οἱ δὲ Γλωσσογράφοι 'ἐπὶ γόνυ'. **T**

*Ariston.* **571** *a.* παιδὶ δόμεν θάνατον· τῆς δ' ἠεροφοῖτις Ἐρινύς: ὅτι αἱ Ἐρινύες ὥσπερ ὑπηρέτιδες ὑπακούουσι, καὶ οὐ μάχεται τὸ „κικλήσκουσ' Ἀΐδην καὶ ἐπαινὴν Περσεφόνειαν" (I 569). **A**

*Did.(?)* *b.* ⟨ἠεροφοῖτις:⟩ γράφεται καὶ †ἱεροφοῖτος†, ἡ διὰ τοῦ σκότους ἐρχομένη. **A**$^{im}$

*ex.* | *ex.* *c.* ἠεροφοῖτις: ἡ ἐν τῷ σκότῳ φοιτῶσα· αἱ ποιναὶ γὰρ ἀπροοράτως ἔρχονται. **A b**(BCE$^3$E$^4$) **T** | πῶς δὲ Ἅιδην ἐπικαλεῖται, ἡ δὲ Ἐρινὺς ἔρχεται; δηλονότι ὡς ὑπηρέτις. **b**(BCE$^3$E$^4$) **T**

*Hrd.* *d.* ⟨ἠεροφοῖτις:⟩ τὰ εἰς ῑς παρώνυμα θηλυκά, παρακείμενα τοῖς εἰς η̄ς ἀρσενικοῖς βαρυνομένοις, προπερισπᾶται, εἰ φύσει μακρᾷ παραλήγοιτο, πρωθῆβις πολιῆτις ἀλεῖτις πλανῆτις πρεσβῦτις. οὕτως δὲ καὶ ἠεροφοῖτις. ὅσα δὲ παρὰ τὸ πωλεῖν ἐστιν, ἀνεβίβασε τὸν τόνον,

auct. Verg. A. 4, 205; Macrob. sat. 1, 10, 21. 3, 9, 12 **569** ad I 571 (Ariston.), cf. Lehrs Ar.$^3$ 182 ὑπακούουσι δὲ (26) sq. ad I 571 **570** nullum signum ante versum in A; tamen tuo iure suspiceris sch. Aristonici de v. πρόχνυ olim exstitisse, cf. sch. ex., Lehrs Ar.$^3$ 37; Valk I 277 παντελῶς (28) sq. Ap. S. 135, 17, sim. sch. rec. in *B ad l. (fol. 126$^r$): τὸ πρόχνυ σημαίνει δύο· τὸ πρόγονυ, ὡς ἐνταῦθα, καὶ τὸ παντελῶς, ὡς τὸ „πρόχνυ, ἐπεὶ πολλῶν ἐπὶ (πολλῶν ἀνδρῶν ὑπὸ Hom.) γούνατ' ἔλυσε" (ξ 69), fort. ex Ori libro depromptum, qui Περὶ πολυσημάντων λέξεων inscriptus erat, cf. Reitzenstein, Gesch. 336, 3 παντελῶς (28) cf. D ad Φ 460, sch. Ap. Rh. 1, 1117—19 b ἐπὶ γόνυ (29) cf. D, Eust. 775, 12; Or. 126, 10 (unde Et. Gen., cf. EM. 691, 50, brevius Et. Gud. 483, 37): πρόχνυ· οἷον πρόγονυ (Larcher, προῦγη cod.) κατὰ συγκοπήν, ὅ ἐστι ὀκλάσαι. καὶ ἡ πρό ἀντὶ τῆς ἐπί, ἐπὶ γόνυ, in sede scholiorum; Antim. fr. 5 W. **571** *a* ad I 569 (Ariston.), cf. sch. *c* *b/d* ἠεροφοῖτις cf. Schulze 402, 3 *b/c* διὰ τοῦ σκότους ἐρχομένη (33) resp. ἐν τῷ σκότῳ φοιτῶσα (35) cf. D, D ad T 87; Eust. 775, 15; Porph. 2, 114, 23. Vide ad T 87; sch. Eur. Or. 322; He. η 200 (vide Ap. S. 82, 28 [gl. mutilata]); Bechtel, Lex. 151 *c* πῶς δὲ (36) sq. ad I 569 (Ariston.), cf. sch.

**25** le. A suppl. Vill. **26** ὅτι A, ἡ διπλῆ, ὅτι Vill. ἄδην A em. Bk. **30** (le.) ἱεροφοῖτις A em. Vill. **31** ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **33** le. addidi γράφ. cp. (γρ) A fort. ἠερόφοιτος **35** le. T, ἠεροφοῖτις δὲ pone sch. *a* (coni. cum v. περσεφόνειαν) A, om. b **36** ἄρχονται A **37** δηλονότι T δῆλον b **38** le. add. Vill. ῑς Vill., η̄ς A **40** πλανῖτις A em. Bk. πρεσβύτης A em. Vill. **41** ἠεροφ. Vill., ἱεροφοῖτις A

ἀρτόπωλις ἀλφιτόπωλις. ἀλλ' οὖν καὶ ὅσα παρὰ τὸ κοῖτος, „παράκοιτις" (Δ 60 al.), „ἄκοιτις" (Γ 138 al.), τὸ μέντοι „δολόμητις" (γ 250 al.) οὐκ ἔστι θηλυκόν, ἀλλὰ καὶ ἀρσενικόν· καὶ ἴσως τὸ μῆτις ἔγκειται· ὡς τὸ „πολύμητις" (Α 318 al.), „δολόμητις". καὶ ἔστι σύνθετον. A

Ἐρινὺς παρὰ τὸ ἐν τῇ ἔρᾳ ναίειν ——— καὶ ἐκτελέουσα. A *D*

572. ⟨ἀμείλιχον:⟩ ἀπαραίτητον. $T^{il}$ *ex.(?)*

573 *a.*[1] ⟨ὅμαδος καὶ⟩ δοῦπος: δοῦπος ψόφος δέος ἐμποιῶν, *ex.* b(BCE$^3$E$^4$) T ὅ ἐστι φόβον. ὅμαδος δὲ παρὰ τὸ πάντας ὁμοῦ ᾄδειν, ὅ ἐστι βοᾶν. T

*a.*[2] δοῦπος παρὰ τὸ δέος ἐμποιεῖν. $A^{int}$

574. ⟨τὸν δὲ λίσσοντο:⟩ οὕτως Ἀρίσταρχος ⟨τὸν⟩ δὲ λίσσοντο δι' ἑνὸς λ̄. $A^{im}$ *Did.*

575 *a.*[1] πέμπον δὲ θεῶν ἱερῆας ἀρίστους: ὅτι ἐντεῦθεν Σοφοκλῆς ἐν τῷ Μελεάγρῳ (p. 219 N.$^2$, sim. II p. 66 P.) τὸν χορὸν ἀπὸ ἱερέων παρήγαγεν. A *Ariston.*

*a.*[2] {θεῶν ἱερῆας:} ἐντεῦθεν καὶ Σοφοκλῆς τὸν χορὸν †οἰδίποδος† ἐξ ἱερεῶν ποιεῖ. T

576. ἐξελθεῖν καὶ ἀμῦναι, ⟨ὑποσχόμενοι μέγα δῶρον⟩: *Nic.* βραχὺ διασταλτέον ἐπὶ τὸ ἀμῦναι, στικτέον δὲ κατὰ τὸ τέλος τοῦ στίχου. ἀπ' ἄλλης δὲ ἀρχῆς „ὁππόθι πιότατον" (I 577), καὶ ὑποστικτέον ἐπὶ τὸ „ἐραννῆς" (I 577). A

578. ⟨ἑλέσθαι:⟩ ὅτι συντελικῶς ἑλέσθαι. $A^{im}$ *Ariston.*

*a* *d* cf. Arcad. 38, 15 **572** cf. D (ἀπηνές, σκληρόν), Synag. (Ba. 158, 16, Su. α 4329); Wilamowitz ad Eur. Her. fur. 833 **573** *a*[1] — ἐμποιῶν (48) cf. Or. 43, 11 (ὁ δέος ἐμποιῶν ψόφος [Larcher, ψόφου cod.]), fort. e scholiis **574** τὸν δὲ λίσσοντο (52) ad A 374; cf. Ribbach 18. Vide ad A 162 (Did.) δι' ἑνὸς λ̄ (53) ad I 78 *a*; ceterum haec verba indicant quosdam legisse δ' ἐλλίσσοντο vel δὲλλίσσοντο, cf. Ludwich, A. H. T. 1, 308, 5 **575** *a*[2] notam codicis T (vel exempli, e quo T pendet) sagaciter mutavit Eust. 775, 22: ὅθεν ὁ Σοφοκλῆς λαβὼν ἐν Οἰδίποδι τοιαύτην πλάττει πρεσβείαν Θηβαϊκήν **578** cf. Friedl., Ariston. p. 5: „I. e. (quantum quidem e tam decurtato fragmento colligi potest) infinitivum aoristi hoc loco proprie accipiendum esse, ut actionem cito transeuntem signi-

---

**42** ἀρτόπολις ἀλφιτόπολις A em. Bk. **44** fort. θηλυκὸν μόνον, cf. λ 422 (κλυταιμνήστρη δολόμητις) **47** le. add. $V^c$ **48** le. T supplevi δοῦπ. ψόφ. scripsi, δουπός ἐστι ψόφος b ψόφος T ἐμποιῶν τοῖς ἀκούουσι b, fort. rectius **52** le. add. Bk. (Vill.) τὸν$^2$ addidi **52 sq.** δὲ λίσσοντο Heyne, ἐλίσσοντο A (cf. test.) **54** le. Frdl., αἰτωλῶν: A ὅτι A, fort. ἡ διπλῆ, ὅτι **55** χωρὸν A em. Vill. **57** le. T delevi **57 sq.** οἰδ. lapsum calami absurde defendit Valk I 419 (cf. test.) **59** le. A suppl. Vill. **63** le. add. Vill. ὅτι A, ἡ διπλῆ, ὅτι Vill.

*ex.* 579 *a.*[1] πεντηκοντόγυον: ἐπίτηδες, ἵνα δείξῃ μείζονα τὰ Ἀγαμέμνονος δῶρα. †γύης† δὲ μέτρον γῆς· „τὰς πολυχρύσους γύας" (Eur. Bacch. 13) ἀντὶ τοῦ ἀρούρας. **T**

*a.*[2] ἐπίτηδες καὶ τοῦτο λέγει, ἵνα τὰ Ἀγαμέμνονος δῶρα δείξῃ μείζονα. b(BCE³E⁴) †γύης† δέ ἐστι μέτρον γῆς, μικρῷ τῶν δέκα ὀργυιῶν ἔλασσον. b(BCE³)

*D* πεντηκοντόγυον: πεντήκοντα πλέθρων· γύη γὰρ μέτρον γῆς. οἱ δὲ πεντήκοντα ζευγῶν. **A**

*Did.* 580 *a.*[1] ἥμισυ δὲ ψιλὴν ⟨ἄροσιν⟩: διὰ τοῦ σ̄, „ψιλῆς" γῆς. οὕτως αἱ Ἀριστάρχου. δῆλον δὲ ὅτι ἐλλείπει ἡ εἷς, ἵν' ᾖ εἰς ἄροσιν. **A**

*ex. (Did.) | D* *a.*[2] ψιλὴν ἄροσιν: διὰ τοῦ †ῑ, ψιλὴν γῆν†. λείπει δὲ ἡ εἷς, εἰς ἄροσιν. | ψιλὴν δὲ ἀντὶ τοῦ ἄδενδρον. **T**

*ex. (Did.)* *a.*[3] ψιλὴν διὰ τοῦ †ῑ, ἤτοι γυμνὴν† φυτῶν. λείπει δὲ ἡ εἷς, ἵν' ᾖ ἥμισυ δὲ ψιλὴν εἰς ἄροσιν. b(BCE³E⁴)

*Hrd.* 582. οὐδοῦ ἐπ' ἐμβεβαώς: εἴτε ἓν μέρος λόγου „ἐπεμβεβαώς", ὡς „ἐμμεμάως" (E 142 al.), εἴτε τῇ οὐδοῦ γενικῇ συνάπτεται, οὐ δύναται ἀναστρέφεσθαι· συνήλειπται γάρ. **A**

*ex.* 583 *a.*[1] σείων κολλητὰς ⟨σανίδας⟩: διὰ τὸ ἐπικίνδυνον, ὡς καὶ τοῖς πολεμίοις μέσον ἦν τὸ τεῖχος. σείων δὲ πρᾴως κινῶν διὰ τὸ γῆρας. **T**

*ex. | D* *a.*[2] {σείων:} πράως κινῶν διὰ τὸ γῆρας· ἢ διὰ τὸ ἐπικίνδυνον, ὡς καὶ τοῖς πολεμίοις μέσον ἦν τὸ τεῖχος. | κολλητὰς δὲ σανίδας περιφραστικῶς τὰς θύρας, ἀπὸ τοῦ καλῶς συνηρμόσθαι. **A**

*ex.* *a.*[3] πράως κινῶν διὰ τὸ γῆρας. τοῦτο δὲ ἐποίει, ὅτι ἤδη οἱ πολέμιοι τὸ τεῖχος ἀμφέβαινον. b(BCE³E⁴)

ficet"; vide ad Φ 33 (Ariston.) συντελικῶς ad A 600 (T) **579** — δῶρα (65 [resp. μείζονα, 68]) cf. Eust. 775, 26 γύη(ς) cf. sch. η 113, He. γ 979 *a*¹ ἀρούρας (66) cf. Valk. I 452 n. 203 πεντήκοντα πλέθρων (70) sq. (= D) cf. Eust. 776, 60; vide Diog. ap. He. γ 980 **580** *a*¹ verba δῆλον δὲ (73) sq. a Didymo abiudicavit Lehrs, cf. Ludwich, A. H. T. 1, 308, 8 **582** ἐπεμβεβαώς (78) = vulg. εἴτε τῇ οὐδοῦ (79) sq. ad B 6 (Hrd.) **583** κινῶν (82) = D, cf. Eust. 775, 29: . . . σείειν μὲν σανίδας ὡς ἐκ τοῦ παρακολουθοῦντος τὸ θυροκρουστεῖν λέγει καὶ πρὸς βίαν αὐτὰς κόπτειν ὡς καὶ σείεσθαι *a*¹ et *a*² μέσον ἦν τὸ τεῖχος (82 et 85) cf. Valk I 434 n. 109 *a*¹ (cf. *a*²) e duabus partibus originis diversae (διὰ [81] — τεῖχος [82] et σείων [82] — γῆρας) hoc sch. esse compositum inconsulte

---

**65** γύης T, debuit γύη, cf. D; Dodds ad Eur. Bacch. 13 **68** γύης vide sch. *a*¹ **70** πλέθρων (πεθρῶν ss. λ A, em. Bk.) A, γυιῶν ὅ ἐστι πλέθρων D γύη A γυίη γὰρ καὶ γύη D **72** le. A suppl. Bk. (Vill.) **73** εἷς Bk. (Vill.), ῆς A **74** ῑ ψιλ. γῆν et **76** ῑ ἤτοι γυμνήν cf. sch. *a*¹ **76** ῑ] ἰῶτα C **78** (le.) οὐδοῦ del. Bk., fort. recte **79** οὐδοῦ scripsi, ὁδοῦ A **80** συνήλ. Bk., συνείληπται A **81** le. T supplevi (duce Vill.) **84** le. A eieci ἢ inseruisse vid. auctor exempli codicis A (debuit σείων vel κινῶν δὲ διὰ τὸ κτλ., cf. sch. *a*³)

584 *a.*$^1$ {πολλὰ δὲ τόν δε} κασίγνηται: κατὰ τὸ θηλυκὸν κασίγνηται αἱ Ἀριστάρχου. ἔχει δὲ λόγον καὶ ἡ διὰ τοῦ ō· κατὰ γὰρ Ὅμηρον πλείους εἰσὶν ἀδελφοὶ τῷ Μελεάγρῳ· „οὐ γὰρ ἔτ' Οἰνῆος μεγαλήτορος υἱέες ἦσαν, / οὐδ' ἄρ' ἔτ' αὐτὸς ἔην, θάνε δὲ ξανθὸς Μελέαγρος“ (Β 641—2). καὶ συλληπτικῶς μετὰ τῶν ἀρσένων καὶ τὰς ἀδελφὰς ἀκουστέον Γόργην καὶ Δηϊάνειραν. **A** *Did.*

*a.*$^2$ {πολλὰ δὲ κασίγνηται:} οὕτως Ἀρίσταρχος. ἔχει δὲ λόγον καὶ τὸ „κασίγνητοι“· πλείους γάρ εἰσιν αὐτῷ ἀδελφοὶ καθ' Ὅμηρον· „†οἵ τ' ἄρ'† ἔτ' Οἰνῆος μεγαλήτορος υἱέες ἦσαν“. †δύναται† δὲ συλληπτικῶς μετὰ τῶν ἀρσένων καὶ αἱ θήλειαι ἀκούεσθαι, Γόργη καὶ Δηϊάνειρα, Πολυξὼ καὶ Αὐτονόη. **T**

*a.*$^3$ γράφεται καὶ κασίγνηται κατὰ Ἀρίσταρχον, δύναται δὲ μᾶλλον „κασίγνητοι“· πλείους γὰρ αὐτῷ οἱ ἀδελφοὶ ἦσαν· „οὐ γὰρ ἔτ' Οἰνῆος μεγαλήτορος“. δύνανται δὲ συλληπτικῶς μετὰ τῶν ἀρσένων καὶ αἱ θήλειαι ἀκούεσθαι. **b**(BCE$^3$E$^4$)

*a.*$^4$ οὕτως κασίγνηται θηλυκῶς. ἔχει δὲ λόγον καὶ ἡ διὰ τοῦ ō. **A**$^{im}$

*b.*$^1$ καὶ πότνια μήτηρ: ἡ αἰτία τῆς ὀργῆς, ὡς καὶ Ἀγαμέμνων. **T** *ex.*

*b.*$^2$ παρακαλεῖ δὲ καὶ ἡ μήτηρ, ἡ αἰτία τῆς Μελεάγρου ὀργῆς, ὡς καὶ Ἀγαμέμνων. **b**(BCE$^3$E$^4$)

586 *a.* {οἵ οἱ} κεδνότατοι: ὅτι σωφρονέστατοι. ὁ δὲ Σιμωνίδης (fr. 117 = P.M.G. fr. 622) κεδνοὺς τοὺς φίλους. **A** *Ariston.*

*b.* οἵ οἱ κεδνότατοι: ὡς οἱ νῦν. πᾶν δὲ εὗρε πρόσωπον ἱκανὸν πρὸς πειθώ. **b**(BCE$^3$E$^4$) **T** *ex.*

588. ⟨ὅτε δὴ θάλαμος πύκ' ἐβάλλετο:⟩ ὅτε καὶ αὐτοῦ ἥψατο τὸ δεινόν. **T**$^{il}$ *ex.*

ci. Valk I 434 584 *a*$^1$/*a*$^3$ καὶ τὰς ἀδελφὰς (93) resp. καὶ αἱ θήλειαι (2 et 7) cf. D 586 *a* cf. sch. Eur. Or. 1138 φίλους (15) cf. D

89 (le.) πολλὰ δὲ τόν δε (sic) A del. Bk. 94 γόργην Vill., γὰρ (ss. o) γῆν A 95 le. T delevi 1 οἵ τ' ἄρ T, cf. sch. *a*$^1$ et *a*$^3$ δύναται T, cf. sch. *a*$^3$ 2 γόργη Ma. (cf. sch. *a*$^1$), ὀργὴ T 12—3 sq. παρακαλεῖ δὲ sq. coni. cum scholio *a*$^3$ (v. ἀκούεσθαι) in **b** 14 (le.) οἵ οἱ delevi ὅτι A, fort. ἡ διπλῆ, ὅτι 16 πᾶν δὲ εὗρε πρ. T τοιοῦτον δὲ εὗρε παράδειγμα τὸ **b** 17 πειθῶ B 18 le. add. Ma. ἥψατο Ma., ἅψεται T

*ex.* 590. παράκοιτις: καὶ πῶς οὐκ ἄτοπον μόνῃ γυναικὶ πείθεσθαι; ἢ ὅτι ὁ καιρὸς ἦν ὁ πείθων, οὐχ ἡ γυνή· ὅτι γὰρ οὐ γυναικοκρατεῖται, δῆλον· οὐ γὰρ ἐρωτικοῖς αὐτὴ ἐχρήσατο ῥήμασι, καὶ πεφθέντος τοῦ θυμοῦ παρακαλεῖ. **A** **b**(BCE$^3$E$^4$) **T**

*Ariston.* 593 *a.* {ἄνδρας μὲν κτείνουσι, πόλιν δέ τε πῦρ} ἀμαθύνει: ὅτι ἄμαθον ποιεῖ. οὕτως δὲ λέγει τὴν πεδιάσιμον κόνιν. ὁ δὲ Αἰσχύλος (fr. 244 N.$^2$ = 422 M.) ἐπὶ τοῦ διαφθείρειν ψιλῶς τέταχε, περὶ τοῦ Ἀκταίωνος λέγων· „κύνες διημάθυνον ἄνδρα δεσπότην". **A**

*ex.* *b.* πῦρ ἀμαθύνει: σποδὸν καὶ κόνιν ἐργάζεται, ἣν ἄμαθον εἶπεν· **b**(BCE$^3$E$^4$) **T** „τύχε γάρ ⟨ῥ'⟩ ἀμάθοιο βαθείης" (E 587). **T**

*Ariston.* 594 *a.*$^1$ ⟨τέκνα δέ τ' ἄλλοι ἄγουσι:⟩ ὅτι Ζηνόδοτος γράφει „τέκνα δὲ δήιοι ἄγουσι". **A**$^{im}$

*a.*$^2$ ἔνιοι γράφουσι „τέκνα δὲ δήιοι ἄγουσι". **T**$^{il}$

*Ariston.* 598 *a.* εἴξας ᾧ θυμῷ: ὅτι οὐ τῷ θυμικῷ πάθει λέγει, ἀλλὰ τῇ ἐπιθυμίᾳ. ὑποχωρήσας, ἀντὶ τοῦ οὐκ ἀντιταξάμενος. **A**

*ex.* *b.* εἴξας ᾧ θυμῷ: εἴξας πάλαι, ὅτε ὠργίζετο, οὐ νῦν, ὅτε ἤμυνεν. ἢ θυμὸν τὸν ἐπιλογισμόν φησι. **b**(BCE$^3$E$^4$) **T**

*ex.* *c.* τῷ δ' οὐκέτι δῶρ' ἐτέλεσ⟨σ⟩αν: τοὺς γὰρ ἀναγκαίους παρεὶς πέπεισται γυναικί. **b**(BCE$^3$E$^4$) **T**

*ex.* 600. ⟨ἀλλὰ σὺ μή μοι ταῦτα νόει φρεσί:⟩ μόγις παρρησιάζεται· ὡς μέγα δὲ κακὸν ἀπεύχεται †αὐτῷ. **b**(BCE$^3$E$^4$) **T**

590 — γυνή (21) cf. Porph. 1, 141, 5; — πείθεσθαι (20) cf. Friedl., Zoil. 60 593 *a* — κόνιν (25) vide ad E 587 *b*, cf. Eust. 777, 22; Ap. S. 27, 11; Or. (?) in Et. Gen. (AB) ἀμαθύνειν (Reitzenstein, Gesch. 17, 6); sch. Theocr. 2, 23—26 d; vide Amm. 39. 522, Or. 13, 3 (Et. Gud. 104, 25 Stef.); Meth. in Et. Gen. (AB) ἄμαθος (Reitzenstein, Gesch. 12, 9); Ba. 78, 20; — ποιεῖ (25) eadem fere D πεδιάσιμον κόνιν (25) ad I 385 *a* (Ariston.), cf. Lehrs Ar.$^3$ 123 *b* ἣν ἄμαθον εἶπεν (28) ad E 587 *b* 594 diple (non periestigm.) ante versum in A, fort. neglegentia scribae *a* cf. Duentzer, Zen. 44 et 118 598 *a* τῇ ἐπιθυμίᾳ (34) cf. D, Apion. 74, 241, 22 ὑποχωρήσας (35) sq. aliter Porph. 1, 144, 35

20 le. Bk., εὔζωνος παράκοιτις T, καὶ τότε δὲ μελέαγρον: A, om. **b** γυναικὶ μόνῃ A 21 ἡ γυνή T ὁ ἔρως **b** ὁ ὄνειρος A 22 αὐτὴ om. AT (fort. recte) ῥήμασιν A**b** καὶ AT ἀλλὰ **b** πεφθ. A**b** (vide ad I 637—8*b*), παυθέντος T (a narratione abhorrens) 23 τότε ante παρακ. add. **b** 24 (le.) ἄνδρας — πῦρ del. Bk. ὅτι A, ἡ διπλῆ, ὅτι Vill. 28 ἣν T ἣν καὶ **b** 29 ῥ' add. Bk. 31 le. add. Vill. ὅτι A, ἡ διπλῆ (sc. περιεστιγμένη), ὅτι Vill. 34 ὅτι A, ἡ διπλῆ, ὅτι Vill. 35 post ἐπιθυμίᾳ interpunxit Bk. ὑποχ. A, fort. εἴξας ὑποχωρήσας 36 εἴξ. πάλαι T πάλαι **b** ὅτ[.] B, ε renovavit m. rec. 37 φησι om. T 38 le. T suppl. V, om. **b** 38—9 τοὺς γὰρ sq. coni. cum scholio praecedenti (v. φησι) in **b** 39 τῇ γυν. πέπ. **b** 40 le. add. Vill. (μή μοι ταῦτα νόει iam Li, σὺ μή μοι ταῦτα add. V$^c$) 41 ὡς μέγα δὲ T καὶ ὡς μέγα **b** αὐτῷ **b**, om. T, fort. αὐτό

**601—2.** κάκιον δέ κεν εἴη / νηυσὶν καιομένῃσιν ἀμύνειν: ἐλέγχει ὅτι καὶ ἄκων ὕστερον αὐτόκλητος ἐπικουρήσει. b(BCE[3]E[4]) T *ex.*

**601.** ⟨χαλεπόν:⟩ γράφεται „κάκιον". A[im] *Did. (?)*

**602—3.** ἀλλ' ἐπὶ δώροις / ἔρχεο: ἐπὶ δώροις T ἀντὶ τοῦ μετὰ δώρων, b(BCE[3]) T λαβὼν τὰ δῶρα οὕτως ἔξελθε συμμαχήσων. T *ex.*

**602.** ⟨ἐπὶ δώροις:⟩ Ἀρίσταρχος „ἐπὶ δώρων", ὅ ἐστι μετὰ δώρων. A[im] *Did.*

**605** *a.* οὐκέθ' ὁμῶς τιμῆς ἔσεαι: ὅτι τινὲς προφέρονται τιμῆς ὡς φωνῆς, ἵν' ᾖ τιμήεις. Ὁμηρικὸν δὲ τὸ τιμῆς ἔσεαι ἀντὶ τοῦ τιμῆς μεθέξεις. καὶ ὁ Ἀχιλλεὺς ἀποκρινόμενός φησιν „οὔ τί με ταύτης / χρεὼ τιμῆς" (I 607—8) | ἀντὶ τοῦ οὐ χρείαν ἔχω τήν τε τῶν Ἑλλήνων καὶ Ἀγαμέμνονος τιμήν. καὶ ἔστι σολοικισμὸς παρὰ τὰς πτώσεις. A *Ariston.* | *D*

*b.* τιμῆς ἔσεαι: τιμηθήσῃ ἢ τίμιος ἔσῃ. | τινὲς τὸ τιμῆς διὰ τοῦ ῑ γράφουσιν· ἀπὸ γὰρ τοῦ τιμήεις. οὕτως καὶ τὴν αἰτιατικὴν εἶπε· „καὶ χρυσὸν τιμῆντα" (Σ 475). καίτοι λόγος ἐστὶν ὡς πᾶσα εὐθεῖα ἀρσενικοῦ ὀνόματος ἐν τῇ τελευταίᾳ δύο ἔχουσα φωνήεντα ταῦτα ἐκφωνεῖ χωρὶς τοῦ Θρᾷξ. οὐκ ἐπείσθη δὲ ἡ παράδοσις· Ἀρίσταρχος γὰρ ἄνευ τοῦ ῑ. οὐχ ὑγιῶς δὲ γενικὴν ἐκδέχεται, λειπούσης φράσεως· 'τιμῆς γάρ', φησίν, 'ἄξιος ἔσῃ'. ὁ δὲ Χαῖρις (fr. 4 B.) βοηθῶν αὐτῷ φησιν ὅτι ἐπιφέρει „οὔ τί με ταύτης / χρεὼ τιμῆς" (I 607—8). A *D* | *Hrd.*

**601** incertum an sch. fuerit de v. φίλος, cf. D: φίλος· φίλε, Ἀττικῶς, unde A[il] (Ἀττικῶς φίλος) et Eust. 775, 37 (ὁ νοῦς μὲν γὰρ κλητικὴν Ἀττικὴν ἔχει τὸ „φίλος", ἀντὶ τοῦ ὦ φίλε); T. Hedberg, Eustathios als Attizist, Uppsalae 1935, 74 **602** ad Λ 38 (Did.). Vide ad E 249 *a*/*c*. N 12 (Did.); cf. Friedl., Ariston. p. 28 **605** *b* τινὲς τὸ (56) sq. eadem fere Et. Gen. (AB) τιμῆς· σὺν τῷ ῑ τινές, οἷον „οὐκέθ' ὁμῶς τιμῆς (B, τιμῆι A) ἔσσεαι", ἀντὶ τοῦ τιμήεις συνείληπται (lg. συνήλειπται vel συναλήλειπται), ἐξ οὗ καὶ ἡ αἰτιατικὴ „καὶ χρυσὸν τιμῆντα". καίτοι λόγος ἐστὶν ὅτι πᾶσα εὐθεῖα ἀρσενικοῦ ὀνόματος εἰς σ̄ λήγουσα οὐ θέλει ἔχειν πρὸ τοῦ σ̄ τί ποτε ἀνεκφώνητον. οὐκ ἐπείσθη δὲ ἡ παράδοσις· οὐχ ὑγιῶς δὲ Ἀρίσταρχος γενικὴν ἐκδέχεται, λειπούσης τῆς φράσεως· 'τιμῆς γάρ, φησίν, ἄξιος ἔσῃ'. λέγει δὲ ὁ †χάρης† (lege Χαῖρις) βοηθῶν αὐτῷ ὅτι ἐπιφέρει ὁ ποιητής· „οὔ τί με ταύτης / χρεὼ τιμῆς", fort. ex hyp. Iliad.; ad M 201 (Hrd.); Herodianum voluisse τιμῆς sine ῑ subscripto, sed pro adiectivo accepisse e scholio M 201 recte collegit Lehrs, Hrd. 255. De forma τιμῆς cf. Arcad. 27, 3, Io. Alex. 8, 30 τινὲς (56) — χρυσὸν τιμῆντα (58) cf. Eust. 775, 47 καίτοι λόγος (58) — Θρᾷξ (60) cf. Choer. Th. 1, 240, 1 οὐχ ὑγιῶς δὲ (61) sq. at cf. Wackernagel II 1210; aliter Valk II 184 ὁ δὲ Χαῖρις (62) sq. cf. Berndt 6 et 9

---

**43** ἐλέγχει δὲ sq. pone sch. I 602—3 (coni. cum v. δώρων) in **b** **44** le. add. Bk. (Vill.) γράφ. cp. (γρ) A κάκιον = vulg. **45** sq. verba ἀντὶ τοῦ μετὰ δώρων ad I 602 revocavit **b** **48** le. add. Bk. **50** (le.) οὐκέθ. ὁμῶς eiecit Bk. ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **53** τήν τε A τῆς τε D **54** καί[1] A καὶ τῆς D τιμῆς D **60** θρᾶξ A em. Vill. **61** τῆς φράσεως Et. Gen.

*ex.* $c.^1$ τιμῆς ἔσεαι: οἱ μὲν ὡς ἀναλώσας ἔχω ἀνήλωκα, ἀντὶ τοῦ τιμηθήσῃ καὶ ἔσῃ τιμήεις· καὶ περισπᾶται διὰ τὸ „καὶ χρυσὸν τιμῆντα καὶ ἄργυρον" (Σ 475). Ἀρίσταρχος δέ, τῆς τιμῆς· διὸ ἐπάγει „χρεὼ τιμῆς" (I 608)· τοῖς γὰρ ἔμπροσθεν ἀντειπεῖν οὐκ ἔχων ἐκ τοῦ ἐσχάτου ἄρχεται. **T**

$c.^2$ οἱ μὲν ἀντὶ τοῦ τιμήεις κατὰ συναίρεσιν. Ἀρίσταρχος δέ, τῆς τιμῆς, φησίν, ἔσῃ· διὸ καὶ ἐπάγει „οὐ χρεὼ τιμῆς"· τοῖς γὰρ ἔμπροσθεν ἀντειπεῖν οὐκ ἔχων ἐκ τοῦ ἐσχάτου ἄρχεται. **b**(B C $E^3E^4$)

*Hrd.* *d.* ἀλαλκών: ὀξυτονητέον· δευτέρου γὰρ ἀορίστου ἐστίν. ὡς „ἀγαγών "(Θ 490. δ 175) καὶ ἀγαγεῖν, οὕτως καὶ ἀλαλκών καὶ „ἀλαλκεῖν" (Τ 30). **A**

*Ariston.* **607.** ⟨ἄττα:⟩ ὅτι τὸ ἄττα προσφώνησίς ἐστι πρὸς τροφέα ἀμετάφραστος. $A^{im}$

*ex.* **607—8.** οὔ τί με ταύτης / χρεὼ τιμῆς: πρὸς τὸ εἰρημένον ὑπὸ Φοίνικος „Ἶσον γάρ σε θεῷ τίσουσιν Ἀχαιοί" (I 603) φησὶν Ἀχιλλεύς· οὔ τί με ταύτης / χρεὼ τιμῆς, **b**(B C $E^3E^4$) **T** „ἥ μ' ἕξει" (I 609), ὅ ἐστιν, οὐκ ἀγαθόν μοι τοιαύτη τιμή, δι' ἣν ἐγὼ μέχρι θανάτου ταῖς ναυσὶν ἐνδιατρίψω· **b**(B $E^3E^4$) **T** εἶπε γὰρ „εἰ μέν κ' αὖθι μένω⟨ν ——— /⟩, ὤλετο μέν μοι νόστος" (I 412—3). **T**

*ex.* **608.** ⟨φρονέω δὲ⟩ τετιμῆσθαι Διὸς αἴσῃ: πιθανῶς τῇ παρὰ τοῦ Ἀγαμέμνονος τιμῇ ἀντέθηκε τὴν παρὰ τοῦ Διός. οὐ καλῶς δὲ χρῆται ταῖς εὐτυχίαις. **b**(B $E^3E^4$) **T**

$c^1$ τιμηθήσῃ (65) = D (cf. sch. *b*) $c^2$ κατὰ συναίρεσιν (69) cf. Choer. Th. 1, 153, 37 *d* δευτέρου γὰρ ἀορίστου (72) cf. Meth. (An. Ox. 1, 87, 22; Et. Gen. ἤλαλκον, cf. EM. 55, 55) **607** ad Z 518 (test.); vide ad Δ 412 (Ariston.); cf. Ap. S. 46, 33 (plura He. α 8174); Eust. 777, 56; D, D ad P 561, sch. π 31, Et. Gen. (AB) ἄττα; vide Ar. Byz. p. 152 et 155 N. **607—8** — χρεὼ τιμῆς (79) cf. Eust. 778, 18;

---

**64** ἠνάλωκα T (V) em. Nickau **67** χρεὼ τιμῆς cf. sch. *b* **70** οὐ cf. sch. *b* (l. 63) χρεὼ] χρὴν $E^4$ **75** le. addidi, φοῖνιξ, ἄττα γεραιέ add. Vill. ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **78** ἶσον $E^3E^4$ τίσουσ' T **78** sq. φησὶν ὁ ἀχ. **b** **79** τιμῆς ἥ] debuit τιμῆς, . . . / ἥ **82** μένω T suppl. Ma. **83** le. T supplevi, om. **b** **83—5** πιθανῶς δὲ sq. coni. cum scholio praecedenti (v. ἐνδιατρίψω) in **b** **83** et **84** παρὰ utrumque om. **b** **84** sq. κέχρηται **b**

**609.** ⟨ἧ μ' ἕξει παρὰ νηυσί:⟩ ἀπόμαχον δηλονότι. A$^{int}$ *ex.*

**612** *a.* μή μοι σύγχει θυμόν: ὁμολογεῖ μὲν ἡττῆσθαι τῷ ἐλέῳ, τὴν δὲ ἀφορμὴν διαβάλλει. b(BCE$^3$E$^4$) T *ex.*

*b.* ὀδυρόμενος καὶ ἀχεύων: ὅτι Ζηνόδοτος γράφει „ὀδυρόμενος, κινυρίζων", οἷον θρηνῶν. ἔστι δὲ οὐχ Ὁμηρικὸν καὶ παρὰ τὸ πρόσωπον. A | Ἀρίσταρχος δὲ „ἐνὶ στήθεσσιν ἀχεύων". AA$^{im}$ *Ariston.* | *Did.*

*c.* ὀδυρόμενος καὶ ἀχεύων: „ἐν⟨ὶ⟩ στήθεσ⟨σ⟩ιν ἀχεύων", οὕτως ἡ γραφή, οὐχὶ ὀδυρόμενος ⟨καὶ ἀχεύων⟩. T *ex. (Did.)*

**614** *a.*[1] ἵνα μή μοι: ὁ Ἀσκαλωνίτης (p. 50 B.) ἀναγινώσκει „ἵνα μή μοι", τὰς δύο βαρυτόνως, οἷον ἵνα μὴ ἐμοί, κατ' ὀρθὴν τάσιν· συγκριτικὴ γάρ ἐστι, φησίν, ὡς πρὸς τὸν Ἀγαμέμνονα. καὶ ὑγιῶς φησιν. ἡ μέντοι παράδοσις ἐγκλιτικῶς ἀνέγνω, ἐπὶ τὴν μὴ τὴν ὀξεῖαν τιθεῖσα ὁμοίως τῷ „μή μοι οἶνον ἄειρε" (Z 264), τῷ μὴ εἶναι ἐν τῇ ἀντωνυμίᾳ τὸ ε̄, ἀλλ' ἀποβεβλῆσθαι. καὶ ὁμοία ἐστὶν ἡ πλάνη τῷ „ἤ μ' ἀνάειρ' ἢ ἐγὼ σέ" (Ψ 724) καὶ τῷ „τάχα δή με διαρραίσουσι καὶ αὐτόν" (α 251), εἴ γε ἐχρῆν καὶ ταῦτα ὀρθοτονεῖσθαι. ἀλλὰ τῷ μὴ ὁρᾶσθαι κατ' ἀρχὴν τὸ ε̄ οὕτως ἀνέγνωσαν· τοῦτο γὰρ ἐπακολουθεῖ ταῖς πρωτοτύποις. ἐχρῆν δὲ αὐτοὺς ἐπιγνῶναι ὅτι κρᾶσις δύναται ἐπακολουθεῖν, καὶ οὕτως ῥῶσαι τὴν ὑγιῆ ἀνάγνωσιν. A *Hrd.*

*a.*[2] {ἵνα μή μοι ἀπέχθηαι φιλέοντι:} „μήμοί" ἐχρῆν ὀρθοτονεῖν, ἵνα ἀντιδιαστέλ⟨λ⟩ηται Ἀγαμέμνονι. T

**615.** καλόν τοι σὺν ἐμοὶ τὸν κήδειν: δεῖγμα, ὅπως χρὴ διακεῖσθαι τοὺς φίλους συναιρομένους ἀλλήλοις. b(BCE$^3$E$^4$) T *ex.*

**616** *a.* ἶσον ἐμοὶ βασίλευε ⟨καὶ ἥμισυ μείρεο τιμῆς⟩: κοινὰ γὰρ τὰ τῶν φίλων. ἅμα δὲ καὶ ἀντὶ τῆς χάριτος, ἣν λαβεῖν βούλεται ὁ Φοῖνιξ, ἑτέραν αὐτῷ μείζονα δίδωσι, τὴν δέησιν ἀποκρουόμενος αὐτοῦ. b(BCE$^3$E$^4$) T *ex.*

vide Max. Tyr. 12, 10 e **609** fort. sch. rec. **612** *b* lectionem Zenodoti defendit Duentzer, Zen. 131; cf. Wecklein, Zen. Ar. 41 *c* — γραφή (93) cf. Eust. 778, 12 (ἢ καὶ ἄλλως „μή μοι σύγχει θυμὸν ἐνὶ στήθεσσιν ἀχεύων") **614** ad Ψ 724 (test.), cf. Ap. Dysc. pron. 40, 26, synt. 175, 7; Lehrs, Quaest. ep. 112; Beiträge 402 ἡ μέντοι παράδοσις (1) — τιθεῖσα (2) ad A 542 *c* (Hrd.); vide Eur. I. A. 499 ἐχρῆν δὲ (8) sq. ad A 277 (Hrd.) **616** diple pura ante versum in A, vix erat diple periestigm. (cf. app. crit.) *a* — φίλων (15) cf. Eust. 778, 16;

---

**86** le. addidi ἀπόμ. δηλ. cf. Ludwich, Mus. Rhen. 32 (1877), 4 **87** (le.) σύγχη T em. Ma. (Vill.; le. om. b) **88** δ' E$^4$ **89** ὅτι A, ἡ διπλῆ περιεστιγμένη, ὅτι Vill. **91** δὲ scripsi, δὲ μή μοι θυμὸν A, om. A$^{im}$ ἀχ. om. A **92** ἐν T suppl. Ma. στήθεσι TV, σ alterum add. V$^c$ **93** καὶ ἀχ. addidi **4** ἀνάειρ' (=Hom.) Nickau, ἀνάειρε A, edd. **4—6** τῷ (ter) Bk., τὸ A **9** ὑγιεῖ A em. Vill. **10** le. T delevi μήμοί h. e. μήμοὶ (= μὴ ἐμοί) **11** ἀντιδιαστέληται T suppl. Ma. **12** δεῖγμά ἐστιν ὅπως b **13** συν. ἀλλ. T συναιρουμένους (συναιρουμένοις E$^3$) ἀλλήλοις τὰ φίλα b **14** le. T supplevi (auctore Vill.), om. b **15** ἐβούλετο b **16** μείζω b **16** sq. αὐτοῦ ἀποκρ. b

*Ariston.* *b.* καὶ ἥμισυ μείρεο τιμῆς: ὅτι τὸ μείρεο ἀντὶ τοῦ μερίζου, πρὸς Ζηνόδοτον μεταγράφοντα „ὁππότε μειρόμενος μέγα δ' ἔστενεν" (cf. Η 127) ἀντὶ τοῦ „μέγ' ἐγήθεεν" (Η 127), ἵν' ᾖ στερισκόμενος τῆς στρατείας. οὐ τίθησι δὲ τὸ μείρεσθαι ἀντὶ τοῦ στερίσκεσθαι, ἀλλ' ἀντὶ τοῦ μερίζεσθαι. **A**

*ex.* *c.* καὶ ἥμισυ μείρεο τιμῆς: ἐδήλωσε τὸ ἴσον ἐμοί. **T**

*D* **617.** οὗτοι δ' ἀγγελέουσι, ⟨σὺ δ' αὐτόθι λέξεο μίμνων⟩: διὰ τί τὸν Φοίνικα οὐκ ἀπολύει ——— αὐτὸν κατέχει. **A**

*Ariston.* **619** *a.* ⟨φρασσόμεθ' ἤ κε νεώμεθ' ἐφ' ἡμέτερ' ἦ κε μένωμεν:⟩ ὅτι οὐδέν ἐστιν μαχόμενον, ἀλλ' αἰδεσθεὶς παραπέπεισται. **A**$^{int}$

*ex.* *b.* φρασσόμεθ' ἤ κε νεώμεθ' ⟨ἐφ' ἡμέτερ' ἦ κε μένωμεν⟩: ὀργῆς ἴδιον μὴ ἐφ' ἑνὶ τὴν γνώμην ἐρείδειν· **b**(BC$E^3E^4$) **T** ἔφη γοῦν „ἥ μ' ἕξει" (Ι 609). **T** εὔελπιν δὲ ποιεῖ τὸν γέροντα, σκοπήσειν τὸ συμφέρον λέγων. **b**(BC$E^3E^4$) **T**

*ex.* **621—2.** ὄφρα τάχιστα / ἐκ κλισίης νόστοιο μεδοίατο: παρενοχλεῖσθαι ἐπὶ πλέον οὐ θέλει ταῖς νουθεσίαις· οἶδε γὰρ ὅτι παρόντες δυσωπήσουσιν. καὶ πάλιν τραχέως ἐκδιώκειν οὐχ Ἑλληνικόν. **b** (BC$E^3E^4$) **T**

*Ariston.* **621.** ⟨ὄφρα:⟩ τὸ ὄφρα νῦν ἀντὶ τοῦ ἵνα κεῖται. **A**$^{im}$

*Ariston.* **622** *a.* νόστοιο μεδοίατο: ὅτι νόστοιο μεδοίατο λέγει νόστου ἐπιμελοῖντο, πάλιν τῆς ἀφόδου μνείαν λάβοιεν οἱ περὶ τὸν Ὀδυσσέα. **A**

*ex.* *b.* τοῖσι δ' ἄρ' Αἴας: οἱ τέσσαρές εἰσι ῥήτορες· Ὀδυσσεὺς συνετός, πανοῦργος, θεραπευτικός· Ἀχιλλεὺς θυμικός, μεγαλόφρων·

Zenob. 4, 79 (C. P. G. 1, 106, 5 c. test.) *b* ad Η 127 *a* (Ariston.) μερίζου (18) = D **619** *a* ἀλλ' αἰδεσθεὶς παραπέπεισται (27) vide Eust. 778, 20. 779, 9 **621** incertum est, an sch. fuerit de verbis πυκινὸν λέχος, cf. Ap. S. 137, 23: πυκινὸν λέχος·.τὸ ἐπιμελῶς ἠσκημένον. | ὁ δὲ Ἀπίων (fr. 111 B., cf. D) διὰ τὸ ἐκ πολλῶν ἱματίων τὰ στρώματα συντίθεσθαι **622** *a* ἐπιμελοῖντο (38) cf. D *b*

---

**18** le. scripsi, ἴσον ἐμοὶ βασίλευε καὶ ἥμισυ μείρεο: A ὅτι A, fort. ἡ διπλῆ vide test ad. Τ 15), ὅτι **18** sq. μερίζωι A em. Bk. **19** πρὸς A, ἡ δὲ διπλῆ πρὸς Vill. debuit ὅς ποτε (et sic fort. Ariston.) **20** μέγ' A, fort. ὅς ποτέ μ' εἰρόμενος μέγ' **23** fort. ἴσον ἐμοὶ βασίλευε **24** le. A supplevi **26** le. add. Vill. **27** ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **28** sq. le. T supplevi, om. b **29** μὴ T τὸ b **31** λέγων τὸ συμφ. b **32—5** sch. ad I 622 revocavit b **32** sq. παρενοχλ[. .]σθαι B, εῖ renovavit m. rec. **34** πάλιν T πάλιν γὰρ b διώκειν b **36** le. addidi, ὄφρα τάχιστα add. Vill. τὸ A, ἡ διπλῆ, ὅτι τὸ Vill., ὅτι τὸ Ddf. **37** le. scripsi (duce Vill.), ἐκ κλισίης νόστοιο: A ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **40** οἱ om. b τεσσ. b δ' T εἰσὶ T εἰσὶ καὶ ἄμφω b **41** θεραπευτι[. . . . . . . . . . . . . . . .]κός $E^3$ (cod. laesus est)

Φοῖνιξ ἠθικός, πρᾶος, παιδευτικός· Αἴας ἀνδρεῖος, σεμνός, μεγαλόφρων, ἁπλοῦς, δυσκίνητος, βαθύς. εἰ δέ που κινηθείη ἐπικαίρως, εὐστόχως καὶ διὰ βραχέων φησίν· νῦν γοῦν οὐκ ἐκινήθη, πρὶν ὁ Ἀχιλλεὺς αὐτὸν ἐπὶ παντὶ δυσχεραίνων παρώξυνεν. ἐλευθερίως οὖν ἄρχεται ὡς οὐδὲ πρεσβεύσασθαι πρὸς τὸν τοιοῦτον ἐχρῆν· ἐκείνου δὲ Πατρόκλῳ διαλεχθέντος (sc. I 620), καὶ αὐτὸς πρὸς τὸν συμπρεσβευτήν. ἄτοπον δὲ ἦν μετὰ Φοίνικα καὶ Ὀδυσσέα πείθειν· τὸ δὲ μὴ λαλεῖν περισσὴν αὐτῷ τὴν πάροδον †ἐνεποίει†. b(BCE$^3$E$^4$) T ὅτι δὲ πάντοθεν ἰσότιμος αὐτῷ· διὸ ὀργίζεται. T

625 *a*. ἴομεν· οὐ γάρ μοι δοκέει: εὖ τὸ μὴ ἀπὸ δεήσεως ἄρξασθαι, ἀλλὰ ἀγανακτοῦντα. πολλὴν δὲ ἐμφαίνει τὴν μεγαλοφροσύνην κελεύων ἀπαλλάσσεσθαι. b(BCE$^3$E$^4$) T | ἴομεν ὅμοιόν ἐστι τῷ „εἰ μὲν δὴ νόστον γε μετὰ φρεσίν" (I 434). T *ex.* | *ex.*

*b*. ⟨μύθοιο:⟩ τῆς πρεσβείας, οἱ δὲ τῆς στάσεως. T$^{il}$ *ex.*

626—7 *a*. ἀπαγγεῖλαι δὲ τάχιστα / χρὴ μῦθον ⟨Δαναοῖσι⟩: τάχιστα ὑποκνίζει, μὴ καὶ πορισάμενοι μηχανὴν σωτηρίας οὐ δεηθῶσιν αὐτοῦ. ἅμα δὲ καὶ τὸ πλῆθος τῶν καραδοκούντων δυσωπεῖ Ἀχιλλέα· b(BE$^3$E$^4$) T φησὶ γάρ· ἀπαγγεῖλαι ⟨δὲ⟩ τάχιστα / χρὴ μῦθον Δαναοῖσι. T *ex.*

*b*. ⟨ἀπαγγεῖλαι —— Δαναοῖσιν:⟩ ἔοικε δηλοῦν ὡς ὅτι δευτέρας ἁπάντων δεήσει πρεσβείας. b(BE$^3$E$^4$) T$^{il}$ *ex.*

627. ⟨καὶ οὐκ ἀγαθόν:⟩ ἐλέγχει τὸ ἀπηνὲς διὰ τοῦ καὶ οὐκ ἀγαθόν. b(BE$^3$E$^4$) T$^{il}$ *ex.*

fusius Eust. 778, 60 Αἴας (42) — φησίν (44) ad I 642. 645—6 (ex.) **625** diple ante versum in A; fort. exstabat sch. Aristonici de correptione vocis ἴομεν, ad A 141 (Ariston.); cf. Wismeyer 24 *a* ἴομεν (53) ad I 434

---

**42** sq. μεγαλ. ἁπλ. absc. in E$^3$ **43** εὐκαίρως **b** **44** καὶ om. T (fort. rectius) διὰ — νῦν absc. in E$^3$ γοῦν T τ' οὖν BCE$^4$, ]οῦν (cp.) E$^3$ **45** παντὶ T πάντη(ι) **b** πα[.... .... ...... ..] δὲ ἄρχ. E$^3$ οὖν T δὲ **b** **46** οὐ δὲ E$^3$E$^4$ ἐχρῆν T ἐχθρὸν **b** **46** sq. ἐκεί[.... .... ...... ..]λεχθέντος E$^3$ **48** φοίν. καὶ ὀδ. absc. in E$^3$ **49** ἐνεπ. T ἐποίει **b**, ἂν ἐποίει Ma. (recte ut vid.) **52** ἀλλ' **b** **55** le. add. Bk. (μύθοιο τελευτή· add. V$^c$) **56** sq. le. T supplevi, om. **b** (scholio ad I 626 relato) **57** τάχ. T, om. **b**, fort. τῷ τάχιστα καὶ T ποτε **b** **59** δὲ addidi **61** le. addidi, τῇδέ γ' ὁδῷ add. V$^c$ (sch. in T supra v. 626 scriptum est) **61—2** sq. ἔοικε δὲ δηλ. sq. coni. cum scholio *a* (v. ἀχιλλέα) in **b** **62** δεῖ **b** **63** le. add. V$^c$ **63—4** ἢ ἐλέγχει τὸ sq. coni. cum scholio I 626—7*b* (v. πρεσβείας) in **b** **63** διὰ τοῦ T αὐτοῦ **b**, αὐτοῦ διὰ τοῦ Bk.

*ex.* 628. ⟨οἵ που νῦν ἕαται ποτιδέγμενοι:⟩ κοινοποιεῖ τὴν ὕβριν. $T^{il}$

*ex.* 628—9. ⟨αὐτὰρ Ἀχιλλεὺς / ἄγριον ἐν στήθεσσι θέτο μεγαλήτορα θυμόν:⟩ ἴδιον τῶν θυμουμένων μὴ πρὸς τοὺς μεμφομένους ἀποτείνεσθαι. b(BE$^3$) $T^{il}$

*ex.* 630. ⟨σχέτλιος, οὐδὲ μετατρέπεται φιλότητος ἑταίρων:⟩ παρρησιάζεται καὶ οὐκ Ἀγαμέμνονος μέμνηται· ἀλλ' ὡς Φοῖνιξ· „οἵ τέ σοι αὐτῷ" (I 521). b(BCE$^3$E$^4$) $T^{il}$

*Did.* | *ex.* 632 *a*. ⟨καὶ μέν τίς τε κασιγνήτοιο:⟩ Ἀρίσταρχος διὰ τοῦ γέ, „καὶ μέν τίς γε". | κασιγνήτοιο δὲ κασιγνητικοῦ. $A^{im}$

*Ariston.* *b*. νηλής· ⟨καὶ μέν τίς τε κασιγνήτοιο φονῆος⟩: ὅτι παρεῖται πρόθεσις, καὶ πτῶσις ἐνήλλακται, ἀντὶ τοῦ καὶ μέν τίς τε παρὰ κασιγνήτου φονέως. καὶ πρὸς τὸ ἡρωϊκὸν ἔθος. A

*ex.* 632—3 *a*. καὶ μέν τίς τε κασιγνήτοιο φονῆος ⟨/ ποινὴν . . . ἐδέξατο⟩: ἔθος γὰρ ἦν τοῖς συγγενέσι διδόναι πρὸς τὸ μὴ πλέον τοῦ ἐνιαυτοῦ φεύγειν. ἔλεγεν οὖν μὴ λαβὼν ἐκεῖνος οὐ παρήσειν μόνον ἐνιαυτὸν φυγεῖν. b(BCE$^3$E$^4$) T

*ex.* *b*. κασιγνήτοιο φόνοιο ⟨/ ποινήν⟩: ἀδελφικοῦ· ἢ φόνοιο φονέως· ἢ φόνοιο ποινήν. διασύρει δὲ τὴν αἰτίαν τῆς ἔχθρας. T

*Did.* 633. ⟨τεθνειῶτος:⟩ διὰ τοῦ η̅ αἱ Ἀριστάρχου. $A^{im}$

**632** *a* κασιγνήτοιο δὲ (74) sq. ad I 632—3*b*, cf. Eust. 780, 2 *b* — πρόθεσις (76) et ἀντὶ τοῦ (76) — φονέως (77) ad A 596 (Ariston.); vide Valk I 547 καὶ πτῶσις ἐνήλλακται (76) ad B 353 (Ariston.) **632—3** *a* — ἐνιαυτοῦ φεύγειν (80) cf. Eust. 779, 60. Vide ad B 665 *b* ἔθος (79) — διδόναι cf. sch. Thuc. 3, 40, 1 *b* ἀδελφικοῦ (82) ad I 632 *a*; cf. D (ὑπὲρ ἀδελφικοῦ φόνου) **633** nullum signum ante versum in A; tamen sch. Aristonici exstitisse putaverim docentis v. ποι-

**65** le. add. Ma. (οἵ που νῦν· add. V$^c$) **67** sq. le. addidi, ἄγριον ἐν στήθεσι add. V$^c$, σχέτλιος add. Li **70** le. addidi, σχέτλιος add. V$^c$ **71** παρρ. T παρρησίᾳ λέγει b **72** fort. αὐτῷ / φίλτατοι ἀργείων **73** le. addidi (auctore Bk.) **74** κασιγνήτοιο δὲ κασ. ad lectionem vulg. (sc. κασιγνήτοιο φόνοιο) spectat **75** le. A suppl. Frdl. ὅτι A, ἡ διπλῆ, ὅτι Vill. **76** καὶ πτῶσ. ἐνήλλ. del. Frdl., at scholiasta vid. ad nominativum νηλής spectare **77** περὶ κασιγνήτου φόνου Cob. (improbabiliter) **78** sq. le. T supplevi, om. b (ubi sch. ad I 633 relatum esse vid.) **79** τοῦ del. Ma., fort. recte **80—1** ἔλεγεν οὖν sq. sententiam sic intellego 'ergo si propinquus eius, qui necatus erat, summam pecuniae accipere nolebat, negabat se concessurum esse, ut homicida in solum unum annum relegaretur'. Constructionem auctor hyparchetypi b simpliciorem quam correctiorem vid. reddidisse **80** ἔλεγεν T, λέγει b οὐ παρήσ. T οὐκ ἐᾷ b, οὐ παρίησι Wil. **81** φυγ. T, φεύγειν b (fort. melius) **82** le. T suppl. Ma. **83** ἢ φόν. ποινήν dicere vid. haec nomina arte coniungenda esse **84** le. (= vulg.) add. Vill.

**636.** σοὶ δ' ἄληκτόν τε κακόν τε: ἐντέχνως ἡ μετάβασις ἐκ τοῦ περὶ αὑτοῦ λόγου εἰς τὸν πρὸς αὐτὸν ἐγένετο. παρρησίᾳ δὲ χρῆται ὡς ἀνδρεῖος ἢ ὡς συγγενής. b(BCE$^3$E$^4$) T *ex.*

**637—8** *a*. εἵνεκα κούρης / οἴης: ἵνα μὴ διὰ ἀκολασίαν, ἀλλὰ διὰ γέρας μικρὸν δοκῇ λυπεῖσθαι. b(BCE$^3$E$^4$) T *ex.*

*b*. ⟨εἵνεκα⟩ κούρης / οἴης: ἣν ὁ Ἀχιλλεὺς εἰς γυναῖκα ἠδικῆσθαι ἔφη (cf. I 335—7), οὗτος κούρην αὐτήν φησι b(BCE$^3$E$^4$) T διασύρων αὐτοῦ τὴν πρότασιν. καλῶς δὲ ταῦτα μετὰ τὴν πέψιν τοῦ θυμοῦ. b(BE$^3$E$^4$) *ex.*

**638.** οἴης· νῦν δέ τοι ἑπτὰ ⟨παρίσχομεν ἔξοχ' ἀρίστας⟩: *Ariston.* ὅτι Ζηνόδοτος ἐλέγχεται γράφων „ἕξ, ἀτὰρ ἑβδομάτη⟨ν⟩ Βρισηΐδα" (T 246)· χωρὶς γάρ εἰσιν αἱ ἑπτά. A

**639** *a*. ⟨ἐπὶ τῇσι:⟩ οὕτως „ἐπὶ τῇσι" ἐν ἁπάσαις, ἐπὶ ταῖς Λεσβίσι. A$^{im}$ *Did.*

*b*. σὺ δὲ ἵλαον ⟨ἔνθεο θυμόν⟩: μεγαλοφυῶς θωπείας μετέχει ὁ λόγος· θεοποιεῖ γὰρ αὐτὸν διὰ τοῦ ἵλαον. b(BCE$^3$E$^4$) T *ex.*

**640** *a*. αἴδεσσαι δὲ μέλαθρον: ἀξιολόγῳ ὀνόματι ἱκετεύει· τὸ γὰρ αἴδεσσαι μέλαθρον 'τοὺς πρόσφυγας τῆς ἑστίας' αἴδεσσαι. b(BCE$^3$E$^4$) T τὸ δὲ ὁμοτράπεζον καὶ ὁμόστεγον προτείνας b *ex.*

νήν hoc loco proprie usurpatam esse (h. e. pretium pro caede solutum significantem), ad E 266 *b* (Ariston.), cf. Eust. 779, 63: καὶ σημείωσαι ὅτι ἐνταῦθα κυριολεκτεῖται ἡ ποινή, φοινή τις οὖσα, ὡς διὰ φόνον διδομένη. Vide sch. Soph. El. 210 διὰ τοῦ η sq. ad Z 71 *a*$^2$ (c. test.) **638** diple ante versum in A, fort. recte (cave exspectes diplen periestigm.) ὅτι Ζηνόδοτος (95) sq. ad I 131 (Ariston.), T 246 (T) **639** *a* quosdam legisse ἐπὶ τοῖσι apparet; hanc lectionem defendit Valk II 584 (frustra opinor) *b* aliter Eust. 780, 15

**86** αὐτοῦ] αὐτ[. .] B (litt. ου a m. rec. renovatae sunt) ἐγένετο om. T (si recte, exspectaverim ἔντεχνος pro ἐντέχνως) χρῆται δὲ παρρ. b **87** ἀνδρ. ἢ ὡς om. T ὡς (ante συγγενής) om. E$^3$E$^4$ **88—9** sch. ad I 637 revocavit b **88** ἀκολ. T νεκροστασίαν b **89** μικρὸν om. T (fort. recte) **90—3** le. et sch. cum scholio praecedenti coni. T, dist. Ma. **90** le. T supplevi, om. b ἣν — εἰς T, καὶ ὁ μὲν ἀχ. εἰς (coni. cum scholio *a*, v. λυπεῖσθαι) in b, fort. εἰς ἣν ὁ ἀχ. ὡς εἰς **91** οὗτος δὲ κ. b κόρην E$^4$, κ[. .]ην B (litt. ουρ novavit m. rec.) **92** πρόφασιν b (cf. Valk I 521) ταῦτα et τὴν (ante πέψιν) om. T, fort. recte **94** le. A suppl. Frdl. **95** ὅτι A, ἡ διπλῆ (vix δ. περιεστιγμένη), ὅτι Vill. ἑβδομάτη A suppl. Bk. (ed. Vill. mendum typographicum continet) **1** le. addidi (auctore Vill.) **3** le. T supplevi, om. b μεγ. τῆς θωπ. b **3** sq. μετ. pone λόγος b **4** θεοποιεῖ γὰρ sq. cf. e. g. Plat. Euthyd. 273 e 6 **6** αἴδ.$^1$ ⟨. . .⟩ μέλ. Ma. ἑστ. λέγει αἴδ. Vill. αἴδεσσαι$^2$ b αἴδεσαι T

($BE^3E^4$) T καὶ πολέμιον ἂν ἐκίνησεν ὡς καὶ τοῦ οἴκου συμπρεσβεύοντος. b($BCE^3E^4$) T

*ex.* *b.* ⟨ὑπωρόφιοι δέ τοί εἰμεν:⟩ ὁ δὲ ἀντὶ τοῦ γάρ. $T^{il}$

*Ariston.* **641.** πληθύος ἐκ Δαναῶν: ὅτι Ζηνόδοτος γράφει „ἀθρόοι ἐκ Δαναῶν". πῶς δὲ ἀθρόοι ἐληλυθέναι δύνανται δύο ὄντες; A

*ex.* **642.** κήδιστοί τ' ἔμ{μ}εναι ⟨καὶ φίλτατοι⟩: ἐκ τοῦ πλήθους φήσας τοὺς εὐνουστάτους καὶ συγγενικωτάτους ἥκειν πολλὰ δι' ὀλίγων ἐσήμανεν, ὑπεροψίας ἐπιτίμησιν, μετριότητος ὑπόμνησιν, αἰδῶ τῶν ἀνθρωπίνων παθῶν, ἔλεον ἱκεσίας, ἐντροπὴν συγγενείας· καὶ οἷος ἂν ἔοι ἀνήρ, ἀρετῇ μὲν ἴσος, ἀνθρωπισμῷ δὲ βελτίων, λόγῳ δὲ σύμβουλος, b($BCE^3E^4$) T συγγενὴς δὲ γενναῖος ὥστε μηδ' ὁτιοῦν ἀντειπεῖν 'Αχιλλέα. b($BE^3E^4$) T

*ex.* **645** *a.* πάντα τί μοι κατὰ θυμόν: ὅτι ἰσχυρὸς ὁ λόγος, δείξει τὸ „οὐ γὰρ πρὶν πολέμοιο" (I 650). b($BCE^3E^4$) T

*Did.* *b.* ⟨ἐείσω:⟩ ἔν τισι τῶν ὑπομνημάτων διῃρημένως „ἐείσαο". $A^{im}$

